RHETORES GRAECI

EX

CODICIBUS FLORENTINIS
MEDIOLANENSIBUS MONACENSIBUS NEAPOLITANIS PARISIENSIBUS ROMANIS VENETIS
TAURINENSIBUS ET VINDOBONENSIBUS

EMENDATIORES ET AUCTIORES EDIDIT

SUIS ALIORUMQUE ANNOTATIONIBUS INSTRUXIT INDICES LOCUPLETISSIMOS ADIECIT

CHRISTIANUS WALZ

PROFESSOR TUBINGENSIS.

VOL. VII.

Pars I.

STUTTGARTIAE ET TUBINGAE
sumtibus J. G. COTTAE.
LONDINI
apud BLACK, YOUNG et YOUNG. Tavistock Street.
LUTETIAE
apud FIRMIN DIDOT.
MDCCCXXXIII.

TUBINGAE, typis Hopferi de l'Orme

PRAEFATIO.

De Codicibus Voluminis septimi praemonuimus quaedam in praefatione voluminis quinti. Horum antiquissimi sunt Parisienses 1983 et 2977. membranacei, forma quarta, seculo decimo scripti: ex his pendent Par. 2916. fol. bombyc. sec. 14. Farnesinus II. E. 5. fol. bombyc. sec. 14. denique Monacensis 8. sec. 15. exeunte vel sec. 16. negligenter et vitiose scriptus. In hunc quum misero casu primum incidissem, ad eum describendum Joannes Franzius operam suam mihi commodavit. Pauca deinde contuli cum Farnesino, integrum vero commentarium emendavi ex Par. 2977. [Par. 1.] ita, ut, ubicumque nullus emendationis fons nominetur, hic intelligendus sit. Paris. 2916. [Par. 2.] non ad verbum contuli, sed in quavis fere pagina consului. Inter codices 1983. et 2977. quum solo adspectu discerni non posset, uter esset antiquior, casu praetuli codicem 2977: sed in decursu laboris codice 1983 aliquoties consulto, duobus locis vocem a codice 2977. omissam ex cod. 1983 supplere contigit, unde cum hunc antiquiorem esse appareat, hujus argumentum adscribo.

Fol. 1. 2. Sentantiae philosophorum, editae in Arsenii Violeto p. 494 sqq.
— 3. περὶ ποδῶν μετρικῶν.
— 5. t. Μαξίμου περὶ ἀλύτων ἀντιθέσεων.
— 8 —12. Ἀκριβὴς πίναξ argumenti Aphthonii et Hermogenis.
— 13—34. Aphthonius cum scholiis.
— 34. t. πῶς ἐπιγνωσόμεθα τὰς στάσεις.
— 35—38. Προλεγόμενα τῶν στάσεων.
— 38. t.—40. Troili Προλεγόμενα.
— 40. t. Προλεγόμενα τῶν στάσεων.
— 41. 42. Phöbammon.
— 43. Ἕτερα Προλεγόμενα τῶν στάσεων.
— 44—284. Hermogenes cum scholiis.
— 285. 286. Προλεγόμενα τῶν εὑρέσεων.
— 287. Σημειῶδες εἰς τὰς εὑρέσεις.
— 287. t. 288. Τὰ Προλεγόμενα τῶν ἰδεῶν.
— 289-291. Συριανοῦ εἰς τὸ περὶ ἰδεῶν Ἑρμογένους.
— 291. t. Θεοφράστου χαρακτῆρες.
— 292. Περὶ τῶν τοῦ λόγου σχημάτων. Haec in fine mutila sunt.

Idem argumentum, excepto Maximo περὶ τῶν ἀλύτων ἀντιθέσεων, in tota hac codicum familia continetur.* Scholia minora, quae in codd. Parr. et Farn. spatio inter auctoris verba et scholia majora interjecto scripta sunt, negligens codicis Monac. scriba plerumque omisit, nonnunquam nullo ob-

* In Par. 2916. Fol. 1—38. continentur quaedam, quae absunt a reliquis codicibus, sed tenendum, haec folia manu recentiore scripta esse, et antiquam codicis partem non nisi a Fol. 39. incipere.

servato discrimine inter majora recepit: ad librum περὶ μεθόδου δεινότητος, ubi etiam in codd. Parr. scholia rarescunt, nihil omnino notavit. Ex hoc commentario ea, quae Max. Planudes in suum transtulit, omisi, pagina et versu voluminis V. notato, qua in re id solum monendum, in commentario ad στάσεις capitum numerum in Vol. VII. non convenire cum eo, quem in notis voluminis V. designavi: nam duobus capitibus post impressum volumen V. interpositis factum est, ut e. g. caput περὶ πραγματικῆς quod in nota Vol. V. cap. XXII. appellatur, in T. VII. numerum XXIV. acceperit.

Praeter hos codices laudatos codicem Venetum 433. [de quo vide praefationem voluminis quarti], ad libros περὶ εὑρέσεων et περὶ ἰδεῶν diligenter contuli. Hujus scholia ad libros de inventione certum auctorem non habere, apparet ex titulo: Σχόλια εἰς μέρη τινὰ τοῦ περὶ εὑρέσεων Ἑρμογένους, ἐκ πολλῶν φιλοπόνως συνειλεγμένα· sed scholia ad libros de formis orationis Syriano attribuenda esse titulus arguit: Συριανοῦ σοφιστοῦ εἰς τὸ περὶ ἰδεῶν Ἑρμογένους ἐξήγησις. Tenendum igitur, ea tantum scholia, quae hoc codice continentur, Syriani esse, eaque ipsa hujus auctoris nomine saepe ab Joanne Siceliota laudari: reliqua vero, quae in Par. 1983. aliisque inveniuntur scholia, ab anonymo hujus commentarii, quem integrum opus minus recte appellat Morelli in biblioth. Manuscr. p. 302., compilatore aliunde congesta esse.

Ea, quae etiam apud Joannem Siceliotam leguntur scholia, cum, a quo profecta vel primum occupata sint, dijudicari non possit, et hoc maxime videndum sit, ne eadem bis imprimantur, plerumque cum varia lectione vel ad hunc tomum vel ad Planudae commentarium retuli. Sed ultimum libri περὶ γοργότητος caput: περὶ πολιτικοῦ λόγου, cujus scholia omnia a Siceliota recepta sunt, ex hoc commentario prorsus omisi et scholia minora ad illum transtuli. Scholia ad librum περὶ μεθόδου δεινότητος, cum in Mon. nulla, in Parisinis pauca sint, partim ad Planudae commentarium transtuli, (vide T. V. p. 562.) partim in Gregorii Corinthii commentario, in quem adoptata sunt, reliqui. Gregorii vero commentarium ex sexto ad septimum volumen trajeci, quo hujus materiam ultra sexaginta plagulas excrescentem in duas partes modicas dispertire possem, quarum secundam una cum volumine sexto proximis nundinis prodituram esse confido.

Praeter hos, quos hic enumeravi, codices non raro singulis locis cum nostro commentario consentientibus varia lectio ex aliis codicibus excerpta est, de quibus suo quaeque loco notata sunt.

Scribebam Tubingae Cal. Sept. MDCCCXXXIII.

ARGUMENTUM VOLUMINIS SEPTIMI.

Pars I.

Pars II.

I.

ΠΡΟΛΕΓΟΜΕΝΑ
ΤΩΝ ΣΤΑΣΕΩΝ.[1]

Πολλοὶ πολλὰς τοῦ παρόντος βιβλίου τὰς ἀρχὰς ἐποιήσαντο· οἱ μὲν γὰρ ἀπὸ τοῦ γένους τοῦ τεχνικοῦ τῆς ἐξηγήσεως ἄρχονται, οἱ δὲ ἀπὸ τῆς τέχνης, ἄλλοι ἀπὸ τῆς στάσεως, ἡμεῖς δὲ ταῦτα ἐν δευτέρῳ λέξομεν· τέως δὲ ἀναδραμούμεθα καὶ τῶν λόγων τὰ εἴδη περιλαβόντες ἐροῦμεν· καὶ γὰρ ἄτοπον, ἑνὸς εἴδους τῷ λόγῳ προκειμένου πρὸς ζήτησιν ἀγνοεῖν τὴν ἀρχὴν, τί ἐστι λόγος· ὁ λόγος τοίνυν ἐστὶ διττός· ὁ μὲν ἐνδιάθετος, ὁ δὲ προφορικός· περὶ γὰρ τοῦ [2] καθόλου οὐδεὶς λόγος, ἀπέραντος γὰρ καὶ διὰ τοῦτο ἀκατάληπτος· ἀλλ' ἐπειδὴ οἱ φιλόσοφοι ἑκάστου πράγματος ὅρους ἤγουν ὑπογραφὰς λαμβάνουσιν, ὁρίσωμεν [3] τούτων ἑκάτερον. Λόγος ἐστὶ τοίνυν [4] ἐνδιάθετος διάνοια ἀνθρώπου ἐν τῷ διαλογίζεσθαι, τί λέγειν ἢ πράττειν δεῖ· ἐπειδὴ οὖν δεῖ τοὺς ὅρους ἀπὸ γένους καὶ διαφορῶν συνίστασθαι, ἔχει [5] διά-

1 Prolegomena *τῶν στάσεων* I—III. descripsi ex Par. 1. contuli cum Par. 2. Codicem 1983. passim consului. Partem ex nr. I. edidit Leonh. Spengel in *συναγ. τεχν.* p. 207—222. ex cod. Mon. 8. 2 Mon. *τῶν.* Eadem leguntur inter schol. ad Aphthon. *περὶ θέσεως* litt. *δ.* quae iisdem codd. continentur. 3 Sch. Aphth. *ὁρισώμεθα.* 4 Mon. et Sch. Aphth. *τοίνυν ἐστὶν,* et mox *τί πράττειν ἢ λέγειν δεῖ.* 5 Sch. Aphth. *ἔχει καὶ οὕτω. γενόμενος μὲν τὴν διάν. καὶ γὰρ καὶ τὸ θ.* id. *τἆλλα.*

νοιαν μὲν τὸ γένος, καὶ γὰρ τὸ θεῖον καὶ οἱ ἄγγελοι διανοοῦνται, καὶ τὰ ἄλλα ζῶα· τῷ δ' εἰπεῖν ἀνθρώπου, καὶ τί λέγειν ἢ πράττειν δεῖ, τὸ ἴδιον περιείληφε, καὶ μὴ θαυμάσῃς, εἴπερ ἐστὶν ἐνδιάθετος λόγος· αὐτίκα γοῦν, πολλοὶ τετμημένοι τὴν γλῶτταν ἢ ὑπὸ νοσημάτων ἐμποδιζόμενοι, οὐδὲν ἧττόν εἰσι λογικοί· ἀμέλει καὶ Πυθαγόρας ὁ φιλόσοφος, δέκα ἔτη σιγήσας, πολλὰ ἐποίησε συγγράμματα, καὶ ἓν ἦν[6] τῶν δογμάτων ἡ τῶν μαθητῶν σιωπή· ἆρα οὖν[7] ὁ Πυθαγόρας ἢ οἱ μαθηταὶ οὐκ ἦσαν λογικοί; ναί· καὶ ὁ Θουκυδίδης[8] ἐπαινῶν τὸν Περικλέα καὶ τούτοις αὐτὸν τοῖς δύο ἐκόσμησεν· „καίτοι ἐμοὶ τοιούτῳ ἀνδρὶ ὀργίζεσθε, ὃς οὐδενὸς ἐλάσσων εἰμὶ γνῶναί τε τὰ δέοντα καὶ ἑρμηνεῦσαι περὶ αὐτῶν·“ τὸ γὰρ τὰ δέοντα οὐδὲν ἕτερόν ἐστιν, ἢ ἐνδιάθετος λόγος· καὶ ὁ μὲν ἐνδιάθετος λόγος οὕτως· ὁ δὲ προφορικὸς οὕτως ὁρίζεται, δήλωσις ἀνθρώπου διὰ φωνῆς·[9] πάλιν τὸ δήλωσις κοινὸν πρὸς ἅπαντας, τὸ δὲ ἀνθρώπου ἴδιον· τὸ δὲ διὰ φωνῆς πρὸς[10] ἀντιδιαστολὴν τοῦ ἐνδιαθέτου· εἶτ' ἐπειδὴ κοινὸς ὁ λόγος, ὁ μὲν προφορικὸς ἁπάντων, ὁ δὲ διὰ μελέτης καὶ γνώσεως τεχνικός, ἡνίκα βουλόμεθα μεταστῆσαι[11] ἀπὸ τοῦ κοινοῦ καὶ δηλωτικοῦ τὸν διὰ σκέψεως, λέγομεν μετὰ προδιορισμοῦ τοῦ „ἔντεχνος“ δήλωσις ἀνθρώπου διανοίας διὰ φωνῆς ἔντεχνος. Τοῦτον οὖν τὸν λόγον διαιροῦμεν[12] εἰς δύο, εἰς θεωρητικὸν καὶ πρακτικόν· ὅρος δὲ τοῦ θεωρητικοῦ οὗτος· λόγος ἐπισκεπτικὸς πράγματος μετ' αἰτίας· ὁ δὲ τοῦ πρακτικοῦ οὗτος· λόγος ἐπὶ πράξει διαδεχομένῃ λε-

---

6 Recepi lectionem Par. 2. et Mon. in Par. 1. καὶ ἓν ἢ τῶν τῶν δογμάτων ἢ τῶν μαθημάτων σιωπή. 7 Mon. γοῦν. 8 Thuc. II. 60. 9 Mon. marg. add. h. l. et infra ἀνάρθρου. 10 Mon. marg. τοῦ ἐνδιαθέτου ἢ πρὸς ἀντιδ. τοῦ ἀνάρθρου. 11 Par. 1. μελετῆσαι. Par. 2. Mon. μεταστῆσαι. 12 Mon. ὑποδιαιρεῖν μέν.

γόμενος. Ἀνθυποδιαιρεῖται δὲ ὁ θεωρητικὸς εἰς τρία, εἰς θέσιν, [13] εἰς ἐγκώμιον, καὶ ψόγον· θέσις μὲν οὖν ἐστι διάσκεψις [14] λογικὴ, τέλος ἔχουσα τὴν θεωρίαν, ἐγκώμιον δὲ ὁμολογουμένων ἀγαθῶν αὔξησις· ἐπικοινωνοῦσι δὲ ἐν τούτοις φιλόσοφοί τε καὶ ῥήτορες· λέγεται δὲ θεωρητικὸς, ἐπειδὴ μέχρι γνώσεως ἕστηκεν, οἷον ὁ φιλόσοφος ζητεῖ, εἰ τὸ ἡμισφαίριον ὑπὸ γῆν, εἰ κυκλοτερὴς ὁ οὐρανὸς, καὶ τοῦτο καταλαβὼν οὐδὲν πλέον περιεργάζεται, οὐ προςτίθησι [15] γὰρ ἔργον τούτοις οὐδέν· οὕτως καὶ ἐν τῷ ἐγκωμίῳ καὶ ψόγῳ· καὶ ὁ μὲν θεωρητικὸς οὗτος, ὁ δὲ πρακτικὸς [16] εἰς δύο διαιρεῖται, εἰς συμβουλευτικὸν καὶ δικανικόν· ὁρίζονται οὖν τὸ μὲν συμβουλευτικὸν, λόγος προτρεπτικὸς, κέρδους ἕνεκα ἢ ἀσφαλείας· τὸ δὲ δικανικὸν, ζήτησις πολιτικὴ, τέλος ἔχουσα τὴν τιμωρίαν, ἐν γὰρ δυσὶ τούτοις ἀνάγκη πάντως [17] ἕπεσθαι τέλος· οὐ γὰρ ἀρκεῖ τὸν ῥήτορα συμβουλεῦσαι, ὡς δεῖ βοηθεῖν Ὀλυνθίοις, ἀλλὰ δεῖ καὶ τὴν πρᾶξιν ἐπακολουθῆσαι· πάλιν οὐκ ἀρκεῖ κατηγορῆσαι Αἰσχίνου, ἢ τοῦ Πολυκράτους προδοσίας, ἀλλὰ χρὴ καὶ [18] τὴν προδοσίαν παρέπεσθαι· καὶ ταῦτα μὲν οὕτως.

Τὸν δὲ δὴ λόγον διεῖλον οἱ μὲν Περιπατητικοὶ εἰς πέντε, εἰς εὐκτικόν·

Πότνι' Ἀθηναίη ἐρυσίπτολι, [19] δῖα θεάων.

προστακτικόν·

Βάσκ' ἴθι, Ἶρι ταχεῖα· [20]

ἐρωτηματικόν·

Οὐχ ὁ Τρόφιμός σου, πρὸς θεῶν, Ὀνήσιμε; [21]

---

13 Par. 1. εἰς ἐγκώμιον, εἰς θέσιν. secutus sum Par. 2. Mon. 14 Mon. διάθεσις. marg. διάσκεψις. 15 Mon. ὑποτίθησι sine οὐ. 16 Parr. Mon. πραγματικός. Sch. Aphth. πρακτικός. Sq. καὶ ex Mon. recepi. 17 Mon. πάντων. 18 καὶ Mon. om. 19 Mon. ἐρσίπτολι. Il. ζ. 305. 20 Il. θ. 399. 21 Par. 2. Ὠνήσιμε.

καὶ τὰ λοιπά. ἀποφαντικόν·

Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσε.[22]

Κλητικόν·

Δεῦρο πάροιθ᾽ ἐλθοῦσα, φίλον τέκος, ἵζευ ἐμεῖο.[23]

Οἱ δὲ Στωϊκοὶ προστιθέασι τούτοις καὶ ἄλλους ἕξ·[24] πυσματικὸν καὶ ἐπαπορητικόν· πυσματικὸν

Πῶς δεῦρ᾽ ἦλθες, Ὀδυσσεῦ, τίς δέ σε[25] ἔχραε δαίμων.

καὶ λοιπὸν ἄρχεται διηγεῖσθαι τὰ συμβάντα· ἐπαπορητικὸν δὲ οἷον·

Δᾶος πότ᾽ ἦλθε, τί ποτ᾽ ἀγγέλλων[26] ἄρα;

εἶτα θαυμαστικόν· ὡς καλὸς ὁ παρθενών· ἐπωμοτικόν,

Ναὶ μὰ τόδε σκῆπτρον·[27]

διασαφητικόν.

Ἤιομεν[28] ὡς ἐκέλευσεν ἀνὰ δρυμά· ὑποθετικόν, ὡς παρὰ τῷ Δημοσθένει· „εἰ γὰρ ἡμᾶς αὐτοὺς δεήσει τριάκοντα μόνον ἡμέρας“[29] καὶ τὰ λοιπά· καὶ τούτων μὲν οἱ Περιπατητικοὶ τὸν πυσματικὸν καὶ τὸν ἐπαπορητικὸν ἐπὶ τὸν ἐρωτηματικὸν λόγον ἀνάγουσι, πλὴν ὅτι καὶ[30] τοῦτο διαφέρουσιν ἀλλήλων, ὅτι ὁ μὲν ἐρωτηματικὸς διὰ βραχέων ἔχει τὴν ἀπόδειξιν,[31] ὁ δὲ πυσματικὸς διὰ μακροτέρων, καὶ οὗτοι[32] μὲν πρὸς ἄλλον γίνονται, ὁ δὲ ἐπαπορητικὸς πρὸς αὑτὸν τὸν ἀποροῦντα καθ᾽ ἑαυτὸν συνίσταται, τοὺς δὲ ἄλλους ἐπὶ τὸν ἀποφαντικὸν ἀνάγουσι,[33] καθὸ ἐνδέχεται καὶ ψευδῆ εἶναι καὶ ἀληθῆ· οὐδὲν δὲ ἕτερόν ἐστιν ἀποφαντικὸς, ἢ λόγος ἐνδεχόμενος

---

22 Od. I, 39. 23 Il. γ. 162. 24 Par. 1. ε̄. Mon. Par. 2. ϛ̄. 25 Par. 1. σ᾽ ἔχραε. Mon. Par. 2. σέ. Od. κ. 64. 26 Mon. ποτε ἀγγέλων. Si pro τι, auctore Spengel., scr. τίνα, integrum habes senarium. 27 Il. α, 234. 28 Parr. ἢ ὁ μέν. Mon. ἴομεν. Od. κ. 251. ἤομεν. tum Mon. δρυμόν. 29 Mon. ἡμερῶν. Ol. I. p. 16. 30 Mon. κατὰ τ. διαφέρειν. 31 Mon. ἀπόδοσιν, quod placet. 32 Mon. Par. 1. οὕτως μέν. Par. 1. πρὸς ἄλλων. secutus sum Par. 2. 33 Mon. ἀνάγουσιν.

καὶ ψευδὴς εἶναι καὶ ἀληθής· ἀλλὰ τὸν μὲν ἐνδιάθετον λόγον ἄλλοι τε κοσμοῦσι καὶ Λολλιανὸς καὶ Θεόφραστος. Τοῦτον δὲ τὸν προφορικὸν λόγον δύο τέχναι διείλοντο, ἥ τε γραμματικὴ καὶ ῥητορική· ἀλλὰ περὶ μὲν τῆς [34] γραμματικῆς τοῖς ταύτην ἀκριβῶς ἐπισταμένοις [35] καταλείψομεν, περὶ δὲ τῆς ῥητορικῆς, ὅπως τε [36] ἐξαρχῆς προῆλθε, καὶ ὅτι ἐκ θεῶν ὤφθη καὶ ἦλθε, καὶ τίς ἂν εἴη, σκεψώμεθα. Ἡ τοίνυν ῥητορική, ἵνα τι τῶν ἐγνωσμένων εἴπωμεν, ἐν θεοῖς μὲν ἦν, εἶτα ἐνταῦθα εἰς ἀνθρώπους ἀφίκετο. καὶ μαρτυρεῖ Ὅμηρος λέγων· [37]

Οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο.

Ταῦτα δ' οἱ λέγοντες τὴν τέχνην σεμνύνουσι· τὸ δὲ ἀληθὲς ἐν τοῖς ἥρωσι πρῶτον ἐφάνη, ὅθεν ἥρωες ἐκλήθησαν παρὰ τὸ ἐρεῖν καὶ λέγειν· [38] τοῦτο δὲ κατάδηλον ἐποίησεν Ὅμηρος· εὑρίσκομεν γὰρ παρ' αὐτῷ καὶ συμβουλευτικὸν εἶδος, ὥσπερ δὴ [39] τοῦ Νέστορος·

Τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων.

καὶ δικανικόν·

Καὶ ἔπεα νιφάδεσσιν ἐοικότα. [40]

Δεῖ γὰρ τὸν μὲν σύμβουλον εἶναι γλυκὺν καὶ τοῖς ἀκροωμένοις ἀρέσκοντα· τὸν δὲ δικανικὸν μᾶλλον ῥώμῃ καὶ διανοίαις ἀκμάζειν, ὅθεν ἑκατέρῳ τὸ προσῆκον ἀπένειμε. Καὶ ὅτι Ὅμηρος τὰ σπέρματα τῆς τέχνης κατέβαλεν, ἐδήλωσε Τήλεφος ὁ Περγαμηνὸς, ὅστις τέχνην συγγραψάμενος ἐπέγραψε περὶ τῆς καθ' Ὅμηρον ῥητορικῆς, κἀκεῖ περὶ τῶν τρισκαίδεκα συνέγραψε [41] στάσεων. Λέγουσι δέ τινες, δικανικὸν λόγον εἰρηκέναι πρῶτον Με-

---

34 Par. 1. Mon. τοὺς γραμματικούς. Par. 1983. per correcturam et rasuram: τῆς γραμματικῆς. Par. 2. τῆς γραμματικῆς. 35 Codd. ἐπισταμένην. Mon. Par. 2. et 1983. ἐπισταμένοις. 36 Mon. ὅπως ἐστὶν, ἐξ ἀ. 36 Il. δ. 1. 38 Plat. Cratyl. p. 398. D. cfr. Sopat. Vol. V. p. 6. 39 Mon. διά. Il. α. 249. 40 Il. γ. 222. 41 Mon. συνεγράψατο.

νεσθέα τὸν στρατηγὸν τῶν Ἀθηναίων, ὃς καὶ ἐπὶ Τροίαν ἀφίκετο· ἄλλοι δὲ λέγουσιν Ἀντιφῶντα, τοῦτον τὸν ῥήτορα κατὰ Θησέως περὶ τῶν Παλλαντίδων.[42] ἤκμασε δὲ κατὰ Σικελίαν. Γέλωνος γὰρ καὶ Ἱέρωνος τῶν τυράννων τελευτησάντων[43] μετέπεσεν εἰς δημοκρατίαν τὰ πράγματα. Κόραξ οὖν[44] συνετὸς ἀνήρ τις καὶ χρῆσθαι πράγμασιν ἱκανὸς, συνιδὼν, ὅτι οὐχ ὅμοιον τυράννῳ διακονεῖσθαι καὶ δήμου γνώμην χειρώσασθαι, ἀπελθὼν συνέθηκε τέχνην περὶ προοιμίων καὶ διηγήσεων καὶ ἀγώνων καὶ ἐπιλόγων· τούτου γέγονε μαθητὴς ὁ Τισίας, καὶ τοῦ Γοργίου Ἀθήνησιν ἐπιδεδημηκότος, εἰς τὴν Ἑλλάδα μετέβη τὰ τῆς ῥητορείας, καὶ οὕτως εἰς ἀκμὴν παρεγένετο· τῶν δὲ Μακεδονικῶν πραγμάτων κατισχυσάντων, Ἀντίπατρος[45] ἐννενήκοντα ὀκτὼ ἀπὸ τῆς Ἀττικῆς ἀνεῖλε ῥήτορας, καὶ χιλίους ὀκτακοσίους ἀπὸ τῆς ἄλλης Ἑλλάδος· τότε οὖν ἐπονείδιστος[46] ἡ τέχνη ἐνομίσθη, καὶ πάντες αὐτὴν ὡς σφαλερὰν ἀπωθοῦντο.[47] Πύῤῥος δὲ ὁ Κλαζομένιος, καὶ Λολλιανὸς ὁ Ἐφέσιος, ἐπιγενόμενοι πάλιν ἀνέσωσαν. ὁρίζεται δὲ τὴν ῥητορικὴν Πλάτων καὶ ἐν τῷ Γοργίᾳ[48] πειθοῦς δημιουργὸν διὰ λόγων ἐν αὐτοῖς τοῖς λόγοις τὸ κῦρος ἔχουσαν πειστικῆς, οὐ διδασκαλικῆς· καὶ οἱ τοῦ ὅρου προϊστάμενοι σαφῶς λέγουσι, καὶ καλῶς ἔχειν τὸν ὅρον, διὸ μηδὲ ἑρμηνείας δεῖσθαι· λέγουσι γὰρ, ὅτι διὰ τοῦτο εἶπεν διὰ λόγων, ἐπειδὴ καὶ πολλαὶ ἄλλαι εἰσὶ[49] διὰ λόγων πειθοῖ, καὶ ὅτι δι' ἔργων, ἐδήλωσεν Ὅμηρος. καθίσας γὰρ ἐπὶ τείχους τοὺς δημο-

---

42 Mon. Παλαντιδῶν. 43 Mon. τετελευτηκότων μετέπειγεν εἰς δημοκράτην, omisso τῶν τυράννων. 44 Mon. οὖν τις. 45 Par. 2. ad marg. ὅσους ῥήτορας ἀνεῖλεν ὁ Ἀντίγονος σημ. Schol. in Aphthon. fine: Ἀντίπατρος δὲ ἐξ Ἀθηνῶν ῥήτορας ἀπέκτεινε δύο, καὶ ἑκατὸν ἐκ πάσης τῆς Ἑλλάδος. 46 Mon. ἐπονείδιστόν τι. 47 Mon. ἀπεωθοῦντο. 48 p. 455. a. coll. 450. e. 49 Par. 2. ἐστί. Mon. εἰσὶν αἱ διὰ — καὶ ὅτι ἐστὶ δι' ἐ.

γέροντας, [50] πολλὰ δι' Ἑλένην παθόντας καὶ δυσχεραίνοντας τὴν παροῦσαν, ὅμως, ὡς εἶδον αὐτὴν παριοῦσαν, [51] ἐποίησεν αὐτοὺς μεταπεπεισμένους τὰ λεγόμενα ἐκεῖνα ἔτι ἀναβοᾷν,

Οὐ νέμεσις, Τρῶας καὶ ἐϋκνήμιδας Ἀχαιούς. [52]

Πάλιν ἡ Φρύνη περὶ ἀσεβείας ἐκρίνετο, καὶ Ὑπερίδης πολλὰ λέγων οὐκ ἐδυνήθη [53] πεῖσαι· ὁρῶσα γοῦν αὕτη τὰς ἐλπίδας ἀπεῤῥιμμένας, καὶ κινδυνεύουσα, διαῤῥηξαμένη τὸν χιτωνίσκον, οὕτως ἔπεισε τοὺς δικαστὰς ἐνδοῦναι, ὥστε διὰ θέας γενέσθαι. Πάλιν Μιλτιάδης [54] περὶ προδοσίας κρινόμενος, οὐδὲν εἰπὼν τὸ πάθος ὑπέδειξε, και ἤρκεσεν ἀντὶ ῥητορείας ἡ θέα. Πάλιν ἐὰν μελετήσωμεν ζήτημα τοιοῦτον, ἔνθα πάθος ἢ καὶ κρίσις ὑπόκειται, εἰς τοῦτο μηχανητέον τὸ ζήτημα κλῖναι, ἵνα μᾶλλον δοκῶμεν ἐπιδεικνύναι τὸ πάθος, ἢ λέγωμεν· [55] εἶτα ἐπείπερ καὶ ἡ ῥητορικὴ καὶ ἡ ἰατρικὴ πείθει, οὐ διὰ τῆς πειθοῦς δὲ τὸ κῦρος ἔχει τῆς τέχνης, ἀλλ' ἐν τῇ ὑγείᾳ, [56] διὰ τοῦτο προσέθηκε τὸ ἐν αὐτοῖς τοῖς λόγοις τὸ κῦρος ἔχουσα πειστικῆς, οὐ διδασκαλικῆς, ἐπειδὴ οὐ πάντως διδάσκει τὸν ὄχλον, ἀλλὰ πείθει. καὶ οὕτως μὲν ὁ σοφὸς Πλάτων. λέξωμεν [57] δὲ πρὸς τοῦτον, ἀποδεικνύντες αὐτὸν βεβαίως οὐκ ἔχοντα· οὐδὲ γὰρ ὑπὸ τοῦ Πλάτωνός ἐστιν ὁ ὅρος, ἀλλ' ὡς ἀπὸ τοῦ [58] Γοργίου τοῦτον εἰσήνεγκεν· ἡνίκα δὲ οὐχὶ [59] βεβαίως τι λέγει, ἑτεροπροσώπως ἀνατίθησι. Φαμὲν οὖν, ὅτι πρῶτον ἀναντίῤῥητος ὁ Δημοσθένους ὅρος, καὶ ὅτι ἡ ῥητορικὴ

---

50 Par. 1. τοῦ δημογέροντες — — παθόντες. recte leguntur in Cod. 1983. Par. 2. Mon. Tum Par. 1. Mon. παρουσίαν· ceteri παροῦσαν. 51 Par. 1. παριοῦσαν. Mon. Par. 2. περιοῦσαν. 52 Il. γ. 156. 53 Mon. ἠδυνήθη. — Athen. XIII. p. 590. 54 Herod. VI. 136. cfr. Vol. V. p. 213. 55 Mon. λέγομεν. εἶτ' ἐπ. 56 Mon. ὑγιείᾳ et πιστευτικῆς pro πειστικῆς. 57 λέξομεν. 58 τοῦ Mon. om. 59 Mon. οὐ.

δύναμις ἐν τῇ τῶν ἀκουόντων εὐνοίᾳ κεῖται· ἔπειτα οὐδὲ γένος[60] *ἔχει, ὅθεν δεῖ τοὺς ὅρους συνίστασθαι· τρίτον, εἴπερ πειθοῦς δημιουργὸς, εὑρίσκονται δὲ ῥήτορες*[61] *δύο, καὶ τὸν μὲν ἕνα πάντως ἀνάγκη περιγενέσθαι, ἆρα οὖν τὸν μὴ πείθοντα οὐκ ὀφείλομεν καλεῖν ῥήτορα; ἀλλὰ πρὸς τοῦτο λέγουσιν, ὅτι καὶ ἰατροὶ πολλάκις ἐπισκέπτονται, καὶ ὁ μὲν ἐπιτυγχάνει, ὁ δὲ οὔ· ἆρα οὖν περὶ*[62] *τοῦτο οὐκ εἰσὶν ἰατροί; φαμὲν οὖν, ὅτι ἀνοίκειόν ἐστι τὸ παράδειγμα· ἐκεῖ γὰρ οὐ τῆς ὑγιείας δημιουργὸς ὁ ἰατρὸς, ἀλλὰ περιποιητικός· ἐνταῦθα δὲ τὸ δημιουργὸς ἐντέτακται, τὸ δὲ δημιουργὸς πάντως ἐστίν· ἔδει οὖν εἰπεῖν, πειθοῖς κατασκευαστικὸς*[63] *ἢ ἄλλο τοιοῦτον· ὡρίσατο δὲ καὶ ἄλλως· πολιτικῆς μορίου εἴδωλον τῆς δικαστικῆς· ἡμεῖς τοίνυν τὸν αὐτῆς ὅρον παραθησόμεθα.*

Τῶν οὖν παραδόντων[64] *περὶ ῥητορικῆς οἱ μὲν ἀρετὴν ἐκάλεσαν ἀπὸ τοῦ μείζονος καὶ ἐλάττονος ὁρισάμενοι, οἱ δὲ κακίαν ὁμοίως, ἐκ τοῦ μείζονος καὶ ἐλάττονος τὸν ὅρον παραδόντες· οἱ μὲν γὰρ αὐτὴν ἐκάλεσαν ἐπιστήμην, ἀπὸ τοῦ μείζονος ὁριζόμενοι ἐπιστήμην*[65] *τοῦ εὖ λέγειν οἱ Στωϊκοί· τὸ δὲ εὖ λέγειν ἔλεγον τὸ ἀληθῆ λέγειν· οἱ δὲ ἀπὸ τοῦ ἐλάττονος ὡρίζοντο, λέγοντες αὐτὴν διαλογικὴν εἶναι· ἡ δὲ διαλογικὴ οὕτως ὁρίζεται· δύναμις τοῦ ὄντος πιθανοῦ·*[66] *τοῦτον δὲ τὸν ὅρον οἱ περὶ τὸν Ἀλκιδάμαντα ἔλεγον· λέγομεν δὲ ἀπὸ τοῦ ἐλάττονος, οὐχ ὅτι ἐλάττων*[67] *τῆς ῥητορικῆς ὁ ὅρος, ἀλλὰ τοῦ προλαβόντος ἐστὶν ἐλάττων, τοῦ*[68] *λέγειν αὐτὴν ἐπιστήμην· οἱ δὲ ἐν τοῖς πράγμασιν ἀρετὴν αὐτὴν λέγοντες οἱ μὲν πολιτικὴν,*

60 Mon. *οὐδέ γε.* marg. *γένος.* 61 Mon. *ῥήτορε,* et *ἆρ᾽ οὖν.* 62 Mon. *παρά,* quod probo. 63 Mon. *κατασκευαστικῆς.* 64 Mon. *διαλαβόντων.* 65 Parr. *ἐπιστήμη.* Mon. *ἐπιστημῶ.* 66 Par. 1. *τοῦ ὄντος, τοῦ πιθανοῦ.* Par. 2. Mon. alterum *τοῦ* om. — De Alcidamante vide Spengel. *συναγ. τεχν.* p. 172. 67 Par. 1. *ἐλάσσων.* 68 *τοῦ* Mon. om.

οἱ δὲ ὑποπολιτικὴν ἐκάλεσαν· καὶ πολιτικῆς μὲν ὅρος οὗτος· ἐπιστήμη τοῦ εὖ πράττειν τά τε ἴδια καὶ τὰ κοινά, διὰ τοῦ μὲν εἰπεῖν τὰ κοινὰ τὸ πολιτικὸν δηλοῦντες, διὰ δὲ τοῦ τὰ [69] ἴδια, τὸ ἠθικὸν καὶ οἰκονομικόν· ὑποπολιτικὴν δὲ ὁ λέγων αὐτήν, τὴν αὐτὴν μὲν εἶναι τῇ πολιτικῇ φησιν, [70] ὑποβεβηκέναι δέ· καὶ τὸν μὲν πολιτικὸν τὸν δυνάμενον ὠφελεῖν ζῶντα, τὸν δὲ ὑποπολιτικὸν τὸν γράμματα τῇ πόλει καταλιπόντα ὠφελεῖν δυνάμενα· τῶν δὲ εἰς κακίαν καὶ ἀρετὴν διαβαλλόντων οἱ μὲν λέγουσιν αὐτὴν σοφιστικήν, καὶ ὁρίζονται οὕτως· λόγων ἰσχὺς περὶ τοῦ δοκοῦντος πιθανοῦ. Τούτου δὲ τὴν πρόφασιν Πρόδικον καὶ Ἱππίαν φασὶ [71] δεδωκέναι· ὁ δὲ Πλάτων κολακείαν αὐτὴν καλεῖ, ὁριζόμενος πολιτικῆς μορίου εἴδωλον τῆς δικαστικῆς, ἔτι δὲ καὶ τυραννίδος [72] ἀπὸ τῶν Πώλου λόγων, πρὸς δὲ τούτοις καὶ ἐμπειρίαν· καὶ ταῦτα μὲν περὶ τῆς τέχνης φασίν.

Ἀναγκαῖον δὲ καὶ [73] περὶ τούτου διαλαβεῖν, καὶ γνῶναι, καὶ πόσους τρόπους συνίσταται· οὕτω γὰρ μαθησόμεθα, εἰ ἁρμόττουσι τῇ τέχνῃ οἱ ὅροι· ἔστιν οὖν ὕλη, εἶδος, τέλος, ὄργανον· ἐὰν γὰρ τὰ τέσσαρα ταῦτα συνέλθῃ ἐν τῇ παραθέσει, παρόμοιά ἐστιν, εἰ δὲ μή, διαλλάττει, εἴπερ [74] ἓν τούτων φανῇ, ὥς ἐστιν ἐντεῦθεν μαθεῖν. Ἔστω Σωκράτους εἰκών, ἡ μὲν ἐν ξύλῳ, ἡ δὲ ἐν λίθῳ. Τὸ μὲν εἶδος ἓν καὶ ἡ μίμησις, τέλος ὁ Σωκράτης· ὄργανα πολλάκις τὰ αὐτά, σμίλη ἤ τι τοιοῦτον· ἡ μέντοι ὕλη διαλλάττει· καὶ ἐπὶ ἰατροῦ ἔστω, ὁ μὲν φαρμακός, ὁ δὲ χειρουργός· τούτοις τὸ [75] ὑποκείμενον οἱονεὶ ὕλη μία, τὰ σώματα, τὸ εἶδος ἓν οἱ [76] λόγοι, τὸ

---

69 τὰ Mon. om. 70 Mon. φασίν. 71 Mon. ἱππίφα. 72 Parr. τυραννίδα. Mon. τυραννίδος ἀπὸ τῶν πολυλόγων. 73 καὶ Par. 2. Mon. om. 74 Mon. εἰ παρ' ἕν. 75 τὸ Mon. om. 76 Par. 1. Mon. ἕνι. Par. 2. ἕν. sq. τὸ Par. 1. om. est in Par. 2. Mon.

τέλος ἀμφοτέρων ἡ [77] τῆς ὑγείας ζήτησις· ἀλλὰ τὰ ὄργανα διάφορα· ὁ μὲν γὰρ ἴσως τέμνων καὶ καίων, ὁ δὲ τῇ διαίτῃ χρώμενος θεραπεύει· καὶ ἁπλῶς εἰπεῖν, ἐὰν μηκέτι [78] τὰ τέσσαρα ταῦτα συνέλθῃ, οὐ σώζεται ἡ ὁμοίωσις. Ἐξετάσωμεν οὖν καθ' ἕκαστον ὅρον, εἰ δυνάμεθα πρὸς τὴν ῥητορικὴν ἁρμόσαι. πιθανῶς μέντοι ὁ λόγος προσέλθοι· [79] τὸν γὰρ ἀληθινὸν ὅρον εὐθὺς ἀποδώσομεν· οἱ τοίνυν λέγοντες [80] τὴν αὐτὴν ἐπιστήμην, λέγουσιν, ὅτι τῆς ἐπιστήμης ὕλη [81] ἐστὶν τὸ περὶ τῶν ὄντων, ᾗ ὄντα ἐστὶ, διαλέγεσθαι· εἶδος δὲ τῆς ἐπιστήμης τοὺς λόγους ποιεῖσθαι· οὐκοῦν καὶ ὁ ῥήτωρ οἶδε, περὶ ὧ διαλέγεται, καὶ περὶ τῶν προοιμίων καὶ τῶν λοιπῶν· τέλος τὸ ἀγαθόν· [83] ὄργανον ὁ λόγος αὐτὸς, ᾧ πείθε· ὅπερ καὶ ὁ ῥήτωρ ἔχει· τῆς δὲ διαλεκτικῆς ὕλη μὲν ὁ πιθανὸν ἐν πᾶσιν, εἶδος ἡ δύναμις, διὰ συλλογιμῶν γὰρ πρόεισι, τέλος ἡ πειθὼ, ὄργανα τὰ ἔνδοξα πρόωπα· παραπλησίως οὖν καὶ τὰ τῆς ῥητορικῆς· τῇ δὲ πολιτικῇ ὕλη μὲν τὰ πράγματα τὰ πολιτικὰ, εἶδος τὸ πάντων ὁμοίως ἐπιμελεῖσθαι, τέλος τὸ συμφέρον τὸ δίκαιον, τὸ καλὸν, ὄργανον οἱ κατὰ μέρος τεχνῖται· οἱ δὲ κακίαν λέγοντες καὶ σοφιστικήν φασιν, ὅτι τῇ σοφιστικῇ ὕλη τὸ περὶ πάντων δοκεῖν πιθανῶς διαλέγεσθαι, εἶδος τὸ [84] παλίμβολον καὶ ἄστατον, τέλος ὁ χρηματισμὸς, [85] ὄργανον ἡ ὁμωνυμία τῶν λέξεων καὶ τὰ παρειμένα· οὐκοῦν καὶ ὁ ῥήτωρ περὶ πάντων δοκεῖ πιθανῶς ποιεῖσθαι [86] τοὺς λόγους· εἶδος δὲ ἔχει καὶ τὸ μηδαμοῦ τοῖς αὐτοῖς ἐμμένειν· ἀμέλει εὑρίσκομεν τοὺς ῥήτορας, καὶ ἀπολογίας

---

77 Par. 1. οἱ. Mon. ὑγιείας. 78 Mon. μὴ κατά. 79 Par. 1. προσέλθω. 80 Mon. λέγουσι δὲ αὐτήν. 81 ὕλη ἐστὶν — ἐπιστήμης Mon. om. 82 τῶν Mon. om. 83 Mon. h. l. repetit: οὐκοῦν καὶ ὁ ῥήτωρ οἶδε περὶ ὧν διαλέγεται. 84 τὸ Mon. om. 85 Par. 1. χρ...ός. Par. 2. Mon. χρηματισμὸς. 86 Mon. τοὺς λ. ποιεῖσθαι.

καὶ κατηγορίας περὶ τῶν αὐτῶν ποιουμένους, ὡς καὶ ὁ Ἀντιφῶν ἔχει τὴν τετραλογίαν, [87] ὑπὲρ καὶ κατὰ καὶ πάλιν ὑπὲρ περὶ τῶν αὐτῶν [88] καὶ εἶδος τί· τέλος δὲ τὸν χρηματισμόν· ἀμέλει καὶ Δημοσθένης πλεῖστα λαβὼν τὴν ὑπὲρ τῶν Μεγαλοπολιτῶν συμβουλὴν ἐποιήσατο· ὄργανον δὲ καὶ αὐτὸς ἔχει τὴν ὁμωνυμίαν [89] τῶν λέξεων, ὥσπερ ἐπὶ τῶν σοφιστικῶν ἐκείνην· [90] κίονες ἦσαν ἐνταῦθα χθές; εἶτα λέγουσι, καὶ πῶς μὴ σήμερον ᾄδουσιν; [91] ἐπειδὴ γὰρ τὸ ἦσαν σημαίνει τὸ ἐμελῴδουν, σημαίνει καὶ τὸ ὑπῆρχον, ἐν τῷ τῆς ὁμωνυμίας ἐσοφίζοντο· ἐκ δὲ τῶν παρειμένων, ὥσπερ ἐν τῷ κατὰ Ἀριστοκράτους ἐκείνου [92] εἰπόντος, ἐάν τις ἀποκτείνῃ Χαρίδημον, καὶ σιωπήσαντος διὰ τὸ δῆλον, ὁ Δημοσθένης ὡς ἀναγκαῖα ἀπαιτεῖ, πότερον ἑκὼν ἢ ἄκων, δικαίως ἢ ἀδίκως· πάλιν ὕλη τῇ κολακείᾳ τὰ ἐξαπατώμενα πάθη· ὁρῶσα γάρ τινα περὶ ἀνδρείαν φιλότιμον, ἐντεῦθεν τὴν ἀπάτην ἐργάζεται· εἶδος τῇ κολακείᾳ [93] ἡ τῆς εὐνοίας προσποίησις, τέλος ὁ χρηματισμός, ὄργανον ἀπατηλὸς λόγος· οὐκοῦν καὶ τῇ ῥητορικῇ ὕλη μὲν ἂν εἴη τὰ πάθη τῶν πολιτῶν· εἶδος δὲ ἡ τῆς εὐνοίας προςποίησις· ἀμέλει ὁ Δημοσθένης ἀπαιτῶν αὐτῷ εὐνοεῖν [94] τοὺς δικαστάς, αὐτὸς δοκεῖ ἐκείνοις εὔνους εἶναι· οἱ δὲ τυραννικὴν λέγουσιν, ὅτι ὕλη τῷ τυράννῳ ἡ βλαπτομένη πόλις, [95] εἶδος δὲ ἡ παράνομος γνώμη, τέλος ἡ ἡδονή, ὄργανον οἱ [96] κατὰ μέρος πολῖται· διὰ γὰρ τούτων ἐκείνους τιμωρεῖται· οὐκοῦν καὶ τῷ ῥήτορι ὕλη ἡ τῶν πολιτῶν βλάβη, εἶδος

---

87 Mon. δευτερολογίαν. 88 Par. 1. ἀστῶν. Mon. Par. 2. αὐτῶν. Sqq. καὶ εἶδος τί Par. 2. om. 89 Mon. ὁμονομίαν. 90 Mon. ἐκείνων. 91 Mon. ἐμελῴδουν. marg. σημαίνει τὸ ἐμελ. 92 Par. 1. ἐκεῖνα. — contra Arist. p. 645. Mon. ὁ δι. marg. ὁ δῆμος. 93 τῇ κολακείᾳ ἡ τῆς εὐν. — — λόγος, οὐκοῦν καὶ Par. 1. om., recepi ex Par. 2. Mon. 94 Mon. εὐνοεῖν αὐτῷ. 95 Par. 1. πόλεις. 96 οἱ Mon. om.

ἡ [97] τῆς γνώμης κακία, τέλος ἡ τῶν ἔργων ἡδονή· ὄργανον ἡ δι' ἄλλων ἐπιβουλή· τῆς δὲ ἐμπειρίας οὐδὲν τὸ διαφέρον πρὸς τὴν ἐπιστήμην, ἢ τὸ εἶδος· ὁ μὲν γὰρ λόγῳ, ὁ δ' [98] ἐμπειρίᾳ πρὸς ἓν τέλος ἐπείγονται· καὶ ταῦτα μὲν οὕτως. Ἡμεῖς δὲ μικρὸν ἄνωθεν ἀναλαβόντες δείξομεν αὐτοὺς μηδὲν τῆς καθ' ἡμᾶς ῥητορικῆς εἰρηκότας. Τρεῖς τοίνυν [99] ῥητορικὰς ὑποτίθενται· μίαν μὲν τὴν ἀνωτάτω καὶ σύνδρομον τῇ φιλοσοφίᾳ· δευτέραν δὲ τὴν μέσην· τρίτην δὲ [1] τὴν κολακευτικήν· καὶ ἐζήτησεν Ἀριστοτέλης, διατί ἐδέησε μέσην εἶναι ῥητορικήν· καί φησιν, ὅτι τὸν δῆμον καὶ τοὺς δικαστὰς, ἐξ ἰδιωτῶν συγκειμένους, οὐ δυνατὸν τῇ πρώτῃ ἐπακολουθεῖν [2] καὶ ἐπιστημόνως τὰ λεγόμενα δέξασθαι, ὅθεν ἀνάγκη γέγονε, τὴν μέσην γενέσθαι· ἔπειτα ἡ δύναμις ἐφ' ἑκατέραν ῥέπει διὰ τὸ ἀναγκαῖον τῶν πραγμάτων, καὶ οἱ ταύτην μετιόντες ἄμφω ἐπίστανται καὶ τὰ βλάπτοντα καὶ τὰ λυσιτελοῦντα, ἀλλ' οὐχ ὅπως χρήσονται, καθάπερ ὁ ἰατρὸς οἶδε μὲν καὶ τὰ δηλητήρια καὶ τὰ ἀλεξιφάρμακα, οἶδε δὲ οὐχ ἵνα ποιῇ, ἀλλ' ἵνα γινώσκων φυλάξηται· καὶ ταῦτα μὲν οὕτως. οἱ δὲ περὶ τὸν Εὐαγόραν ὁρῶντες τοὺς μετιόντας ποικίλους ὄντας, καὶ οὐδὲ μιᾷ χρωμένους γνώμῃ, [3] παραπλησίως αὐτὴν διείλοντο, καὶ ἔφασαν εἶναι πέντε, ὡς φωνὴν εἰς διάφορα σημαινόμενα διελόντες. τὰ γὰρ διαιρούμενα ἢ ὡς γένος εἰς εἴδη διαιροῦνται, [4] ἢ ὡς ὅλον εἰς μέρη, ὡς ἂν εἴπω, τοῦ ἀνδριάντος τὸ μὲν πόδες, τὸ δὲ κεφαλή· ἢ ὡς εἶδος οὐσίας εἰς συμβεβηκότα· τῶν ἀνθρώπων ὁ μὲν λευκὸς, ὁ δὲ μέλας, καὶ τὰ ὅμοια· ἢ ὡς συμβεβηκότα εἰς οὐσίαν· ὡς ἂν εἴπω, τοῦ μὲν λευκοῦ τὸ μὲν κύκνος, [5]

---

97 ἡ Mon. om. 98 Mon. ὁ δέ. 99 Mon. τοίνυν εἶναι, et ἀνωτάτην. 1 δὲ Mon. om. 2 Mon. παρακολουθεῖν καὶ ἐπιστήμονος. 3 Mon. γνώσει. 4 Mon. διαιρεῖται. 5 Mon. κίκνος. Par. 1. κύκλος.

τὸ δὲ μάρμαρον· ἢ ὡς φωνὴ, εἰς διάφορα σημαινόμενα,[6] ὡς ἂν εἴπω, Αἴας Ὀϊλέως[7] καὶ Αἴας ὁ Τελαμώνιος· κατὰ ταύτην οὖν τὴν διαίρεσιν πέντε εἶπον εἶναι ῥητορικάς· τὴν μὲν σύνδρομον τῇ φιλοσοφίᾳ, ἣν ὡρίζοντο[8] ἐπιστήμην τοῦ εὖ λέγειν, ὅπερ οὐ δύναται κατὰ ῥητορικῆς ἁρμόζειν· εἰ μὲν γὰρ ἐπιστήμην εἶπε καταχρηστικῶς, οἱονεὶ τέχνην, τί μὴ καὶ τὰς ἄλλας τέχνας ἐπιστήμας ἐκάλεσε;[9] κἂν δῶμεν τοῦτ'[10] εἶναι, οὐδὲ οὕτως ὅρος κατὰ ῥητορικὴν ἂν λέγοιτο· οὐ περιέλαβε γὰρ τὰ τῇ[11] τέχνῃ συμβαίνοντα, καὶ γὰρ ἡ γραμματικὴ τέχνη ἐστὶ τοῦ εὖ λέγειν· εἰ δὲ κυρίως ἔλαβε τὴν ἐπιστήμην, πλείοσιν ἐνέπεσεν ἁμαρτήμασι· τῆς γὰρ ἐπιστήμης μία ἐστὶν ὁδὸς ἐπὶ τὴν ἀλήθειαν, οἷον γεωμέτραι μέλλοντες περὶ τριγώνων διδάσκειν, ἓν τέλος ἔχουσι καὶ μίαν ἀπόδειξιν τὴν εἰς τοῦτο, κἂν[12] πολλοί εἰσιν· οἱ δὲ ῥήτορες οὐ διὰ τῶν αὐτῶν ἄρχονται, οὔτ'[13] ἀλλήλοις, οὔτε ἑαυτοῖς, ἀλλὰ καὶ πολλάκις ἀλλήλοις ἐναντιοῦνται· ὥσπερ παρὰ Θουκυδίδῃ ἐν μὲν τῇ πρώτῃ ἱστορίᾳ ἐστὶ τῆς καταφρονήσεως μέμψις, „οὐ γὰρ δὴ[14] ἐπὶ τὴν πολλοὺς βλάψασαν καταφρόνησιν καταφεύξεσθε·“ ἐν ἑτέρῳ δὲ τρόπῳ ἐν τῇ τρίτῃ[15] ἱστορίᾳ φησὶν, „ὅτι δεῖ κατὰ τῶν πολεμίων ἐλθεῖν, οὐ φρονήματι μόνον, ἀλλὰ καὶ καταφρονήματι.“ οὐκοῦν οὐκ ἐπιστήμη. οἱ δὲ λέγοντες εἶναι πολιτικὴν,[16] ὕστερον γὰρ περὶ τῆς διαλεκτικῆς ἐροῦμεν, οὐδ' αὐτοὶ ἀληθῆ φασιν· εἰ γὰρ ἐπιστήμη ἐστὶ τοῦ εὖ πράττειν, ἐδείχθη δὲ μὴ δυναμένη[17]

---

6 Par. 1. σημαινομένη. Mon. σημαινόμενα. 7 Mon. Οἰλέος. sq. ὁ om. 8 Mon. ὁρίζονται. 9 Par. 1. ἐκάλεσαν, omisso ἐπιστήμας. corr. ex Mon. 10 Mon. τοῦτο. 11 τῇ ex Mon. recepi. 12 Mon. ἄν. 13 Mon. οὔτε ἀλλ', οὔθ' ἑ. 14 δὴ ex Mon. recepi. — Thuc. I. 122. 15 L. II. 62. idem error apud Planudam T. V. p. 220. 16 Mon. πολιτικά. 17 Mon. δυνάμει ἐπιστήμην.

ἐπιστήμη εἶναι ἡ ῥητορική, ἄλλοι λέγουσι τὴν ἐπὶ τὰ ἐναντία εὖ ἔχουσαν, ἣν καὶ Δημοσθένης καὶ Θεμιστοκλῆς μετήρχοντο· ἀμέλει Θεμιστοκλῆς ἐν νέοις μὲν ὢν πολλὴν ἐπεδείξατο τὴν ἀσέλγειαν, ἀνὴρ δὲ γενόμενος ἔδοξεν εἶναι προδότης καὶ χρήματα ὑπὸ τῶν Εὐβοέων κεκομικέναι· ἀλλὰ μὴν οὐδὲ διαλεκτικὴ εἶναι δύναται· τέσσαρα γάρ ἐστι ταῦτα, δι᾽ ὧν αἱ πίστεις γίνονται· συλλογισμός, ἐπαγωγή, ἐνθύμημα, παράδειγμα· ὁ [18] συλλογισμὸς ἀπὸ τῶν καθόλου τὰ κατὰ μέρος κατασκευάζει· οἷον πᾶσα προδοσία κακόν, προδότης Αἰσχίνης, οὐκοῦν ἐστι [19] καὶ Αἰσχίνης κακόν· ἐπαγωγὴ ἀπὸ τῶν [20] μερικῶν τὸ καθόλου· πᾶς ἄνθρωπος τὴν κάτω γένυν κινεῖ, καὶ ἵππος καὶ κάμηλος καὶ ὄνος, οὐκοῦν ἄρα πᾶν ζῶον τὴν κάτω γένυν κινεῖ· τοῦτο δὲ οὐ πάντως ἐστίν· ἀμέλει ὁ κροκόδειλος τὴν ἄνω γένυν κινεῖ· τὰ μὲν γὰρ καθόλου τῶν μερικῶν διϊκνεῖται, τὰ δὲ μερικὰ οὐ πάντως τῶν καθόλου· ταῦτα μὲν οὖν τὰ [21] δύο ἡ διαλεκτικὴ κέκτηται καὶ χρῆται αὐτοῖς, ἡ δὲ ῥητορικὴ τό τε ἐνθύμημα καὶ τὸ παράδειγμα. Ἐνθύμημα μὲν οὖν ἐστιν ἀτελὴς συλλογισμός, καὶ οὐκ ἔχων ἀπὸ τοῦ συμπεράσματος τὸ ἀναγκαῖον, ὥσπερ ἐκεῖνος· [22] „ὁ γάρ, οἷς ἂν ἐγὼ ληφθείην, ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ·„ οὐκέτι γὰρ ἐπήνεγκεν, ὥσπερ ἐν συμπεράσματι· οὐκοῦν ὁ Φίλιππος ταῦτα ποιῶν προδήλως ἡμῖν πολεμεῖ· παράδειγμα δὲ ἡ ἐκ τῶν προλαβόντων ὁμοίωσις, ὡς ἐν τῷ πρώτῳ Φιλιππικῷ· [23] „εἰ γὰρ ὅθεν ἥκομεν Εὐβοεῦσι βεβοηθηκότες·“ τετάρτη δὲ ἡ κολακευτική, ἣν Ἀριστογείτων καὶ οἱ περὶ αὐτὸν μετήρχοντο, ἐν μὲν δικαστηρίῳ συκοφαντικήν, ὅθεν τυραννίδα αὐτὴν ἔλεγον, ἐν δ᾽ ἐκ-

18 ὁ Mon. om. Paullo ante codd. *ἀλλὰ μέν*, quod correxi. 19 Mon. *ἕτεροι*. 20 Mon. *τῶν* om. 21 *τὰ* Mon. om. 22 Phil. p. 115. 23 Mon. *Φιλιππικῶν*. Ol. I. p. 11.

κλησίαις κολακικὴν ἐμπειρίαν, ἣν Δημάδης [24] μετήρχετο, ναύτης ὢν, ἐπιπηδήσας δὲ τῇ τέχνῃ, καὶ ἀλόγως αὐτὴν μετερχόμενος· καὶ οὗτοι μὲν οὕτως πρὸς [25] ἀπέχθειαν καὶ ἡδονὴν ὁρίζονται. Διονύσιος δὲ ἐπιγινόμενος ὁ Ἁλικαρνασεὺς, καὶ τῶν μὲν τὴν χάριν οὐκ ἀποδεξάμενος, τῶν δὲ τὴν λοιδορίαν μισήσας, ὅρον αὐτῇ τὸν οἰκεῖον ἀπέδωκεν, [26] εἰπών· ῥητορική ἐστι δύναμις τεχνικὴ πιθανοῦ λόγου ἐν πράγματι πολιτικῷ τέλος ἔχουσα τὸ [27] εὖ λέγειν. Ἐπειδὴ τοίνυν ἔγνωμεν περὶ τῆς ῥητορικῆς, ἀναγκαῖον ἐπὶ τούτοις μαθεῖν καὶ τὸν [28] τοῦ ῥήτορος λόγον· ἔργα οὖν ῥήτορος [29] τρία, νόησις, εὕρεσις, διάθεσις. Νόησις μὲν εἰς τέσσαρα διαιρεῖται, γνῶναί τε τὸ πρόβλημα, εἰ [30] πολιτικὸν ἢ μή· τῶν γὰρ προβλημάτων τὰ μέν ἐστί πολιτικὰ, τὰ δὲ φιλόσοφα, τὰ δὲ ἰατρικὰ, τὰ δὲ μέσα τούτων, ἃ πολιτικὴν μὲν ἔχει τὴν ζήτησιν, ὕλην δὲ ἢ [31] ἰατρικὴν ἢ φιλόσοφον· καὶ περὶ μὲν πολιτικῶν εὔδηλόν ἐστι, [32] τίνα φύσιν ἐπιδέχεται, τὰ δὲ ἰατρικὰ τοιαῦτά ἐστιν· οἷον διατί τὸ βρέφος ἓξ μὲν ὂν μηνῶν [33] οὐ ζῇ, ἑβδόμῳ δὲ γεννώμενον ἢ ἐννάτῳ ζῇ· φιλόσοφον [34] δὲ, εἰ ἡ ψυχὴ ἀθάνατος· τὰ δὲ μικτὰ, οἷον ἐγκύμονά τις ἔτυψε κατὰ γαστρὸς, καὶ κρίνεται φόνου. ἐνταῦθα γὰρ τὸ μὲν πλάσμα ἤγουν ἡ ζήτησις πολιτικὴ, ἡ δὲ ὕλη ἰατρική· ἐκ δὲ φιλοσοφίας μικτά· οἷον ζωγράφῳ φιλόσοφος δοὺς χρήματα, εἶπε τὸ κάλλιστον τῶν ζώων γράψαι· ὁ δὲ τὸν κύκλον [35] ἐποί-

---

24 Par. 1. Δημοσθένης. Mon. Δημάδης. 25 πρὸς ἀπέχθ. κ. ἡ. ὁρίζονται- Par 1. om., recepi ex Mon. 26 Mon. ἀποδίδωκεν. v. sq. πολιτικοῦ. 27 Par. 1. τοῦ. Mon. τό. an in Par. 2. τοῦ legatur, non liquet in loco exeso. 28 Mon. τοῦ ῥήτ. τὸν λ. 29 Mon. ῥητορείας. 30 εἰ Mon. om. 31 ἢ Mon. om. 32 ἐστὶ Mon. om. 33 Mon. μηνῶν ὄν. 34 Mon. φιλόσοφα. 35 Mon. κύκνον. paullo post. ἐντ. ζητητέον, εἰ ὁ κύκνος, omissis γὰρ et ζῶον.

ησε καὶ κρίνεται βλάβης· ἐνταῦθα γὰρ ζητητέον, εἰ ζῷον ὁ κύκλος, ὅπερ ἴδιον φιλοσοφίας· ἡ μέν τοι ζήτησις ἡ περὶ τῆς βλάβης πολιτική· ἐνταῦθα μέντοι δεῖ τὸν μελετῶντα τοῖς ἐπισταμένοις ἀνατιθέναι τὰς αἰτίας, ὡς καὶ ὁ Λυσίας ἐν τῷ περὶ ἀμβλώσεως, κρίνων φόνου τὸν [36] αἴτιον, βιάζεται ζῷον τὸ βρέφος ἀποδεικνύναι καὶ πανταχοῦ φησιν, ὥσπερ οἱ ἰατροὶ καὶ αἱ μαῖαι ἀπεφήναντο· καὶ ταῦτα μὲν οὖν τὰ προβλήματα· δεῖ δὲ νοῆσαι πρῶτον τὸν ῥήτορα καταμαθεῖν, εἰ συνέστηκεν, ἐνδέχεται γὰρ πολιτικὸν μὲν εἶναι, ἀσύστατον δέ· κατὰ δὲ τὴν νόησιν δεῖ καὶ τὸ εἶδος ἐπιγνῶναι, ἐφ' ὃ ἀνάγεται, ἢ δικανικὸν ἢ συμβουλευτικόν· τρίτον καὶ τὴν στάσιν, εἰς ἣν τὸ πρόβλημα ἀναφέρεται· μετὰ δὲ τὸ νοῆσαί ἐστιν εὑρεῖν· εὕρεσις δὲ εἰς δύο διαιρεῖται, εἰς ἐνθύμημα καὶ παράδειγμα· ὧν τὸ μὲν ἕτερον ἴδιον τοῦ ῥήτορος, τὸ δὲ παράδειγμα ἐκ τῶν παρ' ἑτέρων λαμβανόμενον [37] τὴν πίστιν ἐργάζεται· ἐνίοτε δὲ καὶ ἐναλλὰξ εὑρίσκεται ταῦτα· πῇ μὲν ὑποταττομένου τοῦ παραδείγματος τῷ ἐνθυμήματι, ὡς ἐν τῷ πρώτῳ Φιλιππικῷ· [38] μετὰ γὰρ τὸ δεῖξαι, ὅτι λυσιτελεῖ τοῖς Ἀθηναίοις ἡ τῶν Ὀλυνθίων σωτηρία, φησίν, „εἰ γὰρ ὅθ' [39] ἥκομεν Εὐβοεῦσι βεβοηθηκότες,“ ἀλλαχοῦ δὲ [40] μεταλλάξας εἶπεν· „ὅτι [41] ἀπηγγέλθη Φίλιππος τρίτον ἔτος τουτὶ Ἡραῖον τεῖχος πολιορκῶν,“ καὶ ἐπενεγκών, „ἦν [42] ὁ καιρὸς αὐτὸς αὐτοῖ“ καὶ τὰ λοιπά· δεῖ δὲ μὴ μόνον εὑρεῖν, ἀλλὰ καὶ ἑρμηνεῦσαι. Ἑρμηνείας δὲ ἀρεταὶ τέσσαρες· σαφήνεια, συντομία, πιθανότης, Ἑλληνικὴ λέξις· ἡ δὲ διάθεσις εἰς δύο διαιρεῖται, εἰς τάξιν καὶ οἰκονομίαν· τάξις μὲν, ὡς ἂν εἰ-

---

36 τὸν Mon. om. cfr. Speng. συναγ. τεχν. p. 137. 37 Mon. λαμβανομένων. 38 Mon. Φιλιππικῶν. Ol. I. p. 11. 39 Par. 1. ὅθεν. 40 δὲ Mon. om. 41 Ol. III. p. 29. ὅτ' ἄν. 42 ἦν Mon. om.

εἴπω· ὅτι ἐν τῇ πραγματικῇ πρῶτον μὲν τὸ δίκαιον, εἶτα τὸ συμφέρον, καὶ αὕτη μὲν ἡ τάξις· οἰκονομία δὲ ἡ πρὸς τὸ συμφέρον τῶν κεφαλαίων ἐναλλαγὴ, ὡς Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου, ἐπειδὴ κατὰ τὸ νόμιμον ἠσθένει, [43] ἔῤῥωτο τῷ δικαίῳ· προὔταξε μὲν τὸ δίκαιον, εἰς δύο διελών· εἶτα τὸ νόμιμον, καὶ μετ᾽ αὐτὸ πάλιν, τὸ δίκαιον· καὶ τῇ τοῦ δικαίου ἑκατέρωθεν βοηθείᾳ τὸ ἀσθενὲς τοῦ νομίμου κατέκρυψε· τινὲς δὲ καὶ δύο ἕτερα προσῆψαν τούτοις, μνήμην τε καὶ ὑπόκρισιν, ἅπερ φαμὲν μὴ εἶναι τοῦ ῥήτορος συστατικὰ, ἐπειδὴ μηδ᾽ ἐν μελέτῃ πέφυκε γίγνεσθαι, ἀλλὰ φύσεώς ἐστι πλεονεκτήματα. [44]

Ἑξῆς [45] ῥητέον περὶ τοῦ σκοποῦ τοῦ παρόντος συγγράμματος καὶ χρησίμου, καὶ συγγραφέως, καὶ γνησιότητος καὶ ἐπιγραφῆς, καὶ ἐπὶ ποῖον εἶδος τῆς ῥητορικῆς ἀνάγεται ὁ σκοπός. Σκοπὸς τοίνυν ἐστὶν αὐτῷ περὶ προτάσεων γενικῶν προβλημάτων· τὸ δὲ χρήσιμον ἐντεῦθεν σκοπητέον. Τῆς ῥητορικῆς τὸ μέν ἐστιν ἐξηγητικὸν, τὸ δὲ λεκτικὸν, οὐδέτερον οὖν τούτων εἰδέναι δυνατὸν ἀμύητον ὄντα τοῦ παρόντος συγγράμματος. Διελεῖν μὲν λόγον ἀρχαῖον χωρὶς τέχνης ἀδύνατον· εἰπεῖν δέ τι καινότερον ἐκ τῆς τέχνης πάλιν ἀδύνατον. Περὶ δὲ συγγραφέως οἱ μὲν λέγουσιν Ἑρμογένην τὸν [46] Ταρσέα συγγεγραφέναι, ὡς Φιλόστρατος ἱστορεῖ ἐν τῷ βίῳ τῶν σοφιστῶν· καί φησιν αὐτὸν γεγονότα ἐτῶν [47] πεντεκαίδεκα, φύσεως δυνάμει χρησάμενον, [48] ἐπὶ τὸ γράφειν ἐληλυθέναι· καὶ νέον μὲν ὄντα διὰ τὸ εὐφυὲς εἰς γνῶσιν Μάρκῳ [49] καταστῆναι τῷ βασιλεῖ, εἰς ἄνδρας δὲ ἐλθόν-

43 Mon. ἠσθένησεν. 44 Mon. πλεονέκτημα. 45 Par. 1. ἐξ ἧς. 46 Mon. τὸν συγγραφέα, ὡς Φιλ. ἱστορεῖ ἐν τοῖς βιβλίοις τῶν σοφιστῶν. L. II. 7. p. 577. Olear. cfr. Ald. p. 30. 47 ἐτῶν πεντ. Mon. om. 48 Mon. χρησάμενος. 49 Mon. Μάρκῳ.

τα τὴν τῶν λόγων δύναμιν ἀποβαλεῖν, ὑπ' οὐδεμιᾶς νόσου· ὡς δέ τινες τὴν αἰτίαν βούλονται λέγειν, φασὶν, ὅτι νέῳ μὲν [50] ὄντι τὸ θερμὸν πλεονάσαν τοσαύτην ἐνεποίησε περὶ τοὺς λόγους ἰσχὺν, ἐπὶ γῆρας δὲ ἥκοντι [51] τὸ θερμὸν ἀποσβεσθὲν συνεῖλε τοὺς λόγους, καὶ ἦν ἐκεῖθεν εὐκαταφρόνητος, ὅθεν οἱ τοῦτον ἐπιτωθάζειν βουλόμενοι γέροντα μὲν ἐν νέοις ἐκάλουν, ἐν δὲ γηράσκουσι παῖδα· καὶ ὅτι τούτου φασὶν εἶναι τὸ σύγγραμμα, πίστιν ἐπιτιθέασι ταύτην, ὡς πεποίηται αὐτῷ [52] ὁ περὶ τῶν ἰδεῶν· τῇ δ' αὐτῇ ἐπαγγελίᾳ ἐχρήσατο νῦν καὶ ἐνταῦθα· ἡμεῖς δ' [53] εἴτε τούτου ἐστὶν, εἴθ' ἑτέρου, ὡς φασί τινες, μηδὲν τῆς προσηγορίας διενεχθέντες, ὡς χρήσιμον τὸ σύγγραμμα δεχώμεθα. [54] Ἀκόλουθον ἐπὶ τούτοις, περὶ τάξεως τοῦ βιβλίου διαλαβεῖν, καὶ δῆλον, ὅτι προσηκούσης ἔτυχε τάξεως· τρεῖς γάρ εἰσιν [55] αἱ ῥητορικαὶ, ἃς καὶ αὐτὸς Ἑρμογένης συνεγράψατο, ἥ τε τῶν προγυμνασμάτων καὶ ἡ παροῦσα τῶν στάσεων καὶ ἡ περὶ τῶν ἰδεῶν· εἰ μὲν οὖν ἱκανὸν ἦν εὐθὺς ἐξ ἀρχῆς τῷ [56] περὶ στάσεων ἐγχειρῆσαι βιβλίῳ, εὔδαιμον ἦν· ἐπειδὴ δὲ τῶν ἀνθρώπων ἡ [57] φύσις οὐ πέφυκεν εὐθέως τῶν μεγάλων ἀντιλαμβάνεσθαι, ἀλλὰ δεῖ [58] πρότερον τοῖς βραχέσιν ἐμμελετήσασαν [59] οὕτως ἐπὶ τὸ μεῖζον ἐλθεῖν, ἀναγκαίως οἱ παλαιότεροι τῶν σοφιστῶν τὰ [60] προγυμνάσματα πρῶτον ἐδίδαξαν, εἶτα κατὰ δευτέραν τάξιν τὰς στάσεις, καὶ τρίτον τὸ περὶ τῶν ἰδεῶν. Μῦθος μὲν γὰρ καὶ χρεία καὶ γνώμη καὶ θέσις εἰς τὸ τῆς συμβουλῆς εἶδος ἀνάγεται· ἐγκώμιον δὲ καὶ ψόγος καὶ σύγκρισις εἰς τὸ πανηγυρικὸν, ἀνασκευὴ δὲ καὶ κοινὸς τόπος καὶ [61]

---

50 *μὲν* Par. 1. om., recepi ex Mon. 51 Mon. *ἥκοντι*. Par. 1. *ἥκοντα*. 52 Mon. *μὲν αὐτῷ*. 53 Mon. *δέ*. 54 Mon. *δεχόμεθα*. 55 Mon. *εἰσὶ ῥητ.* 56 Par. 1. *τῶν — βιβλίων*. Mon. *τῷ — βιβλίῳ*. 57 *ἡ* Mon. om. 58 Mon. *δή*. 59 Mon. *ἐζήτησαν*. 60 *τὰ* Mon. om. 61 *καὶ* Mon. om.

νόμου εἰσφορὰ εἰς τὸ δικανικόν· καὶ ἐζήτηται,[62] διατί τελείου ὄντος τοῦ ἐγκωμίου μετὰ τῶν προγυμνασμάτων τὴν τάξιν ἐποιήσαντο· καί φαμεν, ὅτι συναναμέμικται τοῦτο μετὰ τῶν δύο εἰδῶν, τοῦ τε συμβουλευτικοῦ καὶ τοῦ δικανικοῦ, ὥσπερ Δημοσθένης ἐποίησεν· ἐν μὲν συμβουλευτικῷ[63] τοὺς προγόνους ἐγκωμιάζων, καὶ τούτῳ τοὺς Ἀθηναίους[64] εἰς τόδε προτρεπόμενος, ἐν δὲ τῷ δικανικῷ τῷ περὶ τοῦ στεφάνου ἐγκώμια παραλαβὼν περὶ ἑαυτοῦ πολιτικὰ καὶ ψόγον Αἰσχίνου. Διὰ τοῦτο γοῦν ἐπειδὴ τούτοις συνεπλέκετο τὸ εἶδος ὡς μερικὸν, μετὰ τῶν προγυμνασμάτων ἐτάχθη. Εἰκότως οὖν κατὰ δευτέραν τάξιν τὸ περὶ στάσεων διδασκόμεθα, εἶτα μετὰ τοῦτο τὸ περὶ τῶν ἰδεῶν· πρότερον γὰρ δεῖ νοῆσαι καὶ διελεῖν τὰ κεφάλαια, καὶ οὕτως, ἅπερ ἐννοούμεθα, καὶ ἡ τέχνη παρέχει φράζειν· δεύτερα γάρ ἐστι τὰ συνιστῶντα τὸν λόγον, δύναμις καὶ ἡδονή· καὶ ἐν τοῖς ἐνθυμήμασι καὶ τοῖς κεφαλαίοις ἀναφαίνεται· ἡ δὲ ἡδονὴ διὰ τῆς φράσεως λαμβάνει τὴν ἰσχὺν τά τε σχήματα καὶ τὰ ἤθη, καὶ ὅσα ἕτερα τῆς ἡδονῆς ἐστι παραστατικά·[65] ζῶον γὰρ πρὸς τῶν παλαιῶν ὁ λόγος ὠνόμασται, καὶ ὃν τρόπον τὸ ζῶον ἐκ ψυχῆς συνέστηκε καὶ σώματος, οὕτως καὶ ὁ λόγος ἐκ ψυχῆς μὲν οἱονεὶ τῶν ἐνθυμημάτων ἐστὶν, ἐκ δὲ σώματος τῆς φράσεως· καὶ ταύτην μὲν ἀπείληφε τὴν τάξιν εἰκότως.

Περὶ δὲ ἐπιγραφῆς ἐκεῖνο λεκτέον, ὡς ἐπέγραψάν τινες Ἑρμογένους περὶ τέχνης ῥητορικῆς. ἁμαρτάνουσι δὲ οὗτοι τοῦ δέοντος· οὐ γὰρ περὶ πάσης ῥητορικῆς τέχνης πρόκειται ὁ σκοπός· αὐτίκα περὶ προοιμίων καὶ διηγήσεων καὶ τῶν ἄλλων ἕτεροι μὲν συνεγράψαντο, ὥσπερ Λολλιανὸς καὶ οἱ[66] περὶ τοῦτο καταγινόμενοι, Ἑρ-

62 Mon. ἐζήτησαν. 63 Par. 1. συμβουλῇ. Mon. συμβουλευτικῷ. 64 Mon. ἀνθρώπους ἐ. τ. προτρέπομεν. 65 Mon. παραστατ. Par. 1. περιστ. 66 οἱ Mon. om.

μογένης δὲ περὶ τούτων οὐδενὸς παραδίδωσιν. οἱ δὲ περὶ στάσεων ἐπιγράφοντες τὸν ἀληθῆ τοῦ τεχνογράφου σκοπὸν ἐποιήσαντο. Ἀλλ' ἐπειδὴ περὶ στάσεων ἐμνήσθημεν, ἀναγκαῖον καὶ τὰς περὶ [67] τούτων δόξας εἰπόντας τῶν ὁρισαμένων, εἶτα τὴν ἀντιλογίαν ποιησαμένους τὸν ἀληθέστερον ὅρον ἐκθέσθαι. τινὲς οὖν εἶπον, στάσιν εἶναι καὶ ἀμφισβήτησιν δύο [68] προσώπων περὶ τὸ ὡρισμένον πρᾶγμα· οὐχ ὑγιὴς δέ ἐστιν, [69] οὐ γὰρ ἔχει τὸ ἴδιον τῆς ῥητορικῆς· αὐτίκα [70] γοῦν καὶ γραμματικοὶ ἀμφισβητοῦσι καὶ ὡρισμένον ἔχουσι τὸ ζητούμενον· ἄλλοι δὲ οὕτως ὡρίσαντο· στάσις ἐστὶ τὸ ἐκ τῶν δύο προσώπων καὶ στάσεων συνιστάμενον· οὗτος δὲ ὁ ὅρος ἔοικε τοῦ ζητήματος εἶναι μᾶλλον ἢ τῆς στάσεως, ἄλλως τε οὐδὲ τὸ ἴδιον ἔχει τῆς ῥητορικῆς, συναπενήνεκται γὰρ τῷ πρώτῳ ὁρίσαντι· [71] ὁ δὲ ἀληθὴς οὗτός ἐστι· στάσις ἐστὶν ἀμφισβήτησις λογική, καθ' ἣν αἱ διαιρέσεις τῶν κεφαλαίων γίνονται εἰς πίστιν κομιζομένων· λογικὴ μὲν ἔνεστι τῷ ὅρῳ, ἐπειδὴ καὶ ἄλλαι πολλαὶ δι' ἔργων ἀμφισβητήσεις γίνονται, οἷον αἱ τῶν αὐλητῶν καὶ τῶν ὁμοίων, τὸ δὲ καθ' ἣν αἱ διαιρέσεις τῶν κεφαλαίων πρὸς ἀντιδιαστολὴν τοῦ προβλήματος· ἴδιον γὰρ τῶν στάσεων τὰ κεφάλαια τοῦ ῥήτορος· οἱ γὰρ φιλόσοφοι οὐκ οἴδασιν εἰς κεφάλαια τοὺς λόγους διαιρεῖν, ἀλλὰ τὸ ἀνυόμενον ἐκ τῶν λόγων καλοῦσι κεφάλαιον. [72]

Ὅτι πέντε μέρη τοῦ λόγου, παρά τισι δὲ τέσσαρα, προοίμιον, διήγημα, πίστεις, ἐπίλογοι· προστιθέασί τινες τήν τε ἔφοδον καὶ παρέκβασιν καὶ αὔξησιν ἢ καὶ ἀπὸ γνώμης· ὅτι οὐδέν ἐστι χαλεπώτερον, ἢ [1] γείτονος

---

67 Mon. παρὰ ταίτης. 68 Mon. δυοῖν. 69 Mon. οὗτος ἐστίν. 70 αὐτίκα γοῦν — τῆς ῥητορικῆς v. 14. Par. 1. om. 71 Par. 1. ὡρίσαντι. 72 Mon. 1. κεφάλαια. Desinit in his editio Spengelii.

1 ἢ Parr. om., recepi ex Dem. in Callicl. p. 1272.

πονηροῦ τυχεῖν· ὁ [2] γὰρ ἐπιθυμήσας τοῦ χωρίου πράγματά μοι παρέχει, καὶ ἀπὸ τῶν μορίων τῶν περιστάσεων προοίμιον γίνεται· μόρια δὲ περιστάσεων πρόσωπον, πρᾶγμα, χρόνος, τόπος, αἰτία, ὕλη· πρόσωπον, οἷον τριηράρχης· πρᾶγμα, εὐνοῶν τῇ πόλει· χρόνος, ἐπὶ τῶν Πελοποννησιακῶν· τόπος, ἐν ἱερομηνίᾳ κακῶς πεπρακταί φαμεν· τρόπος, ἢ διὰ σιδήρου, ἢ φαρμάκου· χαλεπὸν γὰρ ἐροῦμεν τὸν θάνατον τοῦτον τὸν τρόπον· ἀπὸ αἰτίας, προδότης ἦν οὗτος, ἐχθρὸς, ἐπίβουλος, μοιχός· ἀπὸ δὲ ὕλης, τῷ πλούτῳ καὶ τῇ ἐξουσίᾳ καθ' ἡμᾶν πόλεμον ἤρατο, καὶ ὅτι τὸ προοίμιον προθεραπεία, ὁ δὲ ἐπίλογος ἕνεκεν τοῦ παροξυνθῆναι τὸν δικαστήν· ἐν γὰρ τῷ προοιμίῳ τὸ πρᾶγμα μανθάνει· ὁπόταν τοίνυν γνῷ τὸ πρᾶγμα, δυνάμεθα αὐτὸν παροξύνειν, πρὸ δὲ τοῦ εἰδέναι ἀδύνατον παροξῦναι· καὶ ὅτι τὸ μὲν προοίμιον σαφὲς καὶ σύντομόν ἐστι, καὶ λέξιν μεταφορικὴν οὐκ ἔχον· ὁ δὲ ἐπίλογος σαφὴς μέν ἐστιν, οὔτε δὲ περιῆκται, οὔτε σύντομός ἐστι· δυνατὸν δὲ καὶ λέξει μεταφορικῇ χρήσασθαι, καὶ ὅτι τὸ προοίμιον ἐκ τοιούτων εἶναι χρὴ, ἐκ προτάσεως, ἐξ αἰτίας, ἥτις κατασκευὴ λέγεται, καὶ ἀνταποδόσεως καὶ συναγωγῆς, ἥτις βάσις λέγεται. Πρότασις μὲν οὖν ἐστι, καθ' ἣν προτάσσειν ποιούμεθα τοὺς λόγους, αἰτία δὲ, καθ' ἣν λέγομεν τοὺς λόγους, ἀπόδοσις δὲ, καθ' ἣν ἀποδιδόαμεν τὸν λόγον πρὸς τὰ προειρημένα, συναγωγὴ δὲ, καθ' ἣν πάντα τὰ ῥηθέντα συνάγομεν λόγῳ. Ἔστι δὲ πρόβλημα, οἷον ῥήτωρ ἐφυγαδεύθη· στασιασάσης [3] τῆς πόλεως λόγον ἔγραφε περὶ ὁμονοίας, ὡμονόησεν ἡ πόλις· γράφει τις καθελεῖν τὸν ῥήτορα· προτείνομεν γὰρ οὕτως· ἔδει μὲν μὴ τὴν ἀρχὴν ἐκεῖνον φυγῇ περιβληθῆναι τότε· ἔπειτα τὴν αἰτίαν λέγομεν· ὁ γὰρ λόγος βεβαίαν ἐποίησε τὴν εὔνοιαν αὐ-

2 Parr. οὐ γὰρ ἐ. τοῦ χωρισμοῦ. scripsi ὁ γὰρ — χωρίου.
3 Cod. 1. 2. στασίασις τῆς πολιτικῆς.

τοῦ· ταχέως εἰς τὴν πόλιν αὐτὸν δεξώμεθα· τὴν δὲ συναγωγὴν οὕτως· ἢ δεινὸν εἴη τὸν ἐχθρὸν ὡς εὐεργέτην τιμωρεῖσθαι.

Περὶ διηγήσεως. Ὅτι πιθανὴ γίνεται ἡ διήγησις, ὅταν μὴ μάχηται ἄλλοις τὰ τῆς πίστεως μόρια, οἷον Ἀριστείδης ὁ δίκαιος τοὺς φόρους τάξας κλοπῆς κρίνεται, μάχεται γὰρ τὸ πρόσωπον τῷ πράγματι· κατὰ δὲ τὴν αἰτίαν καὶ τὴν γνώμην ἡ διήγησις ἔχειν ὀφείλει, οἷον ἢ προδότης ἢ ἀνδροφόνος ἢ ἐπίβουλος, ἢ ἐκ προνοίας ἔβλαψεν, ἢ ἠδίκησεν· οὐ δεῖ γὰρ τὴν διήγησιν δίχα τῆς γνώμης εἶναι· πάλιν εἰ ἔχει μαχόμενα τὰ τῆς πίστεως μόρια. ἐν τῇ διηγήσει τοίνυν ὀφείλομεν καὶ τοῖς παρελθοῦσιν ὡς ἐνεστῶσι χρῆσθαι, οἷον φυγάδες πατρίδος πολεμουμένης ἐνίκησαν, γράφει τις αὐτοὺς κατιέναι· ἐν γὰρ τῇ διηγήσει λέγομεν οὕτως· ἆρα οὖν ἐκεῖνοι μνησικακοῦσι; πολλοῦ γε καὶ δεῖ· ἀντὶ γὰρ παρεληλυθότων καὶ τὰ ἐνεστῶτα εἴπομεν· γίνεται δὲ διήγησις καὶ παρεγκεκλιμένη κατὰ τὴν πτῶσιν γινομένη τὴν αἰτιατικήν, καὶ ἡ ἀπ᾽ εὐθείας κατὰ τὴν ὀνομαστικὴν πτῶσιν· καὶ ἵνα μὴ μακρολογῶμεν, ἥτις ἁρμόσει τῶν πέντε πτώσεων, ταύτῃ χρησόμεθα· πίστεις δέ εἰσιν αἱ προτάσεις τῶν κεφαλαίων, καὶ αἱ λύσεις· ἔντεχνοι μέν εἰσιν αἱ ἀπὸ τῶν εἰκότων λεγόμεναι, ἄτεχνοι δὲ αἱ ἀπὸ τῶν ἀγράφων γινωσκόμεναι· ἐπίλογον δὲ ποιεῖς, ὅταν παθητικὴ ἡ ὑπόθεσις ᾖ ἢ δικανικὴ ἢ πολιτικὴ ἢ μέση· μέσος δέ ἐστιν ἐπίλογος ὁ ἑκάτερον ἔχων τὸ πολιτικόν, τὸ ἀνθηρόν, τὸ εἰς οἶκτον ἐπαγόμενον τοὺς δικαστάς· χρώμεθα δὲ ἐν τῷ ἐπιλόγῳ ταῖς προσωποποιΐαις, ταῖς ἀποστροφαῖς, ταῖς παρεκβάσεσιν. Ὅτι ἡ ὑπόθεσις συνέστηκεν ταῦτα ἔχουσα τὰ τρία· αἴτιον, συνέχον, κρινόμενον· αἴτιον μὲν οὖν ἡ τοῦ κατηγόρου πρότασις, καθ᾽ ἣν ἐπιφέρει τὸ κρινόμενον, τὴν αἰτίαν, οἷον ἐφόνευσε· τὸ δὲ κρινόμενόν ἐστι τοῖς δικασταῖς, ἵνα ἀκούσαντες τοῦ αἰ-

τίου καὶ τοῦ συνέχοντος κρίνωσιν· εἰσὶ δὲ ὑποθέσεις αἱ μὲν πολιτικαὶ, αἱ δὲ παθητικαὶ, αἱ δὲ πανηγυρικαὶ, αἱ δὲ μέσαι· καὶ πολιτικαὶ μέν εἰσιν αἱ συνεστῶσαι δίχα πανηγύρεων, οἷον τὸν εὔπαιδα γέρας λαμβάνειν, τρεῖς ἔχων τις παῖδας πρὸς ἅπαξ ἠριστευκότας, ἕτερος ἕνα τρὶς[4] ἠριστευκότα, ἀμφισβητοῦσι περὶ τοῦ γέρως· παθητικαὶ δέ εἰσιν αἱ συνεστῶσαι ἔκ τινος συμφορᾶς, οἷον ἀποβαλοῦσά τις τρεῖς παῖδας ἀνήρτησεν ἑαυτήν· καθελὼν αὐτὴν ὁ ἀνὴρ κρίνεται κακώσεως. Ὅτι ἔργα ῥήτορός ἐστι ταῦτα, νοῆσαι, εὑρεῖν, τάξαι, οἰκονομῆσαι, φράσαι, μνημονεῦσαι, ὑποκρίνασθαι. Νοῆσαι μέν ἐστι καὶ ἰατροῦ, εὑρεῖν ταῦτα τὰ κεφάλαια, τάξαι δέ τι πρῶτον εἰπεῖν καί τι δεύτερον· οἰκονομῆσαι τὸ προσηκόντως εἰπεῖν, μηδὲν ἐναντίον ἐπ᾿ εὐθείας, ἢ κατὰ πατέρος, ἢ κατὰ πατρίδος, ἀλλὰ μετά τινος σχήματος καὶ εἴδους· φράσαι δὲ Ἑλληνικῇ τῇ φωνῇ, μνημονεῦσαι δὲ τὸ πάντα εἰπεῖν, μηδὲν παραλιμπάνοντα· ὑποκρίνασθαι τὰ σχήματα, ἤθη στρατηγοῦ, ῥήτορος, πατρὸς, ἀνδρὸς, γυναικός.

Περὶ στάσεων.

Τῶν στάσεων αἱ μέν εἰσι λογικαὶ, αἱ δὲ νομικαί· καὶ λογικαὶ μέν εἰσιν αἱ ἀνωτάτω τέσσαρες, στοχασμὸς, ὅρος, ἀντίληψις, ποιότης· νομικαὶ δὲ τέσσαρες· ῥητὸν καὶ διάνοια, ἀντινομία, συλλογισμὸς, ἀμφιβολία· αἱ μὲν οὖν ἄλλαι πᾶσαι στάσεις εἰσὶν εἴδη, ἡ δὲ ποιότης γένος· καὶ διαιρεῖται εἰς δύο, εἴς τε ἀντιληπτικὴν καὶ ἀντιθετικήν· τέμνεται δὲ εἰς πραγματικὴν καὶ δικαιολογικήν· ἡ μὲν πραγματικὴ εἶδος γίνεται, ἡ δὲ δικαιολογικὴ γένος· μενούσης δὲ τῆς ἀντιληπτικῆς ἐφ᾿ ἑαυτῆς ἡ ἀντιθετικὴ εἰς τέσσαρα διαιρεῖται, ἀντίστασιν, μετάστασιν, ἀντέγκλημα, συγγνώμην· ὑφαιρουμένων τοίνυν τῶν τριῶν γε-

4 Par. 1. τρεῖς.

νῶν τῆς τε ποιότητος καὶ δικαιολογικῆς καὶ τῆς ἀντιθετικῆς, στάσεις γίνονται πᾶσαι δεκατρεῖς· οἷον στοχασμὸς, ὅρος, ἀντίληψις, πραγματικὴ, μετάληψις, ἀντίστασις, ἀντέγκλημα, μετάστασις, συγγνώμη, ῥητὸν καὶ διάνοια, ἀντινομία, συλλογισμὸς, ἀμφιβολία· στάσις δὲ λέγεται παρὰ τὸ ἑκάτερον τῶν ἀγωνιζομένων ἵστασθαι, πρὸς ὃν νομίζει αἱρετόν. Τὰ ζητήματα τὰ μὲν ἐπ᾽ εὐθείας ἄγεται ἐν δικαστηρίῳ, τὰ δὲ ἐσχημάτισται. Γίνεται δὲ τὸ σχῆμα τριχῶς, κατὰ μεῖζον, κατὰ τὸ πλάγιον, κατὰ τὸ ἐναντίον. κατὰ μεῖζον μὲν οὖν, οἷον ἑάλω Δημοσθένης ἐπὶ τοῖς Ἁρπαλείοις χρήμασι, καὶ ὁ μὲν κατήγορος αὐτῷ τιμᾶται φυγῆς, ὁ δὲ ἀντιτιμᾶται αὐτῷ θανάτου, προςποιούμενος τὸ μεῖζον, ἵνα συγχωρηθῇ τὸ ἧττον, καὶ ὅπως ὀνειδίσῃ, ὅτι ὅλως αὐτοῦ κατεψηφίσαντο· κατὰ δὲ τὸ πλάγιον· νόμος, τὸν μαινόμενον φεύγειν· φήμης οὔσης, ὅτι σύνεστιν ὁ πατὴρ τῇ τοῦ υἱοῦ γυναικὶ, ἀξιοῖ ὁ παῖς ὡς μαινόμενος φεύγειν· καλεῖται δὲ καὶ κατ᾽ ἔμφασιν· ἐνταῦθα γὰρ τῷ μὲν δοκεῖν περὶ τῆς μανίας ὁ παῖς διαλέγεται· πλάγιον δὲ ἐμφαίνει τὴν τοῦ πατρὸς μοιχείαν, ὅτι τοὺς πολίτας ἐρυθριῶν οὐ φέρω τοῦ λοιποῦ πάθος. κατὰ δὲ τὸ ἐναντίον, οἷον νόμος, μὴ εἶναι προδότου γνώρισμα· τοὺς Θεμιστοκλέους γράφει τις παῖδας ἐξελαύνειν, οἱ δὲ ἀξιοῦσι καθαιρεθῆναι τὰ τείχη, ἃ Θεμιστοκλῆς ᾠκοδόμησεν· ἐνταῦθα γὰρ δεῖξαι βούλεται ἐκ τοῦ ἐναντίου, ὅτι οὐ προδότης ἦν· τὰ γὰρ ἐσχηματισμένα ἕτερον μὲν ἔχει τὸ κεκρυμμένον, ἕτερον δὲ τὸ φαινόμενον· γίνεται δὲ, ὅταν μετὰ παῤῥησίας μὴ δυνώμεθα ποιεῖσθαι τοὺς περὶ τοῦ προκειμένου πράγματος λόγους.

Περὶ κατασκευῆς λόγου ῥητορικοῦ.

Παντὸς λόγου μέρη ἐστὶ τέσσαρα, προοίμιον, διήγησις, ἥτις καὶ κατασκευὴ λέγεται, ἀγῶνες, ἐπίλογοι. Σημείωσαι δὲ, ὅτι τὰς ἀντιθέσεις καὶ τὰς λύσεις εἰς ἓν

συνάψας ἀγῶνας εἶπε, καὶ διὰ τοῦτο τὰ πέντε μέρη τέτταρά φησι· τοῦ γὰρ λόγου τὸ μὲν πραγματικόν ἐστι, τὸ δὲ παθητικόν· καὶ τὸ μὲν πραγματικὸν ἔχει διήγησιν καὶ ἀγῶνας· ἐν τούτοις γὰρ περὶ ζητήματος τῶν πραγμάτων ποιούμεθα τοὺς λόγους· τὸ δὲ παθητικὸν ἔχει τὰ προοίμια καὶ ἐπιλόγους. ἐν τούτοις γὰρ πάθος κινοῦμεν τοῖς ἀκροαταῖς· εὔνοιαν μὲν πρὸς ἡμᾶς, ὀργὴν δὲ κατὰ τῶν ἀντιδίκων. Τούτοις προστιθέασι πολλάκις οἱ ῥήτορες προσκατασκευὴν καὶ παρέκβασιν, ἣν καὶ προδιήγησιν ἔνιοι καλοῦσιν.

Ἀφορμαὶ λόγου ῥητορικῆς τρεῖς· ἐνθύμημα, παράδειγμα, παραβολή· ἐνθύμημα μὲν οὖν ἐστι λόγος, ἐν ᾧ τεθέντος τινὸς ὁμολογουμένου τοῖς ἀντιδίκοις ἕτερόν τι τῶν ἀμφισβητουμένων φαίνεται ἀποδεικνύμενον· οἷον, [1] „ὥσπερ οὖν διὰ τούτων αὐτῶν ἤρθη μέγας, οὕτω δεῖ καὶ διὰ τούτων αὐτῶν καθαιρεθῆναι πάλιν.“ Παραβολὴ δέ ἐστι λόγος πράγματος οὐ γεγονότος μὲν ὡρισμένως, ἐνδεχομένου δὲ γενέσθαι παράθεσις· „ἀλλὰ μὴν, [2] εἰ τοῦτο γενήσεται, δέδοικα μὴ τὸν αὐτὸν τρόπον, ὅνπερ οἱ δανειζόμενοι μικρὸν εὐπορήσαντες χρόνῳ ὕστερον καὶ τῶν ἀρχαίων ἀπέστησαν“. [3] Διαφέρει δὲ παράδειγμα παραβολῆς, ὅτι τὸ μὲν ἀπὸ γεγονότων λαμβάνεται πραγμάτων, ἡ δὲ καὶ ἐξ ἀορίστου καὶ ἐνδεχομένου γενέσθαι. Ἀνάγεται δὲ τὰ τρία ταῦτα ἐπὶ τὸ ἐγχείρημα· φαίνονται δὲ διὰ τῶν τριῶν, κόμματος, κώλου, περιόδου· κόμμα μὲν οὖν ἐστι φράσις βραχύ τι νόημα ἔχουσα· οἷον, „εἴ δὲ χρημάτων·“ [4] κῶλον δέ ἐστι φράσις, ἐν ᾗ μέρος νοήματος φαίνεται, οἷον, [5] „ἄλλως τε κἂν ὅμορον ἔχωσι.“ Περίοδος δέ ἐστι λόγος ποικίλος ἐξ εἰκότων ῥημάτων συγκείμενος, διάνοιαν αὐτοτελῆ δηλῶν, οἷον· [6] εἶτ᾽

1 Dem. Ol. II. p. 20. Paulo ante Codd. περιβολή, quod correxi. 2 Codd. ἄλλῳ μέν. Dem. Ol. I. p. 13. ἀλλὰ μήν. 3 Codd. ἀπέστησε. 4 Ol. I. p. 15. 5 Ol. I. p. 10. 6 Ol. I. p. 16.

οὐκ αἰσχύνεσθε, εἰ μηδ' ἃ πάθοιτε ἄν, εἰ δύναιτ' ἐκεῖνος, ποιῆσαι, ταῦτα καιρὸν ἔχοντες οὐ τολμήσετε;"

Ὅτι τρεῖς χαρακτῆρές εἰσι τῆς ῥητορικῆς, οἷον εἴδη φράσεως, αὐστηρὸν, μέσον, ἰσχνόν. Θουκυδίδης μὲν τὸν αὐστηρὸν ἐπετήδευσε χαρακτῆρα, καὶ Ἀντιφῶν ὁ ῥήτωρ, ὁ τούτου διδάσκαλος· τὸν δὲ μέσον Δημοσθένης, Ὑπερίδης, Δείναρχος, Λυκοῦργος· τὸν δὲ ἰσχνὸν Αἰσχίνης, Ἰσοκράτης, Λυσίας, Ἀνδοκίδης, Ἰσαῖος· οὗτοι γάρ εἰσιν οἱ ῥήτορες οἱ διαπραττόμενοι.

Ὅτι ἔργον ῥήτορος, προοιμιάσασθαι πρὸς πειθὼ, ἐπιλογίσασθαι πρὸς ὀργὴν καὶ ἔλεον.

Ὅτι πέντε μέρη τῆς ῥητορικῆς· εὕρεσις, οἰκονομία, φράσις, ἐπίκρισις καὶ διάταξις τῶν εὑρημάτων· καὶ μέρη τοῦ λόγου τέσσαρα· προοίμιον, διήγησις, ἐπίλογος, πίστις. Σημειωτέον δὲ, ὅτι τοὺς ἀγῶνας πίστεις ἐκάλεσεν, οὓς ἄλλοι ἀντιθέσεις καὶ λύσεις εἰπόντες, πέντε μέρη ἔχειν τὸν πολιτικὸν εἰρήκασι λόγον. τὸ προοίμιον προσεχεστέρους[7] ποιεῖ τοὺς ἀκούοντας, ἡ διήγησις διδάσκει τὸ πρᾶγμα, ἡ δὲ πίστις ἀνασκευάζει ἢ κατασκευάζει τὸ προκείμενον, ὁ δ' ἐπίλογος ἐπιῤῥώννυσι τοὺς ἀκούοντας πρὸς τοὺς λέγοντας. Ἐπιχείρημά ἐστι λόγος κατασκευαστικὸς τοῦ προτεθέντος ζητήματος.

Ὅτι ἑπτὰ τρόποι διηγήσεων· αὔξησις, μείωσις, παράλειψις, ἐπανάμνησις, ἐπὶ τὸ κρεῖττον φράσις, ἐνάργεια. γίνεται δὲ ἡδυτάτη, ἐὰν γνώμας ἀναμίξῃς, καὶ ἀρχαολογίαν εἴπῃς εὐκαίρως, ὡς ἡ παρ' Ὑπερίδῃ καὶ ἤθεσι καὶ πάθεσι ποικίλλεται.

Περὶ πίστεως.

Πίστις ἐστὶ λόγος κατασκευαστικὸς, ἄγων τὸν ἀκροατὴν εἰς συγκατάθεσιν· ἄτεχνος πίστις, μαρτυρία καὶ

---

7 Par. 1. προσχερεστ. scr. προσεχεστ.

νόμοι καὶ ψηφίσματα, συμβουλαὶ καὶ τὰ τοιαῦτα, ὅσα ἔγγραφα· ἔργον δὲ ῥήτορός ἐστιν ἐν ταῖς ἀτέχνοις πίστεσι, τὰ μὲν βοηθοῦντα αὐξῆσαι καὶ αὐτοῖς βοηθῆσαι, τὰ δὲ καθ' ἡμῶν σμικρῦναι, καὶ ὡς οὐκ ἀξιόπιστα διαβαλεῖν. Τί ἐστι παθητικὴ πίστις; τῷ πάθει τοῦ λέγοντος ἐπιφέρουσα τοῦ ζητουμένου τὴν πίστιν, οἷον, „ὡς γὰρ ἐμοῦ Φιλιππισμὸν κατηγορεῖ, ὦ γῆ καὶ θεοί.“ Ὅτι τόποι τῶν πίστεων οἱ γενικοὶ οὗτοι· ὅροι, διαίρεσις, παράθεσις, στοιχεῖα, περιοχαὶ, ὅμοιον, παρεχόμενον, μάχη, δύναμις, κρίσις. Ὅτι ὁ ἐπίλογος ἀνακεφαλαίωσιν ἔχει. Τέσσαρα δὲ εἴδη τῆς ἀνακεφαλαιώσεως, καθ' ὑπόθεσιν, κατὰ στάσιν, κατὰ ἐπιχείρημα, κατὰ τόπον. Ὅτι πρῶτα πάθη τέσσαρα, λύπη, φόβος, ἐπιθυμία, ἡδονή· ἐπιθυμία ἐστὶν ἄλογος ὄρεξις, ἡδονὴ δὲ ἄλογος ἔπαρσις· ἔργον δὲ ἐπιλόγου, ἢ προϋπάρχοντα πάθη αὐξῆσαι, ἢ ἐμποιῆσαι μὴ ὄντα· διαφέρει δὲ προοιμίου, ὅτι ἐκεῖ ἐμποιῆσαι πάθος δεῖ, ὧδε δὲ πρόσωπον αὐξῆσαι καὶ ἐπιῤῥῶσαι.

Περὶ κοινωνίας καὶ διαφορᾶς στάσεων.[1]

Ἴδιον στοχασμοῦ τὸ ἀνεύθυνον εἶναι τὸ πραττόμενον, σημεῖον δέ τινος γίνεσθαι ὑπευθύνου, ὅρου δὲ τὸ λείπειν τι οὐ προςτεθέντος, ἀσύστατον γενέσθαι[2] τὸ πρόβλημα· ἀντιλήψεως τὸ μὴ τῶν φύσει ἀδικημάτων εἶναι τὸ πραττόμενον, ἀλλ' ἔξωθεν ἐπιδείκνυσθαι· ἀντιστάσεως τὸ μὴ δεῖν[3] ζητεῖσθαι, ἀλλ' ὁμολογεῖν μὲν τὸν κατηγορούμενον τὸ ἀδίκημα, ἀντιτιθέναι δέ τι μεῖζον

---

1 Exstat hoc caput etiam in cod. Par. 1741. fol. 297. verso. ad calcem *Μαξίμου περὶ ἀλύτων ἀντιθέσεων.* 2 Cod. 1741. *γίνεσθαι.* 3 Par. 2. *μηδέν.* Cod. 1741. *τὸ μηδὲν ζητ. μήτε τὸ ἀδίκημα, μήτε τὸ εὐεργέτημα. ἀντεγκλήματος, τῷ μόνῳ τούτῳ τοὺς κατηγόρους ἀπολογεῖσθαι, κατηγορεῖν δὲ τοὺς ἀπολογουμένους. μεταστάσεως* etc.

εὐεργέτημα δι᾽ αὐτοῦ γενέσθαι· ἀντεγκλήματος τὸ λέγειν αὐτὸν τὸν πεπονθότα ἄξιον εἶναι τοῦ τοιάδε παθεῖν· μεταστάσεως, ὁμολογεῖν μὲν τὸ ἀδίκημα, ἕτερον δὲ ποιεῖν ὑπεύθυνον τῷ τολμήματι· συγγνώμης, ὁμολογεῖν μὲν τὸ ἀδίκημα πεποιηκέναι, φάσκειν δὲ συγγνώμης τυχεῖν· πραγματικῆς τὸ ζητήσεις ποιεῖσθαι περὶ μελλόντων πραγμάτων· ῥητοῦ καὶ διανοίας τὸ τὸν μὲν κατηγοροῦντα τῷ ῥητῷ χρῆσθαι, τὸν φεύγοντα δὲ τῇ διανοίᾳ· συλλογισμοῦ τὸ τῷ κειμένῳ ῥητῷ κεκωλυμένῳ ἄλλο ἔξωθεν κεκωλυμένον ὅμοιον ἐπιδεικνύναι· ἀντινομίας το παραβεβάσθαι ἤδη τινὰ νόμον· ἀμφιβολίας δὲ τὸ ἑνὶ ῥητῷ σημαίνειν πλείονα· μεταλήψεως τὸ περιστατικὸν ἔχειν πλέον τοῦ πεπραγμένου.[4]

Διαφέρει στοχασμὸς ὅρου, ὅτι ὁ μὲν στοχασμός οὐσίαν οὐ φαινομένην ζητεῖ, ὁ δὲ ὅρος οὐσίαν φαινομένην τι καλεῖν ζητεῖ· καὶ ὁ μὲν εἰ ἔστιν, ὁ δὲ, τί δεῖ καλεῖν· μεταλήψεως δὲ, ὅτι[5] *ἐν στοχασμῷ τὰ πεπραγμένα ἢ λελεγμένα ἄλλων τεκμήρια, ἐν δὲ τῇ μεταλήψει αἱ περιστάσεις αὐτῶν γίνονται, οὐδενὸς ἑτέρου τεκμήριον· ἀντιλήψεως δὲ, ὅτι ἐν μὲν ἀντιλήψει φανερὸν καὶ τέλειόν ἐστι τὸ ἀδίκημα· ζητοῦμεν δὲ, ποῖόν τί ἐστιν· ἐν δὲ στοχασμῷ ἀφανές ἐστι τὸ πρᾶγμα, περὶ οὗ ἡ ζήτησις· πραγματικῆς δὲ, ὅτι ἐν μὲν στοχασμῷ τὰ κατὰ τὸν ἐνεστῶτα χρόνον ζητοῦμεν, εἰ ἔστιν*[6] *ἁπλῶς, ἐνταῦθα δὲ αὐτὸ τοῦτο ζητοῦμεν, πότερον συμφέρον ἢ οὒ, πότερον καλὸν, ἢ οὔ. συγγνώμης δὲ, ὅτι ἐκεῖ μὲν τὸ ἀκούσιον ὁμολογεῖται, ἐνταῦθα δὲ αὐτὸ τοῦτο ζητοῦμεν, πότερον ἄκων, ἢ οὔ· πρὸς*[7] *δὲ τὰς νομικὰς, ὅτι ἐκεῖ μὲν ὁμολογουμένου τοῦ πράγματος περὶ τὸν νόμον ἐστὶν ἡ ζή-*

---

4 Cod. 1741. repetit h. l. titulum: *περὶ διαφορᾶς τῶν στάσεων.* 5 *ὅτι* Par. 1. et 2. om. recepi ex 1741. 6 Cod. 1741. *εἰ ἄρα ἁπλῶς, ἐνταῦθα δὲ, ὁποῖόν τί ἐστι, πότερον συμφ.* 7 *πρὸς τὰς νομικὰς δὲ* Cod. 1741.

τησις, ἐν δὲ τῷ στοχασμῷ τὸ ἐναντίον πρᾶγμα δῆλόν ἐστι· συλλογισμοῦ, ὅτι ἐν μὲν τῷ συλλογισμῷ ὁμολογούμενον εἶναι δεῖ τὸ πρᾶγμα, ἐν δὲ τῷ στοχασμῷ περὶ τοῦ, εἰ ἔστιν ἡ ζήτησις. Διαφέρει[8] ὅρος ἀντιλήψεως, ὅτι ἐν τῇ ἀντιλήψει τῶν πεπραγμένων, οὐ τῶν φύσει ἀδικημάτων ἐστὶν,[9] ἀλλὰ ζητεῖται, εἰ ἔστιν ἀδίκημα· ἐν δὲ τῷ ὅρῳ ὁμολογεῖται τὸ πεπραγμένον ἀδίκημα εἶναι· ῥητοῦ καὶ διανοίας, ὅτι ἐν μὲν τῷ ὅρῳ λείπει τῷ πράγματι, ἐν δὲ τῷ ῥητῷ καὶ τῇ διανοίᾳ περισσεύει· δεῖ γὰρ ἔξωθέν τι ἀντιφέρειν τῇ τοῦ νόμου φωνῇ· πρὸς τὰς λογικὰς δὲ, ὅτι ἐν[10] ἐκείναις τέλειον εἶναι τὸ πεπραγμένον δεῖ, ἐν τούτῳ δὲ ἀτελές· πρὸς τὰς νομικὰς δὲ, ὅτι ἐκεῖ μὲν περὶ τὸν νόμον ἡ ζήτησις, ἐν δὲ τῷ ὅρῳ ἀρχόμεθα ἀπὸ τοῦ νόμου· τὸ μέντοι ζήτημα οὐ περὶ τὸν νόμον, ἀλλὰ περὶ τὸ πρᾶγμα· συλλογισμοῦ δὲ, ὅτι ἐν ὅρῳ μὲν[11] τοῦ λείποντος προτεθέντος[12] τὸ ἀδίκημα σαφὲς, ἐν δὲ συλλογισμῷ οὐ δεῖται πρὸς συμπλήρωσιν τοῦ ζητήματος[13] ἕτερον θατέρου, ἀλλ' ἀρκεῖ μὲν καθ' ἑαυτό. Μεταλήψεως δὲ, ὅτι ἐν ὅρῳ μὲν πάντως ἕκαστος τὸ ἴδιον οἶδε[14] τοῦ ἐγκλήματος, ἐν δὲ τῇ μεταλήψει οὐ πάντως, πραγματικῆς δὲ, ὅτι αἱ μὲν ὁριστικαὶ ζητήσεις ἀπὸ τοῦ ῥητοῦ τὴν ζήτησιν ἔχουσιν, αἱ δὲ πραγματικαὶ ἀπὸ ῥητοῦ μὲν οὐδενὸς, ἀπ' αὐτῶν δὲ τῶν πραγμάτων.

Τίνι διαφέρει ἀντίληψις τῶν ἀντιθετικῶν; ὅτι ἐν μὲν ταῖς ἀντιθετικαῖς ὁμολογούμενον ἀδίκημα ἐκ τῆς περιστάσεως μᾶλλον ἀποδείκνυται, ἐν δὲ τῇ ἀντιλήψει τὸ ἐναντίον πρᾶγμα οὐ φύσει κακὸν ἐκ τῆς περιστάσεως

---

8 διαφέρει Cod. 1741. om. 9 ἐστὶν om. Par. 1. recepi ex 1741. et Par. 2. 10 ὅτι ἐν ἐκείναις — — — πρὸς τὰς νομικὰς δὲ Cod. 1741. om. 11 μὲν Par. 1. om. recepi ex 1741. et Par. 2. 12 Cod. 1741. προςτεθ. 13 Cod. 1741. ἀδικήματος. 14 Cod. 1741. οἶδεν.

ἀποδείκνυται καλὸν ἢ μή. πρὸς τὴν μετάστασιν δὲ, ὅτι ἐν μὲν τῇ ἀντιλήψει, ἐφ' οἷς ἐποίησε,[15] κρίνεται, ἐν δὲ τῇ μεταστάσει, ἐφ' οἷς οὐκ ἐποίησεν· ἀντεγκλήματος δὲ, ὅτι ἐκεῖ μὲν ἀπ' αὐτοῦ τοῦ πεπραγμένου τὸ ὄνομα τῷ ἐγκλήματι τίθεται, ἐν δὲ τῇ ἀντιλήψει ἄλλο ἐπ' ἄλλου κρίνεται· πρὸς τὰς νομικὰς δὲ τῷ μήτε ἀπὸ ῥητοῦ ἄρχεσθαι, μήτε ἐν ῥητοῖς τὴν ζήτησιν ἔχειν, ὥσπερ ἐκείνη.[16] πρὸς δὲ συλλογισμὸν, ὅτι ἐν τῇ ἀντιλήψει ὁ κατήγορος ὅλου τοῦ πράγματος κατηγορεῖ, ἐν δὲ τῷ συλλογισμῷ τὴν μὲν ἀρχὴν συγχωρεῖ, ἐγκαλεῖ δὲ τῷ τέλει. μεταλήψεως δὲ, ὅτι ἐν μὲν[17] ἀντιλήψει ἡ ἐξουσία ἐστὶ τοῦ ποιεῖν καὶ μὴ,[18] ἐν δὲ τῇ μεταλήψει ἀνάγκη τοῦ ποιεῖν. Τίνι διαφέρει ἀντίστασις πρὸς ἀντίληψιν; ὅτι ἐν μὲν τῇ ἀντιλήψει ζητοῦμεν, εἰ ἀδίκημά ἐστι μᾶλλον, ἐν δὲ τῇ ἀντιστάσει ζητοῦμεν οὐδέν· ἀμφότερα γὰρ ὡμολόγηται· ῥητοῦ δὲ[19] καὶ διανοίας, ὅτι ἐν μὲν τῇ ἀντιστάσει δύναται καὶ ἄνευ νόμου συστῆναι ζήτησις, ἐν δὲ τῷ[20] ῥητῷ καὶ διανοίᾳ πᾶσα ἀνάγκη νόμον τινὰ εἶναι· εἰ δὲ μὴ, ἀσύστατον ἂν εἴη τὸ ζήτημα· πρὸς ἀντέγκλημα, ὅτι ἐκεῖ μὲν τὸ πρᾶγμα ὁμολογῶν ὁ φεύγων οὐκ ἀδικεῖν ἔφη,[21] ἀλλ' ἄξιον εἶναι τὸν πεπονθότα τοῦ πάθους, ἐν δὲ τῇ ἀντιστάσει ἀδικεῖν μὲν ὁμολογεῖ καὶ αὐτὸς,[22] μεῖζον δὲ τὸ ἀγαθὸν ἀντιτίθησιν. Στοχασμοῦ δὲ, ὅτι ἐκεῖ μὲν ἄδηλόν[23] ἐστι τὸ πεγραγμένον, ἐνταῦθα δὲ τέλειον. Μεταλήψεως δὲ, ὅτι ἐν μὲν τῇ μεταλήψει τὸ πεπραγμένον καλόν ἐστι, καὶ αἰτιάσασθαι αὐτὸ οὐ δυνάμενοι με-

15 Cod. 1741. ἐποίησεν. 16 Par. 1. ἐκεῖνα. Par. 2. et 1741. ἐκείνη. 17 ὅτι ἐν μὲν ἀντιλήψει — — τίνι διαφ. ἀντίστασις πρὸς ἀντίληψιν Par. 1. om. recepi ex 1741. et Par. 2. 18 Par. 2. καὶ μὴ ποιεῖν. 19 δὲ Cod. om. recepi ex 1741. 20 τῷ 1741. om. 12 ἔφη Cod. om. recepi ex 1741. 22 Cod. 1741. καὶ αὐτοῦ γεγενῆσθαι τοῦ πάθους [deest ἄξιον] μεῖζον μέντοι τι ἀγαθόν. 23 Cod. 1741. ἄλλο.

ταλαμβάνομεν ἢ τρόπον ἢ τόπον ἢ χρόνον· ἐν δὲ τῇ ἀντιστάσει τὸ πεπραγμένον ἀδίκημα ἐνδείκνυμεν. Ἀντεγκλήματος δὲ, ὅτι ἐν μὲν τῇ ἀντιστάσει οὐδὲν ἔχει ὁ φεύγων τῷ πεπονθότι ἐγκαλεῖν, ἀλλ' ἑτέρῳ·[24] ἐν δὲ τῷ ἀντεγκλήματι αὐτῷ τῷ πεπονθότι ὁ φεύγων ἀντεγκαλεῖ.

Τί διαφέρει μετάστασις ἀντιστάσεως; ὅτι ἐν μὲν τῇ ἀντιστάσει αὐτὸς ὁ φεύγων φησὶ τὸ ἀδίκημα πεποιηκέναι, εὐεργεσίαν προσάγων μείζονα· ἐν δὲ τῇ μεταστάσει ἐφ' ἕτερον τὴν τιμωρίαν τίθησι.[25]

Τίνι διαφέρει συγγνώμη πρὸς ῥητὸν καὶ διάνοιαν; ὅτι ἐν ἐκείνῃ μὲν ἄκων ὁ ἀπολογούμενος ἥμαρτεν, ἐν δὲ τῷ ῥητῷ[26] καὶ τῇ διανοίᾳ ἑκὼν ἔπραξε· μεταστάσεως δὲ, ὅτι ἐκεῖ καὶ ποιήσας καὶ μὴ ποιήσας κρίνεται, ἐν δὲ τῇ συγγνώμῃ[27] πράξας μόνον. Ἀντέγκλημα μεταλήψεως, ὅτι ἐν μὲν τῷ ἀντεγκλήματι οἰκείᾳ γνώμῃ καὶ οὐκ ἀπὸ νόμου φαινόμεθα τὴν ἐξουσίαν ἔχοντες, ἐν δὲ τῇ μεταλήψει κατὰ νόμον πάντως τὸ πεπραγμένον εἴργασται· ῥητοῦ δὲ καὶ διανοίας μετάστασις, ὅτι ἐκεῖ ὁ μὲν κατήγορος ῥητῷ χρῆται, ὁ φεύγων δὲ τῇ διανοίᾳ· ἐν δὲ τῇ μεταστάσει τοὐναντίον ὁ μὲν κατήγορος ταῖς διανοίαις χρῆται, ὁ δὲ φεύγων τῷ ῥητῷ. συγγνώμης δὲ, ὅτι ἐν μὲν τῇ συγγνώμῃ τὰ μὲν ἑκούσια εἰς τὰ τῆς ψυχῆς πάθη ἀναφέρεται, τὰ δ' ἀκούσια εἰς ἀνάγκην μείζονα, ἐν δὲ τῷ ῥητῷ καὶ τῇ διανοίᾳ οὐκ ἔστι τὸ γεγονὸς ἅμα φύσει ἀδίκημα, ἀλλ' ἁπλῶς ἀπὸ τοῦ νόμου δοκεῖ κεκωλῦσθαι· συλλογισμοῦ δὲ, ὅτι ὁ συλλογισμὸς[28] ἐκ τοῦ φεύγοντός ἐστιν· ἐνταῦθα δὲ οὐχ ὥσπερ ἐν τῇ κατὰ συλλογισμὸν στάσει ἐκ τοῦ κατηγόρου. Τίνι διαφέρει συλλογισμὸς πρὸς μετάληψιν; ὅτι ἐν μὲν[29] τῇ μεταλήψει τῷ μεταληπτικῷ ὁ διώκων κέχρηται, ἐν δὲ τῷ

---

24 Par. 1. 2. ἕτερον 1741. ἑτέρῳ. 25 Cod. 1741. τίθησιν. 26 Cod. 1741. ῥυτῷ. 27 Cod. μὴ πράξας. Cod. 1741. μὴ om. 28 ὁ συλλογισμὸς Cod. om. recepi ex 1741. 29 μὲν 1741. om.

συλλογισμῷ ὁ φεύγων· ἀντιλήψεως δὲ, ὅτι τῇ ἐξουσίᾳ[30] οὐ καθόλου κέχρηται. Τί διαφέρει μετάληψις ἄγραφος ἐγγράφου; ὅτι ἐν μὲν τῇ ἐγγράφῳ περὶ αὐτὸ τὸ ῥητὸν τὴν ζήτησιν γίνεσθαι[31] συμβαίνει, ἰσχυριζομένων ἡμῶν, πρότερον[32] μὴ συγχωρεῖσθαι τὴν δίκην ἢ συγχωρεῖσθαι· ἐν δὲ τῇ ἀγράφῳ συγχωρήσας τῷ ἀδικήματι[33] ὁ κατήγορος καὶ συνδραμὼν τῷ ῥητῷ, ἓν τῶν[34] περὶ τὸ πρᾶγμα αἰτιᾶται. Συλλογισμὸς ἀμφιβολίας, ὅτι οὐδ᾽ ὀρθῶς φησιν, ὡς ἐκείνη, οὔτε τῷ αὐτῷ ἔχει ῥητῷ χρωμένους[35] τοὺς λέγοντας, ὅλῳ τε καὶ ὀρθῷ· συλλογισμῷ[36] μὲν γὰρ τῷ αὐτῷ χρῶνται ἀμφότεροι, ἀλλ᾽ οἱ μὲν ὀρθῶς, οἱ δὲ πλαγίως. Ἀντινομίας[37] δὲ, ὅτι ἐκείνη μὲν καὶ διπλῆ ἐστι καὶ ὀρθὴ, ὁ δὲ συλλογισμὸς πλάγιος καὶ ἁπλοῦς. Ἄγραφος πραγματικὴ[38] διαφέρει τῆς ἐγγράφου· ἄγραφοι μὲν, ὅπου ἀμφισβητοῦσί τινες περὶ ῥητοῦ, ἔγγραφοι δὲ, ὅπου ψηφίσματος γράφεται ἢ ποιᾶς δωρεᾶς αἴτησις. Ῥητοῦ καὶ διανοίας διαφέρει, ὅτι ὁ κατήγορος τῷ ῥητῷ χρῆται, τῇ διανοίᾳ δὲ ὁ φεύγων· ἐν δὲ τῇ πραγματικῇ κατηγορίᾳ οὐκ ἔστιν, ἀξίωσις δὲ καὶ εὐλογία καὶ ἐπικυρώσεως σκῆψις· καὶ περὶ μελλόντων ἡ ζήτησις ἐπὶ τῷ λαβεῖν τι ἢ καταπράξασθαι τὴν ἀξίωσιν ποιοῦμεν, καὶ ἄρχεται ἀπὸ πράγματος, ζητεῖται[39] δὲ περὶ ποιότητος πραγμάτων, καὶ χρῄζομεν τοῦ πατρὸς ἢ τοῦ δεσπότου προτέρου.

Λολλιανοῦ. Προοίμιόν ἐστι λόγος παρηγορίαν ἔχων τῶν πρὸς τὰ κεφάλαια παθῶν, προηγουμένως μὲν πρὸς ἀκρό-

---

30 Cod. 1741. τὴν ἐξουσίαν. 31 Cod. 1741. γίγνεσθαι. 32 Cod. πότερον. 1741. πρότερον. omisso sq. ἢ συγχωρεῖσθαι. 33 Cod. 1741. ἐγκλήματι. 34 τῶν Cod. 1741. om. 35 Cod. 1741. χρωμένη. 36 Cod. 1741. συλλογισμὸς γάρ. 37 ἀντινομίας δὲ — — πλάγιος καὶ ἁπλοῦς Par. 1. 2. om. recepi ex 1741. 38 Cod. πρακτική. 39 Cod. 1741. ζητεῖ.

ἀκρόασιν, ἤδη δὲ ὡς ἐκ περισσοῦ συνεφελκόμενος καὶ τὴν συγκατάθεσιν. Μέρη δὲ προοιμίου τρία· πρότασις, κατασκευὴ καὶ βάσις· ἀρεταὶ δὲ προοιμίου τρεῖς· εὔνοια, προσοχὴ, εὐμάθεια· ὅτι ἔργον ῥήτορος, ὥς φησι Θεοδέκτης, προοιμιάσασθαι πρὸς εὔνοιαν, διηγήσασθαι πρὸς πιθανότητα, πιστώσασθαι πρὸς πειθὼ, ἐπιλογίσασθαι πρὸς ὀργὴν ἢ ἔλεον. Ὅτι ὕλη ῥητορικῆς τὰ πολιτικὰ ζητήματα. Ὅτι κατὰ Πλάτωνα τρεῖς ῥητορικαὶ, πρώτη ἡ καὶ σύνδρομος τῇ φιλοσοφίᾳ, τὸ γὰρ ἀληθὲς πάντη ἐπιζητεῖ· διαφέρει δὲ, ὅτι ἡ μὲν τὸ καθολικὸν προαιρεῖται δίκαιον, ἡ δὲ τὸ ῥητορικόν· δευτέρα δὲ ἡ πρὸς ἑκάτερα ῥέπουσα, ἀληθές τε καὶ ψεῦδος, ἥτις καὶ διαιρεῖται τοῖς τρισὶν εἴδεσιν· τρίτη ἡ πρὸς ἡδονὴν ἀεὶ βλέπουσα καὶ κολακείαν· ὅτι ὁ Ἀριστοτέλης πρὸς τέτταρα εἶναι ταῦτα τὴν ῥητορικὴν χρήσιμόν φησι, καὶ τὰς δι᾽ αὐτῆς ἀποδείξεις· πρῶτον μὲν καὶ πρὸς τὴν τῶν ἀληθῶν καὶ δικαίων ἐν τοῖς πολιτικοῖς πράγμασιν ἐπίγνωσιν· ὡς καὶ Πλάτων ἐν Φαίδρῳ·[1] „ῥήτορος μὲν γὰρ ἔργον τὸ τὰ ἀληθῆ λέγειν, δικαστῶν δέ γε σωφρόνων τὸ τὰ δίκαια κρίνειν·“ δεύτερον δὲ τὸ διὰ τῶν κοινῶν καὶ πιθανῶν λόγων πείθειν τοὺς πολλοὺς, ἀλλὰ μὴ διὰ τῶν ἐπιστημονικῶν, ὧν ἐπαΐειν παντελῶς ἀδυνατοῦσι· τρίτον τὸ πρὸς τὰ ἀντικείμενα δύνασθαι διὰ λόγων βοηθεῖν ἑαυτοῖς· τέταρτον τὸ πᾶσαν ἐν λόγοις ἔχειν εὔνοιαν, ἥτις πρὸς πᾶσαν ἐπιστήμην χρήσιμος ἐκ ταύτης ἡμῖν γενήσεται.

Ἐκ τῶν Πλουτάρχου εἰς τὸν Πλάτωνος Γοργίαν. Ὅρος ῥητορικῆς κατὰ Γοργίαν·[2] ῥητορική ἐστι τέχνη περὶ λόγους τὸ κῦρος ἔχουσα, πειθοῦς δημιουργὸς ἐν πολιτικοῖς λόγοις περὶ παντὸς τοῦ προτεθέντος, πιστευτικῆς καὶ οὐ διδασκαλικῆς· εἶναι δὲ αὐτῆς τὴν πρα-

1 Imo Apologia, p. 18. a. 2 p. 450. e.

γματείαν ἰδίαν, μάλιστα περὶ δίκαια καὶ ἄδικα, ἀγαθά τε καὶ κακὰ, καλά τε καὶ αἰσχρά. Λόγος ἐστὶν ἐνδιάθετος ἔννοια ἀνθρωπίνη, καθ᾽ ἣν ἡμῖν προςγίνεται τὸ τί χρὴ λέγειν, ἢ τί χρὴ πράττειν· λόγος ἐστὶ προφορικὸς δήλωσις ἐννοίας ἀνθρώπου διὰ φωνῆς ἐνάρθρου.

Ὅρος ῥητορικῆς Σωπάτρου. Τί ἐστι ῥητορική; δύναμις λόγου ἐν πράγματι πολιτικῷ, τέλος ἔχουσα τὸ εὖ λέγειν· καὶ ἔστι δύναμις λογικὴ τὸ γένος, τὸ δὲ ἐν πράγματι πολιτικῷ διαφορὰ, τὸ δὲ τέλος ἔχουσα ἴδιον.

II.

ΠΡΟΛΕΓΟΜΕΝΑ ΤΩΝ ΣΤΑΣΕΩΝ.[1]

Εἰ καὶ δόξειεν ἄν τινι παράδοξον τὸ ἐπάγγελμα, παντὸς ὑπεξελεῖν ἁμαρτήματος τὸν τεχνικὸν, ὑπισχνούμεθα τοῦτο πάντως, Παύλου τοῦ πάνυ δόντος ἡμῖν ἀποφαίνεσθαι· οἱ μὲν γὰρ πολλοὶ τῶν σοφιστῶν οὐδὲ ὀνομάζειν ἀνέχονται ἄνδρα τοσοῦτον ἐν τέχνῃ διενεγκόντα· τῶν δὲ ὑπομνηματισάντων οἱ μὲν εἰκῇ τῶν ὀρθῶς ἐχόντων ἐπιλαμβάνονται, οἱ δὲ πρὸς τὰς κατηγορίας οὐκ ἀπηντήκασιν·[2] ἡμεῖς δὲ, εἴπερ τὰ τοῦ πάντα ἀρίστου δυνηθείημεν ἀκριβῶς ἀποσώζειν, τά τε κατηγορούμενα τοῦ δοκοῦντος ὑπολύσομεν ἁμαρτήματος, καὶ διασαφεῖν ἑξῆς ἅπαντα πειρασόμεθα. Ἡ μὲν οὖν ὑπόσχεσις οὕτω μεγάλη·[3] ἁπτώμεθα δὲ ἤδη τῆς ἁρμοττούσης τῷ βι-

1 Haec Prolegomena in Farnes. et Par. 2. scribae vitio cum Troili et Phoebammonis scriptis confusa sunt. 2 Codd. ἀπαντήκασιν. 3 Dem. Phil. I. p. 44. — sq. τῷ Farn. om.

βλίῳ προθεωρίας. Τοὺς μέλλοντας περὶ διαιρέσεως λέγειν ῥητορικῆς ὥσπερ ἐπὶ πασῶν τῶν τεχνῶν τρία ταῦτα δεῖ πρῶτον εἰδέναι· εἰ ἔστιν ὅλως ῥητορικὴ, δεύτερον δὲ, ὅ τί ποτέ ἐστιν· εἶτα ὁποῖόν τί ἐστι· καὶ πρῶτόν γε ζητητέον, εἰ ἔστιν. Οἱ μὲν οὖν βουλόμενοι ἐκβάλλειν τὴν ῥητορικὴν τοιούτῳ κέχρηνται λόγῳ· εἰ ἔστι ῥητορικὴ, φασὶν,[4] ἢ περὶ ἰδίων τινῶν διαλεχθήσεται, ἢ περὶ ἀλλοτρίων· καὶ εἰ μὲν περὶ ἰδίων, οὐκέτι περὶ πολιτικῶν· ὁρῶμεν γὰρ τὴν πολιτείαν ἐκ διαφόρων συνεστηκυῖαν τεχνῶν· εἰ δὲ περὶ ἀλλοτρίων, ἢ περὶ μιᾶς διαλεχθήσεται τέχνης, ἢ περὶ πασῶν. καὶ εἰ μὲν περὶ μιᾶς ἐρεῖ τις αὐτὴν διαλέγεσθαι, ψεύσεται, οὐ γὰρ ἔχει τις ἐπιδεῖξαι τέχνην τινὰ μίαν ἀφωρισμένην τῇ ῥητορικῇ, περὶ ἧς μόνης ὁ ῥήτωρ ἀεὶ διαλήψεται· εἰ δὲ περὶ πασῶν διαλέξεται τῶν τεχνῶν[5] ἡ ῥητορικὴ, δῆλον, ὅτι ὡς εἰδυῖα, ἢ ὡς ἀγνοοῦσα, καὶ εἰ μέν[6] ὡς ἀγνοοῖσα, οὐκ ἔστι τέχνη, οὐδὲ προσεκτέον αὐτῇ τὸ παρὰ τὸ τυχὸν φληναφούσῃ, εἰ δὲ ὡς εἰδυῖα, τῷ περιττῷ καὶ τῷ ἀδυνάτῳ ἐκβληθήσεται· τῷ μὲν ἀδυνάτῳ, ὅτι εὑρεθείη ἂν ἡ ῥητορικὴ οὐ μᾶλλον ῥητορικὴ, ἀλλὰ χαλκευτικὴ καὶ πᾶσαι τέχναι, ὡς εἰπεῖν τοῦτο ἀδύνατον· τῷ δὲ περιττῷ, ὅτι ἐξ ἀνάγκης[7] ἕτερόν τι τῶν δύο σημαίνει, ἢ τὴν ῥητορικὴν περιττὴν εἶναι τῶν ἄλλων οὐσῶν τεχνῶν, ἢ ἐκείνας εἶναι περιττὰς, ἐμπεριειλημμένας τῇ ῥητορικῇ· ἀλλὰ μὴν αἱ ἄλλαι πᾶσαι τέχναι οὐ περιτταὶ, λείπεται ἄρα, περιττὴν εἶναι τὴν ῥητορικήν· καὶ ταῦτα μὲν οἱ φάσκοντες εἶναι αὐτὴν περιττήν· οἱ δὲ ἀποδεικνύντες τὴν ὕπαρξιν αὐτῆς φασιν, ὅτι πᾶσα τέχνη λογική ἐστιν ἢ πρακτική· καὶ πρακτικαὶ μὲν τέχναι πολλαὶ, λογικαὶ δὲ δύο, ἥ τε διαλεκτικὴ καὶ ἡ ῥητορικὴ, κἀκ τούτου μὲν τέως ὁμολο-

4 Par. 1. εἰ ἔστι, φησὶ, ῥητ. Secutus sum Farn. 5 Farn. Par. 2. τεχνικῶν. Par. 1. τεχνῶν. 6 καὶ εἰ μὲν ὡς ἀγνοοῦσα Par 1. om. 7 Par. 1. ἕτερόν τι ἐξ ἀνάγκης.

γεῖται εἶναι ῥητορική. Ἔστι δὲ ἐκεῖνο φάναι πρὸς τοὺς λόγους τῶν ἀναιρούντων αὐτήν· περὶ παντὸς πράγματος τέχνην ἔχοντος ἢ ἐνεργείᾳ ἢ δυνάμει δύο λόγοι εἰσὶν, ὁ μὲν προτρεπτικὸς, ὁ δὲ μεθοδικός τε καὶ τεχνικός. Κατὰ τοίνυν τὸν προτρεπτικὸν ἡ ῥητορικὴ τέχνη πάσας ἐν ἑαυτῇ ἔχει τὰς τέχνας, κατὰ δὲ τὸν τεχνικὸν οὐδὲ μιᾷ κοινωνεῖ. Δύναται μὲν πείθειν περὶ πάσης τέχνης ὁ ῥήτωρ, οἷον ὅτι καλὸν ἡ χαλκευτικὴ, καὶ ἄριστον ἡ τεκτονική, πείσας δὲ ἀφίσταται, οὐ γὰρ αὐτῷ προσήκει διδάσκειν, πῶς ἂν τις τεκτήναιτο ἢ χαλκεύσειε· τοῦτο γὰρ χαλκευτικῆς ἂν εἴη καὶ τεκτονικῆς, ἀλλ᾽ ὅτι δεῖ χαλκεῦσαι πείσας [8] τὸ τῆς ῥητορικῆς ἴδιον ἐπλήρωσε, καὶ ταῦτα μὲν, ὅτι ἔστιν ἡ ῥητορική· τί δέ ἐστι καὶ ὁποῖόν τι, κατάδηλον ἅπασιν. Ἐπεὶ οὖν ἀποδέδεικται οὖσα ἡ ῥητορικὴ, ἄξιον εἰπεῖν, τίνι διαφέρει τῆς διαλεκτικῆς, κατὰ τὸ εἶδος αὐτῇ κοινωνοῦσα, λογικαὶ γὰρ ἄμφω. Διαφέρουσι δ᾽ οὖν ἀλλήλων, πρῶτον μὲν τῇ ὕλῃ, ὅτι ἡ μὲν ῥητορικὴ ὕλην ἔχει τὰ πολιτικὰ, ἡ δὲ διαλεκτικὴ περὶ πάντων διαλεχθήσεται· ἔπειτα τοῖς ὀργάνοις. [10] Τῆς μὲν γὰρ ῥητορικῆς ὄργανα τὸ ἐνθύμημα καὶ τὸ παράδειγμα, τῆς δὲ διαλεκτικῆς ὁ συλλογισμὸς καὶ ἡ ἐπαγωγή. Ἐνθύμημα μὲν οὖν ἐστι συλλογισμὸς ἀτελής· παράδειγμα δέ ἐστιν [11] ὅμοιον ὁμοίῳ, γνώριμον ἀγνοουμέ-

---

8 Farn. πείσας δέ. Par. 1. δὲ om. 9 Partem sequentium usque ad p. 39. v. 21. anonymus auctor commentarii, qui in codd. Monn. 376. [A.] et 123. [B.] continetur, in Prolegomena sua recepit: „Ἰστέον, ὅτι δύο εἰσὶν λογικαὶ τέχναι, ἥ τε διαλεκτικὴ καὶ ῥητορική· ἄμφω δὲ διαφέρουσιν ἀλλήλων, πρῶτον μὲν κ. τ. λ. 10 Sequitur in Farn. et Par. 2. πράττομεν δὲ τὸ συμβουλευτικὸν ἐκ τοιαύτης αἰτίας usque ad vv. τῷ δὲ λογικῷ τὸ συμβουλευτικὸν, quae pertinent ad finem προλεγομένων Troili. Troilo annectunt ultimam partem Phoebammonis, Phoebammoni partem sequentem horum εἰς τὰς στάσεις προλεγομένων. 11

νῳ· καὶ πάλιν, συλλογισμός ἐστι λόγος, [12] ἐν ᾧ τεθέντων τινῶν ἕτερον ἐξ ἀνάγκης συμβαίνει παρὰ [13] τὰ προκείμενα τῷ ταῦτα οὕτως ἔχειν· ἐπαγωγὴ δέ ἐστι μέθοδος ἐκ τῶν κατὰ μέρος τῶν καθόλου πιστωτική· ἔχει δὲ διαφορὰν τὸ μὲν ἐνθύμημα πρὸς τὸν συλλογισμὸν, ὅτι ὁ μὲν συλλογισμὸς πάντως τὸ ἐλάχιστον ἐκ δύο προτάσεών ἐστι καὶ συμπεράσματος, τὸ δὲ ἐνθύμημα ἐκ μιᾶς προτάσεως μόνης· τὴν δὲ ἑτέραν τῶν προτάσεων καταλείπει ὁ ῥήτωρ τῷ ἀκροατῇ, ἵνα δοκῇ ὑφ᾽ ἑαυτοῦ πείθεσθαι, καὶ μὴ ὑπὸ τοῦ λόγου βιάζεσθαι· ἢ ὅταν ᾖ ἀσαφὲς τὸ ἐνθύμημα, τὰς μὲν δύο προτάσεις παραλαμβάνει, οὐκέτι δὲ τὸ συμπέρασμα ἐπάγει, δι᾽ ὃν προείπομεν λόγον· ἡ δ᾽ [14] ἐπαγωγὴ τοῦ παραδείγματος διαφέρει, ᾗ [15] τὸ μὲν παράδειγμα ἐκ τῶν μερικῶν τὰ μερικὰ πιστοῦται, ἡ δὲ ἐπαγωγὴ ἐκ τῶν μερικῶν τὰ καθόλου· ἔτι διαφέρουσι [16] καὶ τῷ τέλει. Ἡ ῥητορικὴ τέλος ἔχει τὸ πείθειν, ἡ διαλεκτικὴ τὸ βιάζεσθαι, ὡς δείκνυσι Πλάτων ἐν τῷ Γοργίᾳ· [17] „οὐκ οἶδ᾽ ὅντινά [18] μοι δοκεῖς τρόπον εὖ λέγειν, ὦ Σώκρατες, πεπονθὼς [19] δὲ τῶν πολλῶν πάθος οὐ πάνυ σοι πείθομαι·“ Τετάρτη διαφορὰ ἡ ἀπὸ τοῦ τόπου· ὁ μὲν γὰρ ῥήτωρ τρισὶν ἐμπεριώρισται τόποις· δικαστηρίῳ, ἐκκλησίᾳ, [20] βουλευτηρίῳ· τὰ γὰρ ἐκ περιστάσεως καὶ ἐξ ἀνάγκης γινόμενα οὐ παραδεκτέον, οἷον εἰ συμβαίη, [21] πλέοντά τινα δικάσασθαι καὶ ῥητορεύειν ἐπὶ [22] νεώς· ὁ [23] δὲ διαλεκτικὸς παντα-

---

ἐστὶν Monn. om. 12 λόγος Monn. om. 13 Parr. περί. Mon.
ε ὶ
A. παρά. Mon. B. παρά. tum Parr. τό. Monn. τῷ. 14 Monn. δέ. 15 Monn. ὅτι. 16 Monn. διαφέρει. 17 c. 69. p. 513. c. 18 Mon. A. οἰδόντινά μοι. 19 Monn. πέπονθα. 20 Monn. ἐγκλησίᾳ, sequente brevi lacuna, per quam omittunt βουλευτηρίῳ. 21 Monn. συνέβη. 22 ἐπὶ Par. 1. Monn. om., recepi ex Par. 2. 23 Mon. ἡ δὲ διαλεκτική.

χοῦ ἐρεῖ. Τινὲς δὲ [24] προςτιθέασι καὶ ἄλλας δύο διαφοράς· τήν τε ἀπὸ τῆς ἀπαγγελίας, καὶ ἀπὸ τοῦ σχήματος· ἀπὸ μὲν τῆς ἀπαγγελίας, ὅτι ἡ μὲν ῥητορικὴ ἀποτεταμένως λέγεται, ἡ δὲ διαλεκτικὴ κατὰ πεῦσιν [25] καὶ ἀπόκρισιν· [26] Διελέγχονται δὲ οὗτοι ἐκ τοῦ νῦν ἐπικρατοῦντος ἔθους τῆς ῥητορικῆς καὶ πάλαι, ἴσως παρ' ἐνίοις κεκρατηκότος. Τῷ σχήματι δέ φησιν αὐτὰς διαφέρειν ἀλλήλων, ὅτι ὁ μὲν ῥήτωρ τῇδε κἀκεῖσε τὴν χεῖρα μεταφέρων ῥητορεύει, ὁ δὲ διαλεκτικὸς συνεσταλμένην ἔχων διαλεχθήσεται. Πιστοῦται δὲ τοῦτο, ἐξ ὧν Αἰσχίνης φησί· [27] „τοῦτο δέ ἐστιν ὡς ὑπόμνημα καὶ μίμημα τοῦ Σόλωνος σχήματος, ὃν τρόπον ἔχων αὐτὸς διελέγετο τῷ δήμῳ τῶν Ἀθηναίων·" λέγει δὲ, ὅτι πάλαι κρατοῦντος τοῦ ἔνδον ἔχειν τὴν χεῖρα ἐν τῷ ῥητορεύειν νῦν τοὐναντίον ἐπικρατεῖ· τοῦτο οὖν, φασὶν, οἶδεν Αἰσχίνης τοῖς ῥήτορσιν παρεπόμενον· ὁ δὲ τοιοῦτος ἂν ἐξελεγχθείη λόγος ἐκ τοῦ παρὰ τῷ Δημοσθένει ἐν [28] τῷ ὑπὲρ Κτησιφῶντος εἰρημένου, „εἰ δευρὶ τὴν χεῖρα, ἀλλὰ μὴ δευρὶ μετήνεγκε", [29] σημαίνοντος τοῦ ῥήτορος, ὅτι οὐδὲν διαφέρει, κἄν τε κινῇ τις τὴν χεῖρα, κἄν τε μὴ τοῦτο ποιῇ· [30] Ἐπεὶ οὖν εἴρηται, τίσι διαφέρει ἡ ῥητορικὴ

---

24 δὲ Monn. om. 25 Mon. A. καταπεῦσιν. 26 Sequitur in Monn. ἀπὸ δὲ τοῦ σχήματος, ὅτι ὁ ῥήτωρ, τῇδε κἀκεῖσε κ. τ. λ, usque ad διαλεχθήσεται; tum: Διελέγχονται δὲ — — — ἐνίοις κεκρατηκότος, ἐκ τοῦ παρὰ τῷ Δημοσθένει ἐκ τῶν ὑπὲρ Κτησιφῶντος εἰρημένων· εἰ δευρὶ τὴν χεῖρα, ἀλλὰ μὴ δευρὶ μετήνεγκε· σημαίνοντος τοῦ ῥήτορος, ὅτι οὐδὲν διαφέρει, κἄν τε κινῇ τις τὴν χεῖρα, κἄν τε μὴ τοῦτο ποιῇ. Λέγει καὶ Αἰσχίνης που, ὅτι πάλαι κρατοῦντος τοῦ ἔνδον ἔχειν τὴν χεῖρα ἐν τῷ ῥητορεύειν νῦν τοὐναντίον ἐπικρατεῖ. Ἰστέον, ὅτι πέντε εἰσὶ ῥητορικαὶ ὁμ. 27 contr. Timarch. p. 258. Bekk. 28 Par. 1. ἐκ τό. Par. 2. ἐν τῷ. 29 Dem. pro cor. p. 305. παρήνεγκα. tum Parr. σημαίνει. correxi ex Monn. 30 Par. 1. ποιεῖ.

τῆς διαλεκτικῆς, ἀναγκαῖον εἰπεῖν, περὶ ποίας ῥητορικῆς ὁ λόγος πρόκειται, ὅπως μὴ ἐκ τῆς ὁμωνυμίας πλανώμενοι τοῖς ἐκβάλλουσιν αὐτὴν πειθώμεθα, ἢ ἄνευ λόγου καταφρονῶμεν αὐτῶν. Πέντε τοίνυν εἰσὶ ῥητορικαὶ, ὁμωνύμως λεγόμεναι· καὶ ἡ μέν ἐστιν ἀληθὴς, ἥτις καὶ τοῖς φιλοσόφοις ἀπονενέμηται, ἡ δὲ ψευδὴς, ᾗ καὶ συκοφαντικὴ λέγεται· ταύτῃ καὶ Ἀριστογείτων ἐχρῆτο, καὶ ταύτην διαβάλλουσι Πλάτων καὶ Δημοσθένης· μέση [31] δὲ τούτων ἡ πιθανὴ, τὰ ἐξ ἀμφοτέρων θηρεύουσα· διαιρεῖται δὲ αὕτη εἰς τρία, εἴς τε τὴν φυσικὴν, [32] ᾗ καὶ οἱ ἰδιῶται χρῶνται, πείθειν περὶ ὧν βούλονται σπουδάζοντες· ταύτην δέ τινες τὴν αὐτήν φασιν εἶναι τῇ ἀληθεῖ· ὅ τε γὰρ κατὰ φύσιν τὰ πράγματα διεξιὼν τἀληθῆ λέγει, καὶ ὁ τἀληθῆ λέγων κατὰ φύσιν [33] τὰ πράγματα διεξέρχεται· οὐκ ἔστι δὲ τοῦτο· ἡ μὲν γὰρ ἀεὶ ἐξακριβοῦσα [34] σπεύδει πάντα ἀληθῆ λέγειν, καὶ κέχρηται τάξει τινὶ καὶ τέχνῃ· ἡ δὲ ὡς ἂν τύχῃ τὰ παρατυχόντα, ἡ φυσικὴ, ἀποφαίνεται, καὶ πολλάκις ψεύδεσιν ἀντὶ ἀληθῶν χρήσεται. Ἐμπειρικὴ δέ ἐστιν ἡ ἐκ μελέτης καὶ τριβῆς μόνης κατορθουμένη, ᾗ καὶ οἱ ἥρωες ἐχρῶντο· τοῦτο γάρ πού φησιν ὁ ποιητής.

Μύθων τε ῥητῆρ᾽ ἔμεναι, [35] πρηκτῆρά τε ἔργων.

Τεχνικὴ δὲ ἡ καὶ τὰς αἰτίας, ὧν λέγει, ἀποδιδόναι ἐπισταμένη, περὶ ἧς νῦν ἡμῖν [36] πρόκειται λέγειν. Ἀναγκαῖον δὲ μετὰ τὰ εἰρημένα καὶ τὸν βίον τοῦ τεχνογράφου διεξελθεῖν. Γέγονε [37] μὲν γὰρ κατὰ τὰς ἡμέρας Μάρκου τοῦ βασιλέως καὶ Ἀριστείδου τοῦ ῥήτορος· ἦν

---

31 Monn. μετά. 32 Monn. add. τὴν ἐμπειρικὴν, καὶ τὴν τεχνικήν. καὶ φυσικὴ μέν ἐστιν, ᾗ καὶ ἰδιῶται χρ. 33 Mon. A. καταφύσιν. tum B. διέρχεται. 34 Mon. A. ἐξ ἀκριβοῦσα. 35 Par. 1. Monn. ἔμμεναι, πρηκτῆρα τ᾽ ἔργ. in Par. 2. ἔμεναι πρηκτῆρα exesa sunt. — Il. ι. 443. 36 ἡμῖν Mon. A. om. 37 Par. 1. γεγονώς.

δὲ ἐκ Ταρσοῦ· πόλις δὲ αὕτη τῆς Κιλικίας, ἔνθα καὶ πρῶτον ἐπαίδευσεν. Διαβὰς δὲ τὴν Ἀσίαν κἀκεῖ παιδεύων τοσοῦτον ἐθαυμάσθη, ὥς καὶ τὸν Μάρκον φοιτῶντα συνεχῶς παρὰ τὸ διδασκαλεῖον ἀκούειν αὐτοῦ· πρὸς ὅν φασι καὶ τὸν Ἑρμογένην τοιοῦτο εἰπεῖν· „ἥκω σοι βασιλεῦ ῥήτωρ παιδαγωγοῦ ἔτι δεόμενος.“ Ἑπτακαίδεκα μὲν γὰρ ἐτῶν γεγονὼς γράφει τὸ προκείμενον βιβλίον· εἰς τρίτον δὲ καὶ εἰκοστὸν προελθὼν [38] τὸ περὶ ἰδεῶν ἐξέδωκε σύνταγμα, ἐν δὲ τῷ πέμπτῳ καὶ εἰκοστῷ ἐξελάθετο, ὥστε καὶ λέγεται ἐπειπεῖν αὐτῷ τοῦτο τοὺς ἀντιτέχνους. „Ἑρμογένης, ἐν παισὶ μὲν γέρων, ἐν δὲ γέρουσι παῖς.“ Ἐπὶ παντὸς δὲ βιβλίου, καὶ μάλιστα τεχνικοῦ, δεῖ τὰ ἓξ ταῦτα ζητεῖν, τίς ὁ σκοπὸς, τί τὸ χρήσιμον, τίς ἡ ἐπιγραφὴ, εἰ τοῦ παλαιοῦ γνήσιον τὸ βιβλίον, τίς τάξις τῆς ἀναγνώσεως, τίς ἡ εἰς τὰ μέρη τομή. ταῦτα τοίνυν ἐπὶ τοῦ παρόντος ἡμῖν ζητητέον. Σκοπὸς μὲν οὖν ἐστιν αὐτῷ, περὶ τῆς εἰς τὰ κεφάλαια διαιρέσεως εἰπεῖν τῶν ῥητορικῶν ζητημάτων· ἀλλ᾽ ἐπειδήπερ ἀναγκαῖον πρῶτον εἰπεῖν τὸ ἐξ οὗ διῃρέθησαν, εἶθ᾽ οὕτω τὰ διαιρεθέντα διεξελθεῖν, φησὶ πρῶτον περὶ προβλήματος ἐπὶ τὸ γενικώτερον ἀναδραμών· τῶν γὰρ προβλημάτων τὰ μέν ἐστιν ἀσύστατα, τὰ δὲ συνεστῶτα, ἃ καὶ ζητήματα λέγεται. Πρῶτον οὖν περὶ ἀσυστάτων εἰπὼν, εἶτα καὶ περὶ τῶν συνεστηκότων διεξέρχεται· τρίτον δὲ τὴν τούτων εἰς τὰ κεφάλαια ποιεῖται διαίρεσιν· ὁ μὲν οὖν σκοπὸς οὗτος· ἐκ δὲ τοῦ σκοποῦ καὶ ἡ εἰς τὰ μέρη τομὴ σεσαφήνισται· τέμνεται γὰρ τὸ ὅλον βιβλίον εἰς τὰ ἀσύστατα καὶ συνεστῶτα, καὶ εἰς τὴν τῶν συνεστηκότων διαίρεσιν. Ἡ τάξις δὲ τῆς ἀναγνώσεως τὸ δεῖν πρῶτον τὰ καλούμενα προγυμνάσματα ἀναγνόντας ἐπὶ τουτὶ τὸ βιβλίον ἰέναι, τὰ γὰρ κεφάλαια καθ᾽ ἑαυτὰ μὲν ἀτελῆ

38 Par. 1. ἐλθὼν προελθ.

ἐστιν, ἀναπληρωτικὰ δὲ γίνεται τοῦ τελείου λόγου· τὰ γὰρ προγυμνάσματα πάλιν τῶν κεφαλαίων ἐστὶν ἀναπληρωτικά· μετὰ τὰ προγυμνάσματα οὖν ἐπὶ τουτὶ τὸ βιβλίον ἐλθεῖν δεῖ, οὕτως γὰρ ἂν τέλειον ἀπεργασώμεθα λόγον.

Ὅτι δὲ γνήσιον τοῦ παλαιοῦ τὸ βιβλίον, ἡ τῶν ἐνδόξων κρίσις δηλοῖ· οἵ τε γὰρ ὑπομνηματίσαντες αὐτοὶ καὶ οἱ ἀρχαιότεροι σοφισταὶ πάντες ὡμολόγησαν Ἑρμογένους εἶναι· τινὲς δέ φασι, καὶ ἐντεῦθεν εἶναι δῆλον, ὡς ἔστιν τοῦ παλαιοῦ γνήσιον τόδε τὸ σύνταγμα, ἐξ ὧν αὐτὸς Ἑρμογένης μέμνηται αὐτοῖ ἐν τῷ περὶ τῶν ἰδεῶν, ὃ πάντες ὁμολογοῦσιν εἶναι τοῦ τεχνικοῦ· ὁμοίως, φασὶ, καὶ τοῦ περὶ ἰδεῶν ἐν τούτῳ μέμνηται· ἀλλὰ καὶ οὗτος ὁ λόγος εἰς τὸν πρότερον ἀνατρέχει· τῇ γὰρ τῶν ἐνδόξων κρίσει καὶ τὸ περὶ τῶν ἰδεῶν Ἑρμογένους καθεστάναι ἀναμφιλέκτως πεπείσμεθα. Διαληπτέον οὖν καὶ περὶ τῆς ἐπιγραφῆς. Ἐπιγέγραπται μὲν οὖν τέχνη ῥητορικὴ τὸ βιβλίον· ἐζητήκασι δέ τινες, ἀνθ᾽ ὅτου τέχνην ῥητορικὴν ὀνομάζει, καίτοι οὐ περὶ πάσης μέλλων ἐνταυθὶ τῆς ῥητορικῆς διαλέγεσθαι· οὐ μόνον γὰρ οὐκ εἰς πάντα τὰ εἴδη τῆς ῥητορικῆς τὸ περὶ τῶν στάσεων συντελεῖ, ἀλλ᾽ οὐδὲ εἰς τέλειον λόγον· τοῖς γὰρ ἀγῶσι μόνον χρήσιμος ἡ περὶ πάντων [39] πραγματεία, οἱ δὲ ἀγῶνες οὐ τέλειος λόγος, ἀλλὰ μέρος. Ὅτι δὲ οὐκ εἰς πᾶν εἶδος ῥητορικῆς χρησιμεύει τὸ προκείμενον σύνταγμα, δῆλον καθεστάναι φασί· περὶ στάσεων γὰρ διαλέγεται· οὐ πᾶν δὲ εἶδος στασιάζεται, μόνον δὲ τὸ δικανικὸν καὶ μέρος τοῦ συμβουλευτικοῦ, ὅπερ ὁμωνύμως τῷ γένει συμβουλευτικὸν καλεῖται· τὸ γὰρ εἶδος τὸ συμβουλευτικὸν πῇ μὲν ἀμφιβαλλόμενον, πῇ δὲ ὁμολογούμενον, ὅταν μὲν ἀμφιβάλληται, ποιεῖ τὸ ὁμώνυμον αὐτῷ συμ-

---

39 Par. 1. πάντων. Par. 2. τούτων.

βουλευτικόν, ὅπερ ἀεὶ στασιάζεται, ὅταν δὲ ὁμολογούμενον ᾖ, ποιεῖ τὸ παραινετικόν· τὸ οὖν παραινετικὸν οὐδέποτε στασιάζεται, ὁμολογούμενον γάρ ἐστιν· ἔτι δὲ καὶ τὸ πανηγυρικὸν ὅλον ἀστασίαστον μένει, αὔξησιν γὰρ ἔχει ὁμολογουμένων καλῶν ἢ κακῶν. Πρὸς ταῦτά φασί τινες, προτροπῆς ἕνεκα τῶν νέων οὕτως ἐπιγέγραπται τὸ βιβλίον, ἵνα πᾶσαν ἑλεῖν τὴν τέχνην ἐντεῦθεν ἐλπίζοντες προθύμως ἐπ᾽ αὐτὸ φέρωνται· εἰ δέ τις ἀποροίη, τί μὴ καὶ τὰ προγυμνάσματα τῆς αὐτῆς ἐπιγραφῆς τῷδε τῷ λόγῳ τετύχηκεν, ῥητέον, ὡς εἰ τοῦτο ἐγίνετο, ἡ τέχνη κατήγετο ἂν εἰς εὐτελές. Διατί δὲ μὴ καὶ τὸ περὶ ἰδεῶν τέχνην ῥητορικὴν ἐπέγραψεν; ὅτι κἀκεῖνο ἧττον καθειστήκει τοῦ περὶ διαιρέσεως τῶν κεφαλαίων· πρὸς γὰρ τὴν τοῦδε χρείαν κἀκεῖνο γέγονεν, ὡς δειχθήσεται· ἕτεροι δέ φασι, τῷ γενικῷ χρήσασθαι αὐτὸν ὀνόματι, ὅσα γὰρ κατὰ τῶν γενῶν, ταῦτα καὶ κατὰ τῶν εἰδῶν λέγεται, οἷον ζῶόν ἐστιν οὐσία ἔμψυχος αἰσθητική, ἀλλὰ καὶ ἄνθρωπος οὐσία ἔμψυχος αἰσθητική. Ὃ οὖν ἐπέγραψεν, εἰ περὶ πάσης διελέγετο τῆς ῥητορικῆς, τοῦτο καὶ νῦν ἐπέγραψεν, περὶ μέρους αὐτῆς διαλεγόμενος· πρὸς οὓς ἐστιν εἰπεῖν, ὅτι οὐχ ἁπλῶς τοῖς γενικοῖς κατὰ τῶν εἰδῶν χρώμεθα, ἀλλ᾽ ὅταν ἢ ἀπορῶμεν τοῦ εἰδικωτέρου, ἢ λόγος τις κατεπείγῃ τοῦτο ποιεῖν. Ὅτι μὲν οὖν οὐκ ἠπόρει τοῦ εἰδικωτέρου, δῆλον, ἅπαντες γὰρ ἴσμεν, ὅτι περὶ τῆς εἰς τὰ κεφάλαια διαιρέσεως τῶν ῥητορικῶν ζητημάτων διαλέγεται, καὶ αὐτοὶ δὲ ἐν τῷ βιβλίῳ τούτῳ φασίν· εἰ δὲ καὶ δι᾽ ἕτερόν τινα λόγον οὕτως ἐπέγραψεν, ἔδει τὸν λόγον αὐτοὺς ἀποδιδόναι, καὶ μὴ ψιλῶς ἀποφαίνεσθαι, ὅτι τῷ γενικῷ ἐχρήσατο· ἔστιν οὖν ἐφ᾽ ἅπασι τούτοις τὸν ἀληθῆ φάναι λόγον, ὡς εἰκότως εἴη τὸ βιβλίον ἐπιγεγραμμένον τέχνη ῥητορική· τὸ γὰρ πᾶν τῆς τέχνης ἐντεῦθεν θεωρεῖται, καὶ πρὸς τοῦτο ῥέπει τὸ σύνταγμα· τὰ γὰρ προοίμια

καὶ οἱ ἐπίλογοι διὰ τοὺς ἀγῶνας παρειλημμένοι εἰσί· τὰ μὲν γὰρ προοίμια καταστατικὰ τοῦ ἀγῶνος λαμβάνομεν, τοὺς δὲ ἐπιλόγους ἢ δι᾽ αὔξησιν ἢ δι᾽ ἀνακεφαλαίωσιν τῶν ἐν τοῖς ἀγῶσι λεχθέντων· οὐκοῦν διαφερόντως μὲν κατὰ μέρη τοῦ λόγου, δυνάμει δὲ κατὰ εἴδη τέχνη ἐπιγέγραπται τοῦτο τὸ βιβλίον ὑπό τινων· ἀλλὰ μὴν καὶ πάντα τὰ εἴδη ἐνεργείᾳ ἢ δυνάμει στασιάζεται· δυνάμει μὲν οὖν καὶ ἐνεργείᾳ στασιάζεται τὸ δικανικὸν καὶ μέρος τοῦ συμβουλευτικοῦ, ὃ καὶ αὐτὸ συμβουλευτικὸν καλεῖται, ὡς εἴρηται ἀνωτέρω· δυνάμει δὲ στασιάζεται τό τε πανηγυρικὸν καὶ τὸ παραινετικόν· τὸ μὲν οὖν πανηγυρικόν, ὥσπερ ἂν εἴτις ἐγκωμιάζοι τινὰ παρὰ Ἀθηναίοις ἐγνωσμένον, οἷον Πλάτωνα τὸν φιλόσοφον, εἴποι δὲ περὶ αὐτοῦ, ὅτι δίκαιος ὁ Πλάτων καὶ σωφροσύνην τιμῶν, καὶ παιδείας εἰς ἄκρον ἀφιγμένος· παρὰ μὲν γὰρ αὐτοῖς, ὡς ἐγνωσμένου τοῦ Πλάτωνος, τὸ ἐγκώμιον οὐ στασιασθήσεται· εἰ δέ τις παρὰ Σκύθαις ἢ ἄλλοις τισὶ λέγοι ἀγνοοῦσι ταῦτα, ἀμφισβητοῦσι πάντως, εἰ ταῦθ᾽ οὕτως ἔχοι· τὸ δὲ παραινετικὸν καὶ αὐτὸ δυνάμει στασιάζεται, οἷον εἴ τις λέγοι, δεῖ τιμᾶν τὸ δαιμόνιον· πρὸς μὲν γὰρ τὴν κοινὴν ἔννοιαν ὡμολόγηται· παρὰ δὲ τοῖς Ἐπικουρείοις ἔλθοι ἂν εἰς ἀμφισβήτησιν· οἱ γὰρ ἀπρονόητα πάντα εἶναι λέγοντες καὶ τὸ εἰς τὸ θεῖον ἐπιμέλειαν ἡγοῦνται περιττήν· τούτων δὲ οὕτως ἐχόντων δοκοῦσι καλῶς τὴν ἁρμόττουσαν ἐπιγραφὴν τῷ ὅλῳ κατὰ τὸ ἐξαίρετον ἐπὶ τὸ σύνταγμα τοῦτο μετενεγκεῖν οἱ τὴν ἀρχὴν ταύτην ἐπινοήσαντες τὴν ἐπιγραφήν· ὁ γὰρ τεχνικὸς οὐ προσίεται, καθάπερ δεδηλώκαμεν, ἀλλὰ καὶ σφόδρα καθάπτεται τῶν ἐπιγραψάντων τέχνην ῥητορικὴν τὸ περὶ διαιρέσεως· καὶ τοῦτο σαφῶς ἐν τῇ διαιρέσει τῶν ἀντιθετικῶν εἰσόμεθα στάσεων, τί τὸ χρήσιμον· οὐ μὴν ἀλλὰ καὶ τὸ περὶ ἰδεῶν βιβλίον ἕνεκα τῶν κεφαλαίων παραλαμβάνεται· δι᾽ ἐκείνου γὰρ ταῦτα ἀναπλη-

ροῦμεν, καὶ ὥσπερ σκεύη τινὰ πρῶτον ἀνάγκη λαβεῖν, εἶθ' οὕτως ὧν βουλόμεθα, ταῦτα πληροῦν, τὸν αὐτὸν τρόπον ἐκ τούτου τοῦ βιβλίου τὰς ὑποθέσεις καὶ τὰ κεφάλαια λαμβάνοντες διὰ τῆς ἀπαγγελίας καὶ τῶν ἐννοιῶν ἀναπληροῦμεν, ἅπερ ἡμῖν τὸ περὶ ἰδεῶν παρέχεται. Ἔτι ζητητέον, ἐπεί τινες πειρῶνται λέγειν, ὡς οὐκ εὔχρηστον εἴη τὸ βιβλίον τοῦτο πρὸς ῥητορικήν· οἱ μὲν γὰρ ῥήτορες, φασὶ, τῶν μερικῶν ἀντιλαμβάνονται, οἱ δὲ φιλόσοφοι τῶν καθόλου· τοῦτο δὲ τὸ σύνταγμα περὶ καθολικῆς διαλέγεται στάσεως, ἀλλ' οὐ περὶ τῆς ἐν τῷδε τῷ λόγῳ· ἄχρηστον οὖν ἐστι ῥητορική. φήσαιμεν δ' ἂν πρὸς τούτους, ὅτι αἱ τέχναι κανόνων ἐκθέσεις ἔχουσιν· οἱ δὲ κανόνες πολλῶν εἰσι περιεκτικοί· ἀναγκαίως οὖν πᾶσα τέχνη καὶ καθολική ἐστι καὶ μερική· καθολικὴ μὲν, ὡς πρὸς τοὺς κανόνας· μερικὴ δὲ, ὡς πρὸς τὸ ἀποτέλεσμα· ἡ γὰρ καθόλου στάσις τὸν κατὰ Αἰσχίνου καὶ ἕκαστον τῶν λόγων ἀποτέλεσμα ἔχει, οἵπερ εἰσὶ μερικοί· ἀλλ' ἀντιλέγουσι πάλιν· εἰ γὰρ καὶ ὁ λόγος, φασὶ, βιάζεται, ἡ πεῖρα διελέγχει, οὐ μόνον τὸ βιβλίον τοῦτο μὴ χρήσιμον γενέσθαι, ἀλλ' ὡς ἔοικε καὶ βλάβης αἴτιον· οἱ γὰρ ἀρχαιότεροι ῥήτορες, οἷον Αἰσχίνης καὶ Δημοσθένης, πρὸ τοῦ συγγράμματος τοῦδε γενόμενοι, βελτίους ἡμῶν εἰσι· καὶ οὐδεὶς μετὰ τὸ σύγγραμμα τοῦτο ῥήτωρ ἀπεδείχθη τοιοῦτος. πρὸς οὓς ἐστιν ἐκεῖνο φάναι, ὡς ἐκείνοις ἡ μείζων ἐπιμέλεια καὶ φύσις ἀμείνων τὸ πρὸς ἡμᾶς παρέσχε διάφορον· ὅτι δὲ κἀκεῖνοι μεθόδους τινὰς εἶχον καὶ κανόνας, εἰ καὶ μὴ ἐν συγγράμμασιν, ἀλλ' οὖν ἐκ παραδόσεως τῶν διδασκάλων, δηλοῖ καὶ Ἰσοκράτης ἐν τῷ κατὰ σοφιστῶν, [40] δι' ὧν φησι τὸν μὲν σοφιστὴν δύο ταῦτα ποιεῖν ὀφείλειν, πρῶτον τοὺς κανόνας ἐκτίθεσθαι, ἔπειτα παρασκευάζειν τοὺς ἰδίους λόγους,

40 Verbotenus haec non leguntur in oratione laudata. Videtur respicere ad §. 13. sqq. p. 330. Bekk.

εἰς παράδειγμα τῶν παραδεδομένων νόμων· τὸν δὲ μαθητὴν εἰσφέρειν τρία τῷ διδασκάλῳ, εὐφυΐαν, μνήμην, ἐπιμέλειαν. ἔστι δὲ καταμαθεῖν ἀκριβέστερον, ὡς εἶχόν τινας κανόνας οἱ ἀρχαῖοι, ἐκ τῶν ὑπ' αὐτῶν ἐκτεθέντων λόγων. πολλοὺς γὰρ εὑρίσκομεν παρὰ διαφόροις ῥήτορσι λόγους, τῆς αὐτῆς στάσεως καὶ τοῖς αὐτοῖς κεφαλαίοις κατεσκευασμένους· εἰ δὲ ὡς ἔτυχε τοῖς κεφαλαίοις καὶ μὴ κατὰ μίαν τινὰ τὴν τέχνην ἐκέχρηντο, οὐκ ἂν οὐδὲ συνηνέχθησαν περὶ τὰ κεφάλαια· δειχθέντος οὖν, ὅτι πᾶσα ἀνάγκη, τὰς τέχνας εἶναι καθολικὰς, ἀνατρέπειν πειρῶνταί τινες ἐκ παραδειγμάτων τὸν λόγον· αὐτίκα γὰρ ὁ Γεωργίτης, τὰ μερικὰ πράττων ἀεὶ, τὰ καθόλου, φασὶν, [41] οὐ περιεργάζεται· λέληθε δ' αὐτοὺς, ὅτι διαφέρει τέχνη ἐμπειρίας· καθὸ ἡ μὲν ἐμπειρία τῶν μερικῶν ἀντέχεται, ἡ δὲ τέχνη καθολικοὺς ἔχει λόγους. Ἡ οὖν ῥητορικὴ τέχνη οὖσα δῆλον ὅτι ἕξει κανόνας· τὴν δὲ διαφορὰν ταύτην τῆς ἐμπειρίας πρὸς τὴν τέχνην φησὶ Πλάτων ἐν τῷ Μένωνι· ὥσπερ γὰρ εἰ τὸν Δαίδαλον [42] ὑποθοίμεθα ποιῆσαι ἀνδριάντας δύο, ὧν ὁ μὲν εἷς πτερωτός ἐστι καὶ μεθιστάμενος, ὅπη τύχοι, ὁ δ' ἕτερος ἐπὶ βάσεως ἕστηκε, καὶ διὰ τοῦτο ἔχει τὴν στάσιν βεβαίαν ἀεὶ καὶ ἀκίνητον, [43] οὕτως ἡ μὲν ἐμπειρία τοῦ μερικοῦ ἀντιλαμβανομένη ἅμα τῷ ἀποτυχεῖν ἀφίπτασθαι πέφυκεν, ἡ δὲ τέχνη οὐχ οὕτως, ἀλλ' ἔχουσα καθολικοὺς λόγους τὴν αἰτίαν ζητήσει καὶ οὐκ εὐθὺς ἀποστήσεται. Ἔτι ἀποροῦσιν οἱ φάσκοντες, τοῦτο μὴ χρήσιμον καθεστάναι τὸ σύνταγμα· εἰ γὰρ, φασὶ, διδάσκει ἡμᾶς, πῶς ὑπὲρ ὧν ἐγκαλούμεθα ἀπολογεῖσθαι μελετήσομεν, οὐδὲν πλέον ἡμῖν τῆς φύσεως δίδωσιν· ἐὰν γὰρ ἐπὶ νεοσφαγεῖ τις εὑ-

41 Par. 1. φησίν. Par. 2. φασίν. Similiter paullo inferius v. 27. εἰ γάρ φασι Par. 2. φησὶ Par. 1. 42 Par. 2. Δέδαλον. — Menon. p. 97. d. cfr. T. V. p. 223., ex quo scripsi ὑποθοίμεθα, Parr. ὑποθώμεθα. 43 Par. 1. ἀεικίνητον. — v. 29. Codd. εὑρεθείη, scr. εὑρεθείς.

ρεθεὶς σώματι ξιφήρης ἐν ἐρημίᾳ φόνου κρίνοιτο, οὐδὲν ἕτερον ἐρεῖ, ἢ ὅτι οὐκ ἐφόνευσα, καὶ χρήσεται πρὸς τοῦτό τισιν ἀποδείξεσιν, καὶ γίνεται στοχασμός· εἰ τοίνυν τοῦτο παρὰ τῆς φύσεως ἔχομεν, τὸ τῆς τέχνης ἡμῖν περιττόν· λεκτέον οὖν, ὡς ἐν μὲν ταῖς ἁπλαῖς καὶ εὐχερέσι τῶν στάσεων δυνατὸν ἴσως τὰς λύσεις ἀνευρίσκειν φυσικῶς, εἰ καὶ μὴ μετὰ τάξεως, ἐν δὲ τοῖς συνεζευγμένοις ἢ ἁπλῶς δυσχερέσιν οὐκέτι· οἷον ἵνα ἴδωμεν ἐν συνεζευγμένῳ παράδειγμα· ὑποπτεύσας τις τὸν οἰκέτην ἐπὶ μοιχείᾳ τῆς γυναικὸς αὐτοῦ ἔδησε· δήσας ἀπεδήμησεν· ἐν τοῖς θεσμοφορίοις ἔλυσεν ἡ γυνή, νόμου προστάττοντος, μηδένα εἶναι ἐν τῇ ἑορτῇ δεσμώτην· εὑρέθη ὁ ἀνὴρ ἐπ' ἐρημίας νεκρὸς ἀσκύλευτος, καὶ κρίνεται ἡ γυνὴ συνειδότος· ἐνταῦθα γὰρ οὐκ ἔστιν εἰδέναι κατὰ φύσιν, ποῖον δεῖ ζητεῖν, δυεῖν ἐγκλημάτων ὄντων, μοιχείας τε καὶ φόνου· ἔστι δὲ καὶ τοῦτο πολυσχιδὲς τὸ ζήτημα, οἷον νόμος μηδένα εἰσηγεῖσθαι χρεῶν ἀποκοπάς· πολεμίων ἐπικειμένων ἔκαυσέ τις τὰ συμβόλαια· ἐμιμήσαντο τοῦτον οἱ λοιποί· ἐξελθόντες οἱ χρεῶσται νενικήκασι κατὰ τὸν πόλεμον· ὁ γὰρ ἀπολογούμενος κέχρηται πρῶτον τῷ ὅρῳ. τίνι γάρ, φησίν, ὁρίζεσθε τὴν παρανομίαν; οὐκ ἐν τῷ εἰσηγήσασθαι τοῦ νόμου τὴν ἰσχύν· ἐγὼ δέ, φησίν, οὐκ εἰσηγησάμην, ἀλλ' ἔκαυσα· δεύτερον τῇ ἀντιλήψει, ἐξουσίαν ἔχων τῶν ἐμῶν· τρίτον τῇ συγγνώμῃ, ὅτι ἠγνόουν τὸ μέλλον· πόθεν γὰρ ἠπιστάμην, ὅτι ζηλωτὰς ἕξω τῶν ἐγχειρήσεων· τέταρτον τῇ ἀντιστάσει· μᾶλλον ὠφέλησα τὴν πόλιν· διὰ γὰρ τὴν ἐμὴν οἱ χρεῶσται νενικήκασι πρᾶξιν· ἔστι δ' αὖ πάλιν ἐπὶ ἑνὸς προβλήματος ἐννέα στάσεις ἐπιδεῖξαι, κατὰ ἄλλην καὶ ἄλλην διαφορὰν συνισταμένου τοῦ πλήθους· οἷον ἐσεσύλητό τις πάντα τὰ ὄντα αὐτῷ χρήματα ὑπὸ πολεμίων ἐπελθόντων· ἰδιωτικὰ χρήματα χρεώστου ἀγνωμονοῦντος καὶ πολλάκις ἀπαιτηθέντος τὸ ὄφλημα, ἐν ἱερῷ κείμενα, συγχωρήσαντος τοῦ

ἱερέως, ὑφείλετο, καὶ τούτοις αὐτοῖς τὴν πατρίδα ἐκ τῶν πολεμίων ῥυσάμενος ὕστερον ὑπὸ τοῦ χρεώστου κρίνεται. δῆλον γάρ, ὡς εἰ μὲν παραιτήσοιτο τὸ πρόσωπον, ποιήσοι μετάληψιν, οἷον χρεώστης εἶ, ὀφείλεις χρήματα, καὶ οὐ σόν ἐστι περὶ τούτων δικάζεσθαι· εἰ γὰρ ἀρνήσοιτο τὴν ὑφαίρεσιν, στοχαστικὴν δηλαδὴ ποιεῖ τὴν στάσιν. εἰ δὲ συγχωρεῖ [44] μέν, ἄλλο δέ τι ὄνομα ἐπιθήσει τῇ πράξει, μήτε κλοπὴν εἶναι λέγων, μήτε ἱεροσυλίαν, ἀλλ᾽ οἷον εἰ τύχοι ἀπόληψιν ὁριστικήν. Εἰ δὲ ἐξὸν αὐτῷ λέγοιτο τοῦτο πεποιηκέναι, διὰ τὸ ἐκεῖνον ἐποφείλειν, ἀντίληψιν, εἰ δὲ μὴ εἶναι τὴν ἀρχὴν ἐκείνου λέγοι, ἀλλ᾽ ἑαυτοῦ καὶ περὶ τούτου ἀμφισβητήσει, πραγματικήν· εἰ δὲ προβάλοιτο τὴν ἀπορίαν, καὶ τὸ ὑπὸ τῶν πολεμίων σεσυλῆσθαι, συγγνώμην· εἰ δὲ ἀντεγκαλέσοι τῷ χρεώστῃ, καὶ διὰ τὴν ἀγνωμοσύνην ἐκείνου τοῦτο πεποιηκέναι, ἀντέγκλημα, εἰ δὲ μηδὲν τούτων προΐσχηται, ἀνενέγκῃ δὲ τὸ γεγονὸς ἐπὶ τὸν ἱερέα, μεταστατικὴν ποιήσει τὴν στάσιν. Τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἁπλῶν τῶν δυσχερῶν, οἷον Κτησιφῶν ᾔτησε Δημοσθένην συνήγορον, καὶ μὴ ὑπακούσαντα κρίνει ἀχαριστίας· ἄδηλον γὰρ κἀνταῦθα τῷ μὴ τεχνίτῃ, πότερον δεῖ λέγειν, ὅτι ἔξεστί μοι μὴ συνηγορεῖν, ἢ ὅτι ἀσύμφορον εἶναί σοι τὴν ἐμὴν συνηγορίαν ᾠόμην διὰ τὴν ὑπόληψιν, ἣν ἐπὶ δεινότητι παρὰ τοῖς δικασταῖς ἔχω. Τοῦτο μὲν οὖν εὐδιάλυτον οὕτως, ἐκείνῳ δὲ προσεκτέον τὸν νοῦν. Ἔφημεν ἀνωτέρω τινὰς ἀπορεῖν, πῶς ἂν εἴη χρήσιμον ῥητορικῆς τὸ βιβλίον, περὶ καθολικοῦ τινος διαλεγόμενον, καὶ τὴν ἀπορίαν ἀπελυόμεθα τῷ τεχνικὸν εἶναι τὸ σύνταγμα· πᾶσα γὰρ ἀναγκαίως τέχνη περὶ τὰ καθολικά ἐστιν, οὐ γὰρ ἂν ἄλλως τὰ μερικὰ διδάξειεν· πρὸς δὴ τοῦτό φασί τινες, ὡς οὐδὲν ἕτερον ἢ σόφισμά ἐστι τὸ λεγόμενον· ἡ γοῦν θέσις καὶ ἡ ῥητορική ἐστι,

---

44 εἰ δὲ συγχωρεῖ μέν· usque ad τὸ γεγονὸς ἐπὶ τὸν ἱερέα μεταστ. ποιήσει τὴν στάσιν Par. 1. om., supplevi ex Par. 2.

καὶ ὅτι οὐ τέχνη, σαφὲς, καὶ περὶ τῶν καθόλου διαλέγεται· τὸ γὰρ εἰ γαμητέον, εἰ πλευστέον, καθολικά· ῥητέον δὲ πρὸς τοῦτο, ὡς ἡ θέσις προγύμνασμά ἐστι, καὶ γυμναζόμεθα ἐν αὐτῇ, καθολικῶς τὰ πράγματα ἐξετάζοντες, ἵνα ἐπὶ τῶν μερικῶν, ὅταν δέῃ, λέγειν δυνώμεθα· τῇ γὰρ θέσει προςθέντες τὸ ἀπὸ τοῦ προσώπου συστατικὸν, οἷον τὸ Σωκράτης ἢ Πλάτων, ποιοῦμεν αὐτὴν μερικὴν, τουτέστιν ὑπόθεσιν· τοιγαροῦν ἐν τοῖς ἐπιθαλαμίοις τῶν λόγων πρῶτον τὰ θετικὰ διέξιμεν, εἶθ᾽ οὕτως τὰ περιστατικά· ἀλλ᾽ οὐδὲ οὕτως, φασὶ, γίνεται μερική· τὸ γὰρ, εἰ γαμητέον Σωκράτει, οὐδὲν ἕτερόν ἐστιν, ἢ εἰ γαμητέον γέροντι, Ἀθηναίῳ, φιλοσόφῳ, πένητι, ὅπερ ἐστὶ καθολικόν· λέληθε δ᾽ αὐτοὺς, ὅτι αἱ διαφοραὶ μεριζόμεναι μὲν ἀπ᾽ ἀλλήλων, καὶ καθ᾽ αὑτὰς λεγόμεναι, καθολικαί εἰσι· συνιοῦσαι[45] δ᾽ εἰς ταὐτὸν μερικόν τι σημαίνουσιν, οἷον ἐπὶ παραδείγματος· τὸ λογικὸν οὐδὲν καθ᾽ ἑαυτὸ λεγόμενον σημαίνει μερικόν· τὸ θνητὸν ὁμοίως· ὅταν μέντοι γε ὁμοῦ συνάγοντες πάντα εἴπωμεν ζῶον λογικὸν θνητὸν, δηλοῦμεν τὸν ἄνθρωπον· οὕτως οὖν καὶ ἐπὶ τούτου· ἐὰν εἴπῃ τις, γέρων Ἀθηναῖος, φιλόσοφος, πένης, σημαίνει τὸν Σωκράτην καὶ τὸν δεῖνα τυχὸν, ὥστε εἶναι μερικὸν τὸ δηλούμενον. Ἔτι ἀποροῦσί τινες φάσκοντες, μὴ εἶναι τὴν στάσιν ῥητορικήν· εἰ γὰρ ἡ ὑπόθεσις ἰδία ἐστὶ τοῦ ῥήτορος, τὴν δ᾽ ὑπόθεσιν ποιεῖ τὰ περιστατικὰ, τὰ δὲ περιστατικὰ πρᾶγμά ἐστιν, ἡ δὲ στάσις οὐκ ἐν τοῖς περὶ τὸ πρᾶγμα, ἀλλ᾽ ἐν τῷ πράγματι ἀναφαίνεται, οὐκ ἄρα στάσις ἐν τῇ περιστάσει· εἰ δὲ ἐν τῇ θέσει, οὐδὲν πρὸς ῥητορικὴν, ἀποδείκνυται γὰρ ἡ θέσις μὴ οὖσα ῥητορικὴ, ἥ γε περὶ καθολικῶν διαλέγεται· λεκτέον δὲ, ὅτι σόφισμά ἐστι τὸ πρῶτον λῆμμα, οὐ γὰρ τὰ περιστατικὰ ποιεῖ τὴν ὑπόθεσιν, ἀλλ᾽ ἄμφω κατὰ ταὐτὸν, καὶ ἡ περίστασις

καὶ

45 Codd. συνιοῦσι δ᾽ εἰς αὐτόν.

καὶ ἡ θέσις· ἐν ἀμφοτέροις οὖν εὑρίσκεται ἡ στάσις, οὔτε γὰρ ἡ θέσις καθ' ἑαυτὴν ποιεῖ τὴν στάσιν, οὔτε μὴν ἡ περίστασις.

III.

ΕΤΕΡΑ ΠΡΟΛΕΓΟΜΕΝΑ ΤΩΝ ΣΤΑΣΕΩΝ.

Τὴν ῥητορικὴν τέχνην ἄλλοι ἄλλως ὡρίσαντο· προςκείσθω [1] δὲ τοῖς παλαιοῖς ὅροις καὶ οὗτος· ῥητορική ἐστιν ἄσκησις λόγου ἐν ἰσοσθενέσι τὸν ῥήτορα γυμνάζουσα ὑποθέσεσι· διὰ γὰρ τοῦτο καὶ ἐν στασιαζομένοις προβλήμασι καὶ ἰσοδυνάμοις ἡ ἄσκησις, ἵν' ὅταν ἰσχυρότερον θάτερον [2] τῶν μερῶν λέγηται, ἡ δύναμις τοῦ λέγοντος φαίνηται, καὶ μὴ αὐτοῦ τοῦ προβλήματος, ὃ τὴν δύναμιν ἴσην ἑκατέροις παρέχει τοῖς μέρεσιν. Ἐξασκούμενος δὲ ἐντεῦθεν ὁ λόγος καὶ γυμναζόμενος οὐκ ἐν πολιτικοῖς μόνον πράγμασιν, ἀλλὰ καὶ εἰς πᾶν ὁτιοῦν χρησιμεύει τῷ ῥήτορι. Αὐτίκα καὶ Πλάτων, ὁ τὴν τέχνην φαυλίζων, φιλόσοφος ὢν ὁ ἀνὴρ καὶ περὶ φυσικῶν καὶ ἐπιστημονικῶν καὶ φιλοσοφίας διαλεγόμενος, τῷ τῆς ῥητορικῆς ἐνσεμνύνεται κάλλει, καὶ τὸ ἁβρὸν ἐκεῖθεν ἔχει τοῦ λόγου καὶ γλαφυρὸν, καὶ τὴν ἄλλην σεμνότητα· οὐ γὰρ ἐν τοῖς στασιαζομένοις ἡμῖν λυσιτελεῖ τὸ χρήσιμον τῆς ῥητορικῆς, ἀλλ' ὥσπερ οἱ στρατιῶται τὸ πολεμεῖν μετὰ τῶν συμφυλετῶν γυμναζόμενοι κατὰ τῶν πολεμίων τὸ τοῦ πολέμου χρήσιμον ἐπιδείκνυνται, οὕτω καὶ ῥήτορες τὴν ἰσχὺν τοῦ λόγου, ἐπὶ τῶν στασιαζομένων προβλημάτων ἀσκούμενοι ἐν τοῖς ἀστασιάστοις τὸ τούτων ἐπι-

1 Farn. προκείσθω. Par. προσκείσθω. 2 Farn. θέατρον.

δείκνυνται χρήσιμον, αὔξοντες τὰ καλὰ καὶ δίκαια καὶ συμφέροντα, καὶ πρὸς αὐτὰ ἐρεθίζοντες, διαβάλλοντες δὲ τὰ φαῦλα καὶ ἄδικα καὶ ἀσύμφορα, καὶ ἐξ αὐτῶν ἀποτρέποντες, ἐπείτοιγε τὰ στασιαζόμενα τῶν προβλημάτων ἐκμελετώμενα ἐπίδειξιν ἔχει[3] μόνην, ἄλυτα καὶ οὕτω μένοντα καὶ ἀμφίβολα, εἰ μή τις νόμος ἀναφανεὶς εἰς τὸ ἀναμφίβολον περιστήσει τὸ πρόβλημα, ἢ διαλύσει τὴν τομὴν δέξεται· διάλυσις γάρ ἐστιν ἀμφιβαλλομένου πράγματος τομή, καὶ διὰ τὰ ἀμφίβολα ἡ τῆς διαλίσεως τοῦ νόμου ἐξεύρηται μέθοδος· διὰ γὰρ τοῦτο καὶ πολιτικῆς μορίου εἴδωλον ὁ Πλάτων τὴν τέχνην ἐκάλεσεν, ὡς αὔξουσαν καὶ μόνον τὸν λόγον διὰ στασιαζομένων προβλημάτων καὶ ὑποθέσεων, οὐ μέντοι τομὴν ἐπιτιθεῖσαν τῷ πράγματι· ἀλλὰ τῆς νομοθετικῆς τοῦτο ἐχούσης καὶ τῆς τῶν νόμων ἰσχύος, τῆς δὲ τέχνης ῥώμην μόνον χαριζομένης τῷ λόγῳ καὶ δύναμιν, πρὸς πᾶν ὁτιοῦν λυσιτελοῦσαν τὸ[4] προτιθέμενον, καὶ γὰρ καὶ περὶ γεωργικῆς εἰσηγεῖται, καὶ ναυτιλίας ἐκφράζει καὶ ὁπλοποιητικὴν καὶ πολέμους καὶ ἀστέρων θέσεις καὶ πᾶν ὁτιοῦν, καθὰ καὶ ἡ ποίησις ἐκ τῆς τέχνης τοῦ ποιητοῦ τὴν δύναμιν τῆς φράσεως προλαβόντος οὐκ ἄλλοθεν, εἰ καὶ μήπω τὰ τῆς τέχνης[5] ὠργάνωτο, ἦν γὰρ ἐν τῇ φύσει καὶ πρὸ τοῦ ὀργάνου ἡ τέχνη· καὶ ἡ φυσικὴ τέχνη τὸ ὄργανον, ἀλλ᾽ οὐκ αὐτὸ τὸ ὄργανον τὴν φυσικὴν τέχνην ἐξεῦρεν. Τριῶν δὲ βιβλίων τῷ ῥήτορι τεχνωθέντων, τοῦ περὶ στάσεων, τοῦ περὶ εὑρέσεων, τοῦ περὶ ἰδεῶν, τὸ περὶ τῶν στάσεων τῶν ἄλλων προτέθεικε· παχυμερέστερα γὰρ τὰ τῶν στάσεων, λεπτομερέστερα δὲ τὰ τῶν εὑρέσεων, καὶ τούτων ἔτι λεπτότερα τὰ περὶ ἰδεῶν, ὡς τὰς μὲν στάσεις μείζοσι ζώου μέρεσιν ἐοικέναι, οἷον κεφαλῇ,

---

3 Farn. ἔχοι. Par. 1. ἔχει. 4 Farn. λυσιτελοῦσι. 5 Par. 1. τύχης.

ὤμοις, κοιλίᾳ, μηροῖς τε καὶ τοῖς ποσίν· ἐλάττοσι δὲ μέρεσι τὰς εὑρέσεις, οἷον ὀφθαλμοῖς, ῥισὶν, ὠτίοις, χείλεσι, γλώττῃ καὶ τοῖς τοιούτοις· τὰς δὲ ἰδέας ἔτι τούτων ἐλάττοσιν, οἷον βλεφάροις, κόραις, γνάθοις [6] καὶ τοῖς τούτων παραπλησίοις. ἢ κρεῖττον οὕτω περὶ τούτων διαλαβεῖν· ἡ μὲν γὰρ περὶ τῶν στάσεών τε καὶ τῶν εὑρέσεων ἀναλογία καλῶς ἀποδέδοται· καὶ αἱ μὲν μείζοσιν, αἱ δὲ ἐλάττοσι ζώου ἀναλελόγηνται μέρεσιν· αἱ δὲ ἰδέαι εἴδεσι καὶ μορφαῖς προσεοίκασιν, ἑκάστῳ τῶν τοιούτων μερῶν ἐπιμορφαζόμεναι, καὶ ἢ πρὸς σαφήνειαν εἰδοποιοῦσαι ταῦτα, ἢ πρὸς μέγεθος ἢ κάλλος, ἢ ἦθος, ἢ πρὸς ἄλλην τινὰ ἁρμόζουσαν αὐτοῖς καὶ προσφυᾶ, ὡς ἂν διδῷ ὁ καιρὸς, διαμορφοῦσαι ἰδέαν, ἐφ᾽ ᾧ δὴ καὶ ἰδέαι ἀπὸ τοῖ εἴδω παρωνομάσθησαν ῥήματος, εἰς ἰῶτα τῆς ει διφθόγγου μεταμειφθείσης, κατὰ τὸν φάσκοντα κανόνα, ὅτι πολλά εἰσιν ὀνόματα ἀπὸ ῥημάτων γινόμενα, γραφομένων μὲν τῶν ῥημάτων διὰ τῆς ει διφθόγγου, τῶν δὲ ὀνομάτων διὰ τοῦ ῑ· διὰ ταῦτα αἱ στάσεις οἷα παχυμερέστεραι τῶν εὑρέσεων, ὑποκείμεναι δὲ ὡς ὕλη ταῖς ἰδέαις, τοῖς εἰσαγομένοις ὑπὸ τοῦ τεχνικοῦ προσετέθησαν. Ἀλλ᾽ ἴωμεν ἤδη καὶ ἐπ᾽ αὐτὰ τὰ τοῦ τεχνικοῦ ῥητὰ, τῆς μὲν λεπτοτέρας καὶ αὐτοὶ ἀπεχόμενοι ἑρμηνείας, τῆς δὲ ἁπλουστέρας συμμέτρως ἐχόμενοι.

6 Farn. κάνθοις. Par. 1. γνάθοις.

I.

ΠΡΟΛΕΓΟΜΕΝΑ

ΤΩΝ ΕΥΡΕΣΕΩΝ.[1]

Ἰστέον, ὅτι ἀπὸ τοῦ πράγματος δεῖ ποιεῖν νόημα, μὴ μέντοι μηδὲ[2] αὐτὸ τὸ πρᾶγμα διεξιέναι, μήτε τὰς εἰς τὸ πρᾶγμα κατασκευὰς ἀναλίσκειν· τὸ μὲν γὰρ διηγηματικὸν, τὸ δὲ κεφαλαιῶδες καὶ ἐπιχειρηματικόν· δεῖ τοίνυν συνεστραμμένον εἶναι τὸ προοίμιον καὶ σπερματικῶς ἔχειν[3] τὰ πράγματα· παραιτησόμεθα δὲ τὸ προοίμιον, ὅταν ἢ εὐνοῶσιν οἱ δικάζοντες, ἢ ὀλίγον λάβοιμεν ὕδωρ· τότε γὰρ ἡ τῶν ἀναγκαίων διήγησις ὠφελιμωτέρα· ἑρμηνεία δὲ τοῦ προοιμίου τῇ μὲν ἐκλογῇ ἀπερίεργος ἔστω· γενέσθω δὲ τοιαύτη, ὅθεν ἐκφύγῃ[4] τις τοὺς ἐμφανεῖς τρόπους· τοῦ δὲ προοιμίου ἡ ὑπόκρισις μετρία καὶ ἀτάραχος καὶ τοῖς ὑποκειμένοις οἰκεία.

Ὅρος προοιμίου.

Προοίμιόν ἐστι[5] λόγος παρασκευάζων τὸν ἀκροατὴν εἰς ὑποδοχὴν τῆς ὑποθέσεως· κυρίως δὲ μὲν προοίμιον ἔλεγον οἱ παλαιοὶ τὰ παρὰ τῶν κιθαρῳδῶν ἐν ἀρχῇ λεγόμενα· τέλος δὲ τοῦ προοιμίου τὸ παρασχεῖν εὐήκοον πρὸς τὰ λοιπὰ τὸν ἀκροατήν. Τὰ προοίμια γίνονται[6]

1 Prolegomena haec, ex cod. Mon. 8. descripta, contuli cum codice Farnes. II. *E*. 5. et passim cum Par. 2977. [Par. 1.] et 2916. [Par. 2.]. 2 Farn. οὐδέ. 3 Farn. ἔχον. 4 Mon. ἐκφεύγει. Farn. ἐκφύγῃ. 5 Mon. ἐστίν. 6 Mon. Farn. γρά-

ἀπὸ τῶν δικαζόντων, οἵτινές εἰσι κριταί· ἀπὸ τῶν κατηγόρων, οἵτινές εἰσιν οἱ διώκοντες, καὶ δι᾽ ἐντολέων λαλοῦντες· ἀπὸ τῶν ἀπολογουμένων, οἵτινές εἰσιν οἱ ἐντολεῖς οἱ βοηθοῦντες τοῖς φεύγουσιν· ἀπὸ τῶν ἐχόντων αὐτὰ τὰ πράγματα, τῶν ἀντιδίκων.

Περὶ προοιμίων. [7]

Ἰστέον, ὅτι τὸ προοίμιον κατὰ μὲν [8] τοὺς Ἀπολλοδωρείους τὴν πρώτην τάξιν τοῦ λόγου ἐπέχει. εἰ γὰρ προσοχῆς, φασὶ, [9] τῶν ἀκουόντων ἐστὶ ποιητικὸν πρὸς τὰ λεχθῆναι μετὰ ταῦτα ὀφείλοντα, πᾶσα ἀνάγκη αὐτὸ πρὸ τῶν ἄλλων τάττεσθαι. Ἀλέξανδρος δὲ [10] ὁ τοῦ Νουμηνίου [11] καὶ κατ᾽ ἀρχήν φησι τοῦτο καὶ μετὰ τὴν διήγησιν, καὶ μετὰ τὰς πίστεις τάττεσθαι, [12] ὃ καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου πεποίηκε μεταξὺ τοῦ λόγου εἰπών· [13] „οἶμαι τοίνυν τινὰς ὑμῶν, ὦ Ἀθηναῖοι, ποθεῖν ἀκοῦσαι τὴν ἔχθραν, ἥ τις ἦν ἡμῖν·“ οὐ μὴν διὰ τοῦτο, φησὶ, καὶ διττὸν εἶναι τὸ προοίμιον νοητέον, ἀλλὰ τὸ μὲν ἐν ἀρχῇ κατὰ τὴν δύναμιν καὶ κατὰ τὴν τάξιν κυριώτερον, φησὶ, νομιστέον· τὸ δὲ ἐν τῷ μεταξὺ κατὰ [14] δύναμιν μόνον· θορύβου γὰρ πολλάκις ἐν τῷ μεταξὺ γινομένου ἀνάγκη προοιμιάσασθαι πάλιν πρὸς τὸ προσοχὴν ἐργάσασθαι. Προοίμιον δέ ἐστιν, [15] ὡς ὅταν τις ἐξευμενιζόμενος τοὺς δικαστὰς κατά τινος ποιούμενος τοὺς λόγους εἴπῃ· ἄνδρες δικασταὶ, δικαιότατοι, καὶ ὅσα

φονται. scr. *γίνονται.* iidem infra p. 54. v. 14. ἡ δὲ ἔφοδος τότε γράφεται, et constanter pro *γίνεται.* vide epist. crit. p. 11. 7 Caput hoc est etiam in Cod. Ven. 433. 8 *μὲν* Par. 1. om. Tum Mon. *τάς.* 9 Mon. Farn. *φησὶ*, scr. *φασί.* 10 *δὲ* Ven. om. 11 Farn. *Νουμενίου.* Ven. *Νουμινίου.* 12 Mon. Par. 2. et Farn. *δέχεσθαι.* Ven. Par. 1. *τάττεσθαι.* 13 p. 539. 14 Ven. *κατὰ τὴν δ.* 15 *δέ ἐστιν* Mon. om., idem post *ὅταν τις* ponit *εἰ.* Ven. *προοίμιον δέ ἐστιν,* — — *ἐστὶν ἡ ὁδὸς* om.

ἕτερά εἰσιν ἐξευμενιζόμενα τοὺς δικάζοντας· λέγεται δὲ προοίμιον τὸ προτιθέμενον τοῦ λόγου· οἶμος γάρ ἐστιν ἡ ὁδός· λαμβάνεται δὲ τὸ προοίμιον ἀπὸ τριῶν τρόπων, ὡς δὲ ἔνιοί φασιν, ἀπὸ τεσσάρων· ἀπὸ συστάσεως τοῦ οἰκείου προσώπου, ἀπὸ διαβολῆς τοῦ ἀντιδίκου, ἀπὸ προσοχῆς, καὶ τέταρτον ἀπὸ ἐφόδου κατά τινος· ἀπὸ συστάσεως μὲν, ὅτε εὔνοιαν περιποιῶμεν ἑαυτοῖς τῶν ἀκροατῶν τὸ οἰκεῖον συνιστᾶντες πρόσωπον· ἀπὸ δὲ διαβολῆς τοῦ ἀντιδίκου, ὅτε τὸ ἐναντίον διαβάλλειν ἀρχώμεθα·[16] ὡς τὸ, τὴν μὲν ἀσέλγειαν καὶ τὴν ὕβριν, ὦ δικασταὶ, ᾗ πρὸς ἅπαντας χρῆται Μειδίας· ἀπὸ προσοχῆς δὲ, ἡνίκα τὸ πρᾶγμα αὔξοντες[17] προσεχέστερον διὰ τοῦ προοιμίου τὸν ἀκροατὴν ἐργαζόμεθα,[18] ποιοῦντες αὐτὸν σκοπεῖν τὰ εἰρημένα· ἡ δὲ ἔφοδος τότε γίνεται, ἡνίκα μὴ φανερῶς τι βουλευόμεθα[19] σημαίνειν, καὶ λαθραίως δι' ἑτέρων λόγων εἰσάγομεν αὐτό· ἄλλοι δὲ ἀπὸ τεσσάρων μὲν καὶ αὐτοί φασιν· ἀλλ' οὐ τῶν αὐτῶν πάντη, ἀλλὰ καὶ ἑτέρων· ἤτοι γὰρ ἀφ' ἑαυτοῦ ὡς ἐν τῷ κατὰ Κόνωνος· ἀπὸ τοῦ ἀντιδίκου, ὡς ἐν τῷ κατὰ Μειδίου· ἀπὸ τῶν ἀκουόντων, ὡς ἐν τῷ Πλαταϊκῷ Ἰσοκράτους· ἀπὸ τοῦ πράγματος, ὡς Λυκοῦργος ἐν τῷ κατὰ Αὐτολύκου.

---

16 Mon. ἀρχόμεθα. ceteri ἀρχώμεθα. — In Mid. init. 17 αὔξαντες Mon. αἰξάνοντες Ven. 18 Mon. Ven. ἐργαζόμεθα. Farn. ἐργαζώμεθα. 19 Par. 1. βουλευόμεθα. Farn. et Mon. βουλευώμεθα.

II.

ΕΙΣ ΤΟ ΠΕΡΙ ΕΥΡΕΣΕΩΣ ΕΡΜΟΓΕΝΟΥΣ ΕΠΙΤΑΣΙΣ [1] ΑΝΕΠΙΓΡΑΦΟΣ.

Διὰ τί τὸ βιβλίον περὶ εὑρέσεως ἔγραψε, καίτοι καὶ τῶν ἄλλων αὐτῶν πραγματειῶν εὑρέσεις τινὰς εἰσαγομένων· ἡ γὰρ ἐπιγραφομένη στάσις στάσεων εὕρεσιν καὶ διασκευὴν διδάσκει· καὶ αὐτός φησιν, ὅτι τὸ βιβλίον ἐκεῖνο σχεδὸν ταὐτόν ἐστιν τῷ [2] περὶ εὑρέσεως· καὶ τὸ ἰσχυρότερον, ὅτι καὶ αὐτὸς ἐν τῷ τρίτῳ βιβλίῳ περὶ τῶν κεφαλαίων ἀρχόμενός φησιν· [3] „περὶ τῆς τῶν κεφαλαίων εὑρέσεως κατὰ τὴν διαιρετικὴν ἐξεθέμην μέθοδον, ὥστε εὕρεσιν καὶ [4] ἐν ταῖς στάσεσιν ἐκδιδάσκει, καὶ αἱ ἰδέαι δὲ τὸ βιβλίον εὑρέσεις τινῶν διδάσκουσι· τί οὖν ἐστιν εἰπεῖν, ἢ ὅτι ἐν τοῖς ἄλλοις τάξιν μὲν καὶ μεταχείρισιν [5] τῶν εὑρημένων ἐν τῇ φύσει διδάσκει, οὐχ εὕρεσιν δὲ, ἐνταῦθα δὲ εὕρεσιν προηγουμένως προοιμίων καὶ πολλῶν παράδοσιν ἄλλων. καὶ ἔτι ἐν μὲν τοῖς ἄλλοις κοινόν τι ἦν ὄνομα, περὶ ὧν ἔμελλε διδάσκειν, ἐξ οὗ καὶ τὴν ἐπιγραφὴν εὐθέτως ἦν ἐκλαμβάνειν, οἷον στάσεις, ἰδέαι, περὶ τῶν στάσεων, περὶ ἰδεῶν· ἐν δὲ τῷ παρόντι βιβλίῳ οὐδὲν κοινὸν ὄνομα κεῖται γνώριμον τοῖς περὶ ὧν αὐτῷ [6] πρόεισιν ὁ λόγος· ἔστι γὰρ προοίμιον, διήγησις, κεφάλαιον, ἐπιχειρήματα καὶ τἄλλα, ὧν οὐδὲν κοινὸν ὄνομα, τούτων δὲ κοινόν τι τὴν εὕρεσιν παραδί-

1 Farn. ἐπὶ τὰ ἀνεπίγραφα. Consentiunt haec ab initio cum Prolegomenis Planudae T. V. p. 363. 2 Farn. τό. 3 Farn. φησί. 4 καὶ Mon. om. 5 Mon. μεταχείρησιν. 6 Farn. αὐτός.

δωσιν. [7] *Εἰκότως οὖν ἐν μὲν τοῖς ἄλλοις βιβλίοις, εἰ καί τινων αὐτοῖς παρεδίδοντο εὑρέσεις, ἐκ τοῦ κοινοτέρου ἐπεγράψατο· ἐνταῦθα δὲ, ἐπεὶ κοινότερον οὐδὲν ἦν τῆς εὑρέσεως, ἀπ' αὐτῆς τὴν ἐπιγραφὴν ἐποιήσατο· ταῦτ' οὖν ἐπιθεωρητέον καὶ διαθετέον ἄμεινον, ὅτι τὸ προοίμιον ἀπὸ τῶν κιθαρῳδῶν ἐπὶ τοὺς λόγους μεθείλκυσται· οἴμη γὰρ λέγεται ἡ ᾠδή· ἐκείνοις δὲ νόμος ἦν ἐφ' ἑκάστης ᾠδῆς κιθάρᾳ* [8] *ᾀδομένης ἀναφωνεῖν τὸν Διόνυσον· ὡς οὖν πρὸ ἑκάστης οἴμης, τουτέστιν ᾠδῆς, λεγόμενον εἰς Διόνυσον ἀναφώνημα προοίμιον ἐκλήθη· ἐκεῖθεν δὲ καὶ ἐπὶ τοὺς* [9] *ῥητορικοὺς λόγους ἡ κλῆσις μεταληφθεῖσα τοῦ προοιμίου κράτος ἔσχε τῷ χρόνῳ σύνηθες εἶναι τοῖς ῥητορεύουσι. Διατί οὐ διδάσκει ὁ Ἑρμογένης, τί ἐστι προοίμιον καὶ τί ἔργον αὐτοῦ καὶ τίνες ἀρεταὶ, ἀλλ' εὐθέως ἐπὶ τὴν εὕρεσιν αὐτοῦ μόνον ἧκεν; ἢ ὅτι τοῖς ἀρχαιοτέροις περὶ τούτων ἱκανῶς εἴρηται· ἀλλὰ μή ποτε καὶ περὶ ἄλλων ἐκείνων ἱκανῶς εἰπόντων αὐτὸς πάλιν ἐπανέλαβεν· ἄλλως τε πραγματείαν ὁλόκληρον ᾧ σκοπός ἐστιν ἀναγράψαι, οὐκ εἴ τι τοῖς ἀρχαίοις καλῶς καὶ χρησίμως εἴρηται, δεῖ ταύτης ἀφελεῖν, ἀλλ' εἴ τι παραλέλειπται σπουδὴν εἰσάγον* [10] *προσθεῖναι· τοῦτο οὖν ἐπισκεπτέον καὶ διακριτέον, ὅτι ἐλλιπῶς τὴν τῶν προοιμίων εὕρεσιν παραδίδωσιν·* [11] *πολλὰ γάρ ἐστιν ἀρχαῖα προοίμια καὶ μυρία νέα συστῆναι δυνάμενα, ἐξ ὧν οὐδὲν εὑρεθήσεται εἰς οὐδένα τῶν ὑπ' αὐτοῦ παραδεδομένων τρόπων ἀναγόμενον· καίτοι καὶ τῶν ἀρχαιοτέρων, εἰ καὶ κἀκείνων ἐλλιπῶς ἅμα καὶ ἀδιευκρινήτως, ἀλλ' οὖν πολὺ* [12] *πλείους τρόπους παραδεδωκότων, εἰς ὧν ἐνίους μᾶλλον ἀναφέρειν ἐστὶ* [13] *τὰ προοίμια, ἢ εἰς οὓς* [14] *αὐτὸς ἐνόμι-*

---

7 Mon. et Farn. *παράδοσιν.* Parr. *παραδίδωσιν.* 8 Mon. *κιθάρας.* 9 Mon. *τοῖς ῥητορικοῖς λόγοις.* 10 Mon. Farn. *εἰσάγον.* Parr. *εἰσάγειν.* 11 Farn. *παραδίδωσι.* 12 *πολὺ* Farn. om. 13 *ἐστὶ* recepi ex Ald., deest in Parr. Farn. Mon. 14 Mon. *ἅς.*

σεν ἀναφέρεσθαι· τὸ γὰρ ἐκ βαρύτητος προοίμιον καὶ τὸ ἐξ ἐπαίνου τῶν ἀκουόντων, καὶ τὸ ἐξ αἰτίας, οἷον, διατί λέγεις; διὰ τόδε καὶ τὸ ἐξ ἀπολογίας οὐκ ἀπολυούσης μέμψεως, ἀλλ᾽ ἐπιείκειαν μόνον ἐνδεικνυούσης, καὶ πολλὰ ἄλλα, ἃ παρῆκεν Ἑρμογένης, τούτων ἕκαστόν ἐστιν ἰδεῖν καὶ τῷ βίῳ μᾶλλον ἐπιπολάζοντα ἢ τὰ Ἑρμογένους καὶ τὰ τῶν ἀρχαίων προοίμια, τούτοις πλέον ἢ ἐκείνοις ἐμπεριειλημμένα· τὸ γὰρ οὐδένα πώποτε γραψάμενος Αἰσχίνου κατὰ Τιμάρχου κατὰ ἐπιείκειάν ἐστιν ἀπολογίας, καὶ τὸ [15] „εἰ μὲν περὶ καινοῦ τινος προὔκειτο λέγειν“ Δημοσθενικὸν ἐξ αἰτίας προοιμιάζεται· οὔτε δὲ εἰς τὰ ἐξ ὑπολήψεως Ἑρμογένους προοίμια οὔτε εἰς ἕτερόν τι τῶν εἰρημένων αὐτῷ ἀναδειχθῆναι δύναται. τὸ δὲ ἐκ βαρύτητος καὶ τὸ ἐξ ἐπαίνου τῶν ἀκουόντων, καὶ χωρὶς παραδειγμάτων πρόδηλα· ἔτι ἐπιστατέον, ὅτι δικανικοῦ μὲν καὶ συμβουλευτικοῦ λόγου προοίμιον, ὡς καὶ διὰ τῆς διαιρέσεως αὐτῶν καὶ τῶν παραδειγμάτων ἔστιν [16] σαφῶς συνιδεῖν, παραδέδωκεν· ἐγκωμιαστικοῦ δὲ οὐδ᾽ ὁτιοῦν οὐδ᾽ ἐφήψατο, ὥστε ὅλον γε αὐτῷ τῶν ἐπιδεικτικῶν παρεῖται προοιμίων, ἢ οὐ παρεῖται διόλου· εἰ γὰρ καὶ διὰ τῶν παραδειγμάτων οὐκ ἔστιν ἰδεῖν αὐτῶν [17] τὴν γένεσιν, ἀλλ᾽ οὖν ἐν τῇ διαιρέσει περιέχεται· ἔστιν [18] γὰρ ἀπὸ τῆς χρηστῆς τῶν ἀκροατῶν περὶ τὸ πρᾶγμα ὑπολήψεως ἢ φαύλης καὶ ἐγκωμίου καὶ ψόγου πορίσασθαι προοίμιον· ἀλλὰ τὴν διαίρεσιν αὐτοῦ μᾶλλον ἐπιτηρητέον· οὐ γὰρ ἀνάγκη τὸ πρᾶγμα ἢ χρηστὸν ἢ φαῦλον ὑπολαμβάνειν [19] τοὺς ἀκροατάς· πολλῶν γὰρ καὶ οὐδετέραν φέροντες τὴν ὑπόληψιν μέσως περὶ τὸ πρᾶγμα ποιοῦνται τὴν ἀκρόασιν· ἔτι πρὸ τούτου πολλαὶ τυγχάνουσιν ὑποθέσεις, ὧν οὐδ᾽ ὅλως ἔχοντες ὑπολήψεις,

15 Phil. I. init. 16 Farn. ἔστι. 17 Farn. αὐτήν, 18 Farn. ἔστι constanter ante consonantem. 19 Mon. ὑπολαμβάνει.

οὐδὲ γὰρ γνῶσιν, ὅμως ἥκουσιν ἀκοῦσαι, ὥστε τὰ ἐπὶ τούτων προοίμια διαφεύγει καὶ αὐτὴν τὴν ἐπιβολὴν τῆς διαιρέσεως· ἐχρῆν οὖν διαιρούμενον τὰ περὶ τὸ πρᾶγμα λέγειν, ὡς ἢ ἔχουσιν ὑπόληψιν, ἢ ἔχουσι περὶ αὐτὸ οἱ[20] ἀκροαταί· καὶ εἰ ἔχουσιν, ἢ χρηστὴν ἢ φαύλην ἢ μεσάζουσαν· καίτοι οὐδὲ τοῦτο ἀπόχρη, πολλάκις γὰρ ἔχουσι μέν τινας οἱ ἀκροαταὶ περὶ τὸ πρᾶγμα ὑπολήψεις, ὁ δὲ ῥήτωρ ταύτας παρεὶς ἐκ τοῦ μᾶλλον αὐτῷ συμφέροντος προοιμιάζεται, ὥστε ἔδει ἐπιδιαιροῦντα λέγειν, καὶ τούτων ἑκάστην ὑπόληψιν ἣ συμφέρουσαν οἶδεν ὁ ῥήτωρ, ἐὰν μνημονεύσῃ, ἢ μᾶλλον ταύτης ἑτέραν ἔχει συμφέρουσαν, καὶ ταύτην ἑξῆς ὑποτέμνειν· εἰ δὲ σχολῆς δεῖσθαι φήσει[21] τις τὴν ἐπὶ τοσοῦτον τῆς τομῆς πρόοδον, ἴστω, ὡς οὐδεμία τέχνη ἐξ ἐφόδου ἀπαρτίζεται, καὶ ὅτι οὐδὲ τὴν ἀρχὴν ἔδει τάττειν ὑπὸ διαίρεσιν τὰ προοίμια, ἀλλὰ τὸ πλῆθος αὐτῶν ὀκνεῖν ὁμολογεῖν, ἢ ἀρξάμενον μὴ πολλὰ παρέντα δόξαι τι σοφὸν ποιεῖν· ταῦτα οὖν ἀκριβέστερον ἐξεταστέον, καὶ τὴν διαίρεσιν, ἐφ᾽ ὅσον[22] ἐγχωρεῖ τελεωσάμενόν ἢ αὐτὴν ταύτην, ἢ ἑτέρᾳ μεθόδῳ πεπορισμένην τὸν[23] ἐν τοῖς προοιμίοις ἀπελᾶσαι πλάνον χρεὼν ἐστιν καὶ τὴν σύγχυσιν, ἂν ἄρα διδῷ θεός· καὶ ἐφεξῆς δὲ αἱ περὶ τῶν ἐξ ὑπολήψεως διαιρέσεις τὸ παραλελειμμέναν, κατ᾽ αὐτήν γε τὴν διαίρεσιν λέγω, πλεῖστον ἔχουσιν, ὃ ῥᾷον ἀναπληροῦν ἀφορμὴν τὰ προειρημένα χρησίμην ἔχοντα. Ὅτι ἐπισκεπτέον, τίνα φησὶν εὕρεσιν τίνος εὑρέσεως τετυχηκέναι·[24] ἄπορον γὰρ, πῶς εὕρεσις εὑρέσεως τυγχάνει· ἢ διττὸν ἡ εὕρεσις τὸ οἷον εὑρημένον καὶ ἡ εὑρίσκουσα μέθοδος ἢ ἡ εὑρετικὴ λέξις, εἰ βούλει καὶ τὸ ἔργον αὐτῆς· ἀλλ᾽ εἰ καὶ ταῦτα συγχωρηθείη, τίς ἦν ἀνάγκη καὶ μάλιστα

---

20 οἱ Farn. om. 21 Mon. φησί τις. 22 Mon. Farn. ἐφ᾽ ὅσην. 23 Farn. τὴν et in sqq. πλάνον. 24 τετυχηκέναι, ἄπ. γὰρ, πῶς εὑρ. εὑρέσεως Mon. om.

κατ' ἀρχὰς αὐτῆς διδασκαλίαν τέχνης καὶ ἑρμηνείαν ποιούμενον εἰς γρίφους τὸ σαφὲς τοῦ λόγου καταστρέφειν καὶ ἀπορίας παρέχεσθαι; Ἐπιθεωρητέον οὖν καὶ λυτέον τοῦτο, ὅτι πῶς φησιν ἀνασκοπεῖν ἄξιον τὸ πρᾶγμα γεγενημένον, εἶτα περὶ οὗ ἡ κρίσις ἢ τὸ βουλευτήριον· πρῶτον μὲν γάρ, ἐξ ὧν ἔφη τὸ γεγενημένον, τὸ πλεῖστον καὶ κυριάτατον τῶν συμβουλευτικῶν λόγων παρῆκεν, εἴπερ οὐ περὶ τῶν γεγενημένων μόνον, ἀλλὰ καὶ περὶ οὗ, εἰ δεῖ γενέσθαι τόδε τι ἢ μὴ γενέσθαι, μάλιστα συμβουλεύειν ἐγειρόμεθα· ὥστε ἡ διαίρεσις κἀνταῦθα πάλιν ἡμάρτηται·[25] *δεύτερον βουλευτήριον καὶ κρίσιν μόνον εἰπὼν δῆλός ἐστιν καὶ αὐτὸς εἰδώς, ὅτι περὶ τῶν ἐγκωμιαστικῶν προοιμίων οὐδεμίαν φροντίδα εἰσενήνοχεν· ἀλλὰ περὶ μὲν τούτου τάχα τις τὸ τῆς κρίσεως βιασάμενος ἐρεῖ συμπεριειληφέναι καὶ τὰ ἐγκώμια, κρίνουσιν γὰρ οἱ ἀκροαταὶ ἤθη καὶ πράξεις ἀκούοντες τῶν ἐπαινουμένων ἢ ψεγομένων· τάχα δ' ἂν*[26] *τινα τὸ εἰρημένον παρεῖχε παραμυθίαν τῷ ῥητῷ, εἰ μὴ καὶ αὐτὸς ἐφεξῆς παρ' ὅλην τὴν διαίρεσιν δικάζοντας κατηγοροῦντας καὶ ἀπολογουμένους καὶ ἐγκλήματα ἔχοντας εἰσάγει, ἐπαινοῦντας δὲ ἢ ψέγοντας ἢ ἐπαινουμένους οὐδαμοῦ· ἢ ἐρεῖ τις, ὅτι τούτῳ*[27] *γε τῷ λόγῳ οὐδὲ περὶ συμβουλευτικῶν προοιμίων συγχωρεῖ τις αὐτῷ λόγους*[28] *ποιεῖσθαι· καίτοι φανερός ἐστιν καὶ σημαινόμενος καὶ παραδείγματα φέρων λόγου συμβουλευτικοῦ· ἀλλ' οὖν κατὰ τὴν διαίρεσιν οὐ λέγει συμβούλους ἢ συμβουλευόμενον, ἀλλ' εἶδεν ἴσως, ὡς ἀφ' ἑνὸς τῶν τριῶν εἰδῶν τοῦ λόγου, ἤτοι τῶν δικαστικῶν*[29] *καὶ περὶ τῶν ἄλλων ἀφορμὴν τοῦ κοινοῦ νοήματος διδοὺς ἀπέριττος μᾶλλον καὶ σαφὴς δόξειεν ἂν τοῖς εὐγνωμοῦσι. Ταῦτα ἐπισκε-*

---

25 Farn. *ὑμάρτηται.* 26 Farn. *δέ τινα.* 27 Farn. *τοῦτό γε.* 28 Farn. *λόγους.* Mon. *λόγον.* 29 Mon. et Farn. *δικαστῶν.*

πτέον καὶ διακριτέον ἐντελέστερον. ὅτι σκεπτέον, τί βούλεται λέγειν ἐν τῷ εἰπεῖν, αἱ δὲ ἀποδόσεις παντὸς προοιμίου ἀξιώσεις· ἀπὸ δὲ τῶν εὑρέσεων αἱ προτάσεις καὶ προοιμίου δριμύτης· πρότασις, ὅτι ὁ ἀπολογούμενος ἢ ὑπὲρ ἑαυτοῦ ἢ ὑπὲρ ἑτέρου ἀπολογεῖται· καὶ ὁ μὲν κατηγορῶν ὁμοίως ἢ χάριν αὑτοῦ ἢ χάριν ἑτέρου· διάφορα οὖν ἔσται καὶ τὰ προοίμια· ὁ δὲ Ἑρμογένης μονοειδῆ τὸν κατηγοροῦντα καὶ τὸν ἀπολογούμενον ἐν τῇ διαιρέσει παραλαμβάνων τὰ ἐκ τοῦ ἑτέρου μέρους συνιστάμενα προοίμια παραλέλοιπεν· ἢ ῥητέον, ὅτι εἰ καὶ μὴ διεῖλεν Ἑρμογένης ταῦτα,[30] ἀλλ' οὖν καὶ τῶν ὑπὲρ ἑτέρων λεγόντων παράδειγμα τέθεικεν, ὡς τὸ, „ἄνδρες[31] δικασταὶ, μάλιστα μὲν ἕνεκα τοῦ νομίζειν,“ καὶ τὰ ἑξῆς· καὶ ἄλλα δὲ τίθησι τοιαῦτα, ἀλλὰ τοῦτο τὸ προοίμιον πῶς ἂν ῥηθείη ἐξ ὑπολήψεως μᾶλλον, ἢ οὐχὶ ἐξ αἰτίας· διατί γὰρ εἰς τὸ λέγειν ἦλθεν, ἑρμηνεύει, οὐκ ἀποσκευάζεται ὑπόληψιν ἀγαθήν· δεῖ οὖν ἐπιμελέστερον ταῦτα θεωρήσαντας σωματοποιεῖν καλῶς τὴν διαίρεσιν·[32] ὅτι καὶ ἐκ τοῦ λέγειν τὸν Ἑρμογένην, περὶ δὲ τοὺς τὰ ἐγκλήματα λέγοντας ἢ χρησταί εἰσιν ὑπολήψεις ἢ φαῦλαι, ἐπιστήσειεν ἄν τις πάλιν, ὡς περὶ τῶν δικανικῶν λόγων μόνον αὐτῷ ἡ σπουδὴ, ἀλλ' ἐξ ὧν τὰ προειρημένα διακριθείη ἂν, ἐξ ἐκείνων καὶ περὶ τούτου ληψόμεθα τὴν λύσιν· ὅτι τί[33] βούλεται λέγων· „ταῦτά σοι περὶ τῶν ἐξ ὑπολήψεως προοιμίων πεπλήρωται τοῦτον εὑρισκόμενα τὸν τρόπον πανταχῇ·“ ὅτι ἐν παντὶ λόγῳ τὰ ἐξ ὑπολήψεως εὑρίσκεται· καὶ μὴν οὐχ οὕτως ὁρῶμεν ἐπ' αὐτῶν τῶν πραγμάτων, αὐτός τε περίεργος καὶ μάτην ἂν εἴη ἐφεξῆς καὶ ἑτέρους παραδιδοὺς προοιμίων τρόπους· ἢ ὅτι εἰ καὶ μὴ εὑρίσκονται,[34] ἀλλ' οὖν δύναταί τις καὶ

30 Farn. αὐτά. 31 In Lept. init. 32 Mon. διαίρεσιν. 33 τί Mon. Par. 2. Farn. om., recepi ex Par. 1. 34 Mon. Farn. εὑρίσκωνται.

τὰ λοιπὰ πάντα προοίμια μετασχηματισάμενος τὰ ῥήματα μόνον εἰς ταῦτα ἀγαγεῖν· ἀλλ᾽ οὐδὲ τοῦτο δυνατόν· ἔτι δὲ, εἰ ἐκ τῶν ἄλλων εἰς ταῦτά ἐστιν μετασχηματίσαντα ἀγαγεῖν, αὐτόθεν ἐστὶν λαβεῖν, ὡς ὁμοίως ἐστὶν, μᾶλλον δὲ καὶ ἑτοιμότερον ἐκ τούτων πάλιν εἰς ἐκεῖνα μεταλαβεῖν· τί οὖν ἐστιν αὐτῷ τὸ εὑρίσκεσθαι ταῦτα πανταχῇ, ἢ οὐχ εὑρίσκεσθαι λέγει ἁπλῶς πανταχῇ, ἀλλὰ τοῦτον τὸν τρόπον εὑρίσκεσθαι, τουτέστιν καὶ ἐν πᾶσι τοῖς ἄλλοις προοιμίοις, ἅπερ ἀδύνατον ἀριθμῷ περιλαβεῖν. Κατὰ τὸν αὐτὸν τῆς διαιρέσεως τρόπον ἔστιν εὑρεῖν τὰ ἐμπίπτοντα· ἀλλὰ τὸ ἐφεξῆς μετ᾽ ὀλίγον ἔτι ἀπορώτερον τὸν λόγον ποιεῖ· τὸ γὰρ λέγειν περὶ τῶν ἐξ ὑποδιαιρέσεως προοιμίων διαλαμβάνοντα οὐκ ἐν πᾶσι δὲ προβλήμασιν εὑρίσκεται· οὐδὲ πάντα ἐν πᾶσιν· εὔθικτα μὲν γάρ ἐστιν εὑρεθέντα καὶ δριμέα· εἶτα ἐπαγαγεῖν· πολλάκις δὲ φαίνεται τῶν ἐξ ὑπολήψεως ἡ ἀρετή· ὅτι πανταχῆ φαίνεται· πῶς ἂν τοῦτο [35] θεραπευθείη; ἀλλ᾽ ἐπιτηρητέον καὶ ταῦτα ἐπιμελέστερον· ὅτι ἐπισκεπτέον μάλιστα, πῶς ἄλλα μὲν ἡγεῖται, τὰ ἐξ ὑποδιαιρέσεως, παρὰ τὰ ἐξ ὑπολήψεως, ἄλλα δὲ ταῦτα τὰ ἐκ περιουσίας· εἰ γάρ ἐστιν ἕκαστον τῶν εἰρημένων εἰς ἄλληλα μεταβαλεῖν, τὸ σχῆμα τοῦ λόγου παραλλάξαντα, ἢ τοσαῦτα δεῖ γένη προοιμίων ποιεῖν, ὅσα καὶ λόγου σχήματα, ἢ ἀφέντα τὰς κατὰ τὸ σχῆμα διαφορὰς, τὰς δ᾽ ἐν πράγμασι μεταδιώκοντα μὴ ἀντιδιαστέλλειν τὰ ἐξ ὑποδιαιρέσεως, ἢ τὰ ἐκ περιουσίας πρὸς τὰ ἐξ ὑπολήψεως· ταῦτα μὲν γὰρ ἀπὸ πράγματος παρέχεται λαβεῖν τὴν ἐν αὐτοῖς διαφορὰν, ἐκεῖνα δὲ ἀπὸ σχήματος· ἀλλὰ μηδὲ τὰ ἐκ περιουσίας πάλιν πρὸς τὰ ἐξ ὑποδιαιρέσεως· ὅτι δὲ κατὰ σχῆμα μόνον ἐστὶν τούτων ἡ διαφορὰ καὶ πρὸς τὰ ἐξ ὑπολήψεως καὶ καὶ πρὸς ἄλληλα, ἔνεστι [36] τεκμήρασθαι, ἔξεστι [37] γὰρ

35 τοῦτο Mon. et Farn. om. 36 Mon. ἔνθεν ἐστί. Farn. ἔνεστι τεκμαίρεσθαι. 37 Par. 1. ἔστι. Mon. Par. 2. et Farn.

τὰ παραδείγματα τῶν ἐξ ὑπολήψεως λαβόντα εἰς τὰ λοιπὰ μεταπλάττειν, κἀκείνων πάλιν καὶ πρὸς [38] *ἄλληλα καὶ πρὸς τὰ ἐξ ὑπολήψεως· οἷον ὅπερ ἐκεῖ τὸ παράδειγμα τῶν ἐξ ὑπολήψεως, ὅρα ἐκ περιουσίας γινόμενον· ἠδυνάμην, ὦ δικασταὶ,* [39] *τὴν ἀσέλγειαν Μειδίου καὶ τὴν ὕβριν, ἣν πάντες ἐξ ὧν ἐκεῖνος κατὰ πολλῶν τολμᾷ σύνιστε, ταύτην προτιθεὶς εἰς μέσον μυρίων ἄξιον δεικνύναι κακῶν· εἶτα καὶ ἐξ ὑποδιαιρέσεως πάλιν τὸ αὐτὸ προάγειν ἐστὶν παράδειγμα· οἷον καὶ διὰ τὴν ἄλλην μὲν ἀσέλγειαν καὶ ὕβριν, ᾗ πρὸς ἅπαντας κέχρηται Μειδίας, ἄξιός ἐστιν δίκας δοῦναι, ὅτι δὲ καὶ χορηγὸν καὶ τηλικαύτης ἑορτῆς τολμηρῶς οὕτως καὶ δυσσεβῶς προὐπηλάκισεν,* [40] *οὐδ' ἔστιν πρόχειρον τοῦ τολμήματος ἴσην τὴν τιμωρίαν εὑρεῖν· τί οὖν ἐξ ὑπολήψεως τοῦτο καλέσομεν, ἢ ἐξ ὑποδιαιρέσεως, ἢ ἐκ περιουσίας; εἰ δέ τις λέγει, ὅτι τῇ τοῦ σχήματος μεταβολῇ καὶ αἱ ἔννοιαι συμβάλλονται, καὶ καλῶς καὶ ἡ τῶν προοιμίων αὐτῶν διαστολὴ πρὸς ἄλληλα παραδέδοται, πολλὰ λέγειν ἔχων ἐκεῖνα τέως ἐπαναμεμνήσθω, ὅτι τοιγαροῦν ὅσα σχήματα λόγου δυνατόν ἐστιν ἐπινοεῖν, τοσαῦτα καὶ προοιμίων προσῆκεν φιλοτεχνεῖν· ὃ δὲ ἐπὶ ἑνὸς ἐδείχθη παραδείγματος, τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων ἑκάστου κατὰ σχολὴν ῥᾷστόν ἐστιν τῷ βουλομένῳ ἐπιδείξασθαι· ἀλλὰ ταῦτα μὲν ἐπισκεπτέον· καὶ φιλοκρινητέον ἐμμελέστερον, ὅτι τὸ ἀθρόον διττὸν ἢ τὸ ἐξαίφνης ἢ τὸ ὁμοῦ· ὁ γοῦν Ἑρμογένης λέγων τοῦ ἀθρόου πρὸς τὸ μέλλον ὑποδιαίρεσιν ἢ ἀντὶ τοῦ ὁμοῦ τῇ λέξει ἐχρήσατο, ἢ ἰδιαίτερον τὸ ὁλόκληρον πρᾶγμα· ὁμοῦ γάρ πως ἐστὶν κἀκεῖνο, ὅτι ζητητέον, διατί ἀγχίστροφον ἐπωνόμασε τὸ ἀπὸ τοῦ καιροῦ προοίμιον. Ὅτι σκεπτέον, πῶς εἰπὼν, „τὸ δὲ κατὰ τῶν ἐπιπεπλεγμένων προβλημάτων οὐκ ἀναγκαῖον ἐνόμισα προθεῖ-*

ἔξεστι. 38 Farn. ἐς. 39 Farn. ἠδυνάμην ἢ τὴν ἀσ. 40 Farn. προὐπηλάκισας οὐδέν ἐστι.

ναι μάθημα," εἶτα ἐπήγαγεν· ἢ γὰρ καλόν ἐστιν καὶ τῶν ἐξ ὑπολήψεως ὂν φαίνεται· ἢ προκατάστασις ὂν διηγηματικὸν οὐ προοίμιον εὑρίσκεται· εἰ γὰρ ἅπαν ἐπιπεπλεγμένον, ἂν ᾖ προοίμιον, ὥς φησι, τῶν ἐξ ὑπολήψεώς ἐστιν, πῶς οὐχὶ καὶ πᾶν ἁπλοῦν, τῶν ἐξ ὑπολήψεως εἴη ἂν, ἐκ γὰρ ἐκείνων ἡ σύνθεσις· ἢ οὖν καὶ πάντα τὰ ἁπλᾶ κατὰ τὸν αὐτοῦ λόγον ἐξ ὑπολήψεως ἔσται, ἢ εἴ τις προβιάσαιτο,[41] ἐξ ὑπολήψεως καὶ ἐξ ἑτέρου τινὸς μόνου· εἰ γὰρ καὶ τρίτον εἶδος συγχωρηθῇ τὸ ἐκ δευτέρου καὶ τρίτου ἐπιπεπλεγμένον, πῶς ἂν εἴη ἐξ ὑπολήψεως; ὅτε δὲ καὶ πλείω αὐτὸς παραδέδωκε, πῶς ἂν εἴη τὰ ἐπιπεπλεγμένα πάντα ἐξ ὑπολήψεως; οὕτως ἔστιν σαφὲς καὶ εὐθεώρητον, ὅπερ αὐτὸς οὐκ ἀναγκαῖον προθεῖναι ἐνόμισε· ταῦτα τοίνυν διερευνητέον καὶ θεωρητέον ἀκριβέστερον.

Ἀρξόμεθα οὖν πρῶτον ἐκ τοῦ ὁρισμοῦ, τί ἐστιν προοίμιον· οὕτως γὰρ τὸ τί ἐστιν τὴν φύσιν δηλώσομεν· ἐπειδὴ γὰρ πάσης ὑποθέσεως μέρη πέντε εἰσὶν, προοίμιον, διήγησις, ἀντίθεσις, λύσεις αἱ λεγόμεναι πίστεις, ἐπίλογος, τὸν λόγον περὶ προοιμίου[42] ποιήσασθαι προεθέμεθα καὶ οὐ περὶ τῶν λοιπῶν, ἀρκούντως γὰρ τῷ τε Ἑρμογένει καὶ Πορφυρίῳ καὶ ἑτέροις περὶ αὐτῶν λέλεκται. τινὲς δὲ προστιθέασι καὶ ἕτερα τρία· ἔφοδον, παρέκβασιν, αὔξησιν· καί φαμεν εἶναι ταῦτα ἕτερα παρὰ τὰ εἰρημένα· ἔφοδος γάρ ἐστιν ἡ προθεραπεία, ὃ λέγεται προοίμιον· προθεραπεύει γὰρ τοὺς ἀκροατὰς τὸ προοίμιον, ὥστε δέξασθαι τὸν λόγον κατὰ τὴν βούλησιν τοῦ λέγοντος· ἡ δὲ αὔξησις ὁ ἐπίλογός ἐστιν· καὶ γὰρ ἕνεκεν[43] τοῦ θυμικὸν ποιῆσαι τὸν δικαστὴν ἢ ἱλαρὸν, ἢ τοὺς ἀκροατὰς ὁρμητικωτέρους[44] πρὸς τὸ ἐπισφρα-

41 Mon. πρὸς βιάσαι τό. 42 Farn. προοιμίων. 43 Farn. ἕνεκα τοῦ θυμικοῦ. 44 Mon. ὁρμηκότερα. Farn. ὁρμηκοτέρους. Par. 1. ὁρμητικωτ.

γῖσαι τὸν λόγον τῇ τοῦ λέγοντος γνώμῃ ἐπινενόηται ὁ ἐπίλογος· ἡ δὲ παρέκβασις ἢ ἐν τῇ διηγήσει ἐστὶν, ἢ ἐν τοῖς ἀγῶσιν ἢ ἐν τῷ ἐπιλόγῳ· εἰ δ᾽ οὐδ᾽ ἑνὸς τούτων ἐστὶν, περιττόν ἐστιν καὶ ἀχρεῖον, καὶ ἁμαρτάνει ὁ ῥήτωρ χρώμενος αὐτῇ· ὥστε πέντε, καθὰ εἴρηται, μέρη ὑπάρχουσι πάσης ὑποθέσεως, προοίμιον, διήγησις, πίστις, ἤγουν ἀντίθεσις καὶ λύσις τῶν ἀντικειμένων, ἐπίλογος.

Πρὸ τοῦ τοίνυν ὁρίσασθαι, τί ἐστι προοίμιον, ζητήσομεν εἰ ἄρα πάντοτε ὀφείλομεν προοιμιάζεσθαι· καί φασιν οἱ ταῦτα πλέον τῶν ἄλλων ἐξητακότες, ὅτι ἐν τῷ δικαστηρίῳ τῷ ἐν Ἀρείῳ πάγῳ οὐ χρῆσις ἦν προοιμίου·[45] *κῆρυξ γὰρ ἐκήρυττε προσφωνῶν καὶ παρεγγυώμενος τῷ εἰσιόντι· μὴ προοιμιάζου μηδὲ ἐπίλεγε· ἐν Ἀρείῳ δὲ πάγῳ φαμὲν, οὐ περιγράφοντες τὸ ἀπροοιμίαστον, ἀλλὰ δι᾽ αὐτοῦ καὶ τὴν τῶν λοιπῶν δικαστηρίων, βουλευτηρίων τε καὶ ἐκκλησιῶν τάξιν ὑπεμφαίνοντες.*

Ἐνώπιον βασιλέως οὐ δεῖ προοιμιάζεσθαι, ἀλλ᾽ οὐδὲ ἀεὶ[46] *βασιλεὺς προοιμιάζεται· τοῦτο δὲ σκεπτέον καὶ ἐπὶ τῶν λοιπῶν μεγίστων προσώπων, καὶ μάλιστα τῶν δι᾽ εὐλάβειαν καὶ ἀρχιερατικὸν βαθμὸν τό τε αἰδέσιμον καὶ ἀξιόπιστον κεκτημένων· οὐ γὰρ γοητείας λόγου οἱ τοιοῦτοι ἐπιδέονται τὸ πιθανὸν ἐκ*[47] *τοῦ βαθμοῦ καὶ τῶν τρόπων κεκτημένοι· οἱ γὰρ παρόντες ἀκροαταὶ ὡς δεσπόταις αὐτοῖς ὑπείκουσιν,*[48] *καὶ οὐδείς ἐστιν ὁ ἀντιταττόμενος· ὅθεν καὶ βραχυλογίᾳ κέχρηνται*[49] *οἱ τοιοῦτοι ἐν πράξεσι καὶ παρὰ τοῖς ἀρχαίοις εἴρηται· πᾶς*[50] *δεσπότης δούλῳ μονοσύλλαβος, τὸ δὲ ἱκετεύειν μακρόν· ὥστε εἴ τινας τῶν μεγίστων ἀνδρῶν καὶ μάλιστα ἁγιωσύνῃ καὶ γνώσει καὶ βαθμῷ μεγίστῳ τὸ αἰδέσιμον καὶ πιθα-*

45 Cfr. T. V. p. 365. 46 Farn. *εἰ.* 47 Mon. *δέ.* Farn. *ἐκ.* 48 Mon. *ὑπακοῦσιν.* 49 Farn. *κέκτηνται.* 50 Versum restituo: *δούλῳ μονοσύλλαβος πᾶς ἐστι δεσπότης.*

πιθανὸν ἔχοντας μὴ προοιμίοις κεχρημένους εὕρωμεν, οὐ τὴν ἐκ τῆς τέχνης τάξιν ἀγνοοῦντας ὑποληψόμεθα, ἀλλὰ τὸ τῶν ἀκροατῶν εὔεικτον καὶ πειθήνιον εἰδότας μὴ χρονίζειν ἐν ταῖς θωπείαις· μηδὲ λόγον[51] οὐκ ἀναγκαῖον προΐεσθαι, ἀλλὰ ἐπὶ τὰ καίρια καὶ ἀναγκαῖα σπεύδοντας λογισώμεθα.

Τέταρτον, ἐὰν τὸ πρᾶγμα ἐπείγῃ καὶ σπεύδωμεν ἐπὶ τὴν διήγησιν, οὐ προοιμιασόμεθα. ἐὰν ὑπὲρ ἡμῶν ᾖ τὸ πρᾶγμα καὶ θαῤῥοῦντες εἰσερχώμεθα, προοιμίῳ οὐ χρησόμεθα, ἐν δὲ τοῖς λοιποῖς πᾶσι δεῖ προοιμιάζοντας εἴς τε τὸ δικαστήριον καὶ τὸ βουλευτήριον καὶ τὴν ἐκκλησίαν τὴν τοῦ λόγου ἀπαρχὴν ποιεῖσθαι· οὕτως γὰρ ἂν τὸν λόγον ἡμῶν εὐπαράδεκτον[52] ποιησόμεθα. καὶ τοῦτο δὲ γινώσκειν ἀναγκαῖον, ὡς πολλάκις ἔν τισι λόγοις καὶ τρισὶ προοιμίοις χρησόμεθα, ἡνίκα τι κεφάλαιον εἰςαγαγεῖν βουλόμεθα καὶ πρὸς τοῦτο τοὺς ἀκροατὰς προςεχεστέρους ποιεῖν σπεύδομεν.

Ὅρος προοιμίου.

Εἴπωμεν οὖν, καθὰ ὑπεσχόμεθα, τί ἐστιν προοίμιον. προοίμιόν ἐστιν λόγος ἐπεξεργαστικὸς εὐνοίας καὶ εὐμαθείας καὶ προσοχῆς· ἐκ τούτων θεραπεία γίνεται τριχῶς, ὅταν ἢ τὸ αὐτῶν πρόσωπον παριστῶμεν, ἢ τὸ τοῦ ἀντιδίκου διαβάλλωμεν, ἢ τὸ τῶν δικαστῶν ἐπαινῶμεν, καὶ τὸ ἡμέτερον οὕτως εἰσάγωμεν· ἢ γὰρ ἔνδοξον, καὶ θαῤῥοῦντες ἐπαινῶμεν, ἢ ἀδοξότερον καὶ αὐτῷ τούτῳ θεραπεύομεν, καὶ τὸ τοῦ ἀντιδίκου ὁμοίως· ἢ γὰρ ὁμολογούμενόν ἐστιν τὸ ἀδίκημα αὐτοῦ καὶ φανερῶς αὐτοῦ κατηγοροῦμεν, ἢ ἔνδοξόν ἐστιν τὸ πρόσωπον, καὶ ὀφείλομεν μετὰ θεραπείας εἰσαγαγεῖν τὴν κατ᾽ αὐτοῦ γραφήν.

---

51 Farn. λόγους οὐκ ἀναγκαίων. 52 Farn. ἀπαράδεκτον.

Περὶ προσοχῆς.

Προσοχὴ δὲ γίνεται, ὅταν περὶ μεγάλων πραγμάτων ἢ ἀναγκαίων ἢ κατεπειγόντων βουλώμεθα ποιεῖσθαι τὸν λόγον.

Περὶ εὐμαθείας.

Ὁμοίως γίνεται εὐμάθεια ὅταν σαφῶς παριστῶμεν τὸ πρᾶγμα, περὶ οὗ [1] μέλλομεν ποιεῖσθαι τὸν λόγον.

Περὶ εὐνοίας.

Τὴν εὔνοιαν δὲ τῶν ἀκροατῶν ἐπισπασώμεθα δι' ἐπαίνου. ἐπαινοῦμεν δὲ αὐτοὺς πρῶτον μὲν ἐπὶ τῶν ὁμογενῶν προβλημάτων, ἐν οἷς αὐτοὺς πείσαντες ὅμοιόν τι πρόβλημα εἰσάγοντες σπουδάζομεν [2] αὐτοὺς πείθειν λέγοντες, ἵνα καὶ παραδείγμασι χρήσωμαι, ἄξιον ὑμᾶς ἐπαινέσαι, ὦ ἄνδρες ἄριστοι, ἀνθ' ὧν τοῖς τὰ βέλτιστα βουλευομένοις πείθεσθε· ἐξ ὧν λαβὼν παῤῥησίαν καὶ τὰ νῦν ἥκω περὶ τῶν ὁμοίων ὑμᾶς πεισθῆναι οἰόμενος· ἔστωσαν δὲ, ὡς εἴρηται, ἐν τοῖς τοιούτοις ὁμογενῆ· δεύτερον δὲ ἐὰν βουλευσάμενος πείσῃς, καὶ ἀκόλουθον βουλεύῃ, καὶ τότε χρήσῃ τῷ ἐπαίνῳ· οἷον ἄξιον ὑμᾶς ἐπαινεῖν ἐπὶ τοῖς πρώην πεισθέντας, ἥκω δὲ καὶ νῦν τὰ ἀκόλουθα βουλεύων καὶ πεισθῆναι ὑμᾶς μὴ ἀμφιβάλλων· τρίτον ἐπαινεῖν δεῖ τοὺς παρόντας, ὅταν περί τινος δυσχεροῦς εἶναι δοκοῦντος λέγῃς καὶ πεῖσαι βούλῃ, ὡς ἂν ἐκ τοῦ ἐπαίνου ἑλκύσῃς αὐτοὺς εἰς τὸ ὑπακοῦσαι.

Πόθεν λαμβάνεται τὸ προοίμιον.

Λαμβάνομεν προοίμιον καὶ ἀπὸ τοῦ εὐθίκτου καὶ ἀπὸ τοῦ εὐστόχου, ὅταν αὐτοῦ τοῦ πράγματος τῆς ὑποθέσεως ἐφαπτώμεθα· οἷον νέος πλούσιος ἀποβλέπει συν-

1 Farn. ὅ. 2 Mon. σπουδάζωμεν α. πείσειν. correxi ex Farn. — v. 15. Codd. πείθεσθαι, scr. πείθεσθε. v. 20. καὶ ex Farn. recepi.

εχῶς εἰς τὴν ἀκρόπολιν καὶ δακρύει καὶ κρίνεται τυραννίδος ἐπιθέσεως· ἐροῦμεν γὰρ τὸ προοίμιον οὕτω καθαπτόμενοι αὐτοῦ· δακρύει μὲν οὗτος, ὦ ἄνδρες ἄριστοι, καὶ ἀγανακτεῖ διὰ τὸ μηδέπω τῆς ἀκροπόλεως κρατεῖν, νῦν δὲ δικαίως οἶμαι δακρύειν αὐτὸν, δόντα τιμωρίαν, ἵνα μὴ τούτου περιόντος δακρύσωμεν ἡμεῖς.

Πόθεν ἄλλοθεν λαμβάνεται προοίμιον.

Ἔτι λαμβάνεται προοίμιον καὶ ἀπὸ γνώμης, ὡς ὁ Δημοσθένης λέγει·[3] οὐδέν ἐστιν χαλεπώτερον, ἢ γείτονος χαλεποῦ τυχεῖν· οὗτος γὰρ ἐπιθυμήσας τοῦ χωρίου μου πράγματά μοι παρέχει.

Πόθεν ἄλλοθεν λαμβάνεται προοίμιον.

Ὅτι καὶ ἀπὸ τῶν περιστατικῶν μορίων λαμβάνεται προοίμιον· ταῦτα δέ ἐστιν, οἷον πρόσωπον, πρᾶγμα, χρόνος, τρόπος, τόπος, αἰτία, ὕλη. ἀπὸ μὲν οὖν τοῦ προσώπου προοίμιον γίνεται, ὅταν ἢ τοῦ στρατηγοῦ ἢ τοῦ τριηράρχου[4] πρόσωπον ἐπαινέσωμεν ἢ διαβάλωμεν·[5] ἀπὸ δὲ τοῦ πράγματος, ὡς ὁ Δημοσθένης· πρῶτον μὲν τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, ἐδήλωσε τὸ πρᾶγμα· ἀπὸ δὲ τοῦ χρόνου, εἰ ἐν ἱερομηνίᾳ ἢ ἑορτῇ ἑτέρᾳ πέπρακταί τι· φήσομεν γάρ· ὄντως μὲν οὐκ ἄξιον τῆς παρούσης ἑορτῆς τόδε τι πέπρακται· εἰ δὲ καλῶς τὸ ἐναντίον· ἀπὸ δὲ τοῦ τρόπου, εἰ διὰ σιδήρου ἢ διὰ φαρμάκου γέγονέ τις θάνατος· χαλεπὸν γὰρ ἐροῦμεν θανάτου[6] τρόπον· ὁ δὲ τόπος ὅμοιός ἐστιν τῷ χρόνῳ· ἀπὸ δὲ τῆς αἰτίας, ὅτι προδότης ἦν[7] οὗτος ἢ ἐχθρός· οὐδὲν θαυμαστὸν, εἰ τοῦτον, ὦ ἄνδρες δικασταὶ, διεπράξατε·[8]

---

3 In Callicl. init. 4 Farn. ταξιάρχου. 5 Mon. διαβάλλωμεν. 6 Farn. τοῦ θαν. 7 Farn. ἦν. Mon. οὖν. 8 Mon. πράξαιτο.

ἀπὸ δὲ τῆς ὕλης, πολλοῖς μὲν, ἄνδρες ἄριστοι, γέγονεν αἴτιος οὐκ ἀγαθῶν τρόπων ὁ πλοῦτος· ἐξ οὗ καὶ οὗτος τὴν καθ᾽ ἡμῶν τυραννίδα ἐμελέτησε· καὶ ταῦτα μὲν οὕτως· ἵνα δὲ μηδὲ ἃ καὶ ἕτεροι περὶ προοιμίων λέγουσιν ἐάσωμεν ἀμνημόνευτα, φασί τινες ὁριζόμενοι οὕτως· προοίμιόν ἐστιν ἀρχὴ σύμπαντος λόγου καὶ σπερματικῶς ἔχον τὰ τῆς ὑποθέσεως· ἐν αὐτῷ γὰρ τὸ πρᾶγμα μανθάνομεν.

Ποταπὸν δεῖ εἶναι τὸ προοίμιον.

Δεῖ εἶναι τὸ προοίμιον σαφὲς καὶ σύντομον καὶ περιηγμένον καὶ λέξιν μεταφορικὴν [9] ἔχον.

Πόσα προοίμια δέχεται ἕκαστος λόγος.

Ἰστέον, ὅτι οὐ μόνον ἐν ἀρχῇ τοῦ λόγου γίνεται προοίμιον, ἀλλὰ καὶ ὅπου ἤ τι [10] ἂν λεγόμενον θεραπεῦσαι αὐτὸ χρὴ, ἐν ὅτῳ μέρει τῆς ὑποθέσεως εὕρηται, ὥστε μὴ μόνον ἓν, ἀλλὰ καὶ δύο καὶ τρία, εἰ τύχοι [11] καὶ τέσσαρα προοίμια εὑρίσκεσθαι.

Πόσα μέρη τοῦ προοιμίου.

Εἰσὶ δὲ μέρη τοῦ προοιμίου τέσσαρα κατὰ τὴν τελειότητα τῆς ὑποθέσεως τῷ τελείῳ ἀριθμῷ κοσμουμένου αὐτοῦ, ὡς ἐκ τοῦ τέσσαρες ἀριθμοῦ τῶν δέκα γεννώμενα, καὶ ὅτι τῷ σύμπαντι ἀναλογῶν ὁ λόγος ὡς τῶν ὄντων τὸ τιμιώτατον ἐκ τεσσάρων ἔχει μερῶν τὴν ἀρχήν. α΄. προτάσεως· β΄. αἰτίας αὐτῆς· γ΄. ἀνταποδόσεως καὶ τῆς συναγωγῆς αὐτῶν, τῆς καὶ βάσεως παρὰ τῷ Ἑρμογένει λεγομένης.

---

9 Negatio in Parr. Farn. et Mon. desideratur. 10 Mon. Farn. ἤ. Par. 1. ἤ τι ἀντιλεγόμενον. 11 Par. 1. τύχῃ. Mon. Farn. Par. 2. τύχοι.

Τί ἐστιν πρότασις.

Πρότασίς ἐστιν τὸ ἐν ἀρχῇ προτεινόμενον τοῦ λόγου.

Τί ἐστιν αἰτία.

Ἡ τὸ εὔλογον παριστῶσα [12] τῆς προτάσεως ἣ καὶ αἰτία αὐτῆς καὶ κατασκευὴ ὀνομαζομένη.

Τί ἐστιν ἀξίωσις.

Ἀξίωσις δὲ ἡ καὶ ἀπόδοσις λεγομένη, καθ' ἣν ἀποδίδομεν τὸν λόγον πρὸς τὰ εἰρημένα, καὶ ἢ παρεγγυώμενοι ἢ κελεύοντες λέγομεν· διώνυμος δέ ἐστιν, καὶ ἀξίωσις λεγομένη καὶ ἀπόδοσις, ἐπειδὴ ἢ δεόμεθα ἢ κελεύομεν· καὶ ἡνίκα μὲν δεόμεθα, λέγεται ἀξίωσις, ἡνίκα δὲ τὸ προσῆκον εἰσάγομεν παρακελευόμενοι, ὡς ἐκ τοῦ προςήκοντος ἔχοντες [13] τὴν παῤῥησίαν, ἀπόδοσις.

Τί ἐστιν συναγωγή.

Συναγωγὴ δέ ἐστιν βάσις, καθ' ἣν πάντα τὸν προῤῥηθέντα συνάγομεν λόγον.

Παράδειγμα προοιμίου τὰ τέσσαρα μέρη ἔχοντος.

Ῥήτωρ ἐφυγαδεύθη, στασιαζούσης τῆς πόλεως ἔγραψε νόμον περὶ ὁμονοίας, ὡμονόησεν ἡ πόλις καὶ γράφει τις αὐτὸν κατελθεῖν. πρότασις· ἔδει [14] μηδὲ τὴν ἀρχὴν ἐκεῖνον φυγῇ περιβληθῆναι τότε· αἰτία· ὁ γὰρ λόγος βεβαίαν τὴν εὔνοιαν αὐτοῦ ἐποίησεν· ἀξίωσις ἤτοι ἀπόδοσις· ἐπειδὴ τοίνυν ἔργοις μεμαθήκαμεν [15] τὴν προαίρεσιν αὐτοῦ, ταχέως αὐτὸν εἰς τὴν πόλιν δεχώμεθα· πολλάκις δὲ προκατασκευῆς ἐπὶ τῇ προτάσει καὶ ἑτέρα ἐπιγίνεται πρότασις, εἶθ' οὕτως ἐπάγεται ἡ κατασκευή, ἢ μία κοινὴ τῶν δύο προτάσεων, ὅταν οὐ διΐστανται [sic] κ. τ. λ. T. V. p. 383. v. 11—21. Πρώτη πρότασις· ἐν πολλοῖς μέν, ὦ Δημόνικε,

---

12 Mon. περιστῶσα. Farn. παριστῶσα. 12 Mon. ἔχοντος. 14 Farn. add. μέν. 15 Mon. Farn. μεμαθηκότες, scr. μεμαθήκαμεν.

πολὺ διεστώσας εὑρήσομεν τάς τε τῶν σπουδαίων γνώμας, καὶ τὰς τῶν φίλων διανοίας· κατασκευὴ ταύτης· οἱ μὲν γὰρ τοὺς φίλους παρόντας μόνον τιμῶσιν, οἱ δὲ μακρὰν ἀπόντας ἀγαπῶσιν· εἶτα δευτέρα πρότασις· πολὺ δὲ μεγίστην διαφορὰν εἰλήφασιν ἐν ταῖς πρὸς ἀλλήλους συνηθείαις· εἶτα δευτέρα κατασκευὴ τῆς δευτέρας προτάσεως· καὶ τὰς μὲν τῶν φαύλων συνηθείας ὀλίγος χρόνος διέλυσε, τὰς δὲ τῶν σπουδαίων φιλίας οὐδ᾽ ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν.

Περὶ παραδείγματος δύο ἐν ἑνὶ λόγῳ προοίμια.

Εἴπομεν εὑρίσκεσθαι ἑνὶ λόγῳ δύο καὶ τρία προοίμια, καὶ οὐκ ἐκρίναμεν δίκαιον ἄνευ ἀποδείξεως καταλιπεῖν τὴν δόξαν ἡμῶν, ἵνα μὴ φανῶμεν ἀναπόδεικτα λέγοντες, ἢ τοῖς ἀκούουσιν ἡμῶν πράγματα ὦμεν παρεχόμενοι τῇ ἐρευνήσει τῶν παραδειγμάτων σχολάζουσιν. ἐν τοίνυν τῷ τρίτῳ λόγῳ τῶν Ὀλυνθιακῶν δυσὶ προοιμίοις ὁ καθηγεμὼν τῆς τέχνης ἐχρήσατο, οἷον „οὐχὶ ταὐτὰ παρίσταταί μοι γινώσκειν, ὦ ἄνδρες Ἀθηναῖοι, ὅταν τε εἰς τὰ πράγματα ἀποβλέψω, καὶ ὅταν εἰς τοὺς λόγους, οὓς ἀκούω·“ καὶ πληρώσας τὸ προοίμιον ἀπήρξατο δευτέρου προοιμίου λέγων· „ὁ μὲν οὖν παρὼν καιρός, ὦ Ἀθηναῖοι, εἴπερ ποτὲ, καὶ νῦν πολλῆς φροντίδος καὶ βουλῆς δεῖται·“

Παράδειγμα τοῦ λόγου τοῦ ἔχοντος προοίμια τρία.

Ἐρευνήσαντες δὲ τὸν δεύτερον λόγον τῶν Ὀλυνθιακῶν εὕρομεν τρία προοίμια, ἅπερ ἐκθησόμεθα εἰς δήλωσιν τῶν ἐντυγχανόντων· τὸ μὲν οὖν πρῶτον προοίμιον τόδε· „ἐπὶ πολλῶν ἂν τις ἰδεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, δοκεῖ μοι τὴν παρὰ τῶν θεῶν εὔνοιαν φανερὰν γενομένην τῇ πόλει· οὐχ ἥκιστα δὲ ἐν τοῖς παροῦσι πράγμασιν·“ εἶτα πληρώσας τὸ προοίμιον ἤρξατο ἄλλου προοι-

μίου· τὸ μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν Φιλίππου ῥώμην[16] διεξιέναι, καὶ διὰ τούτων τῶν λόγων προτρέπειν τὰ δέοντα ποιεῖν ὑμᾶς οὐχὶ καλῶς ἔχειν ἡγοῦμαι· εἶτα ἡ κατασκευή· διατί δὲ, ὅτι μοι δοκεῖ πάντα ὅσα εἴποι τις ὑπὲρ τούτων, ἐκείνῳ μὲν ἔχειν φιλοτιμίαν, ἡμῖν δὲ οὐχὶ καλῶς πεπρᾶχθαι· καὶ πληρώσας τὰ τοῦ δευτέρου προοιμίου καὶ μιαρά τινα ἐπειπὼν τοῦ τρίτου ἀπήρξατο προοιμίου, οἷον, „τὸ μὲν οὖν ἐπίορκον καὶ ἄπιστον καλεῖν ἄνευ τοῦ τὰ πεπραγμένα δεικνύναι λοιδορίαν τις ἂν φήσειεν εἶναι κενὴν δικαίως,“ καὶ οὐκ ἀγνοῶ, ὥς τινες κακῶς κρίναντες οὐ προοίμιον τοῦτο ἔφασαν, ἀλλὰ τῶν ἀγώνων ἀπαρχὴν, ἐγὼ δὲ εἰ μὴ πάντας ᾤμην κρίνειν τούτους ἐσφάλθαι, οὐκ ὤκνησα ἂν ἀποδεῖξαι προοίμιον οὐκ εἰσαγωγὴν ἀγώνων εἶναι τὴν πρότασιν, ἀλλὰ τούτων μὲν ἅλις· μεταβῶμεν δὲ ἐπὶ τὰ κατεπείγοντα.

Ἰστέον, ὡς τῶν προβλημάτων τὰ μέν ἐστιν ὁμοιογενῆ, τὰ δὲ ἑτερογενῆ· καὶ ὁμοιογενῆ μὲν λέγονται, ὅσα κοινωνοῦσιν ἀλλήλοις κατά τι συμβεβηκὸς, εἴτε κατὰ περίστασιν, εἴτε κατὰ τὴν ἔκβασιν, ἢ κατὰ τὴν ποιότητα τῶν προσώπων ἢ κατὰ τοὺς τρόπους ἢ κατὰ ἄλλο τι· ἐν τοῖς τοιούτοις οὖν προβλήμασιν εἰ πείσαντες τοὺς ἀκροατὰς ἐν πρώτοις δεύτερον ἀγῶνα εἰσάγωμεν, τῷ ἐξ ἐπαίνου θεωρήματι ἐν τῷ προοιμίῳ χρησόμεθα, λέγοντες οὕτως· ἄξιον μὲν οὖν ὑμᾶς, ὦ ἄνδρες ἄριστοι, ἐπαινεῖν καὶ τὴν ἀρετὴν ὑμῶν θαυμάζειν, ὡς τοῖς καλῶς λεγομένοις πειθομένους, καὶ τῶν λυσιτελῶν πολλοῦ[17] λόγον ποιουμένους· ἀνθότου παῤῥησιασάμενος τὰ νῦν ἐπὶ τὸν ἀγῶνα εἰσελήλυθα περὶ τῶν ὁμοίων εἰσηγήσασθαι καὶ ὕλην παρασχεῖν τῇ σπουδῇ τῇ ὑμετέρᾳ.

---

16 Codd. uno ore πόλιν, edd. ῥώμην. 17 Farn. πολλοῦ λόγου. Mon. πολλῶν λόγου. Par. 1. πολλοῦ λόγον.

Περὶ τῶν ἀκολούθων τῶν πρώην προβλημάτων.

Ἀλλὰ καὶ εἰ περὶ ἀκολουθούντων βουλευόμεθα, ἐξ ἐπαίνου τὴν ἀπαρχὴν τοῦ προοιμίου ποιησόμεθα, ὡς ἐπὶ τούτου· ὁ Θεμιστοκλῆς πείσας ἐκλιπεῖν τὴν πόλιν βουλεύεται ἐμπρῆσαι τὴν πόλιν· φήσει τοίνυν, ὁρῶν ὑμᾶς πεπεισμένους, ἐφ᾽ οἷς μικρῷ πρόσθεν εἰσηγησάμην, πρόθυμος τὰ νῦν γεγονὼς ἥκω τὰ τοῖς πρώτοις ἑπόμενα συμβουλεύσασθαι.

Περὶ τῶν δυσχερῆ βουλευομένων.

Εἰ δὲ περί τινος δυσχεροῦς βουλευόμεθα, ὁμοίως τῷ ἐξ ἐπαίνου θεωρήματι χρησόμεθα, τὸ συμφέρον προβαλλόμενοι καὶ τῷ ἐπαίνῳ τῷ περὶ αὐτοὺς, καὶ τῷ λυσιτελεῖ πρὸς πεισμονὴν τοὺς ἀκροατὰς ἐφελκόμενοι λέξομεν οὕτως· τὴν περὶ πάντα τὰ λυσιτελῆ σπουδὴν ὑμᾶς ὁρῶν ἔχοντας, ὦ ἄνδρες ἄριστοι, καὶ τὸ πρόθυμον τὸ περὶ τὰ πρακτέα καὶ δυσχερῆ μέλλω λέγειν· ἀλλὰ διὰ τὴν ἐξ αὐτῶν τῇ πατρίδι ὠφέλειαν γενησομένην οὐκ ἄξιον ἔκρινα σιγῆσαι, ὑφορώμενος τὴν ἐκ τῆς ἀγνωμοσύνης τοῦ γένους διαβολήν.

Περὶ ἀποτεύξεως τῆς πρώτης βουλῆς, ποίῳ θεωρήματι χρησόμεθα ἐν τῇ δευτέρᾳ βουλῇ.

Εἰ δέ τινα γνώμην εἰσαγαγὼν ἀποτύχοις τοῦ πεῖσαι, εἶτα εἰσέρχῃ τοῦ προθεῖναι [18] βουλὴν δευτέραν θεωρήματι χρήσῃ τῷ ἐσχηματισμένῳ τῷ ἐκ βαρύτητος λέγων οὕτως· εἰ καὶ περὶ τῶν προτέρων οὐχὶ κακῶς παρά τισιν ἔδοξα συνεωρακέναι τὸ βέλτιον, ὅμως οὐκ ἔδοξέ μοι καλῶς ἀθυμήσαντι σιγῆσαι, ἵνα μὴ κακόνους δόξω τῇ πατρίδι, ἀλλὰ τὰ δοκοῦντά μοι νῦν συμφέροντα εἰσηγήσασθαι. Παράδειγμα· ἔγραψεν Αἰσχίνης τρισκαιδέκα-

18 Farn. προσθεῖναι.

τον θεὸν νομίζειν Φίλιππον· ἀντειπὼν Δημοσθένης ἡττήθη· ὁ δὲ σχηματίζεται ἐν τῇ δευτέρᾳ αὐτοῦ βουλῇ καὶ ναοὺς αὐτῷ κατασκευασθῆναι.

Περὶ τῶν νικησάντων ἔν τινι ἐν ἑτέραις βουλαῖς πεῖσαι καὶ νικῆσαι ποίῳ προοιμίῳ χρησόμεθα.

Ἡνίκα τις νικήσας πάλιν εἰσιὼν ἀντιλέγει[19] *σοι, τῷ ἐκ διαβολῆς προοιμίῳ χρήσῃ λέγων οὕτως· τὸ μὲν αὐθάδη καὶ καταφρονητὴν γενέσθαι αὐτὸν, ὦ ἄνδρες δικασταὶ, οὐδὲν θαυμαστόν· τὸ γὰρ περικρατεῖν ἐκ συνηθείας*[20] *λαβὼν, νομὴν εἴληφε τοῦ ἀντιλέγειν, ἐν οἷς ἂν αὐτῷ δόξειε· καὶ σὺ μὲν οὖν*[21] *ὁ ἀντιλέγων χρήσῃ τῷ ἐκ διαβολῆς· ἐκεῖνος δὲ χρήσεται τῷ ἐξ ἐπαίνου τῶν ἀκροατῶν, ὡς καὶ ἐν τοῖς προτέροις καὶ ἀκολούθοις πεῖσαι αὐτὸν σπουδάζων· οἷον, Ἄνυτος καὶ Μέλιτος*[22] *διαβαλόντες Σωκράτην καὶ νικήσαντες γράφουσι πάλιν καὶ τοὺς ἑταίρους*[23] *αὐτοῦ ἐλαύνειν· ὁ τοίνυν Ἄνυτος καὶ Μέλιτος χρήσονται τῷ ἐξ ἐπαίνου, ὁ δὲ συνηγορῶν τοῖς τοῦ Σωκράτους ἑταίροις χρήσεται, ὡς εἴρηται, τῷ ἐκ διαβολῆς θεωρήματι.*

Ἐν πόσοις εἴδεσι προβλημάτων τῷ ἐκ βαρύτητος θεωρήματι χρησόμεθα.

Ἡνίκα τοίνυν συνεχῶς τις κρίνεται,[24] *τῷ ἐκ βαρύτητος χρήσεται θεωρήματι ἐν προοιμίοις· οἷον συνεχῶς τις νέος πλούσιος κρινόμενος τυραννίδος ἐπιθέσεως τὴν οὐσίαν αὐτοῦ κατεπόντωσεν ἐν θαλάσσῃ καὶ κρίνεται. Ἄλλο, ῥήτορες ἐξεδόθησαν τῷ Φιλίππῳ· καὶ ἀφεθέντες οὐ πολιτεύονται καὶ κρίνονται· ἁρμόσει οὖν ἐν αὐτοῖς τὸ ἐκ*

19 Farn. *ἀντιλέγει.* Mon. *ἀντιλέγῃ.* 20 Farn. *συνθήκης.* Mon. *λαβὼν* om. 21 *οὖν* Par. 1. et Mon. om., est in Farn. Pro *ὁ* Mon. *ὦ.* 22 Mon. et Farn. *Μέλητος* bis. 23 Farn. *ἑτέρους.* Mon. *αὐτοῦ* om. 24 Mon. *κρίνηται.* Farn. *κρίνεται.*

βαρύτητος προοίμιον λεγόντων· οὐκ ἦν, ὡς ἔοικε, τῶν κακῶν ἀπαλλαγή· πρώην [25] μὲν πολιτευόμενοι κινδύνοις περιεπέσομεν, νῦν δὲ τὸ σιωπᾷν κρίνοντες δίκαιον εἰς δικαστήριον ἥκομεν· πρὸ τούτου τοίνυν βουλὰς βουλεύοντες νῦν παρὰ ἑτέρων γνώμην ζητοῦμεν ὅ τι καὶ πράξομεν.

III.

ΣΗΜΕΙΩΔΕΣ ΕΙΣ ΤΑΣ ΕΥΡΕΣΕΙΣ.

Σημείωσαι, ὅτι τοῦ πολιτικοῦ λόγου μέρη εἰσὶ τέσσαρα, προοίμια, διηγήσεις, πίστεις, ἐπίλογος, ἅπερ μεθοδεύονται ἀπὸ τῶν πρὸ τοῦ πράγματος καὶ ἀπ᾽ αὐτῶν τῶν ἐν τῷ πράγματι, καὶ ἀπὸ τῶν μετὰ τὸ πρᾶγμα, καὶ λέγονται προαγῶνες καὶ ἀγῶνες, καὶ μετὰ τοὺς ἀγῶνας. καὶ πάλιν ὀνομάζονται τὰ πρὸ τῆς ὑποθέσεως καὶ τὰ ἐν αὐτῇ τῇ ὑποθέσει καὶ τὰ μετὰ τὴν ὑπόθεσιν· ἐκ τούτων δὲ καὶ τῶν ἐπικαίρων αἱ πίστεις τὸ κράτος εἰλήφασιν.

Σύνοψις τοῦ πρώτου τόμου προοιμίων.

Σημείωσαι, ὅτι αἱ παρατηρήσεις τῶν ἐξ ὑπολήψεως προοιμίων, αἱ ἐπὶ τοῦ πολιτικοῦ λόγου λαμβανόμεναι, εἰσὶν αὗται· πρῶτον σκοπεῖν τὸ πρᾶγμα, εἴτε ἀγαθόν ἐστιν εἴτε φαῦλον, δεύτερον τὰς περὶ τὸ πρόσωπον ὑπολήψεις, τῶν δικαζόντων φημὶ, τῶν κατηγορούντων, τῶν ἀπολογουμένων, τῶν ἐχόντων αὐτὰ τὰ πράγματα· καὶ τὰ ἐγκλήματα τῶν ἔξωθεν ἐμφαινομένων. πρῶτον τοίνυν ἀπὸ τῶν δικαζόντων ὁμοῦ γενικοὶ τόποι προοιμίων δύο, ἀπό τε τοῦ εἶναι τὸ πρᾶγμα χρηστὸν καὶ μή· δεύτερον ἐκ τῶν

---

25 Mon. πρῶτον. Farn. πράην.

κατηγορούντων ὁμοῦ γενικοὶ τόποι προοιμίων καὶ αὐτοὶ ἓξ [1] *ἀπὸ ἔχθρας καὶ φθόνου· βασκαίνεται δὲ δόξα ἢ πλοῦτος· ἀπὸ δὲ τῆς ἔχθρας τῶν κατηγορούντων οὐχ ἁπλῶς ἓν γίνεται προοίμιον, ἀλλὰ διάφορα, καὶ δεῖ ποτὲ μὲν παραιτεῖσθαι τὰς ἔχθρας, ποτὲ δὲ ὁμολογεῖν· καὶ ἐκ μὲν τοῦ παραιτεῖσθαι τρεῖς τόποι προοιμίων, ἐκ δὲ τοῦ ὁμολογεῖν εἷς· ἐκ δὲ τῶν ἀπολογουμένων πάλιν ὁμοῦ γενικοὶ τόποι προοιμίων τρεῖς, ὁ ἀπὸ εὐνοίας καὶ κέρδους, οὓς ποτὲ μὲν παραιτούμεθα, ποτὲ δὲ κατά τινα λόγον ὑποδεχόμεθα, καὶ ὁ ἀπὸ τῶν προσηκόντων, οἷον ἐὰν ὑπὲρ συγγενῶν πυιώμεθα* [2] *τοὺς λόγους. ἐκ* [3] *δὲ τῶν ἐχόντων αὐτὰ τὰ πράγματα καὶ τὰ ἐγκλήματα ὁμοῦ γενικοὶ τόποι προοιμίων τέσσαρες, καὶ ἐὰν κατηγορῶμεν, τὰς φύσει προσούσας φαύλας ὑπολήψεις βεβαιώσομεν, ἢ τὰς χρηστὰς διαλύσομεν· ἐὰν δὲ ἀπολογώμεθα, τοὐναντίον ποιήσομεν, τὰς μὲν χρηστὰς βεβαιοῦντες ὑπολήψεις, τὰς δὲ φαύλας διαλύοντες· ἐκ δὲ τῶν ἔξωθεν ἐμφαινομένων γενικὸς τόπος προοιμίων εἷς, ὅταν λέγωμεν, τί ἂν βούλοιντο τέλος οἱ πολέμιοι καὶ οἱ ἐχθροὶ γενέσθαι·* [4] *καὶ οὗτοί εἰσι καὶ οὕτω γίνονται καὶ καλοῦνται οἱ ἐκ τῶν ὑπολήψεων ἑκκαίδεκα τόποι προοιμίων· ἐκ δὲ τῶν ἐξ ὑποδιαιρέσεως προοιμίων ὁμοῦ γενικοὶ τόποι τρεῖς, ἀπὸ δύο πεπραγμένων ἀδικημάτων, ὧν καὶ τὸ ἕτερον ἀναδέξασθαι δύναται κρίσιν,* [5] *δεύτερον δὲ, ὅταν περὶ τὸ ἓν πρόσωπον δύο ὑπῶσιν ὑπολήψεις, ἥ τε* [6] *φύσει προσοῦσα, καὶ ἡ ἐπιγινομένη· τρίτον, ὃ καλεῖται τοῦ ἀθρόου πρὸς τὸ μέλλον ὑποδιαίρεσις· τῶν δὲ ἐκ περιουσίας προοιμίων ὁμοῦ γενικοὶ τόποι τρεῖς· πρῶτος, ὅταν μικροτέρου κρίνοντες δυνώμεθα* [7] *λέγειν, ὅτι ἐδυνάμην καὶ μείζονος αὐτὸν κρίνειν·*

---

1 Farn. ἓξ ὁ *ἀπό*. 2 Farn. ποιούμεθα. 3 Farn. καὶ τῶν. 4 Mon. *γίνεσθαι*. Farn. *γενέσθαι*. 5 Mon. κρίνεσθαι. Farn. κρίσιν. 6 Farn. ἡ τῇ. 7 Mon. Farn. δυνάμεθα.

καὶ πάλιν κατά τινα λόγον ἔτι μείζονος, καὶ τρίτον ὅταν εὐεργετήσας τις τιμωρίας ἀντὶ τιμῆς ἠξίωται.

Τὸ ἀπὸ καιροῦ προοίμιον γενικὸν τόπον ἕνα ἐπέχει, καίπερ ὂν ἄφατον καθ᾽ ὑπερβολὴν τῇ δυνάμει· τὸ ἀπὸ τῶν ἐσχηματισμένων προβλημάτων προοίμιον καὶ αὐτὸ [8] γενικὸν τόπον ἕνα ἐπέχει· τὸ ἀπὸ τοῦ ἀντιθέτου προοίμιον καὶ αὐτὸ γενικὸν τόπον ἕνα ἐπέχει· ὅπερ ἐστὶν ζηλωτὸν καὶ παγκόσμιον καὶ [9] πάντα νοῦν κοσμοῦν· καὶ γὰρ καὶ περιοδικῶς καὶ πνευματικῶς καὶ ποικίλως ἀεὶ συντίθεται· ὁμοῦ δὲ πάντες τόποι τῶν προοιμίων εἰσὶ πέντε καὶ εἴκοσιν· ἑκκαίδεκα μὲν ἐξ ὑπολήψεως, ἐξ ὑποδιαιρέσεως δὲ καὶ ἄλλως ποικίλως ἐννέα. Σημείωσαι δὲ, ὅτι σύγκειται πᾶν προοίμιον ἐκ προτάσεως, ἐκ κατασκευῆς τῆς προτάσεως, ἐξ ἀποδόσεως, [10] ἐκ βάσεως, ἥτις οὐκ ἀεὶ ἐμπίπτει· καὶ εἰ μὲν πολιτικῶς ἐθελήσεις στῆσαι τὸ προοίμιον, εἰς τὴν ἀξίωσιν ψιλὴν αὐτὸ κατάπαυσον, εἰ δὲ πανηγυρικῶς, πρόσθες καὶ τὴν τῆς ἀξιώσεως αἰτίαν. κῶλα δὲ προοιμίων ἐν μὲν τοῖς πολιτικοῖς τὰ μακρὰ καὶ σχοινοτενῆ, ἐν δὲ τοῖς παθητικοῖς τὰ συνεστραμμένα καὶ εὔκολα. περιβάλλονται δὲ τὰ προοίμια καὶ διὰ μόνων λέξεων καὶ δι᾽ αὐτῶν τῶν κώλων καὶ κομμάτων· καὶ λοιπὸν αὕτη ἐστὶν, καὶ οὕτω γίνεται καὶ καλεῖται ἡ μικρὰ σύνοψις τοῦ πρώτου τόμου τῶν προοιμίων. [11]

---

8 καὶ αὐτὸ γενικὸν τόπον ἕνα — — — καὶ παγκόσμιον Farn. om. 9 Mon. Par. 2. et Farn. ὡς. Par. 1. καί. 10 Farn. ἀποδοχῆς. 11 Sequuntur in codd. τὰ προλεγόμενα τῶν ἰδεῶν, eadem quae Planudes habet T. V. p. 437., quibuscum ea contuli. Eorum, quae sequuntur, pars continetur etiam in codice Vindob. 18., textui Hermogenis praemissa.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ ά ΒΙΒΛΙΟΥ ΤΩΝ ΙΔΕΩΝ.

Μέρη ἐστὶν [1] ὀκτὼ, ἐξ ὧν ἑκάστη ἰδέα γίνεται καὶ πᾶς λόγος, ά. ἔννοια, οἷον ἐπιχείρημα· β΄. μέθοδος, ἥτις ἐστὶν σχῆμα τῆς διανοίας· γ΄. λέξις. δ΄. σχῆμα, ὅ ἐστιν τῆς λέξεως δηλονότι. έ. κῶλα. ς΄. συνθήκη. ζ. ἀνάπαυσις. ή. ῥυθμός.

Τάξις τῶν ή μερῶν τῆς δυνάμεως.

ά. Ἔννοια πρῶτον, ὃ καὶ [2] ἰσχυρότατον. β΄. λέξις. γ΄. σχῆμα τῆς λέξεως. δ΄. μέθοδος, ἥτις ἐστὶν ἐννοίας σχῆμα. ἐν δὲ τῇ δεινότητι πρώτην ἔχει τάξιν κατὰ δύναμιν ἡ μέθοδος. έ. συνθήκη καὶ ἀνάπαυσις καὶ ῥυθμός· ἐν δὲ τῇ ποιήσει οὐ τὴν τελευταίαν ἔχει τάξιν. Ἰδέαι εἰσὶν ζ. γενικαὶ μὲν γ΄. εἰδικαὶ [3] δὲ δ΄. σαφήνεια, ᾗ ἐναντία ἀσάφεια· μέγεθος, ᾧ ἐναντίον εὐτέλεια· ἐπιμέλεια, κάλλος, ᾧ ἐναντίον τὸ ἀμελές· [4] μέχρι δὲ τοῦ κάλλους τὸ ά βιβλίον· γοργότης, ᾗ ἐναντίον τὸ ἀργὸν καὶ ὕπτιον· ἦθος, ἀλήθεια, ἣν καὶ διάθετον καλεῖ καὶ ἔμψυχον, καὶ ἡ δεινότης. Σαφηνείας εἴδη β΄. καθαρότης, ᾗ ἐναντίον περιβολὴ, εὐκρίνεια, ᾗ ἐναντία σύγχυσις. μεθόδου εἴδη ς΄. σεμνὸν, ᾧ ἐναντίον ἀσάφεια· περιβολὴ, ᾗ ἐναντίον καθαρότης· τραχύτης, ᾗ ἐναντία γλυκύτης καὶ ἐπιείκεια. λαμπρότης, ᾗ ἐναντίον γοργότης, καὶ τὸ κομματικὸν καὶ διαλεκτικόν· ἀκμὴ, ᾗ ἐναντίον γλυκύτης καὶ ἐπιείκεια κατὰ τὴν ἔννοιαν, αἳ καὶ σφοδρότητι καὶ τραχύτητι ἐναντιοῦνται. κατὰ δὲ τὰ λοιπὰ τὸ κομματικὸν καὶ διαλεκτι-

1 Vind. εἰσίν. 2 Mon. Par. 2. ἔννοια ά. ἰσχυρότατον, recepi lectionem Vind. Numeros sqq. Vind. om. 3 Mon. ἰδικαὶ, scr. εἰδικαί. 4 Mon. Par. 2. ἀμερὲς. Vind. ἀμελές.

κὸν καὶ γοργὸν, ἃ [5] καὶ τῇ λαμπρότητι ἐναντία ἐστίν· σφοδρότης, ᾗ ἐναντίον γλυκύτης καὶ ἐπιείκεια, αἳ καὶ τῇ τραχύτητι καὶ τῇ ἀκμῇ εἰσιν ἐναντίαι. Τοῦ ἤθους εἴδη δ΄. ἐπιείκεια, ᾗ ἐναντία τραχύτης· ἀκμὴ, σφοδρότης, ἀφέλεια, ᾗ ἐναντίον σεμνότης· τὸ ἀληθὲς καὶ ἐνδιάθετον, βαρύτης, ἥτις αὐτὴ μὲν καθ᾽ ἑαυτὴν οὐ θεωρεῖται, συνίσταται δὲ ἔκ τε ἀφελείας καὶ ἐπιεικείας καί τινος τῶν ἄλλων ἠθικῶν. Ἀφελείας εἴδη β΄. γλυκύτης, ᾗ ἐναντία τραχύτης καὶ ἀκμὴ καὶ σφοδρότης· δριμύτης· τὴν γλυκύτητα δὲ ἐπίτασιν εἶναι τῆς ἀφελείας φασίν. ἰδέαι ἄτομοι δ΄. κάλλος, γοργότης, ἀλήθεια· περὶ δὲ ταύτης οὐδὲν διδάσκει ὅλως, ἔοικεν οὖν ἡμαρτῆσθαι ἡ τῶν ἀτόμων ἰδεῶν ἀπαρίθμησις· δεινότης.

Περὶ κοινωνίας καὶ διαφορᾶς τῶν ἰδεῶν τοῦ ἀτόμου.

Καθαρότης τίσι κοινωνεῖ; τῇ εὐκρινείᾳ, λέξεσι ταῖς κοιναῖς, καὶ μὴ τροπικαῖς, κώλοις καὶ τοῖς κομματικοῖς, συνθήκῃ, ἀναπαύσει, ῥυθμῷ· κεχώρισται δὲ αὕτη τοῖς λοιποῖς τρισὶ, τῇ ἐννοίᾳ, τῇ μεθόδῳ καὶ τοῖς λοιποῖς σχήμασι. Καθαρότης τίσι κοινωνεῖ; τῇ σεμνότητι, σχήμασι, κώλοις, ἀναπαύσει, συνθήκῃ ἐν μέρει· ἀλλ᾽ ἐν μὲν καθαρότητι οὐ βέβηκεν. ἐν δὲ σεμνότητι βέβηκε, κοινωνεῖ μόνῳ τῷ ἵστασθαι τὸν λόγον ἐπί τινος τῶν οἰκείων ποδῶν τῇ ἰδέᾳ· σχήματι ποίῳ; τῇ ὀρθότητι· κώλοις ποίοις; τοῖς μικροῖς καὶ κομματικοῖς· ἀναπαύσει ποίᾳ; τῷ ἱστάναι τὸν λόγον ἐπί τινος τῶν οἰκείων ποδῶν τῇ ἰδέᾳ κατὰ τοῦτο μόνον. συνθήκῃ κατὰ τί; κατὰ μόνην τὴν σύγκρισιν τῶν φωνηέντων. Πόσαι ἰδέαι τοῦ μεγέθους; κατὰ τί μὲν κοινωνοῦσιν ἀλλήλαις, κατὰ τί δὲ χωρίζονται; α΄. τραχύτης. β΄. λαμπρότης. γ΄. ἀκμὴ, σφοδρότης· τραχύτης κοινωνεῖ τῇ ἀκμῇ ἐννοίᾳ, λέξει·

5 Mon. Par. 2. ἃ καὶ τῇ λ. ἐναντίον ἐστί. Vind. ἃ καὶ τ. λ. ἐναντία εἰσί.

τραχύτης, καθαρότης καὶ σεμνότητι κοινωνεῖ συνθήκῃ, συγκρούσει γὰρ χαίρει τῶν φωνηέντων· τραχύτης κοινωνεῖ τῇ σφοδρότητι, ἐννοίαις ταῖς ἐπιτιμητικαῖς καὶ ἐλεγκτικαῖς· διαφέρει δὲ τῷ τὴν μὲν τραχύτητα κατὰ μειζόνων εἶναι προσώπων, τὴν δὲ σφοδρότητα κατὰ ἐλαττόνων, ἢ καὶ καθ᾽ ὧν οἱ ἀκούοντες ἡδέως δέξαιντο· μεθόδῳ, λέξει τῇ τροπικῇ, καὶ ἀφ᾽ ἑαυτῆς τῇ σκληρᾷ συνθήκῃ, ἀναπαύσει, ῥυθμῷ· διαφέρει δὲ σχήμασι, κώλοις. Λαμπρότης κοινωνεῖ τῇ καθαρότητι, σχήματι τῷ κατὰ ἀπόστασιν· διαφέρει δὲ τῷ πλαγιασμῷ καὶ τοῖς ἄλλοις. ἀκμὴ καθ᾽ ἑαυτὴν οὐκ ἔχει ὑπόστασιν, ἀλλ᾽ ἡ μίξις τῶν ἀπὸ τῆς τραχύτητος καὶ σφοδρότητος καὶ τῶν ἀπὸ τῆς λαμπρότητος ποιεῖ τὴν ἀκμήν. ἀκμὴ τίνας ἐννοίας ἔχει καὶ μεθόδους; τῆς τραχύτητος καὶ σφοδρότητος. Λέξιν τίνος; τραχύτητος καὶ σφοδρότητος καὶ λαμπρότητος· περιβολὴ κοινωνεῖ τῇ εὐκρινείᾳ διὰ τῆς τοῦ κατ᾽ ἄθροισιν προσλήψεως· καὶ τῷ χωρισμῷ· περιβολὴ κοινωνεῖ εὐκρινείᾳ καὶ ἀφελείᾳ κατὰ τὸ σχῆμα τὴν ἀπαρίθμησιν· ἀλλ᾽ εἰ μὲν ταχεῖαν λάβοι τὴν ἀνταπόδοσιν, ἔσται εὐκρινὲς καὶ ἀφελὲς τὸ σχῆμα· εἰ δὲ διὰ μακροῦ, περιβλητικόν· κάλλος κοινωνεῖ τῇ καθαρότητι κατὰ τὴν λέξιν καὶ τὸ σχῆμα τὸν μερισμόν· κάλλος κοινωνεῖ τῇ περιβολῇ κατὰ τὸ σχῆμα τὸν μερισμόν. ἀλλ᾽ ἐν μὲν τῷ κάλλει κατὰ συζυγίαν γίνεται, ἐν δὲ προβολῇ διὰ μακροῦ ἀποδέδοται. κάλλος κοινωνεῖ λαμπρότητι καὶ σφοδρότητι καὶ ἀκμῇ τῷ κατὰ ἀναίρεσιν σχήματι.

Περὶ κοινωνίας καὶ διαφορᾶς τοῦ τόμου τοῦ β΄.

Γοργότης κοινωνεῖ τῇ καθαρότητι κατὰ ἀνάπαυσιν, εἰς[6] τροχαϊκοὺς πόδας[7] καταλήγουσα· γοργότης κοινωνεῖ τῇ εὐκρινείᾳ, τῷ κατὰ μερισμὸν σχήματι καὶ κατὰ ἀνά-

6 Vind. τὴν ε. τρ. π. καταλήγουσαν. 7 Mon. τρωχαϊκοὺς παῖδας.

παυσιν τὴν εἰς τροχαϊκοὺς πόδας καταλήγουσαν· γοργότης κοινωνεῖ τῇ ἀκμῇ κατὰ τὸ ἀσύνδετον· ἀλλ᾽ ἐν μὲν ἐκείνῃ μηκύνεται, ἐν δὲ τῇ γοργότητί ἐστιν κομματικόν, γοργότης κοινωνεῖ τῇ περιβολῇ κατὰ σχῆμα τὸ ἐπιτρέχον καὶ κατὰ τὴν ὑποστροφὴν καὶ κατὰ τὸν μερισμόν· ἀλλ᾽ ἐν περιβολῇ μὲν διὰ μακροῦ ἀποδίδοται, ἐν δὲ γοργότητι δι᾽ ἐλαχίστου· γοργότης κοινωνεῖ τῷ κάλλει κατὰ τὸ σχῆμα τὸν μερισμόν, ἀλλ᾽ ἐκεῖ μὲν κατὰ συζυγίαν γίνεται, ἐν δὲ τῇ γοργότητι ἄλλως κοινωνεῖ καὶ κατὰ τὴν ἀναστροφήν· ἔτι κοινωνεῖ τὸ κάλλος καὶ κατὰ ἀνάπαυσιν. ἀφέλεια κοινωνεῖ τῇ καθαρότητι κατ᾽ ἔννοιαν, κατὰ μέθοδον, κατὰ πλείους λέξεις, κατὰ σχῆμα, κατὰ κῶλον, κατὰ συνθήκην. ἀφέλεια κοινωνεῖ τῇ σεμνότητι κατὰ ἀνάπαυσιν τὴν βεβηκυῖαν καὶ τὸν ῥυθμόν· γλυκύτης κοινωνεῖ τῇ καθαρότητι κατὰ μέθοδον, κατὰ σχῆμα· γλυκύτης κοινωνεῖ τῇ ἀφελείᾳ κατὰ μέθοδον καὶ κατὰ σχῆμα καὶ κατὰ λέξιν, τὴν ἰδίαν τῆς ἀφελείας οὖσαν παρὰ τὴν καθαράν· γλυκύτης κοινωνεῖ τῷ κάλλει κατὰ ἔνια τῶν σχημάτων καὶ κατὰ τὴν συνθήκην· γλυκύτης κοινωνεῖ τῇ σεμνότητι κατὰ τὸ πλεονάζον τοῖς αὐτοῖς ἐν τῇ συνθήκῃ ποσίν. γλυκύτης κοινωνεῖ τῇ σεμνότητι ἅμα καὶ ἀφελείᾳ κατὰ τὴν ἀνάπαυσιν τὴν βεβηκυῖαν καὶ τὸν ῥυθμόν.[8]

Ἰδέαι εἰσὶν ζ'. σαφήνεια, μέγεθος, κάλλος, γοργότης, ἦθος, ἀλήθεια, δεινότης. τούτων γενικαὶ γ'. σαφήνεια, μέγεθος, ἦθος· αἱ δὲ λοιπαὶ δ' εἰδικαί·[9] ἄτομοι δὲ κάλλος, γοργότης, ἀλήθεια, δεινότης·[10]

Σύνο-

8 Sequitur in Vind. διαίρεσις ἰδεῶν, in schema genealogicum redacta. 9 Mon. ἰδικαὶ, scr. εἰδικαί. 10 Mon. addit: σαφήνεια γενικὴ ἰδέα, quod est initium schematis genealogici idearum, quod habet Par. 2. hoc loco.

Σύνοψις[11]

τῶν περὶ καθαρότητος εἰρημένων.

Ἔννοια ἡ πᾶσι κοινὴ καὶ μηδὲν ἔχουσα τοῖς πολλοῖς ἀσαφές· μέθοδος, ὅταν ἐξ αὐτοῦ τοῦ πράγματος ἄρχηταί τις[12] ψιλῶς, μηδὲν ἔξωθεν προςλαμβάνων, γένος εἴδει ἢ ὅλον μέρει ἢ ἀόριστον ὡρισμένῳ ἢ ποιότητα πράγματος· λέξις ἡ μὴ τροπικὴ, ἀλλὰ κοινὴ καὶ εἰς ἅπαντας ἥκουσα·[13] σχῆμα τὸ κατ᾽ ὀρθὴν εἰσαγόμενον πτῶσιν· κῶλα μικρὰ[14] καὶ κόμματα καὶ καθ᾽ ἑαυτὰ τὴν διάνοιαν ἀπαρτίζοντα· συνθήκη ἡ μηδὲν φροντίζουσα[15] συγκρούσεως φωνηέντων· ἀνάπαυσις ἡ ἰαμβικὴ τροχαϊκὴ καὶ αἱ τούτων καταλήξεις.[16]

Σύνοψις περὶ εὐκρινείας.

Ἔννοιαι αἱ καταστατικαὶ πᾶσαι[17] καὶ εἰς ἀρχὴν ἀνάγουσαι[18] τὸν λόγον καὶ αἱ διατυποῦσαι τὴν τάξιν τῶν μελλόντων λέγεσθαι καὶ αἱ συμπληρώσεις· μέθοδος τὸ κατὰ φύσιν τιθέναι τὰ πράγματα, τὰ πρῶτα πρῶτα, καὶ τὰ δεύτερα δεύτερα, καὶ ταῖς ἀντιθέσεσιν ἐπάγειν τὰς λύσεις· σχῆμα τὸ κατ᾽ ἄθροισιν καὶ ὁ μερισμὸς καὶ ἡ ἀπαρίθμησις, λέξις, κῶλα, συνθήκη, ἀνάπαυσις καὶ[19] ῥυθμὸς ὁμοίως[20] τῇ καθαρότητι.

---

11 Συνόψεις has etiam Monac. 327. post singula capita contextui interponit: h. l. Σύνοψις καθαρότητος. Ἔννοιαι αἱ πᾶσι κοιναὶ καὶ μηδὲν ἔχουσαι. 12 τις ex Mon. 327. recepi. 13 Mon. 327. addit: καὶ μὴ ἐφ᾽ ἑαυτῆς σκληρά. 14 Mon. 327. τὰ μικρὰ καὶ κομματικά. 15 Mon. 327. περὶ συγκρ. φωνηέντων, ἰαμβικὴ, τροχαϊκή· ἀνάπ. ἰαμβικὴ, τροχ. 16 Mon. 327. addit: ῥυθμὸς, ὅταν ὁ λόγος μέτρα τινὰ, μὴ μέντοι παντάπασιν ἔμμετρος ᾖ. 17 Mon. 327. πᾶσαι om. 18 Mon. 327. ἄγουσαι καὶ διατυπ. 19 καὶ ῥυθμὸς Mon. 8. om. Par. 2. καὶ om. 20 Mon 8. et Par. 2. ὅλως. Mon. 327. ὁμοίως.

Σύνοψις τῶν περὶ σεμνότητος.

Ἔννοιαι αἱ περὶ θεῶν ὡς περὶ θεῶν καὶ ὁρῶν [21] καὶ σκηπτῶν καὶ τῶν τοιούτων· μέθοδοι αἱ κατὰ ἀπόφασιν καὶ χωρὶς ἐνδοιασμοῦ [22] ἐξ ἀφηγήσεως λεγόμεναι καὶ ἀλληγορικαὶ ὅτι διαρκοῖεν, τουτί ἐστιν πληροῖεν τὸν λόγον· λέξις ἡ πλατεῖα καὶ διογκοῦσα τὸ στόμα, ἡ διὰ τοῦ ά καὶ ή καὶ ώ, καὶ πολὺν [23] ἐπίσχουσα χρόνον ἐν τῇ προφορᾷ· σχῆμα [24] ὁμοίως τῇ καθαρότητι τὸ κατ᾽ ὀρθότητα καὶ αἱ ἐπικρίσεις· κῶλα ὡς ἐν καθαρότητι τὰ βραχύτερα καὶ κομματικὰ καὶ δίκην ἀφορισμῶν· [25] συνθήκη ἡ συγκρούουσα τὰ φωνήεντα καὶ ἡ διὰ δακτύλων καὶ ἀναπαίστων καὶ σπονδείων ἀνάπαυσις, ἡ ἱστῶσα τὸν λόγον ἐν σπονδείῳ ἢ δακτύλῳ καί τινι τῶν ἄλλων ποδῶν οἰκείων τῇ σεμνότητι χωρὶς καταλήξεως.

Σύνοψις τῶν περὶ τραχύτητος.[1]

Ἔννοιαι αἱ μειζόνων προσώπων ἐπιτίμησιν ἔχουσαι ἀπό τινος τῶν ἐλαττόνων ἀπαρακαλύπτως· μέθοδος τὸ ἀπαρακαλύπτως καὶ ψιλῶς κατ᾽ ἐπιτίμησιν, ἀλλὰ μὴ ἄλλως· μηδὲ συμπλέκοντα τοῖς λειαίνουσι [2] τὴν ἀκοὴν εἰσάγειν τὰς ἐννοίας· [3] λέξις ἡ τετραυμένη καὶ ἀφ᾽ ἑαυτῆς σκληρά· σχήματα τὰ προστακτικὰ καὶ κατ᾽ ἐρώτησιν ἐλεγκτικά· κῶλα τὰ βραχύτερα καὶ μᾶλλον κομματικά. συνθήκη ἡ σύγκρουσιν [4] φωνηέντων ἔχουσα καὶ ἄρυθμος [5] καὶ ἀνακόλουθος.

---

21 Mon. 8. Par. 2. ὁρῶν. Mon. 327. ὡρῶν. 22 Mon. 327. καὶ ἐξ. 23 Mon. 8. πλὴν ἔχουσα. Par. 2. πολὺν ἔχουσα, sine καὶ. Mon. 327. καὶ πολὺν ἐπίσχουσα. 24 Mon. 327. σχήματα ὁμοίως τῇ καθ. τὰ κατ᾽ ὀ. Par. 2. Mon. 8. σχῆμα ὅλως. 25 Mon. 327. ἀφορισμοῦ.

ος

1 Mon. 8. τραχύτητα. 2 Mon. 8. λυαίνουσι. Mon. 327. λεαίνουσι. Par. 2. λειαίνουσι. 3 εἰσάγειν τὰς ἐννοίας ex Mon. 327. recepi, a quo vero abest: τὴν ἀκοήν. 4 Mon. 327. συγ-

Σύνοψις τῶν περὶ σφοδρότητος.

Ἔννοιαι αἱ ἐπιτομικαὶ καὶ ἐλεγκτικαὶ κατὰ ἐλαττόνων προσώπων καὶ κατὰ[6] ὧν ἂν οἱ ἀκούοντες ἡδέως δέξαιντο[7] τὰς λοιδορίας· μέθοδος τὸ ἀπαρακαλύπτως καὶ ψιλῶς λέγειν τὰς ἐννοίας· λέξις ἡ πρὸς πρᾶγμα ὀνοματοποιουμένη, σχῆμα τὸ κατὰ ἀποστροφὴν καὶ[8] δεικτικόν· κῶλα τὰ μᾶλλον κόμματα καὶ μηδὲ κόμματα, ἀλλὰ[9] κατ᾽ ὄνομα λέγεται· συνθήκη ἡ σύγκρουσιν[10] φωνηέντων ἔχουσα καὶ ἄρυθμος,[11] ὡς ἐν τραχύτητι· καὶ[12] ἀνάπαυσις ὁμοίως ἀνακόλουθος.

Σύνοψις τῶν περὶ λαμπρότητος.

Ἔννοιαι, ὅταν πεποίθησιν ἔχῃ ὁ λέγων, ἐν οἷς ἂν λέγοι διὰ τὸ ἔνδοξον εἶναι ἢ διὰ τὸ καλῶς πεπρᾶχθαι ἢ διὰ τὸ χαίρειν τοῖς λεγομένοις τοὺς ἀκούοντας· μέθοδος, ὅταν προηγουμένως εἰσάγῃς τὰς ἐννοίας, ὅταν ὡς θαῤῥῶν καὶ μηδὲν[13] ἐνδοιάζων, ὅταν ἀφηγούμενος μὴ διακόπτῃς ἀφηγήσεις, ὅταν τὰ ἔνδοξα ἐνδοξοτέρως λέγῃς· λέξεις, αἵπερ καὶ σεμναὶ, αἱ πλατεῖαι καὶ διογκοῦσαι τὸ στόμα καὶ αἱ λοιπαί· σχῆμα[14] τὸ κατ᾽ ἀναίρεσιν, τὸ ἀσύνδετον, εἰ μηκύνοιτο τὰ κῶλα, ὁ πλαγιασμὸς, καὶ αἱ ἀποστάσεις· συνθήκη, ἀνάπαυσις, ῥυθμὸς, ὡς ἐν σεμνότητι.

κρούσεις. 5 Mon. 327. καὶ ἄρυθμος οὖσα καὶ ἀνακολούθους πόδας ἔχουσα. Ἀνάπαυσις ἡ ὁμοίως τῇ συνθήκῃ ἀνακόλουθος κατὰ τοὺς πόδας. 6 Mon. 327. καθ᾽ ὧν, sq. ἂν ex eodem recepi. 7 Mon. 8. Par. 2. ἐδέξαιντο. 8 Mon. 327. τὸ δεικτ. 9 Mon. 327. ἀλλ᾽ ἃ κατὰ ὄν. λέγει. 10 Mon. 8. σύγκρουσιν om. Mon. 327. habet: σύγκρισιν. Par. 2. σύνθεσιν. 11 Mon. 327. ῥυθμός. 12 Mon. 327. ἀνάπαυσις [omisso καὶ] ὡς ἐν τραχύτητι ἀνακόλουθος. Mon. 8. et Par. 2. ὅλως ἀνακόλ., posui ut supra ὁμοίως. 13 Mon. 8. Par. 2. μή. 14 σχήματα τὰ Mon. 327.

Σύνοψις τῶν περὶ ἀκμῆς εἰρημένων.[15]

Ἔννοιαι[16] καὶ μέθοδος, αἵπερ εἰσὶ καὶ τραχύτητος καὶ σφοδρότητος, αἱ τῶν μειζόνων προσώπων ἐπιτίμησιν ἔχουσαι καὶ κατὰ ἐλαττόνων ἐπιτιμητικαὶ καὶ ἐλεγκτικαί· μέθοδος τὸ ἀπαρακαλύπτως εἰσάγειν κατ᾽ ἐπιτίμησιν τὰς ἐννοίας, ὅ ἐστιν τραχύτητος καὶ σφοδρότητος· σχήματα ὅσα καὶ ἐν λαμπρότητι καὶ ἐν σφοδρότητι τὸ κατὰ ἀναίρεσιν, τὸ ἀσύνδετον, εἰ μηκύνοιτο τὰ κῶλα, αἱ ἀναπαύσεις· σφοδρότητα δὲ τὸ κατὰ ἀποστροφὴν καὶ τὸ δεικτικόν· κῶλα, συνθήκη, ἀνάπαυσις, ῥυθμὸς, ὡς ἐν λαμπρότητι.

Σύνοψις τῶν περὶ τῆς[17] περιβολῆς.

Λέξις[18] ἰδία οὐκ ἔστιν περιβολῆς· πλὴν εἴ τις τὰς ἰσοδυναμούσας ἑτέραις εἴποι, οἷον τὸ δεσπότης καὶ κύριος,

---

15 εἰρημένων. Mon. 327 om. 16 Mon. 327. Ἔννοιαι ἀκμῆς, οἷαί εἰσιν ἔννοιαι τραχύτητος καὶ σφοδρότητος, ἀλλὰ καὶ αἱ τῆς λαμπρότητος, σχήματα οἷα τῆς τε λαμπρότητος καὶ σφοδρότητος. Κῶλα δὲ συνθήκη, ἀνάπαυσις, ὡς ἐν λαμπρότητι πάντα. 17 τῆς Mon. 327. om. 18 Mon. 327. Ἔννοιαι, ὅσαι ἔξωθέν τι προσλαμβάνουσιν εἰς τοῦτο, περὶ οὗ ὁ λόγος, οἷον γένος εἴδει, ἢ ἀόριστον ὡρισμένῳ, ἢ ὅλον μέρει· περιβολὴν δὲ ποιεῖ καὶ τὸ κατὰ ἄθροισιν ἔξωθεν προσλαμβανόμενον, εἰ καὶ μὴ προσληφθείη τὸ ἀόριστον, καὶ ὅταν μὴ ψιλὰ καὶ καθ᾽ ἑαυτὰ λέγῃς τὰ πράγματα, ἀλλὰ μετὰ τῶν παρακολουθούντων. Μέθοδος τὸ ἀναστρέφειν τὰ πράγματα, καὶ τὰ δεύτερα πρῶτα λέγειν τῇ τάξει, καὶ τὸ τὰς κατασκευὰς καὶ πίστεις προτάττειν τᾶν προτάσεων· καὶ ἡ ἐπιμονὴ λέξις ἰδία οὐκ ἔστιν περιβολῆς, πλὴν εἴ τις τὰς ἰσοδυναμούσας ἑτέραις εἴποι, οἷον τό· δεσπότης, κύριος, ὅπερ οὐ δοκεῖ αὐτῷ· σχήματα τὰ ἐφελκόμενα ταῖς πρώταις δευτέρας ἢ τρίτας ἐννοίας, ἥ τε ἀπαρίθμησις καὶ τὸ ἀπαριθμητικὸν, καὶ τὸ κατὰ προτίμησιν, καὶ τὸ κατὰ ὑπόθεσιν μερισμοῦ καὶ οἱ ἀποδιδόμενοι, εἶτα τὸ κατὰ ἄρσιν καὶ θέσιν, καὶ τὸ ἐξ ἀναιρέσεως συμπλεκτικὸν, καὶ τὸ σύστροφον, καὶ ἡ ἐπεμβολή· κῶλα δὲ καὶ τὰ λοιπὰ περιβολῆς ἴδια οὐκ

ὅπερ οὐ δοκεῖ αὐτῷ· σχήματα τὰ ἐφελκόμενα ταῖς πρώταις καὶ δευτέρας ἢ τρίτας ἐννοίας· ἥ τε ἀπαρίθμησις καὶ τὸ ἀπαριθμητικὸν καὶ τὸ κατὰ προτίμησιν καὶ τὸ καθ᾽ ὑπόθεσιν μετὰ μερισμοῦ καὶ οἱ πλαγιασμοὶ καὶ τὸ ἐπιτρέχον καὶ ἡ ἀπόστασις καὶ οἱ μερισμοὶ διὰ μακροῦ ἀποδιδόμενοι εἶτα τὸ κατὰ ἀναίρεσιν καὶ θέσιν καὶ τὸ ἐξ ἀναιρέσεως συμπλεκτικὸν καὶ τὸ κατὰ συστροφὴν καὶ ἡ ἐπεμβολή.

Σύνοψις τῶν περὶ κάλλους.

Ἔννοιαι ἢ μέθοδοι τοῦ τοιούτου κάλλους οὐκ εἰσὶ, πλὴν εἴ τις λέγοι τὴν δριμύτητα· σχήματα αἱ παρισώσεις καὶ αἱ κατὰ κῶλα ἐπαναφοραὶ, ἀλλὰ μὴ κατὰ κόμμα, ἡ ἀντιστροφὴ, εἰ μὴ κατὰ κῶλον λέγοιτο, ἡ ἀναστροφή, ἡ κλίμαξ, αἱ ἀναιρέσεις, οἱ κατὰ συζυγίαν μερισμοὶ, τὸ καθ᾽ ὑπέρθεσιν ὑπερβατὸν, τὰ καινοπρεπῆ, ἡ διὰ β′ ἀποφάσεων κατάφασις, τὸ πολύπτωτον· κῶλα τὰ μετρίως μικρότερα καὶ μὴ ἔχοντα σύγκρουσιν φωνηέντων καὶ τὰ ἐξ ἐπιπλοκῆς βραχέα· συνθήκη ἡ ἄνευ συγκρούσεως καὶ ἐγγὺς φωνηέντων.

Σύνοψις τῶν [19] περὶ γοργότητος.

Ἔννοια γοργότητος [20] οὐκ ἔστιν, εἰ μή τις ἄρα τὰ ὀξέα τῶν νοημάτων γοργὰ λέγοι [21] ταῖς ἀντιθέσεσιν ὁμοῦ· μέθοδος τὸ ταῖς ἀπαντήσεσι ταχείαις χρῆσθαι καὶ ταῖς ἀντιθέσεσιν ὁμοῦ· σχήματα, τὰ μὲν ἐξαιρούμενα τὴν ὑπτιότητα, οἷον ἐπιστροφήν· ἐξ ἐπεμβολῆς τὸ ἐπιτρέχον, τὰ δὲ ποιοῦντα γοργότητα· οἷον τὰ τμητικὰ, ἅ ἐστιν ταῦτα· τὸ ἀσύνδετον, κομματικὸν, τὸ κατ᾽ ὄνομα κομματικὸν, αἱ δι᾽ ἐλαχίστου ἐξαλλαγαὶ, οἱ δι᾽ ἐλαχίστου μερισμοὶ, τὸ κατὰ ἀναστροφὴν κομματικὸν, αἱ ταχεῖαι

ἔστιν· πάντα γὰρ τὰ ἐν ταῖς ἄλλαις ἰδέαις δέχεται. reliqua capita absunt a Mon. 327. 19 τῶν Mon. 8. om. 20 Par. 2. γοργότητι. 21 Par. 2. λέγονται. Mon. λέγοιτο. scripsi λέγοι.

συμπλοκαί· συνθήκη ἡ μὴ σύγκρουσιν φωνηέντων ἔχουσα, δεῖ δὲ πλεονάζειν τοὺς τροχαίους· ἀνάπαυσις ἡ εἰς τροχαϊκὸν φύσει καταλήγουσα, καὶ μὴ βεβηκυῖα.

Σύνοψις τῶν περὶ ἀφελείας εἰρημένων.

Ἔννοιαι αἱ καθαραὶ, αἱ κοιναὶ, καὶ μηδὲν ἔχουσαι βαθὺ μηδὲ περινενοημένον, ἰδίως δὲ αἱ τῶν ἀπλάστων ἠθῶν καὶ ὑπό τι νηπίων καὶ πλησιάζειν δοκοῦσα τῷ εὐτελεῖ· γίνονταί δὲ, ὅταν περὶ εὐτελῶν λέγῃ τις, ἀφελείας ἔννοιαι, καὶ ἀπὸ τῶν ἀλόγων ζώων καὶ φυτῶν καὶ τὸ δι' ὅρκων πιστοῦσθαι ὁτιδήποτε· μέθοδοι αἱ τῆς καθαρότητος καὶ τὸ πλεονάζειν τοῖς κατὰ μέρος ἐπεξιόντα· λέξεις αἱ πλείους μὲν τῆς καθαρότητος· εἰσὶ δὲ καὶ ἴδιαί τινες, οἷον τὸ ἀδελφίζειν· σχήματα καὶ κῶλα, οἷα τῆς καθαρότητος καὶ συνθήκης· ἀφελεστέρα δὲ [22] ἡ λελυμένη· ἀνάπαυσις ἡ βεβηκυῖα.

Σύνοψις τῶν περὶ γλυκύτητος εἰρημένων.

Ἔννοιαι μυθικαὶ, δεύτεραι αἱ διηγηματικαὶ καὶ μύθων οὖσαι ἐγγὺς, τρίτον αἱ ὀλίγον τοῦ μυθικοῦ κοινωνοῦσαι· ἐπὶ τούτοις ὅσα ταῖς αἰσθήσεσιν ἡμῶν ἐστιν, ἡ ἰδέα ποιεῖ γλυκύτητα καὶ τοῖς ἀπροαιρέτοις προαιρετικὸν περιτιθέναι· μέθοδοι αἱ τῆς καθαρότητος, αἵπερ εἰσὶ καὶ τῆς ἀφελείας· λέξις ἡ τῆς ἀφελείας ἰδία παρὰ τὴν καθαρὰν, καὶ ἔτι ἡ ποιητικὴ καὶ μάλιστα ἡ δι' ἐπιθέτων καὶ ἡ δριμεῖα· σχήματα τὰ τῆς καθαρότητος καὶ ἀφελείας καὶ τοῦ κάλλους· συνθήκη τοῦ κάλλους ἡ ἄνευ συγκρούσεως φωνηέντων καὶ ἐγγίζουσα μέτρα καὶ ἰδία τῶν τῆς σεμνότητος ποδῶν· ἀνάπαυσις ἡ τῆς σεμνότητος, ἡ βεβηκυῖα καὶ ὁ ῥυθμὸς ὡσαύτως, ὥσπερ ἐν τῇ ἀφελείᾳ.

---

22 Mon. δὲ ἀφελεστέρα.

Σύνοψις τῶν περὶ δριμύτητος εἰρημένων.

Ἔννοιαι αἱ ἐξ ἐπεμβολῆς βαθεῖαι, ἴσως οὐκ ἔννοιαι, ἀλλὰ μέθοδος, τοῦτό ἐστιν ἀφελείας· τὸ ἁπλῶς καὶ ἀνειμένως λέγειν τὰ περινενοημένα· δεύτερον εἶδος δριμύτητος, ὅταν κυρίως ἔννοιαν σημαίνῃ λέξις οὐ κυρίως ἐκείνης οὖσα, τρίτον εἶδος δριμύτητος τὸ καθ' ὁμοιότητα λέξεως· τέταρτον τὸ ἐκ παρονομασίας, [23] πέμπτον, ὅταν τροπικῇ χρησάμενοι λέξει κατὰ ἀκολουθίαν ἐκείνης ἑτέραν τροπὴν ἐπενέγκωμεν.

Σύνοψις τῶν περὶ ἐπιεικείας εἰρημένων.

Ὅταν ἑκόντα τις ἑαυτὸν μειονεκτοῦντα δεικνύῃ, [24] δεύτερον εἶδος τὸ τοῖς πολλοῖς ἑαυτὸν συναριθμεῖν, καὶ τὸ διδόναι τι πλέον τῷ ἐχθρῷ καὶ τὸ λέγειν, ὡς παρὰ γνώμην δικάζεται καὶ ἀναγκάσαντος τοῦ ἐχθροῦ καὶ ὅσα ἐστὶν προσώπου συστατικά· ἁρμόττει δὲ ταῦτα ὁμοίως καὶ τῷ φεύγοντι· μέθοδοι τὸ ἑκόντα ἐλαττοῦν τὰ ἑαυτοῦ, καὶ τὰ κατὰ τοῦ ἐχθροῦ μὴ λέγειν σφοδρῶς, ὃ κατὰ δύο γίνεται τρόπους· ἢ γὰρ ἐνδείκνυται, ὅτι ἑκὼν παρίησι τὴν σφοδρότητα ἢ οὔ. καὶ τὸ ἐκ παραλήψεως μέθοδός ἐστιν ἐπιεικείας, ὃ καὶ αὐτὸ κατὰ δύο γίνεται τρόπους· τρίτη μέθοδός ἐστιν ἡ τῆς καθαρότητος καὶ ἀφελείας. λέξις καὶ τὰ λοιπὰ πάντα, ὡς ἐν καθαρότητι καὶ ἀφελείᾳ· τὸ ψιλῶς ἀφηγεῖσθαι τὰ πράγματα, ἀρχόμενον ἀπ' αὐτοῦ, καὶ μηδὲν ἔξωθεν συνεφέλκεσθαι· τὴν αὐτὴν δὲ καὶ τῇ ἀφελείᾳ εἶπεν ἁρμόττειν.

Σύνοψις τῶν περὶ ἀληθινοῦ λόγου εἰρημένων.

Ἔννοιαι αἱ ἀφελεῖς καὶ ἐπιεικεῖς καὶ αἱ σχετλιαστικαί· μέθοδος ὁ σχετλιασμός· γίνεται γὰρ καὶ μέθοδος ὁ σχε-

23 Mon. παρανομίας. Par. 2. παρωνομασίας [sic]. 24 Mon. δεικνύει.

τλιασμὸς, ὅταν γένηται περὶ ἔννοιαν μὴ οὖσαν σχετλιαστικὴν, ἔστιν δὲ χρῆσθαι καὶ εὐχῇ καὶ τοῖς ἄλλοις ποιοῦσι τὸ ἦθος, πλὴν μὴ προλέγοντα, ὅτι εὐχῇ χρήσεται, ἢ ὅρκῳ, ἢ ἄλλῃ τινὶ ὀργῇ, φόβῳ, λύπῃ, θαύματι· δεῖ γὰρ μηδὲν τούτων προειπεῖν· ἀλλ᾽ ἐξαίφνης ἐπὶ τὰ πάθη ὁρμῆσαι καὶ τῷ πεποιθότως λέγειν, καὶ τῷ τὰς λύσεις τῶν ἀντιθέσεων ἀσυνδέτως καὶ χωρὶς καταστάσεως ἐπάγειν καὶ τῷ μὴ σώζειν τὰς ἀκολουθίας ἐν ταῖς ὀργαῖς, καὶ τῷ ταῖς λοιδορίαις μὴ προειπόντα χρῆσθαι· λέξις ἐν ταῖς ὀργαῖς ἡ τραχεῖα καὶ σφοδρὰ, σχήματα, ἐν ταῖς ἐλεεινολογίαις ἡ καθαρὰ καὶ ἀφελὴς καί γλυκεῖα· σχήματα ἐν ταῖς ἐπιφοραῖς τὰ σφοδρὰ καὶ αἱ ἀποστροφαὶ καὶ τὸ δεικτικὸν καὶ ἡ διαπόρησις καὶ αἱ ἐπικρίσεις καὶ αἱ ἄνευ ἐνδοιασμοῦ καὶ ἡ ἐπιδιόρθωσις καὶ ὁ ἀπόλυτος μερισμός· κῶλα, συνθήκη, ἀνάπαυσις, ῥυθμὸς, πάντα σφοδρὰ, πλὴν εἰ μὴ ἐλεεινολογοίη τις· τότε δ᾽ ἔστω ἀφελῆ.

Σύνοψις τῶν περὶ βαρύτητος εἰρημένων.

Ἔννοιαι αἱ ὀνειδιστικαὶ, ὅταν τις εὐεργεσίας ἑαυτοῦ λέγων τὸ μηδενὸς ἢ ἔλαττον ἠξιῶσθαι, ἢ ὅτι καὶ τιμωρίας ἀντὶ τῆς τιμῆς ἠξίωται, ὀνειδίσῃ· γίνεται δὲ πλέον ὀνειδιστικὸς ἐκ παραθέσεως τῶν μηδὲν ἢ μικρὰ εὐεργετησάντων, τυχόντων δὲ ὧν αὐτὸς οὐκ ἠξίωται· καὶ ἐπιεικεῖς ἔννοιαι μεθωδευμέναι[25] γίνονται βαρεῖαι, ὅταν μειονεκτῇ τις ἢ τῶν ἐναντίων ἑαυτὸν ἀξιώσῃ ὀνομάτων ἢ τὸν ἀντίδικον, μέθοδος αἱ εἰρωνεῖαι. μέθοδοι γάρ εἰσιν ἀλλ᾽ οὐχ ἁπλῶς. σχήματα, ὅταν μὲν ἐφ᾽ ἑαυτοῦ χρῆται τῇ εἰρωνείᾳ, λαμπρὰν ποιεῖ τὴν βαρύτητα· ὅτε δὲ πρὸς τὸν ἐχθρὸν, ἧττον βαρὺ καὶ ἀμαυρόν· καὶ τὸ περὶ τῶν ὁμολογουμένων ὡς ἀμφισβητουμένων ἐρωτᾷν ἐν διαπορήσει βαρὺ καὶ τὸ ἐνδοιάζειν περὶ τῶν ὁμολογουμένων καὶ τὸ ἐπι-

---

25 Mon. μεθοδεύμεναι.

κρίνειν ὡς δεῖ γενέσθαι ὃ βούλει, ἐνδείξασθαι, ὡς οὐ δεῖ· τὰ λοιπὰ ἓξ μέρη οὐκ ἔχει ἡ βαρύτης, μᾶλλον δὲ ἁρμόζει αὐτῇ τὰ ἠθικά.

Σύνοψις τῶν περὶ δεινότητος εἰρημένων.

Ἔννοιαι παράδοξοι καὶ βαθεῖαι καὶ βίαιοι καὶ αἱ περινενοημέναι, καὶ ἔτι αἱ τὸ μέγεθος ποιοῦσαι πᾶσαι· μέθοδος ἡ τῇ περινενοημένῃ ἐννοίᾳ ἐοικυῖα, καὶ ὅσαι τὸ μέγεθος ποιοῦσιν· ἐν δὲ τῷ ὄντι μὲν, μὴ δοκοῦντι δὲ, ἀφελεῖς καὶ ἠθικαὶ, ὡς παρὰ Λυσίᾳ λέξις ἡ ἀξιωματικὴ πᾶσα καὶ μάλιστα ἡ τετραμμένη, ἐν δὲ τῷ ὄντι μὲν μὴ δοκοῦντι δὲ ἡ ἀφελὴς καὶ ἠθική· ἡ δοκοῦσα μὲν μὴ οὖσα δὲ δεινότης τὸ πλεῖστον ἔχει καὶ λέξιν, ὅταν τραχείας ἢ σφοδρὰς ἢ σεμνὰς συμφορήσας λέξεις εἶτα ἐξαγγέλλοι ταύτας ἐπιπολαίως[26] καὶ κενῶς καὶ σχήμασί τε καὶ κώλοις χρῷτο, ἢ ἅπασι κεκαλλωπισμένοις, ἀκμαίοις τε καὶ σεμνοῖς· σχήματα, κῶλα, συνθήκη, ἀνάπαυσις, ῥυθμός· ταῦτα πάντα ὅσα σεμνὰ καὶ ἀκμαῖα καὶ λαμπρὰ καὶ περιβλητικά· μάλιστα δὲ σχῆμα ἁρμόζει αὐτῇ καὶ τὸ κατὰ συστροφὴν, ἐν δὲ τῷ ὄντι μὲν μὴ δοκοῦντι δὲ τὰ ἀφελῆ καὶ ἠθικά.

Περὶ λόγου πολιτικοῦ.

Σημαίνει ὅτι ἐν τῷ πολιτικῷ λόγῳ κατὰ πρῶτον λόγον δεῖ πλεονάζειν τάσδε τὰς ἰδέας· σαφήνειαν, τὸ ἠθικὸν, ἀληθὲς, γοργότητα, περιβολὴν κατὰ λόγον, τραχύτητα καὶ σφοδρότητα· κατὰ τρίτον, ἀκμὴν, σεμνότητα, λαμπρότητα· κατὰ τέταρτον, δεινότητα τὴν ἐν μεθόδῳ· τὴν γὰρ ἄλλην ἥκιστα. κάλλος δὲ τὸ κομματικόν· πλεοναζέτω μὲν ὁμοίως τοῖς πρώτοις, καὶ μάλιστα ὅταν δυνατῶς ἐξαγγεῖλαί τι δέοι· ἀνέμφατος δὲ καὶ οἷον μὴ φανερὰ ἔστω ἡ ἐπιτήδευσις.

26 Mon. addit: καὶ σεμνῶς, quod delevi.

I.

ΣΥΡΙΑΝΟΥ

ΕΙΣ ΤΟ ΠΕΡΙ ΙΔΕΩΝ.[1]

Ἅπαντα [2] σχεδὸν, ὅσα γε εἰς ἡμᾶς ἥκει τοῦ τεχνογράφου Ἑρμογένους συγγράμματα, θαυμαστά τε καὶ πολιτικῆς ἀνάμεστα φρονήσεως ὑπάρχει, φημὶ δὴ τό τε περὶ τῶν στάσεων αὐτοῦ σύγγραμμα, ὃ δὴ πολλοί τε καὶ ἄλλοι σοφιστῶν τε καὶ τῶν Πλατωνικῶν φιλοσόφων ὑπομνηματίζειν οὐκ ἀπηξίωσαν, τό τε περὶ μεθόδου δεινότητος καὶ τὰ εἰς τὸν Δημοσθένην [3] ὑπομνήματα, ὧν καὶ αὐτὸς ποιεῖται μνήμην· διαφερόντως δὲ τῶν ἄλλων τὸ περὶ τῶν ἰδεῶν αὐτοῦ σύνταγμα θαυμάζειν ἄξιον ὡς ἄριστόν τε καὶ τεχνικώτατον καὶ τῆς τελεωτάτης καὶ κριτικῆς περὶ λόγους ἕξεως [4] οὐδαμῶς ἄμοιρον. Ἐπειδὴ τοίνυν πολλὰ τῶν ἐν αὐτῷ κειμένων οὐ παντὶ ῥάδια συμβάλλειν, [5] οὐδενὶ δὲ μέχρι καὶ τήμερον εἰς αὐτοὺς ὑπόμνημα γεγραφότι περιτετυχήκαμεν, ἀναγκαῖον ᾠήθην, ὦ φίλτατέ μοι τῶν ἐκγόνων Ἀλέξανδρε, βραχέα τινὰ πρὸς

---

1 Prolegomena haec ex cod. Mon. 8. primum edidit Leonh. Spengel in συναγωγῇ τεχν. p. 195—206. Equidem ex eodem codice describenda curavi, et passim cum Par. 2977. [Par. 1.] et 2916 [Par. 2.] contuli. Initium usque ad p. 91. v. 7. exstat etiam in Cod. Ven. 433. sub titulo: Συριανοῦ σοφιστοῦ εἰς τὸ περὶ ἰδεῶν Ἑρμογένους. 2 Ven. ἅπ. μὲν σχ. 3 Ven. τοὺς δημοσίους. Mon. τὴν δημοσίαν. marg. τὸν Δημοσθ. 4 Mon. λέξεως. Ven. ἕξεως. 5 Ven. συμβαλεῖν.

τὴν ἀκριβεστέραν ἀνάγνωσιν τοῦ βιβλίου συμβαλλόμενα κατά γε τὴν ἐμὴν συνθεῖναι δύναμιν· εἰ δέ τις καὶ βελτίω τούτων ἐπεισάγειν δυνηθείη λυσιτελοῦντα πρὸς τὸ προκείμενον, χάριν αὐτῷ παμπόλλην εἰσόμεθα, τὸν κοινὸν Ἑρμῆν ἔργοις οὐ λόγοις ἡμῖν ἐπιδεικνύοντι· [6] ἀλλὰ γὰρ προσευξάμενοι τοῖς λογίοις ἀγαθὸν ἡμῖν καὶ τοῖσδε τοῖς πόνοις ἐπινεῦσαι τὸ πέρας, ἔργου ἐχώμεθα. Εἰ περισπούδαστον ὅλως ἀνδρὶ πολιτικῷ τὰς ἀρετας τοῦ λόγου μαθεῖν καὶ μὴ θέλειν μόνον διακρίνειν τοὺς τῶν ἀρχαίων χαρακτῆρας, ἀλλ᾽ ἤδη που καὶ ποιεῖν παραπλησίους, δεῖ μεθόδους ἀναζητεῖν, καὶ πονεῖν περὶ τὴν τούτων εὕρεσιν· οὐ γὰρ ἂν οὕτω πρᾶγμα τῇ καταλήψει παγχάλεπον ῥᾶστα προσγένοιτό τινι, κἂν ᾖ πάνυ πιστεύων τῇ φύσει· χωρὶς γὰρ τέχνης ἀνόνητα τὰ τῆς φύσεως πλεονεκτήματα· καθὰ καὶ ὁ τεχνικός φησιν, ὅτῳ δὲ καὶ προσγένηται τῆς ἐπιστήμης ἡ γνῶσις, συμβάλλεται μέγα κἂν ὁ τὴν τέχνην ἠσκημένος μετρίας εὐτυχήσῃ [7] δεξιότητος· ἀλλὰ τὸ μὲν ἐπιχείρημα χαλεπὸν ἴσως ἂν ἦν, εἰ τὰς ἰδέας αὐτοὶ τῶν λόγων ἐπινοεῖν σπουδάζομεν, [8] νῦν δὲ τούτων ἡμᾶς τῶν πόνων ὁ τεχνικὸς ἠλευθέρωσε· τάχα γὰρ καὶ πολλὰ ταλαιπωρήσας τις οὐδὲν ἂν ἐξεύροι γενναῖον· ὥσπερ καὶ οἱ πρὸ αὐτοῦ φαίνονται τηνάλλως [9] ποιήσαντες· εἰ δὲ τὸ δυσχερὲς μὴ πρόσεστι, λέγω δὴ τὸ εὑρεῖν καὶ τὸ παραστῆσαι τὸ εὑρεθὲν μετ᾽ εὐκρινείας, τί λοιπὸν ἢ προθύμως ἀντιλαβέσθαι τῆς ὑποκειμένης πραγματείας, εἴπερ ἄρα φροντίζομεν λόγων οἱ κατ᾽ αὐτὸ τοῦτο τῶν ἀλόγων διοίσοντες· σφόδρα γὰρ ἀνοήτους ἡγοῦμαι τοὺς σπουδάζοντας περὶ τὰς σωματικὰς πράξεις καὶ νομίζοντας μὴ τοσοῦτον ἐκ τῶν λόγων ὅσον ἐκ τῆς διαδοχῆς τῶν

---

6 Mon. prima manu ἐπιδεικνύονται. secunda ἐπιδεικνύοντα ut Ven. scr. ἐπιδεικνύοντι. 7 Mon. εὐτυχήσοι. 8 Mon. σπουδάζομ^{εν}αι. 9 Mon. Par. 2. τὴν ἄλλως.

παίδων μνημονεύεσθαι· τοὺς μὲν γὰρ βραχὺς ἀφανίζει χρόνος, ὁ δὲ τὸν λόγον ἐργασάμενος, ἀΐδιον καὶ μετὰ τὴν τελευτὴν τοῖς ἐντυγχάνουσι καταλιμπάνει τὴν μίμησιν· ὥστε προτιμᾷν ἀναγκαῖον κατὰ [10] τὸν τοῦ Πλάτωνος λόγον τὰ τῆς ψυχῆς ἔκγονα μᾶλλον ἢ τὰ τοῦ σώματος οὐ μόνον κατὰ τὸ τιμιώτερον, ἀλλ᾽ ἤδη [11] που καὶ κατὰ τὴν ἡμετέραν αὐτοπροαίρετον ἐν τοῖς λόγοις διοίκησιν· ἐπὶ μὲν γὰρ τῶν παίδων ὁ δημιουργὸς τῶν τρόπων καὶ ὁ τῆς προαιρέσεως κύριος, τὸν δὲ λόγον ἡμεῖς κυβερνῶμεν καὶ, ὡς ἂν βουληθείημεν, οὕτως αὐτὸν καὶ μεθοδεύομεν· ἐγκαλείτω δὲ μηδεὶς ἡμῖν πρὶν ἂν καταμάθοι σαφῶς τὸ λεχθὲν. ἀναλογεῖ δὲ ὁ περὶ τῶν ἰδεῶν λόγος τῷ ζώῳ, καὶ ψυχῆς μὲν ἐπέχει τάξιν ἡ ἔννοια, τοῦ δὲ σώματος ὁ χαρακτήρ· ἀλλὰ δεῖ [12] τὸν ἐπιστήμονα μὴ μόνον ἀκριβῶς γνῶναι τὴν ποσότητα τῶν χαρακτήρων, ἀλλὰ δὴ καὶ τὴν ἰδιότητα καὶ τὴν μίμησιν τὴν πρὸς τοὺς παλαιούς· μὴ γὰρ ἐκταράξωσιν ἡμᾶς οἱ παραφθεγγόμενοι καὶ λέγοντες, ὡς ἀδύνατον ταῦτα καταλαβεῖν· ὥσπερ γὰρ οὐχ οἷόν τε τὴν ποσότητα τῶν καθ᾽ ἕκαστα γνῶναι σαφῶς, οὕτω φασὶ καὶ τῶν χαρακτήρων ἀδύνατον, εἴπερ ὅλως ἀναλογοῖσι τῷ ζώῳ κατὰ τὸν ἡμέτερον λόγον· καὶ ὅτι οὐχ οἷόν τε τῶν ἀτόμων παραστῆσαι τὰς ἰδιότητας· τὸ γὰρ παρακολουθοῦν τούτῳ γένοιτ᾽ ἂν καὶ ἑτέρου δηλωτικὸν, πλὴν εἰ καὶ καταλάβοις ἄδηλον τὸ αἴτιον, τὸ σημαντικὸν τῆς ἰδιότητος, καὶ ὅτι τὰ καθ᾽ ἕκαστα φασὶν ὃ ἐὰν λάβοι [13] πρὸς τὴν ἑαυτοῦ μεταβάλλοι φύσιν· οἷον, οὐδὲν ἀσύμφορον τῷ εὐεκτοῦντι, κἂν ᾖ βλαβερόν· τῷδε δὲ κακῶς [14] διακειμένῳ πάντα τοὐναντίον ἀσύμφορα, κἂν ᾖ πάντα ἐπωφελῆ· πρὸς γὰρ τὴν ἐκείνου μεταβάλλεται κρᾶσιν· οὕτως οὖν φασι καὶ

10 Mon. καὶ, scripsi κατά. 11 Spengel scripsit ἀλλὰ δήπου. 12 Mon. δή. 13 Spengel conj. λάβῃ. 14 Mon. Par. 1. καλῶς, marg. Mon. κακῶς.

τοῦ ἐπιχειροῦντος [15] μιμεῖσθαι τοὺς τῶν ἀρχαίων χαρακτῆρας ἀνόνητος ἡ σπουδή· πάντως γὰρ πρὸς τὴν ἑαυτοῦ φύσιν μεθοδεύσει τὸν λόγον οὐ πρὸς τὴν ἑαυτοῦ μεταχείρισιν· [16] εἰ δὲ καὶ διενοήθησάν τινες ἐπιγράψαι τοὺς χαρακτῆρας καὶ τὸ ποσὸν αὐτῶν συστῆσαι, τηνάλλως ἐποίησαν· ὧν εἷς ἐστιν ὁ Διονύσιος· οὗτος γὰρ τρεῖς εἶναι χαρακτῆράς φησι, τὸν ἰσχνὸν, τὸν μέσον, τὸν ἁδρόν· ὁ δὲ Ἵππαρχος προστίθησι τόν τε γραφικὸν καὶ τὸν ἀνθηρόν· ὁ δὲ Δημήτριος ἐκβάλλει τὸν γραφικὸν τοῖς τέτρασιν ἀρεσκόμενος, ἀλλ᾽ εἰ καὶ συνέστειλαν οὗτοι, φασὶ, τοὺς χαρακτῆρας καὶ ὡρισμένον [17] τῷ δοκεῖν αὐτοῖς, ἀριθμὸν ἀποδεδώκασιν, ἀλλ᾽ οὐδὲν ἧττον ἀκατάληπτοι πάλιν εἰσὶ, πολλοὺς γὰρ ἰσχνοὺς εὑρήσομεν, πῇ μὲν ἐπίτασιν δεξαμένους, πῇ δὲ μείωσιν πάλιν· ὅταν γὰρ ἐπὶ τὸν ἁδρὸν ὁ ἰσχνὸς προβαίνῃ μὴ γινομένης ἰσοῤῥόπου τῆς κράσεως, τοὺς χαρακτῆρας ἀπαρνεῖται τοὺς τρεῖς. οὔτε γὰρ ὁ κατὰ φύσιν ἰσχνός ἐστιν, νένευκε γὰρ μᾶλλον ἐπὶ τὸν ἐναντίον, οὔτε μέσος, ὑπερβέβηκε γὰρ τοῦτον, οὔδ᾽ αὖ [18] πάλιν ἁδρός· οὐ γὰρ πάντῃ τὴν ἰδίαν φύσιν μετέβαλλε, [19] κἀπὶ τῶν λοιπῶν ὡς ὁμοίως· ὃν τρόπον ὁ ἰσχνὸς ἀνίσου γινομένης τῆς μίξεως οὔτε μέσος ἐστὶν, οὔτε πάλιν ἁδρὸς, κατὰ τὸν αὐτὸν τρόπον καὶ ὁ ἁδρὸς κατὰ πρόσβασιν ἐρχόμενος ἐπὶ τὸν ἰσχνὸν, μὴ κατὰ μίξιν δὲ συγκεραννύμενος, οὐ γίνεται μὲν [20] ἰσχνὸς, παρέρχεται δὲ τὸν μέσον, ἅτε μόνος αὐτὸς δεξάμενος τὴν ἐπίτασιν· τούτῳ δέ φασι τοὺς χαρακτῆρας τοὺς κατὰ τὸ μᾶλλον καὶ ἧττον, ποτὲ μὲν ἐπίτασιν δεχομένους, ποτὲ δὲ μείωσιν καταλαμβάνειν ἀδύνατον· εἰ

---

15 Mon. τὰ ἐπιχειροῦντα. Speng. conj. τοῦ ἐπιχειροῦντος. 16 Mon. μεταχείρησιν. Par. 1. μεταχείρισιν. 17 Par. 1. ὡραϊσμένους. 18 Par. 2. οὖν. 19 Mon. μετέβαλλε. Par. 2. μετέβαλε. 20 Mon. γὰρ, asterisco superposito. Speng. sepsit. Par. 1. μέν.

δὲ καὶ συγχωρήσομεν ἔτι εἶναι καταληπτοὺς, πόνων δεόμεθα καὶ ταλαιπωρίας πολλῆς πρὸς τὴν ἐπίγνωσιν· καὶ μετὰ τὴν κατάληψιν αὖθις ἡ γνῶσις ἀσύμφορος· ὅτι δὲ οὐ διὰ τῶν χαρακτήρων ἡ κατάληψις, ἐντεῦθεν εἰσόμεθα· τὰ ὑφ' ἡμῶν ἀποτελούμενα κατὰ ζῆλον ἑτέρων ἢ κατὰ φύσιν γίνεται ἢ κατὰ τύχην ἢ κατὰ τέχνην· ἢ γὰρ ἡ φύσις δωρεῖται παραπλησίως, οἷον ἡ τύχη,[21] καὶ τούτῳ λαμπρὰν ἐφιλοτιμήσατο φωνὴν καὶ ἑτέρῳ λαλεῖν τὴν αὐτὴν, ὥστε μηδὲν διαλλάττειν ἀλλήλων, λέγω δὴ κατὰ τὸν φωνῆς λόγον· ἢ κατὰ τὴν φύσιν μὲν οὐ γίνεται τὸ ὅμοιον, κατά τινα δὲ τύχην δύο τὴν αὐτὴν εὑρίσκονται δράσαντες πρᾶξιν· εἰ δὲ μήτε κατὰ φύσιν μήτε[22] κατὰ τύχην, ἀλλ' οὖν μεθόδῳ τινὶ καὶ τοῖς αὐτοῖς ὀργάνοις κεχρημένοι μιμούμεθα ζωγράφου πινάκιον, τοιαύτην ἀποτελοῦντες[23] μορφήν· ἀλλ' ὅταν μὲν ἢ φυσικῶς, ἢ κατὰ τύχην, ἢ κατὰ τέχνην ἀποτελεσθῇ[24] τὸ ὅμοιον, ἐκφεύγει τὰ τοιαῦτα τὸ δυσχερές· ὅταν δὲ προΐῃ τις ἐναλλαγὴ καὶ τὸ κατὰ φύσιν ὑποτελούμενον ἢ κατὰ τύχην δυνηθείημεν τέχνῃ καταλαβεῖν,[25] τότε γίνεται παγχάλεπος ἡ κατάλυσις, καὶ σχεδὸν εἰπεῖν ὑπὸ γνῶσιν πεσεῖν, οἷον καθ' ὑπόθεσιν· ἀφῆκε λίθον τις, οὗτος πεσὼν κατὰ τύχην διαμερισθεὶς πολλὰς ἀπετέλεσε διαμορφώσεις· ἆρα γοῦν, εἰ ταύτας τὰς διατυπώσεις ἀπαιτήσοι τις τὸν πλαστουργὸν, ἤτοι τὸν Φειδίαν αὐτὸν, ῥᾷστα ποιεῖν ἐκτελέσαι ἐκ τοῦ παρατυχόντος, τίς ἐθελήσοι ζηλοῦν; οὕτω φασὶν δυσχερὲς τὸ κατὰ φύσιν ἢ κατὰ τύχην γινόμενον τέχνῃ καταλαβεῖν· εἰ δὲ καὶ καταλάβοιμεν,[26] ἀσύμφορος ἡ γνῶσις· ἐπικρατεστέ-

21 Mon. ἡ τύχη. Par. 1. εἰ τύχοι. 22 ἢ, quod in Mon. praecedit, delevi. 23 Mon. ἀποτελοῦντα, quo inductus Speng. scripsit ζωγράφον. Par. 1. ἀποτελοῦντες. 24 Par. 2. ἀπολεσθῇ. 25 Mon. καταβαλεῖν. Par. 1. καταλαβεῖν, ut correxit Speng. 26 Mon. καταλάβομεν. Par. 1. καταλάβωμεν. Speng. scr. καταλά-

ρα [27] γὰρ ἡ φύσις ἑκάστου, καὶ τοὺς τῶν ἀρχαίων χαρακτῆρας ζηλοῦν οὐχ οἷόν τέ βιαζομένου τοῦ χρόνου πῇ μὲν διὰ τὸ νέον τῆς ἡλικίας, πῇ δὲ διὰ τὸ προβεβηκός· ἕως οὗ [28] μὲν γὰρ ἑκκαίδεκα χρόνων ὦμεν, καὶ μικρόν τι προσμένομεν ἐπὶ τῆς αὐτῆς φύσεως, καὶ οὐδεμίαν ἔχομεν ἐπιτηδειότητα πρὸς ζῆλον ἑτέρου χαρακτῆρος· εἰ δὲ πλησιάσομεν τοῖς μ̄, πάλιν τὸ παλαιὸν τῆς ἡλικίας ἀφαιρεῖται τὴν μίμησιν· ἐν δὲ τῷ μεταξὺ τῶν ἑκκαίδεκα καὶ τῶν μ̄ πρὸς μὲν ζῆλον ἔχομεν ἐπιτηδείως, ἀλλὰ πόσας οἴει [29] περιστάσεις εὑρίσκεσθαι ἐμποδιζούσας πρὸς τὴν τοιαύτην ἐγχείρησιν, ὥστε συμβαίνει καὶ τῆς τοιαύτης φύσεως ἐκπίπτειν ἡμᾶς καὶ μηδὲ [30] τὸν ἀρχαῖον καταλαβεῖν τύπον διὰ τὰς συμβαινούσας ἐν τῷ μεταξὺ περιστάσεις καὶ ταῦτα μὲν οἱ διαπορήσαντες. Πρὸς οὓς ἐστιν ἐκεῖνο φάναι· πάντα τὰ ὄντα ἢ κατὰ θεωρίαν γινώσκομεν ἢ κατὰ πρᾶξιν. τὸν αὐτὸν οὖν τρόπον κἀπὶ τῶν χαρακτήρων· ἀλλ' εἰ μὲν θεωρίᾳ θέλεις τούτους καταλαβεῖν, ἀπηλλάγης τοῦ ἀσυμφόρου καὶ τοῦ δυσχεροῦς, ὥστε δεῖ μόνον τὸ ἀδύνατον ἐπὶ ταύτης ζητεῖν, ὃ γινόμενον καταφανὲς δείξει δηλαδὴ κἀπὶ τῶν περὶ τῆς πράξεως λόγων, φυλαττομένης ἐκεῖ τῆς ζητήσεως τῆς περὶ τοῦ ἀσυμφόρου καὶ χαλεποῦ· μικρὸν οὖν ἀναδράμωμεν ἐπὶ τὴν θεωρίαν, ἔνθα [31] δείξομεν πρῶτον μὲν κατὰ τὸ ποσὸν καταληπτοὺς τοὺς χαρακτῆρας, εἴ γε καὶ τὴν ἀρχὴν οἱ περὶ Διονύσιον συστείλαντες αὐτοὺς εἰς ὡρισμένον ἀριθμὸν ἀποδεδώκασιν· ἐκεῖνο γὰρ λῆρον, [32] τὸ τὴν ἐπί-

---

βοιμεν. 27 Mon. ἐπικρατέρα. quod Speng. corr. ἐπικρατεῖ. Par. 1. ἐπικρατεστέρα. 28 Mon. ἕω σοῦ. marg. ἕως οὗ. 29 Mon. εἴη. marg. οἴει. 30 Mon. μήτε, scr. μηδέ. Mox Codd. τόπον (θ supra), Speng. scr. τύπον. 31 Mon. ἐν δείξομεν, quod Speng. legit: ἐνδείξομεν. 32 Mon. κλῆρον, supra lin. mendi signum .·. Par. 1. λῆρον.

τασιν τοῦ ἰσχνοῦ καὶ τὴν μείωσιν ἀντὶ ἑτέρων λαμβάνειν χαρακτήρων· ὡρισμένος γὰρ ὢν τὴν ἀρχὴν κἂν αὔξησιν δέξηται κἂν μείωσιν, οὐδὲν ἧττον ἰσχνός ἐστιν, κἀπὶ τῶν λοιπῶν ὡς ὁμοίως·[33] ὄντος δὲ καταληπτοῦ τοῦ ποσοῦ, πρόδηλος αὐτῶν καὶ ἡ ἰδιότης τοῖς ἀκριβῶς σκοπουμένοις καὶ μὴ πλανωμένοις περὶ τὰ παρακολουθήματα τῶν χαρακτήρων· οὐ γὰρ τὸν αὐτὸν κἀνταῦθα τρόπον, ὥσπερ ἐπὶ τῆς οὐσίας ἕτερον τὸ παρακολουθοῦν καὶ ἕτερον ἡ ὕπαρξις, ὅθεν ἐκεῖ μὲν δυςκατάληπτος ἡ ἰδιότης, γνῶναι γὰρ εἰς τὸ ἀκριβὲς τὰς ἐξαλλαγὰς τῶν παρακολουθημάτων ἀδύνατον· ἐπὶ δὲ τοῦ χαρακτῆρος αὐτὸ τὸ παρακολουθοῦν καὶ συστατικόν ἐστιν· ὅθεν καὶ ῥᾷστα καταλαμβάνεσθαι δύναται· ἐπὶ μὲν[34] γὰρ τῆς οὐσίας μένει Σωκράτης, κἂν[35] ἀφαιρεθῇ τὸ λευκὸν ἢ τὸ σιμὸν ἢ τὸ μέλαν ἢ ἕτερόν τι τῶν ἰδιωμάτων· ἐπὶ δὲ τῶν χαρακτήρων τὸ παρακολουθοῦν ἐὰν ἀφέλῃς, οἷον τὴν τροπικὴν ἢ τοιάνδε λέξιν, τὸ ὅλον διέφθειρας, ὥστε τὴν μὲν ἰδιότητα τῶν ἀτόμων δυσκατάληπτον πεποίηκε τὸ ἄλλην μὲν μεῖναι τὴν ὕπαρξιν, ἄλλα δὲ τὰ παρακολουθήματα· τοὺς δὲ χαρακτῆρας αὐτὰ τὰ ἰδιώματα συνίστησι· κἂν γὰρ τὴν ὕπαρξιν καταλάβοις, ἔγνως τὰ παρακολουθήματα· κἂν τὰ ἰδιώματα μάθοις, ἔγνως τὴν ὕπαρξιν· καὶ ὅτι μὲν δυνατὸν γνῶναι τὰ ἰδιώματα τῶν χαρακτήρων, ἀρκούντως ὡς οἶμαι δεδήλωται· δεῖ δὲ μετελθεῖν ἐπὶ τὸ τρίτον ἀπόρημα.

Τί δὲ τοῦτο ἦν; οὐχ οἷόν τε, φασὶ, ζηλῶσαι τοὺς τῶν ἀρχαίων τύπους· καταφερομένη γὰρ ἡ φύσις πρὸς τὴν οἰκείαν διάθεσιν μεταβάλλει πρὸς τὴν ἑαυτῆς ἰδιότητα τὴν πᾶσαν τοῦ λόγου διοίκησιν καὶ τοῦτο μὲν ἐγγὺς ἀληθείας· ζηλῶσαι δὲ[36] εἰς τὸ ἀκριβὲς

τὸν

---

33 Par. et Mon. ὡς ὁμοίως. in Mon. ὡς manu secunda deletum. 34 μὲν ex Par. 1. recepi. 35 Mon. καὶ ἂν Par. 1. κἂν. 36 Par. 2. γάρ.

τὸν χαρακτῆρα τὸν Δημοσθενικὸν ἢ Πλατωνικὸν ἀδύνατον, πλὴν εἰ μὴ καὶ τελέως· ἀλλ᾽ οὖν ἔσται τοῖς πονοῦσιν ἐκ μέρους καταληπτόν· ἀγαπητὸν γὰρ καὶ τῶν ἄλλων ἐγγὺς ἐλθεῖν, μήτι γε Δημοσθένους ἢ Πλάτωνος· μὴ οὖν ἀπέχου τῶν λόγων, διότι μὴ δυνατὸς εἶ Δημοσθένης ἡμῖν ἐκ τοῦ παραχρῆμα γενέσθαι, ἀλλὰ σπούδασον καὶ πρὸς τοὺς ἄλλους ῥήτορας ἀφορᾷν, [37] οἳ τὴν ἀρχὴν ἐσιώπων ἄν, εἰ νενικήκει καὶ παρ᾽ αὐτοῖς τὸ θέλειν κατὰ μηδὲν διαλλάττοντας τοῦ Δημοσθενικοῦ τύπου τοὺς ἑαυτῶν φαίνεσθαι λόγους· περὶ δὲ τοῦ ἀσυμφόρου καὶ χαλεποῦ καὶ περὶ τῶν λοιπῶν ζητεῖν, μάλιστα δὲ περὶ τοῦ δυσχεροῦς περιττόν· φιληδόνων γάρ ἐστιν τὸ λέγειν μὴ ῥαδίως καταλαμβάνεσθαι τὰ καλά· δυσκατάληπτα γὰρ ταῦτα καὶ πέφυκε μετὰ τῶν λοιπῶν τοῖς ἀνθρώποις περιγίνεσθαι πόνων· ὅτι δὲ καὶ μετὰ τὴν γνῶσιν οὐκ ἔστιν ἀσύμφορον, δῆλον ἐντεῦθεν· δυνατὸν γὰρ κατὰ ταὐτὸν καὶ τὴν οἰκείαν φύσιν φυλάξαι καὶ ζηλῶσαι τύπον ἀρχαῖον· ὁ γὰρ περὶ τὸν ἰσχνὸν ἐπιτηδείως ἔχων κἂν [38] τούτῳ δεόντως ἐγγυμνασθεὶς ἅμα καὶ τὴν οἰκείαν φύσιν ἐῤῥωμένην φυλάττει, καὶ τὸν Λυσιακὸν ζηλοῖ χαρακτῆρα, κἀπὶ τῶν λοιπῶν ὡς ὁμοίως, ἔνθα ἂν ἕκαστος ἐπιῤῥεπεστέραν ἴδῃ [39] τὴν ἑαυτοῦ φύσιν, περὶ τοῦτο μάλιστα γυμναζόμενος εἰς ἀρχαῖον πάντως κατενεχθήσεται τύπον καὶ τῆς οἰκείας οὐκ ἐκπεσεῖται δεξιότητος. Τούτων δὲ σαφῶς ἀποδειχθέντων καὶ ὡρισμένου μὲν ὄντος [40] τοῦ ποσοῦ, καταλειφθείσης δὲ τῆς ἰδιότητος ἀκριβῶς καὶ τῆς μιμήσεως κατὰ τὸ ἐγχωροῦν δεῖ τοῦ παραδείγματος ἔχεσθαι, καὶ καθ᾽ ὁδὸν τούτου προβαίνειν· συντελεῖ μὲν γὰρ ἡμῖν πολλαχῇ διὰ τὴν πρὸς τοὺς

37 Mon. ἐφορᾷν. Par. 1. ἀφορᾷν. 38 Mon. κἂν, scr. κἀν. tum Speng. scr. δὲ ὄντως. 39 Mon. ἴδοι. Speng. scr. ἴδῃ. 40 Mon. ὄντως.

χαρακτῆρας ὁμοιότητα· τὸν γὰρ αὐτὸν τρόπον, ὥσπερ κἀπὶ τῶν ἐμψύχων σωμάτων, τὴν μὲν συστατικὴν ὕλην αὐτῶν καὶ κατὰ μέρος καταλαβεῖν οἷόν τέ ἐστιν, τὴν δὲ μίξιν καὶ τὴν τοιάνδε κρᾶσιν ἀδύνατον λόγῳ διεξελθεῖν. ὅτι μὲν γὰρ ἐκ τεττάρων στοιχείων σύγκειται ἄνθρωπος, πᾶσι καταφανές, τί δὲ τὸ αἴτιον τὸ ἀποτελεσματικὸν τοῦ τοιοῦδε χρήματος, ὃ καὶ διαφόρους ἐποίησε τοὺς χαρακτῆρας, ἀπαγγέλλειν ἀδύνατον· καὶ ὅλως τὸ τέλεον αἰσθήσει καὶ μόνῃ διαγινώσκεται· οὐ γὰρ ἂν δυνηθείη τις λόγος παραστῆσαι τὸ ὅλον ὡς ὅλον, πλὴν εἰ μὴ συμβολικῶς· ἡ δὲ τοιαύτη γνῶσις οὐ καθάπτεται τῶν παρακολουθημάτων, μήτι γε δὴ τῆς ὑποκειμένης οὐσίας, ἀλλ' ἔξωθεν ἐπικειμένην σημαίνειν [41] μὲν οἵα τέ ἐστιν, ὅταν ᾖ τὸ πρόσωπον ὁμολογούμενον, εἰ δὲ ᾖ τὴν ἀρχὴν ἀγνοούμενον, οὐ δύναται παριστᾶν, ἅτε μὴ καθαπτομένη τῆς οὐσίας μηδὲ τῶν ἐπισυμβεβηκότων αὐτῇ· οἷον τὸ ἐπικείμενον ἑκάστῳ ὄνομα συμβολικόν ἐστιν καὶ [42] τότε μόνον ἰσχύει πρὸς δήλωσιν, ὅταν μὴ ᾖ τὸ πρόσωπον ἀγνοούμενον· εἰ δὲ τὰς ἐξαλλαγὰς τῶν ἀτόμων [43] καὶ τὴν ἀποτελουμένην ἐκ τῶν κατὰ μέρος μορφὴν αἰσθήσει καὶ μόνῃ καταλαμβάνομεν, ἄδηλος ἄρα καὶ τῶν χαρακτήρων ἡ μίξις· καὶ ὅτι μὲν ἐκ τῆς τοιᾶσδε λέξεως ἢ ἐννοίας ὁ Δημοσθενικὸς ἀπαρτίζεται λόγος, οὐ [44] δυσχερὲς διαγνῶναι, τὸ δὲ ὅλον καὶ τὴν ἀποτελεσθεῖσαν ἐκ τῶν κατὰ μέρος μίξιν λόγῳ παραστῆσαι παγχάλεπον· ὥσπερ [45] γὰρ ὁ ζωγράφος τὰ μὲν συντελοῦντα πρὸς τὴν μίξιν χρώματα τῷ μανθάνοντι παραδίδωσι, μετὰ δὲ τὸ πινάκιον καὶ τὴν γραφὴν ἀπορεῖ παραστῆσαι τὸν λό-

---

41 σημαίνειν Mon. om., addit margo. Pro μὲν Speng. legit μόλις. 42 Mon. ὅ. Par. 2. καί. 43 Mon. εὐτόμων. 44 Mon. καί. Par. 2. οὐ. 45 Mon. ὅπερ, scr. ὥσπερ.

γον, δι' ὃν ἡ τοιάδε συνεκεράσθη μορφή, τὸν αὐτὸν τρόπον καὶ τὰ ποιοῦντα τὰς ἰδέας πρόδηλα, τὸ δὲ ἀποτελούμενον ἀπαγγέλλειν οὐχ οἷόν τε, πλὴν εἰ μὴ βούλοιτό τις κατὰ συμβολικὸν τρόπον, ὃς οὐδὲν δύναται τῶν συστατικῶν ἢ παρακολουθούντων ἐμφαίνειν. εἰ δὲ τὸ ποιούμενον, καθὰ δεδηλώκαμεν, ἅτε τέλειον ἐξειπεῖν οὐχ οἷόν τε λόγῳ, πολλῷ μᾶλλον ὀνόματι· τεχνίτου γὰρ ἀνδρὸς καὶ μάλα σοφοῦ, μὴ συμβολικὰς [46] τιθέναι τὰς ὀνομασίας, ἀλλὰ τῶν ὑποκειμένων ἐμφαντικάς, ὃ [47] ποιεῖ μὲν ὁ τεχνικὸς σπεύδων· ἀπορῶν δὲ διὰ τὴν προλεχθεῖσαν αἰτίαν ἐπὶ τὴν ὁμοιότητα τῶν παραδειγμάτων ἀνέδραμε· καὶ ἣν ἐπὶ τῶν ἀτόμων ὀνομασίαν ἡ αἴσθησις ἐξ αὐτῆς τῆς ὄψεως ἔλαβε, ταύτην ἐπὶ τὸν τέλειον λόγον μετενεγκὼν μεταφορικῶς ἰδέαν ὠνόμασεν, ὥσπερ καὶ αὐτοὺς τούς λόγους ὑποβαλλομένους τῇ ὁρατικῇ αἰσθήσει, καθὰ καὶ τὰς τῶν ἀτόμων μορφάς· ἐντεῦθεν γὰρ ὁρμώμενοι καὶ ἁδροὺς ἐκάλεσαν οἱ παλαιοὶ χαρακτῆρας καὶ ἰσχνοὺς καὶ ἀνθηρούς, καὶ ὅσας σχεδὸν ἐπὶ τῶν σωμάτων διατυπώσεις ἐθεάσαντο, τοσαύτας ἐπὶ τοὺς χαρακτῆρας μετήνεγκαν. ἀλλὰ περὶ μὲν τούτων ἅλις· ἁψώμεθα δὲ τῆς ὑποκειμένης πραγματείας μικρὰ πρότερον διαλεχθέντες περὶ τῆς τοῦ βιβλίου θεωρίας. δεῖ γὰρ ἐνταῦθα ζητεῖν, ἃ πολυπραγμονεῖν ἔθος ἐπὶ παντὸς βιβλίου, μάλιστα τεχνικοῦ· ἔστιν δὲ ταῦτα· σκοπός, χρήσιμον, τίς ἡ ἐπιγραφή, εἰ γνήσιον τοῦ ἀρχαίου τοῦ βιβλίου, τίς ἡ τάξις τῆς ἀναγνώσεως, ἡ εἰς τὰ μέρη τομή. Ζητεῖν οὖν ὑπερθέμενοι περὶ τοῦ σκοποῦ τοῖς ἐνισταμένοις πρὸς τὴν ἐπιγραφὴν ἀπαντήσωμεν· λέγουσι γὰρ ἠγνοηκέναι τὸν τεχνικὸν τὴν σημασίαν τοῦ ὀνόματος· οἱ γὰρ φιλόσοφοι βούλονται τὴν ἰδέαν γενικωτέραν εἶναι καὶ περιεκτικὴν τῶν ἀτόμων· καὶ οὐ κατὰ τοῦτο, φασίν, [48]

46 Mon. συμβολιτικάς. 47 Par. 2. καί. 48 Mon. φησίν, scr. φασίν.

μόνον διήμαρτεν, ἀλλ᾽ ἤδη που καὶ τὴν ἰδίαν ἀνατρέπει δόξαν αὐτὸς ἑαυτῷ μαχόμενος· εἰ γὰρ τὸ ὅλον ὡς τέλειον ὑπὸ διδασκαλίαν πεσεῖν οὐ δύναται, πῶς αὐτὸς ἅτε περὶ τελείων διαλαμβάνων οὕτως ἐποιήσατο τοῦ βιβλίου τὴν ἐπιγραφήν; πρῶτον μὲν οὖν ἀνόητον, εὐθύνειν τὸν τεχνικὸν, ὅτι μὴ κατὰ τοὺς φιλοσόφους ἔλαβε τὴν σημασίαν περὶ πολλῶν χαρακτήρων διαλεγόμενος· πλὴν ἵνα τι καὶ συγχωρήσωμεν, οὐδὲν ἧττον καὶ αὕτη περιεκτική ἐστι· καθ᾽ ὃν γὰρ κατὰ τοὺς φιλοσόφους λόγους τὸ εἶδος περιέχει τὰ ἄτομα, κατὰ τὸν αὐτὸν καὶ ἡ σεμνότης[49] τὴν Δημοσθενικὴν καὶ τὴν Ἀντιφωντείαν, εἰ τύχοι καὶ τὰς λοιπάς· ἀλλὰ τοῦτο μὲν αὐτόθεν προφαινομένην ἔχει τὴν λύσιν, τὸ δὲ διαπορηθὲν ἐφεξῆς τῶν πάνυ ζητουμένων ἐστὶν, τί δήποτε τὴν προσήκουσαν ἀφεὶς ἐπιγραφὴν τὴν κατηγορουμένην ἐπὶ τοῖς ὅλοις ἔλαβε διαῤῥήδην τῷ λόγῳ τῷ προλεχθέντι μαχόμενος· καὶ ὅτι μὲν πρὸς τὴν ὑποκειμένην τῷ βιβλίῳ διδασκαλίαν τὴν ἐπιγραφὴν ἔδει ποιήσασθαι, συνωμολογήσαμεν ἂν, εἰ σκοπὸς ἦν αὐτῷ περὶ τῶν ποιούντων διαλαβεῖν καὶ μὴ περὶ τῶν ἀποτελουμένων ἐκ τῆς μίξεως, ἀλλ᾽ ἐπεὶ νῦν ἡ τοῦ τεχνικοῦ προαίρεσις ἐπὶ τὰ ὅλα νένευκε[50] καὶ περὶ τῶν ποιουμένων κατάληψιν, δεῖ πρὸς ταύτην μᾶλλον καὶ μὴ πρὸς τὸ κατεπεῖγον ὁρᾷν· εἰ γὰρ καὶ τὰ ἀποτελούμενα κατὰ περίστασιν ἀφῆκε, πλὴν οὐκ ἐξέστη τοῦ σκοποῦ, κἂν ἐπὶ τὰ κατὰ μέρος ἐτράπετο· καίτοι, φασὶν, κατά γε τὴν τοῦ τεχνικοῦ προαίρεσιν ἐχρῆν τὴν ἐπιγραφὴν εἶναι περὶ χαρακτήρων· αὐτὸς γὰρ ἐν ἀρχῇ τῆς πραγματείας ὑποτίθεται τοὺς ἐπιστήμονας ταύτης δύνασθαι λόγων ἐργάτας εἶναι, καὶ τὰ τῶν ἄλλων κρίνειν, καθότι καλῶς ἂν ἔχοι καὶ ἀκριβῶς, καὶ καθότι μή. ποιοῦμεν δηλαδὴ τοὺς χαρακτῆρας καὶ κρίνομεν· ὥσπερ γὰρ τῶν σωμάτων τὰ μέν ἐστιν ἀῤῥενωπὰ, τὰ δὲ μαλθακὰ, τὰ

---

49 Mon. σεμύδης. 50 Mon. νέναυε. marg. νένευκε.

δὲ μέσα, τὸν αὐτὸν τρόπον κἀπὶ τῶν χαρακτήρων εὑρήσομεν τοὺς μὲν αὐτῶν ἀνθηροὺς εἰ τύχοι, τοὺς δὲ μέσους, τοὺς δὲ τραχεῖς καὶ αὐστηρούς· εἰ δὲ περὶ τούτων καὶ τῇ προθεωρίᾳ διδάσκειν ἐπαγγέλλεται, τί δήποτε μὴ κατὰ τὴν προαίρεσιν τὴν οἰκείαν ἐποιήσατο τοῦ βιβλίου ἐπιγραφὴν σφόδρα θαυμασίως; ἅτε γενικωτέρους ὄντας αὐτοὺς καὶ μὴ δυναμένους ἐκ τῶν ποιούντων καταληφθῆναι παρῆκεν· ὥσπερ γὰρ ἡ ἰδέα περιεκτικὴ τῆς ἐννοίας ἐστὶν καὶ τῆς μεθόδου καὶ τῆς λέξεως, καὶ τῶν ἄλλων ἁπάντων, ὑφ' ὧν καὶ ἀποτελεῖται, τὸν αὐτὸν τρόπον καὶ οἱ χαρακτῆρες περιέχουσι τὰς ἰδέας, ἀφ' ὧν καὶ [51] τὴν σύστασιν ἔχουσιν· ἀλλὰ τὰ μὲν ποιοῦντα τὴν ἰδέαν ἅτε μερικὴν καὶ ὑπὸ διδασκαλίαν πίπτει καὶ λόγῳ καταλαμβάνεται· τὰ δὲ ἀποτελοῦντα τοὺς χαρακτῆρας ἐκφεύγει τὴν ἀπὸ τοῦ λόγου γνῶσιν, ὡς τέλεια καὶ περιέχοντα τὴν ἔννοιαν καὶ τὴν μέθοδον καὶ τὰ περὶ τὴν λέξιν· εἰ δὲ τὰ ποιοῦντα τοὺς χαρακτῆρας ὡς ὅλα, καθὰ μεμαθήκαμεν, οὐ καταλαμβάνεται λόγῳ, τὰ δὲ ἀποτελοῦντα τὰς ἰδέας ὑπὸ διδασκαλίαν πίπτει καὶ γνῶσιν, προσηκόντως ὁ τεχνικὸς ἐκείνην μὲν ἀπεκρούσατο τὴν ἐπιγραφήν, ἧς καὶ τὸ ποιοῦν ἄδηλον καὶ τὸ ποιούμενον, ταύτην δὲ προείλετο μᾶλλον, ἧς τὸ ἀποτελοῦν τὴν ἰδέαν καταληπτόν. εἰ γὰρ ἐπέγραψε περὶ χαρακτήρων, αὐτοὺς μὲν λόγῳ παραστῆσαι τὴν ἀρχὴν ὡς ὁλικωτέρους οὐχ οἷόν τε ἦν, ἀλλ' ἴσως ἐκ τῶν ποιούντων δυνατὸν ἦν αὐτοὺς διαγνῶναι· καὶ μὴν κἀκεῖνα πάλιν καταληπτά, καθὸ τέλεια καὶ περιεκτικὰ λέξεως καὶ ἐννοίας· νῦν δὲ μέσην βαδίσας ὁδὸν ἀφῆκε μὲν τὰ γενικώτερα, λέγω δὴ τοὺς χαρακτῆρας· οὗτοι γὰρ ἀκατάληπτοι, κἂν τὰ ποιοῦντα λάβῃς· ἐπέγραψε δὲ περὶ ἰδεῶν, ἃ τὴν ἀρχὴν ἐκ τῶν ἀποτελούντων γνωρίζεται. Τίς δὲ ἡ τάξις

51 καὶ Mon. om., recepi ex Par. Σ.

τῆς ἀναγνώσεως, καὶ εἰ γνήσιον τοῦ ἀρχαίου τὸ βιβλίον, ἐν μὲν τῷ περὶ στάσεων λεκτέον λόγῳ, πλὴν οὐδὲν κωλύει καὶ νῦν διὰ βραχέων εἰπεῖν· ὅτι μὲν γὰρ γνήσιον, πάντες συνομολογοῦσι· τὸ γὰρ ἀκριβὲς καὶ ἡ εὐκρίνεια καὶ ἡ λέξις βοῶσιν ὡς εἰπεῖν Ἑρμογένους εἶναι τὸ σύνταγμα, πλὴν καὶ αὐτὸς ἐν τῷ περὶ στάσεων μέμνηται ταύτης τῆς πραγματείας, καθὰ κἀκεῖσε δεδηλώκαμεν· ἡ δὲ τάξις τῆς ἀναγνώσεως ὁμοίως καταφανής· ἡγουμένων γὰρ τῶν πραγμάτων δεῖ τηνικαῦτα καὶ τὸν περὶ τούτων ἕπεσθαι λόγον· δύο δέ εἰσι τὰ συνιστῶντα τὸν λόγον, δύναμις καὶ ἡδονή· καὶ ἡ μὲν δύναμις ἐν τοῖς κεφαλαίοις καὶ τοῖς ἐνθυμήμασιν ἀναφαίνεται, ἡ δ' ἡδονὴ διὰ τῆς φράσεως λαμβάνει τὴν ἰσχύν· τὰ γὰρ σχήματα καὶ τὰ εἴδη καὶ ὅσα ἕτερα τῆς ἡδονῆς ἐστιν παρεκτικά, ἐξ ἧς ἂν εἴη μαθεῖν τὴν εἰς τὰ μέρη τομήν, ἣ καὶ τοῦτο περίεργον· αὐτὸς γὰρ ἡμᾶς ὁ τεχνικὸς παρακατιὼν διδάξει, πλὴν ἀμυδρῶς κἀπὶ τοῦ παρόντος λελέξεται· τάχα γὰρ ἡμῖν συντελέσει πρὸς ἀκριβεστέραν τῆς ἐπιγραφῆς κατάληψιν· τέτμηται τοίνυν τὸ βιβλίον εἰς τὰ ποιοῦντα τοὺς χαρακτῆρας, λέγω δὴ τὰς ἰδέας καὶ εἰς αὐτὸ τὸ ποιούμενον· ὃ παραδίδωσι καὶ ὡς ἐν γένει καὶ κατ' ἄνδρα· σπουδὴ γὰρ αὐτῷ[52] μὴ μόνον παραστῆσαι τὴν Πλατωνικὴν ἰδέαν ἢ τὴν Δημοσθενικήν, ἀλλὰ πρῶτον μὲν διδάξαι, τί σεμνότης, τί καθαρότης καὶ τελευταῖον μετὰ τὴν τοιαύτην διδασκαλίαν ἐπὶ τοὺς χαρακτῆρας τῶν ἀρχαίων ἐλθεῖν, ἀλλὰ λελήθαμεν ἑαυτούς, ὥς φασί τινες, τὸν περὶ τῆς ἐπιγραφῆς ἐμβάλλοντες λόγον· ὑπεθέμεθα γὰρ ἐπὶ τοῦ παρόντος καὶ τοὺς χαρακτῆρας ὑπὸ διδασκαλίαν πεσεῖν, ὅπερ ἐν τοῖς φθάσασιν ἀπηγορεύσαμεν· εἰ δυνατὸν ὅλως αὐτοὺς[53]

---

52 Mon. αὐτὸ, scr. αὐτῷ. — v. 27. Mon. ἑαυτῆς. Par. 1. ἑαυτούς. 53 Mon. αὐτὴν. Par. 1. αὐτούς.

λόγῳ καταλαβεῖν, τί δήποτε μὴ περὶ χαρακτήρων ἐπέγραψεν; ἀλλ᾽ οὐδὲν ἧττον ὁ προλεχθεὶς ἔῤῥωσται λόγος, οὐ γὰρ ἐπαγγέλλεται διδάσκειν τί τὸ ὅλον, ἀλλὰ τί τὸ ποιοῦν· τότε γὰρ ἂν ἐδόκει μάχεσθαι τοῖς προλαβοῦσιν, εἰ μετὰ τὴν συνέλευσιν τῶν ἰδεῶν ἐπεχείρει καὶ τῶν χαρακτήρων ἀπαγγεῖλαι [54] τὰς μίξεις· νῦν δὲ πρότερον μὲν καθ᾽ ἑαυτὰς παραδίδωσι τὰς ἰδέας· οἷον τί σεμνότης ἢ τί καθαρότης, εἶτα τί τὸ ἀποτελούμενον ἐκ τῆς μίξεως, ὃ λόγῳ σαφηνίζειν οὐχ οἷόν τε, πλὴν εἰ μὴ συμβολικῶς. οὕτως οὐδένα τοῦ ὅλου ποιεῖται λόγον, ἀλλὰ τί ποιοῦντα τὸ ὅλον καθ᾽ ἑαυτὸ, [55] πρότερον παραστήσας καὶ μετὰ τὴν συνέλευσιν ὁποῖον ἀπαρτίζει χαρακτῆρα [56] διδάσκει· πῶς δὲ καταλάβῃς αὐτὸν οὐ παραδίδωσι λόγῳ.

---

54 Mon. ἐπαγγεῖλαι. Speng. scr. ἀπαγγ. 55 Mon. ἑαυτόν. Par. 1. ἑαυτό. 56 Mon. χαρακτῆρας. Par. 1. χαρακτῆρα.

ΕΡΜΟΓΕΝΟΥΣ

ΤΕΧΝΗΣ ΡΗΤΟΡΙΚΗΣ ΠΕΡΙ ΤΩΝ ΣΤΑΣΕΩΝ.

Caput I.

α. Ἐδόκει τισὶ χρῆναι τὸν τεχνικὸν εὐθὺς [1] ἐν ἀρχῇ προτάξαι τὸν τῆς ῥητορικῆς ὅρον, εἴγε [2] ἡ νῦν αὐτῷ προκειμένη πραγματεία ῥητορική ἐστιν· ἀλλὰ περὶ μέρους, φασὶν, ἔλεγε τῆς ῥητορικῆς· οἱ δὲ ὅροι περὶ τινῶν τελείων βούλονται εἶναι· εἰκότως οὖν οὐχ ὡρίσατο τὴν ῥητορικήν· οὐ γὰρ περὶ πάσης αὐτῷ προὔκειτο λέγειν· ἀλλὰ φαμὲν, ὅτι πολλῷ [3] μᾶλλον περὶ μέρους αὐτῆς διαλεγόμενος ὤφειλε τὸν ὅρον τῆς ῥητορικῆς προτάξαι· μὴ γὰρ μαθόντες τὸ ὅλον οὐκ ἂν δυνηθείημεν τὰ μέρη [4] αὐτοῦ γινώσκειν· πλαγίως οὖν καὶ λεληθότως ὡρίσατο τὴν ῥητορικήν. ἡ δὲ αἰτία λεχθήσεται· ὡρίσατο δὲ τοῦτον τὸν τρόπον· πᾶς ὅρος συνέστηκεν ἐκ γένους καὶ διαφορᾶς, καὶ ὧν οἱ ὅροι οἱ [5] αὐτοὶ, τούτων τὰ πράγματα τὰ αὐτά. Ἀντὶ τοῦ [6] γένους οὖν παραλαβὼν τὸν κοινὸν ὅρον καὶ συμπλέξας [7] αὐτὸν ταῖς εἰδικαῖς διαφοραῖς οὕτω προηνέγκατο τὸν ὁρισμόν. Ἀντὶ γὰρ τοῦ εἰπεῖν τέχνη, εἶπε τὸν ὅρον τῆς τέχνης, καὶ ἔφη ὧδε· πολλῶν ὄντων καὶ μεγάλων καὶ τὰ ἑξῆς. Ταῦτα δὲ οὐδὲν ἕτερόν ἐστιν ἢ περιφανῶς εἰπεῖν σύστημα ἐγκαταλήψεων γεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ· ὅπερ ἐστὶν

---

1 εὐθὺς Mon. om., est in Farn. et Par. 1. 2. 2 Mon. ἤγε. 3 Mon. πολλῶν. 4 Farn. μέρη. Parr. τὰ μέρη. Mon. μέτρα. 5 οἱ Farn. om. 6 τοῦ Par. om. 7 Mon. Farn. συμπλέξαι ἀ. τ. ἰδικαῖς διαφορᾶς. Par. 1. εἰδικαῖς. Par. 2. ἰδικαῖς, uterque συμπλέξας.

ὁ[8] ὅρος τῆς τέχνης· τούτῳ οὖν συμπλέξας τὰς εἰδικὰς[9] διαφορὰς τουτέστι τὸ κἂν ταῖς βουλαῖς κἂν[10] τοῖς δικαστηρίοις καὶ πανταχοῦ αὐτοτελῆ τὸν ὅρον ἀπέδωκε τῆς ῥητορικῆς. Οὐχ ἁπλῶς δὲ οὐδ' ἄνευ λόγου τινὸς πλαγίως καὶ λεληθότως ὡρίσατο, ἀλλ' ἵνα καὶ τὴν ἀντίθεσιν τῶν φασκόντων μὴ εἶναι τέχνην[11] τὴν ῥητορικὴν δόξῃ μὴ παραδέχεσθαι, ἀλλ' ὡσπερεὶ καταφρονεῖν καὶ παραπέμπεσθαι τὸν λόγον αὐτῶν, καὶ διὰ τὸ συμπλέξαι τὸν ὅρον τῆς τέχνης[12] τῇ ῥητορικῇ ἀποδείξῃ τέχνην αὐτὴν οὖσαν. δεδήλωται[13] γὰρ, ὅτι ὧν οἱ ὅροι οἱ[14] αὐτοὶ, τούτων τὰ πράγματα τὰ αὐτά· ἐν δὲ τῷ πλαγιάσαι πρὸς ἑκατέρους[15] ἀπήντησε, τούς τε ὅλην ῥητορικὴν τὰς στάσεις λέγοντας καὶ τοὺς μὴ τέχνην αὐτὴν ὀνομάζοντας, τοὺς μὲν τῷ φάναι, μέγιστον εἶναί μοι[16] δοκεῖ· τὸ γὰρ μέγιστόν τινων μεγάλων ἐπαναβέβηκεν, ὥστε οὐ τὸ πᾶν τῆς ῥητορικῆς ἐν ταῖς στάσεσι. τοὺς δὲ τῷ εἰπεῖν „σαφῆ τε τὴν ὠφέλειαν παρεχόμενα τῷ βίῳ“. τοῦτο[17] γὰρ ὁμολογουμένης τέχνης ἐστίν.

β. Πολλῶν εἰπὼν οὐκ ἔστη[18] μέχρι τούτου, ἀλλ' ἐπήνεγκε κατὰ αὔξησιν τὸ μεγάλων. καὶ καθ' ἕτερον

8 ὁ ex Farn. Par. 2. recepi. Par. 1. et Mon. om. 9 ἰδικὰς Farn. 10 Mon. ἄν. 11 Mon. et Farn. μὴ εἶναι τέχνην τῆς ῥητορικῆς. Par. 1. μὴ εἶναι τὴν ῥητορικὴν τέχνην. Par. 2. μ. ε. τέχνην τὴν ῥητορικήν. 12 Par. τῇ ῥητορικῇ τῆς τέχνης. 13 Mon. δεδήλωτε γὰρ ὅτι τῶν. 14 οἱ Farn. om. 15 ἑκατέρους Farn. et Parr. ἑκατέρα Mon. 16 Mon. μή. 17 Mon. τούτω. 18 Mon. Farn. ἔστι. Parr. ἔστη. Schol. min. ὅρος Στοϊκῶν· ῥητορική ἐστιν ἐπιστήμη τοῦ εὖ λέγειν. πολλῶν· ἀπὸ πλαγιασμοῦ ἤρξατο, καίτοι τῶν ὅρων κατ' εὐθεῖαν πτῶσιν ἐκφερομένων διὰ τὸ (Farn. τὸ om.) φιλοσύντομον, ἵνα μὴ δεηθῇ πολλῶν περιόδων, ἢ διὰ τὸ ἐξᾶραι τὴν τέχνην· σχῆμα γὰρ περιβολῆς ὁ πλαγιασμὸς, ἡ δὲ περιβολὴ μία ἐστὶ τῶν ἰδεῶν (Farn. τῶν ἰδεῶν ἐστὶ) τῶν ποιουσῶν τὸ μέγεθος. ib. τὸ πολλῶν ποσότητος διωρισμένης, τὸ μεγάλων συνεχοῦς.

εἶδος τοῦ ποσοῦ ἐπήνεσε τὴν ῥητορικήν· τοῦ γὰρ ποσοῦ τὸ μέν ἐστι διακεκριμένον, τὸ δὲ συνεχὲς, καὶ ἐπὶ μὲν τοῦ διακεκριμένου λέγεται τὸ πολὺ, οἷον πολλοὶ[19] *ἄνθρωποι· ἐπὶ δὲ τοῦ συνεχοῦς τὸ μέγα, οἷον ὁ δεκάπηχυς κίων μέγας ἐστί. σημειωτέον δὲ, ὅτι ἐπὶ μὲν τοῦ συνεχοῦς τὸ μετρεῖν λέγεται, ἐπὶ δὲ τοῦ διακεκριμένου τὸ ἀριθμεῖν· οἷον μέτρησον μὲν τὸν κίονα, ἀρίθμησον δὲ τοὺς ἀνθρώπους.*

γ'. Τῶν τὴν ῥητορικὴν ὁρισάντων οἱ μὲν ἐπὶ τὸ χεῖρον, οἱ δὲ πρὸς τὸ μεῖζον ἀπέκλιναν, μεθ' ὧν καὶ Πλάτων τὴν ῥητορικὴν ἐκωμῴδησε φήσας αὐτὴν ἐμπειρίαν εἶναι καὶ πολιτικῆς μορίου εἴδωλον, καὶ κακοτεχνίαν, ἢ ματαιοτεχνίαν. Ἑρμογένης οὖν μήτε προδήλως ἀντιταχθῆναι Πλάτωνι βουληθεὶς, αἰδοῖ τοῦ ἀνδρὸς,[20] *μήτε τὴν τέχνην σαλεύουσαν παριδεῖν ἐθελήσας σοφίᾳ τὴν τέχνην μετέρχεται, τὸν ὅρον τῆς καθόλου τέχνης αὐτῇ ἐπιθείς. ἔστι δὲ ὅδε· σύστημα ἐγκαταλήψεων· σύστημα δέ*[21] *ἐστιν ἡ τῶν πολλῶν ὀργάνων συνδρομὴ, δι' ὧν ἡ τέχνη.*

δ'. Διανίστησι τὸν ἀκροατὴν τῷ πολλῶν[22] *καὶ μεγάλων εἰπεῖν, οἷον τοῦ δικανικοῦ, τοῦ συμβουλευτικοῦ, τοῦ πανηγυρικοῦ, τῶν στάσεων, τῶν εὑρέσεων, τῶν ἰδεῶν, τῶν θεωρουμένων*[23] *ταύταις προσώπων τε*[24] *καὶ πραγμάτων, διαιρέσεως κεφαλαίων, τῶν πέντε μερῶν, ἐξ ὧν ὁ πολιτικὸς λόγος, τῶν ἑπτὰ ἰδεῶν, καὶ τῶν ὀκτὼ μερῶν, ἐξ ὧν γίνονται.*

---

19 Mon. *πολὺ οἷον* om., est in Parr. et Farn. 20 Par. 1. *αἰδοῖ τοῦ ἀνδρὸς βουληθείς.* 21 *δὲ* Farn. om. 22 Mon. *πολλῷ.* 23 Par. *ἐνθεωρουμένων.* 24 Par. 1. *ἔτι.* Schol. min. *τὴν ῥητορ. οὐχ ἡ πᾶσα ῥητορική ἐστι τὸ περὶ τῶν* (Par. *τῶν* om.) *μάθημα, ἀλλ' ὅμως τοῦτό ἐστιν ἀναγκαῖον καὶ κυριώτατον· ἀπὸ μείζονος οὖν καὶ κρείττονος οὐδὲν ἄτοπον ποιεῖσθαι τὴν ἐπιγραφὴν ὡς* (*ὡς* Farn. om.) *περὶ πάσης ῥητορικῆς. συνίστησιν· ἀντὶ τοῦ εἰς ὑπόστασιν ἄγει· τοῦτο δὲ ἴσον τῷ συστήματι ἐκ καταλήψεων.*

ε΄. Ζητητέον πῶς εἶπε[1] „τέχνην ποιεῖ“, καὶ „καταληφθέντα ἐξ ἀρχῆς“· δοκεῖ γὰρ ταῦτα ὥσπερ ἐναντία εἶναι ἀλλήλοις· ποιοῦμεν γὰρ τὰ μὴ ὄντα, καταλαμβάνομεν δὲ τὰ ἤδη προϋφεστῶτα· φήσαιμεν[2] δ' ἄν, ὅτι τὰ πράγματα φύσει ἐστὶ καὶ πρὸ τοῦ καταληφθῆναι ἐν ἡμῖν· ἐπειδὰν δὲ καταληφθῇ ὑφ' ἡμῶν, τότε γίνεται ὡς πρὸς τὴν ἡμετέραν γνῶσιν ἢ τεχνικὴν ἢ ἐμπειρικήν.[3] καλῶς οὖν πρὸς μὲν τὸ εἶναι τὴν ῥητορικὴν φύσει εἶπε[4] τὸ καταληφθέντα ἐξ ἀρχῆς· πρὸς δὲ τὸ τέχνην αὐτὴν[5] εἶναι τὸ ποιεῖ,[6] τοῦτο δὲ ἴσον τῷ ἐγκαταλήψεων.

ϛ΄. Κατάληψις δέ[7] ἐστιν ἐπὶ μὲν τῶν ἐπιστημῶν ἡ ἐκ τῶν καθόλου γνῶσις, ἐπὶ δὲ[8] τῶν τεχνῶν ἡ ἐξ αἰσθήσεως γνῶσις, οἷον ἐν χειμῶνι γυμνός τις ὢν καὶ[9] ῥιγάσας, εἶτα περιβαλλόμενος[10] καὶ θαλφθεὶς ἔγνω ἐκ τῆς αἰσθήσεως, ὅτι χρήσιμος ἡ περιβολή. οὕτω πᾶσαι αἱ περὶ τὸν βίον εὕρηνται τέχναι ἐξ αἰσθήσεως, ὅτι χρειώδεις, παρασχοῦσαι τὴν κατάληψιν. οὕτω καὶ τὰ τῆς ῥητορικῆς, οἱ γὰρ παλαιοὶ ἐγνωκότες, ὅτι φιλότιμον ζῷον ὁ ἄνθρωπος, καὶ κολακείαις ὑπάγεται, τὰ προοίμια ἐφεῦρον, παρακαλοῦντες τοὺς δικαστὰς ἐπὶ τὸ ὑπακούειν αὐτοῖς· εὗρον δὲ καὶ διήγησιν καὶ τὰ λοιπὰ μέρη τοῦ πολιτικοῦ λόγου δι' αἰτίας, ἃς[11] ἐν ταῖς εὑρέσεσι μάθῃς.

ζ΄. Ἢ ἀφ' οὗπερ ἡ τῶν ἀνθρώπων φύσις ὑπέστη, ἵνα ἅμα τοῖς ἀνθρώποις αὐτὴν ἀποδείξῃ,[12] ὡς καὶ Πλάτων ὅτι τὸ λογικὸν συνεφύη τοῖς ἀνθρώποις, ἢ ὃ καὶ ἄμεινον, ἀφ' οὗ ἄνθρωποι τέχνας κοσμεῖν ἤρξαντο[13] καὶ διὰ λόγου ταύτας[14] μετῆλθον.

---

1 Mon. εἶτε. 2 Mon. φῆσαι μέν. 3 ἢ τεχνικὰ ἢ ἐμπειρικὰ Farn. 4 Mon. et Farn. εἶτε. 5 Mon. et Farn. αὐτά. 6 Mon. ποιεῖ. Farn. et Parr. ποιεῖν. 7 δὲ Farn. om. 8 δὲ Mon. et Farn. Par. 2. 9 καὶ Farn. om. 10 Par. περιβαλόμενος. 11 Mon. ἅ. 12 ἀποδείξῃ Farn. et Parr. δείξῃ Mon. 13 Mon. ἤρξατο. 14 Mon. ταῦτα.

η΄. Οὐ περιττὸν τὸ δηλαδὴ οὐδὲ ῥυθμοῦ μόνον χάριν καὶ κόσμου παραληφθὲν,[15] ἀλλ' ἐπίῤῥημα βεβαιώσεως ὂν μετὰ πληροφορίας τὸ πάγιον ἐμφαίνει τῆς καταλήψεως.

θ΄. Μετὰ γὰρ τὴν γνῶσιν καὶ κατάληψιν χρεία καὶ τῆς ἐν τῷ γυμνάζεσθαι διατριβῆς. ὅτι χρὴ δὲ πρὸς τῇ εὑρέσει[16] καὶ γυμνασίαν ἀσκεῖν, ἐδήλωσε Δημοσθένης· εἰς μὲν γὰρ τὸ δικανικὸν καὶ τὸ συμβουλευτικὸν ἄμαχος ἦν[17] ὁ ἀνὴρ, ἐπειδὴ τούτοις συνεγυμνάσατο, περὶ δὲ τὸ πανηγυρικὸν ἄτονος ἐδόκει καὶ ἀνίσχυρος διὰ τὸ μὴ πεῖραν καὶ τριβὴν ἐν τούτοις λαβεῖν.

ι΄. Τὸ σαφῆ προσέθηκε φανερῶς πρὸς Πλάτωνα καὶ τοὺς λοιποὺς φιλοσόφους ἀποτεινόμενος, ὥσπερεὶ ἔλεγεν, ὅτι ἡ γεωμετρία καὶ ἡ[18] ἀστρονομία ἄδηλον εἰ ὠφελεῖ· ἡ δὲ ῥητορικὴ δῆλον· ἡ τέχνη οὖν δῆλον, ὡς οὐ ματαιοτεχνία, οἷα ἡ ὀρχηστικὴ, οὐδὲ κακοτεχνία, οἷα ἡ φαρμακεία. ὅρα δὲ ὡς ὁ μὲν ὅρος τῆς καθόλου τέχνης ψιλῶς ἔχει πρός τι τέλος εὔχρηστον· οὗτος δὲ ἐπιτείνας σαφῆ, εἶπε, τὴν ὠφέλειαν παρεχόμενα.

ια΄. Διὰ τούτων τῶν ῥημάτων τὰ εἴδη ἐνέφαινε τῆς ῥητορικῆς τρία ὄντα κατὰ μίμησιν τῶν τῆς ψυχῆς δυνάμεων, λογιστικοῦ τέ φημι καὶ[19] θυμικοῦ καὶ ἐπιθυμητικοῦ. ἐκ μὲν γὰρ τοῦ λογιστικοῦ τὸ συμβουλευτικὸν εἶδος πρόεισιν, ἐκ δὲ τοῦ θυμικοῦ τὸ δικανικὸν, ἐκ δὲ τοῦ ἐπιθυμητικοῦ τὸ πανηγυρικόν· εἰ γὰρ καὶ πάντα ἐν πᾶσιν, ἀλλ' ἑκάστῳ τῆς ψυχῆς μέρει μᾶλλον οἰκεῖον τὸ

---

15 Mon. παραλειφθέν. 16 Mon. πρὸς τῆς εὑρέσεως. 17 ἦν Mon. om. Sch. min. τὸ τῷ χρόνῳ εἰς ἐγκωμίου πρόσθεσιν κεῖται· αἱ γὰρ μὴ ἡδεῖαι καὶ χρήσιμοι τέχναι τῷ χρόνῳ ἀκμάζουσαι κατά τινα πάλιν ἀπογίνονται. μέγιστον. μεγάλα μέν φησι καὶ τὰ ἄλλα, μέγιστον δέ ἐστι τὸ περὶ τῶν στάσεων. Εἴρηται ῥητορικὴ ἀπὸ τοῦ ῥύδην λαλεῖν (Par. 2. λέγειν) ἐν αὐτῇ. 18 ἡ Farn. Par. 2. om. 19 καὶ Mon. om.

ἀποδεδομένον εἶδος πρὸς ἕκαστον. εἰπὼν οὖν κἀν ταῖς βουλαῖς τὸ συμβουλευτικὸν εἶδος ἐνέφηνε. κἀν τοῖς δικαστηρίοις δὲ εἰπὼν τὸ δικανικὸν ἐνεδείξατο. διὰ δὲ τοῦ [20] πανταχοῦ τὸ πανηγυρικὸν, πανταχοῦ γὰρ τὸ τοιοῦτον συνανακέχυται εἶδος· καὶ δῆλον ἀπὸ τοῦ τέλους· τέλος γὰρ τοῦ πανηγυρικοῦ τὸ καλὸν, ὃ κἀν τοῖς τῶν ἄλλων εἰδῶν συναναφαίνεται τέλεσι, [21] τῷ τε συμφέροντι, ὃ τέλος ἐστὶ τοῦ συμβουλευτικοῦ, τῷ τε δικαίῳ, ὃ τέλος ἐστὶ τοῦ δικανικοῦ. λέγεται γὰρ καλὸν τό τε συμφέρον καὶ δίκαιον. τὸ δὲ καλὸν οὐκ ἂν ῥηθείη πάντως οὔτε συμφέρον οὔτε μὴν δίκαιον. οὐ γὰρ ἀντιστρέφει· τὸ γὰρ κάλλος καλὸν μὲν, τοῖς δὲ πολλοῖς οὐ συμφέρον. ἀλλ᾽ οὐδ᾽ ἂν δίκαιον λέγοιτο. Τινὲς δέ φασι, μὴ δηλοῦσθαι διὰ τοῦ πανταχοῦ τὸ πανηγυρικόν. περὶ γὰρ τῶν [22] στάσεων ὁ λόγος τῷ ῥήτορι. τὸ δὲ πανηγυρικὸν ἀστασίαστον. ἀλλὰ πρῶτον μὲν περιττῶς ἂν δόξῃ κεῖσθαι [23] τὸ πανταχοῦ. ἔπειτα οὐδὲ ἀστασίαστον ἀεὶ τὸ πανηγυρικὸν, ἀλλ᾽ ἔστιν ὅτε καὶ αὐτὸ [24] στασιάζεται. ὥσπερ ἐπὶ τοῦ πολιτικοῦ, περὶ οὗ φησὶν ἐν τῷ περὶ ἰδεῶν λόγῳ ὁ Ἑρμογένης, ἔνθα καὶ [25] πρόβλημα τὸ περὶ Ἀλκιβιάδου προτίθησι λέγων, Ἀλκιβιάδης [26] λαχὼν δᾳδουχεῖν δοκιμάζεται· καὶ ἐξαίρων οὖν τὸ πανηγυρικὸν τὸ πανταχοῦ εἶπε, καὶ ὅτι βουλευόμεθα μὲν ἐν βουλευτηρίοις [27] μόνοις, δικαζόμεθα δὲ ἐν δικαστηρίοις, πανηγυρίζομεν δὲ πανταχοῦ· προτέθεικε [28] δὲ τὸ συμβουλευτικὸν τοῦ δικανικοῦ διὰ τὸ τιμιώτερον καὶ πᾶσιν ἁρμόζειν καὶ δικαζομένοις καὶ μὴ, καὶ πανηγυρίζουσι καὶ οὐχί.

ιβ΄. Ἔθος τῷ ῥήτορι μᾶλλον δὲ καὶ [1] πᾶσι τοῖς ῥή-

τέλε

20 Par. τό. 21 Par. 1. κάλλεσι. 22 τῶν Mon. et Par. om., est in Farn. Par. 2. 23 κεῖσθαι Mon. om. 24 αὐτὸ Par. 1. om. 25 δὴ Farn. 26 Mon. Ἀλκιβιάδου. 27 Mon. δικαστηρίοις: desinit hic specimen, quod sumsi ex Farn. 28 Mon. προτέθηκε. 1 Par. παρά.

τορσιν, ἴδιον δὲ τῆς τέχνης αὐτῆς τὸ ἀεὶ ἐξαίρειν τὸ νῦν εἰς ἔπαινον προτιθέμενον. Κἀνταῦθα τοίνυν τοῦτο ποιεῖ· ἐν δὲ τῷ περὶ εὑρέσεως βιβλίῳ γενόμενος ἐκεῖνο πάλιν ἐξαίρει, κἀν τῷ περὶ ἰδεῶν δὲ ὡσαύτως. τεσσάρων δὲ τρόπων διδασκαλικῶν ὄντων, διαιρετικοῦ, ἀναλυτικοῦ, ὁριστικοῦ, καὶ ἀποδεικτικοῦ, περὶ μόνου τοῦ διαιρετικοῦ καὶ τοῦ ἀποδεικτικοῦ ἐμνημόνευσεν, ὡς ἐν τῷ διαιρετικῷ καὶ τοῦ ἀναλυτικοῦ ἀναφαινομένου κατὰ τὸ ἔμπαλιν, κἀν τῷ ἀποδεικτικῷ τοῦ ὁριστικοῦ. ἃ γὰρ ἡ ἀπόδειξις τινὶ προσόντα ἐξ ἀνάγκης [2] δεικνύει, ταῦτα ὡς ἕν τι πάντα ὁ ὅρος κατηγορεῖ τοῦ αὐτοῦ. εἰπὼν δὲ μέγιστον εἶναι τὸ περὶ διαιρέσεως καὶ ἀποδείξεως, ἐπειδὴ κἀν ταῖς εὑρέσεσι κἀν ταῖς ἰδέαις διαιρεῖ τε καὶ ἀποδείκνυσιν, ἐπανέλαβε τὸν λόγον, ἵνα σαφηνίσῃ τὸ λεγόμενον καὶ δείξῃ περὶ ποίας αὐτῷ πρόκειται διαιρέσεως λέγειν [3] καὶ ἀποδείξεως, καί φησι, λέγω δὲ οὐ τῆς ἀπὸ τῶν [4] γενῶν εἰς εἴδη.

ιγ'. Ἡ διαίρεσις ἑξαχῶς λέγεται· ἢ ἀπὸ γένους εἰς εἴδη, ὥσπερ τοῦ ζώου εἰς λογικὸν καὶ ἄλογον, καὶ ἀπὸ εἴδους εἰς ὅλον, οἷον τοῦ καθόλου ἀνθρώπου εἰς τὰ ἄτομα, τυχὸν Δημοσθένη καὶ Πλάτωνα, ἢ ἀπὸ ὅλου εἰς μέρη, Σωκράτους εἰς κεφαλὴν καὶ χεῖρας καὶ πόδας, ἢ ἀπὸ ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα, ὡς φέρε εἰπεῖν Αἴας ὁ Ὀϊλέως [5] καὶ Αἴας ὁ Τελαμώνιος, καὶ κύων χερσαῖος καὶ κύων θαλάσσιος. ἢ ἀπὸ οὐσίας εἰς συμβεβηκότα. τοῦ ἀνθρώπου τὸ μὲν λευκὸν, τὸ δὲ μέλαν, ὁ Σκύθης τυχὸν καὶ ὁ Αἰθίοψ· ἢ ἀπὸ συμβεβηκότος εἰς οὐσίαν, ὡς ἐὰν εἴπῃς, τοῦ λευκοῦ τὸ μὲν ψιμύθιον, [6] τὸ δὲ

2 Lectio recepta est in Mon. ad marg. et in Parr. In contextu Mon. προσόντα οὐ προσόντα δεικνύει, ταῦτα ὡς ἕν τινα πάντων ὁ ὅρ. κατηγορεῖται τοῦ αὐτοῦ. 3 Mon. Par. 2. νῦν πρόκειται λέγειν καὶ ἀποδείξεως, ex Par. 1. διαιρέσεως supplevi. 4 τῶν Mon. om. 5 Mon. Par. 1. ὁ ἰλέως. Par. 2. ὁ ἠϊλέως. 6 In Mon. ψιμύθιον (μ superscr.). Par. 2. ψιμίθιον. Par. 1. ψιμύθιον.

κύκνος. ἔστι δὲ ἡ διαίρεσις αὕτη· ὡς ἀπὸ ὅλου εἰς μέρη. ταύτῃ δὲ τῇ διαιρέσει, λέγω δὴ τῇ ἀπὸ τοῦ ὅλου[7] εἰς μέρη σημειωτέον, ὅτι ἐπὶ μόνης διδασκαλίας χρώμεθα.

ιδ´. Τινὲς γένος[8] λέγουσι τὴν λογικὴν ἐπιστήμην, εἴδη δὲ ταύτης ἰατρικὴν, ἀριθμητικὴν, ῥητορικήν. ὅλα δὲ συμβουλευτικὸν, δικανικὸν, πανηγυρικὸν, μέρη δὲ προτροπὴν,[9] ἀποτροπὴν καὶ τὰ ἑξῆς· ἔνιοι δὲ γένος μὲν τὴν ῥητορικὴν, εἴδη δὲ συμβουλευτικὸν, ὅλον δὲ τὸν λόγον, μέρη δὲ προοίμια, διηγήσεις, ἀγῶνας καὶ ἐπιλόγους. ἔχει δὲ οὐχ οὕτως· οὐ γὰρ ἂν εἶπε γενῶν εἰς εἴδη, ἀλλὰ γένους, οὐδ᾽ αὖ ὅλων εἰς μέρη, ἀλλ᾽ ἀπὸ τοῦ ὅλου· μνημονεύσας δὲ πλειόνων γενῶν καὶ ὅλων ἔδειξεν, ὡς περὶ τῶν ἐν ταῖς ἰδέαις γενῶν ἐπὶ τὰ τούτων εἴδη αὐτῶν ἡ διαίρεσις, καὶ ἡ ἀπὸ τῶν ὑποκειμένων τοῖς εἴδεσιν ὅλων ἐπὶ τὰ μέρη· ὥσπερ γὰρ τὸ ζῶον[10] γένος ὂν διαιρεῖται εἰς εἴδη, ἄνθρωπον καὶ βοῦν· τῷ δὲ ἀνθρώπῳ, εἴδει ὄντι, ὑπόκεινται οἱ καθ᾽ ἕκαστον ἄνθρωποι, Σωκράτης, Πλάτων. οἳ[11] λέγονται ὅλα, ταῦτα δὲ τὰ ὅλα[12] διαιρεῖται εἰς μέρη, χεῖρας καὶ πόδας, οὕτω καὶ τὰ γένη τῶν ἰδεῶν διαιροῦνται εἰς εἴδη, οἷς ὑπόκεινται ὅλα, ἃ[13] διαιροῦνται εἰς μέρη. ἡ γὰρ σαφήνεια γένος οὖσα διαιρεῖται εἰς εἴδη, εὐκρίνειαν[14] καὶ καθαρότητα, αἷς ὑπόκεινται ὅλα, ἔννοια, μέθοδος, καὶ τὰ λοιπὰ, ἅπερ διαιρεῖται εἰς μέρη καὶ διαφόρους μεθόδους. τῶν τοίνυν ἰδεῶν ἀποδιαστέλλων τὰς στάσεις φησί· λέγω δὲ οὐ τῆς ἀπὸ τῶν γενῶν εἰς εἴδη, καὶ ἀπὸ τῶν ὅλων εἰς μέρη· ἀπὸ δὲ τῶν εὑρέ-

---

7 Mon. ἀπὸ τοῦ λόγου. Par. ἀπὸ ὅλου. 8 γένος Mon. om. 9 Mon. προτροπικὴν, ἀποτροπικὴν. ad marg. προτρεπτικὴν, ἀποτρεπτικήν. 10 Par. τὸ γένος ζῶον ὄν. 11 Mon. οἷον. 12 ταῦτα δὲ τὰ ὅλα Mon. om. 13 Mon. ὑπόκειντοαι· ὅλα μὲν διαιρ. Par. 2. οἷον ὑπόκειται. 14 Mon. εὐκρίνεια.

σεων αὐτὰς οὐ διέστειλεν,[15] ὅτι ὁ περὶ τῶν στάσεων λόγος ὁ αὐτός ἐστι σχεδὸν τῷ[16] περὶ εὑρέσεως.

ιέ. Ἵνα μὴ δοκῇ διὰ τὸ ἄχρηστον τοῦ πράγματος τὴν περὶ τούτου καταλελοιπέναι[17] ζήτησιν, διὰ τοῦτο κἀκεῖνα ἐγκωμιάζει. οἶδε γὰρ ὡς ἐπιστήμην καὶ τὰς περὶ αὐτῶν τεχνολογίας πολλῆς ἐξετάσεως δεομένας, κἀντεῦθεν δὲ δῆλον, ὡς μόνας τὰς ἰδέας διεῖλεν ἀπὸ τῶν στάσεων· οὐ γὰρ εἶπε, μικρὰ μὲν γὰρ[18] οὐδὲ ταῦτα ῥητορικῆς μέρη, ἀλλὰ μέρος, δηλῶν ὡς περὶ ἑνὸς μέρους αὐτῷ τῶν ἰδεῶν ἡ διαστολή.

ις΄. Ἐκ πάντων τὸ περὶ ἰδεῶν διαστείλασθαι τον Ἑρμογένη συνάγεται, τὸ γὰρ εἰπεῖν,[19] ἀλλ᾽ οὐ περὶ τούτων νυνὶ,[20] δείκνυσιν αὐτὸν μέλλειν καὶ περὶ τῶν διαστελλομένων ἐρεῖν. Φαίνεται δὲ περὶ τῶν ἰδεῶν εἰς τὸ μετέπειτα λέγων, ἀλλ᾽ οὐ διαίρεσιν ἡμῖν τοιαύτην, οἵαν τινὲς ἔφασαν, παραδιδούς.

ιζ. Πολιτικὰ ζητήματα καλεῖ πάντα τὰ ὑπὸ τὰς ιγ΄ ἀναγόμενα στάσεις. πολιτικὸν δὲ ζήτημα τὸ ῥητορικὸν πρὸς ἀντιδιαστολὴν τῶν φιλοσόφων καὶ τῶν λοιπῶν. ἐπεί ἐστι πολλὰ[21] ζητήματα, ἅπερ μή ἐστι πολιτικὰ, οἷον τὰ περὶ γεωμετρίας καὶ ἀστρονομίας καὶ ὅσα τοιαῦτα, περὶ ἐκείνης, φησὶν, ὁ λόγος γινέσθω τῆς διαιρέσεως τῶν πολιτικῶν ζητημάτων εἰς τὰ λεγόμενα κεφάλαια, πολιτικὸν ζήτημα λέγων τὴν στάσιν, πολιτικὸν μὲν, ὅτι πρὸς σύστασιν

---

15 Par. 1. διεῖλεν. 16 Mon. τό. Sch. min. λεγόμενα κεφάλαια, ἤτοι βοώμενα καὶ θρυλλούμενα. ἐθῶν· τὸ ἔθος πρόκειται, ἢ ἵνα ἀρχαίαν ἀποδείξῃ τὴν ῥητορικὴν, οἱ γὰρ νόμοι ἀπ᾽ ἔθους εἰσὶν, ἢ ἵνα τὰς βαρβάρους περιλάβῃ πόλεις, αἳ νόμους μὲν οὐκ ἔχουσιν, ἔθει δὲ χρῶνται. 17 Mon. καταλελοιπένεται. 18 γὰρ Par. om. 19 τὸ γὰρ εἰπεῖν Par. 1. om. 20 Post νυνὶ Mon. habet βίον δείκνυσι μέλλειν αὐτῶν. Par. 1. αὐτὸν μέλλειν. Par. 2. μέλλειν αὐτόν. 21 Parr. τινά.

σιν τῆς πολιτείας ὁρᾷ τὸ στασιαζόμενον, ζήτημα δὲ, διὰ τὸ ἀμφιῤῥεπὲς καὶ τὸ παρ' ἑκατέρων τῶν μερῶν ζητεῖσθαι καὶ ἐξετάζεσθαι. λεγόμενα δέ φησι τὰ ὀνομαζόμενα, τὰ οὕτω παρὰ τοῖς ἀρχαίοις καλούμενα. ἐκλήθησαν δὲ κεφάλαια ἐκ μεταφορᾶς τῆς κεφαλῆς· ὡς γὰρ ἐκείνη περιεκτική ἐστι τῶν αἰσθήσεων, ἐν μέρει γὰρ καὶ τὴν ἀρχὴν περιέχει, οὕτω καὶ τὸ ῥητορικὸν κεφάλαιον, τυχὸν βούλησις ἢ δύναμις, περιεκτικόν ἐστι τούτων τῶν πέντε ἐπιχειρημάτων,[22] ἐργασιῶν, ἐνθυμημάτων, ἐπενθυμημάτων[23] καὶ πλαστῶν. ὑπάλληλα γὰρ [24] ταῦτα τοῖς κεφαλαίοις ἀρχῇ [25] τινι ὄντι καὶ ῥίζῃ.

ιη΄. Διὰ μὲν τοῦ ὁ αὐτὸς τὴν κοινωνίαν ἔδειξεν, διὰ δὲ τοῦ σχεδὸν τὴν διαφοράν. κοινωνεῖ μὲν γὰρ, ἐπειδὴ τὸ περὶ εὑρέσεως, περὶ τῶν ἐνθυμημάτων καὶ τῶν παραδειγμάτων ἐστὶν, ἐξ ὧν συνίστανται οἱ ῥητορικοὶ λόγοι. ἡ γὰρ εὕρεσις ἔκθεσις τόπων ἐστὶν, ἐξ ὧν δεῖ[1] λαμβάνειν τὰ πολιτικὰ ἐνθυμήματα καὶ παραδείγματα, καὶ τὰ κεφάλαια δὲ ἐξ ἐνθυμημάτων συνίστανται καὶ παραδειγμάτων. Κοινωνεῖ μὲν οὖν [2] τοῦτο τὸ βιβλίον τῷ περὶ εὑρέσεως τούτῳ τῷ λόγῳ, διαφέρει δὲ αὐτοῦ, καθὸ τὸ μὲν περὶ εὑρέσεως ἀναπληροῖ. τὸ δὲ περὶ τῶν στάσεων δύο ἢ τρεῖς ἔχει τόπους, ἐξ ὧν ἐστι λαβεῖν τὰ παραδείγματα καὶ τὰ ἐνθυμήματα.

ιθ΄. Τί δέ ποτε εἰπὼν σχεδὸν καὶ δείξας, ὅτι ἔν τισι διαλλάττει, ἐπήγαγε, πλὴν ὅσον οὐ πάντα ἔχει τὰ περὶ εὑρέσεως, ἐν οἷς διαφέρουσιν ἀλλήλων, ἐδήλωσεν· οὐ γὰρ ὅσα ἄν τις εἴποι μελετῶν, ταῦτα εἰς τὸν χαρακτηρισμὸν τῶν κεφαλαίων εἶπεν ὁ τεχνικός.

κ΄. Ῥητέον εἰκότως· ἐπεὶ γὰρ περὶ αὐτοῦ πᾶς ὁ λόγος, δεῖ τὴν φύσιν αὐτοῦ τί ποτέ ἐστιν, ἐξεπίστασθαι,[3]

---

22 Par. 1. τῶν ἐργασιῶν. 23 Mon. ἐπιθυνημάτων. 24 Par. 1. δέ. 25 Par. 2. ἀρχή.

1 Mon. δέ. 2 οὖν et τὸ Mon. om. 3 Par. 1 ἐξετάζε-

ἵνα μὴ περὶ οὗ ζητοῦμεν ἀγνοοῦντες ὅπη τύχῃ περιφερώμεθα.

κά. Πᾶς[4] ὅρος ἐκ γένους συνίσταται καὶ διαφορῶν. Ἰδοὺ γοῦν ἐνταῦθα γένος μὲν ἡ ἀμφισβήτησις, ἥτις ἐστὶ ζήτησις· εἶτα ἐπειδὴ εἰσὶν ἀμφισβητήσεις πρακτικαὶ, ὥσπερ ἐπὶ τῶν πυκτῶν, ἐπάγει διαφορὰν λογικὴν, ἵνα ἐκ τῶν ἔργων γινομένων ἀποστήσῃ τὸν ὅρον. ἐπειδὴ δὲ ζητήσεις εἰσὶ καὶ ἄλλαι λογικαὶ, οἷον φιλόσοφοι, ἐπάγει τὸ ἐπὶ μέρους· ὁ μὲν γὰρ φιλόσοφος τὸ καθόλου ζητεῖ, εἰ σφαιροειδὴς ὁ οὐρανὸς, ὁ δὲ ῥήτωρ μερικὸν δίκαιον· εἰ δέ τις φήσει, καὶ μὴν οἱ ῥήτορες πολλάκις τῷ καθόλου χρῶνται, ὡς Δημοσθένης ῥήτωρ ὢν πολλαχοῦ τῷ λόγῳ φαίνεται καθολικοῖς[5] χρώμενος ἐπιχειρήμασιν· οἷον „πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις ἐστὶ[6] τοῦ βίου θάνατος, κἂν ἐν οἰκίσκῳ τις αὑτὸν καθείρξας τηρῇ“· καὶ πάλιν ἐν Φιλιππικοῖς·[7] „οὐ γάρ ἔστιν, οὐκ ἔστιν ἀδικοῦντα καὶ ἐπιορκοῦντα καὶ ψευδόμενον δύναμιν βεβαίαν κτήσασθαι“, πρὸς τοῦτο ἐροῦμεν, ὅτι ταῦτα πρὸς κατασθαι.

4 πᾶς Par. om. Sch. min. τὸ τὰ καθόλου ζητεῖν οὐ ῥητορικῆς, ἀλλὰ φιλοσοφίας ἐστὶν, ὅπερ ὁ τεχνικὸς ὡς ῥητορικὸν ἀπεσιώπησεν ἐπιχείρημα, ὕλην τινὰ καὶ ἐργασίαν καὶ ἀφορμὴν τῷ λόγῳ δίδωσιν, εἰ καὶ ἀνίσχυρον καὶ οὐκ εὐδύναμον. ὥσπερ ἡ εἰκὼν τοῦ ἀνθρώπου μίμημά ἐστι μόνον τοῦ ζώου, οὐδὲν τῶν ἄλλων ἔχουσα, οἷον περιπατεῖν, κινεῖσθαι αὐτοφυῶς· μέχρι δὲ τοῦ σχήματος τοῦ ἀνθρώπου τὸ εἶδος μεμίμηται, οὕτως καὶ τὰ ἀόριστα τῶν προσώπων εἰς εἰκόνα μόνον ἀνθρώπου περιλαμβάνεται, καὶ μὲν ἐπέχει τόπον προσώπου, ἐπειδὴ ἐκ τῶν ἐγκωμιαστικῶν οὐκ ἔχει ποιότητα, οὐδὲ ἐξέτασιν, οὐδὲ νοημάτων εὐπορίαν· οὔτε γὰρ γένος, οὔτε ἀγωγὴ, οὔτε παίδευσις τῶν ἀορίστων ἔγνωσται ἡμῖν· ἀδήλου τοίνυν τυγχανούσης τῆς ποιότητος, οὐδεμία τῶν λέξεων χορηγία ἀπὸ προσώπου γίνεται· καὶ τὰ ἰσάζοντα δύο ὁμοίως ἀνεξέταστα διὰ τὸ παράλληλον τῶν λόγων. 5 Mon. Par. 2. καθολικοῖς. Par. 1. καθολικῷ. 6 ἀνθρώποις ἐστὶ Mon. et Parr. om., in Mon. ad marg. adjecta sunt. — Pro cor. p. 258. 7 Olynth. II. p. 20.

σκευὴν ἑτέρων [8] ἔλαβεν· οὐ γὰρ σκοπὸς ἦν [9] τῷ ῥήτορι, οὔτε περὶ ψυχῆς εἰπεῖν, εἰ [10] ἀθάνατος, ἀλλ' ὅτι πολεμοῦσιν ἐν Χαιρωνείᾳ [11] ἐλυσιτέλει· οὔτε μὴν δεῖξαι, ὅτι κακὸν ἡ ἐπιορκία καὶ τὸ ψεῦδος, ἀλλ' ὅτι συμφέρει πόλεμον ἄρασθαι πρὸς τὸν Φίλιππον· ἴσμεν δὲ ὅτι τὸ ἕνεκα ἄλλου παραλαμβανόμενον οὐ πέφυκε χαρακτηρίζειν τὴν ὑπόθεσιν, οὐκοῦν διὰ τὸ μερικὸν εἰς πίστιν παρέλαβε [12] καὶ χρείαν τὸν καθόλου λόγον· ὥστε ὀρθῶς εἶπεν ἐπὶ μέρους.

κβ'. Ἑρμηνεύει οὖν ὁ Ἑρμογένης, τί ποτέ ἐστι τὸ πολιτικὸν ζήτημα, λέγων ὅτι μάχη ἐστὶ καὶ στάσις· τοῦτο γὰρ δηλοῖ ἡ ἀμφισβήτησις ἐν λόγῳ κειμένη περὶ τῶν μερικῶν πραγμάτων, ἐκ τῶν νόμων ἢ τῶν ἐθῶν τῶν παρ' ἑκάστῳ ἔθνει κειμένων· ἡ δὲ μάχη αὕτη ἡ περὶ τῶν μερικῶν πραγμάτων ὑπὲρ τοῦ νομισθέντος δικαίου γίνεται, τουτέστι τοῦ δόξαντος παρ' αὐτοῖς καὶ νομοθετηθέντος δικαίου, ἢ ὑπὲρ τοῦ καλοῦ ἢ ὑπὲρ τοῦ συμφερονροντος, ἢ ὑπὲρ τούτων τῶν εἰρημένων, ὅταν συμπεπλεγμένον ᾖ τὸ πρόβλημα, ἢ ὑπέρ τινων· εἴρηκε δὲ τοῦ νομισθέντος δικαίου, διότι οὐ ζητεῖ ἡ ῥητορικὴ τὸ ἀληθινὸν δίκαιον, οὐδὲ τὸ καθόλου καλὸν, οὐδὲ τὸ τελείως συμφέρον, ἀλλ' ὅπερ ἀγαπᾷ ἕκαστον ἔθνος καὶ ἑκάστη πολιτεία, οἷον ἔχουσιν οἱ Λακεδαιμόνιοι νόμον, ἵνα διώκωσι τοὺς ξένους· τοῦτο [13] οὖν τὸ νόμιμον πῶς λεχθήσεται ἀληθινὸν δίκαιον, ὠμότατον ὄν· ἀλλὰ διὰ τὸν κείμενον νόμον ἐν τοῖς Λακεδαιμονίοις ἐπαινεῖται ἡ ξενηλασία καὶ δικαία νομίζεται· ὁμοίως καὶ οἱ Ἀθηναῖοι νόμον ἔχουσι τὸ ἀπαιτεῖν τοὺς ξένους ἐνοίκιον, καὶ ἐπαινοῦσιν αὐτό· τοῦτο δὲ οὐκ ἔστι δίκαιον ἀληθινὸν, οὐδὲ καθόλου καλὸν, ἀλλὰ ἐν τοῖς Ἀθηναίοις καλὸν καὶ

---

8 Mon. ἑτέρω. 9 Mon. ἦ τῷ ῥήτωρι. 10 εἰ Mon. om. 11 Mon. Χειρωνείᾳ. 12 Mon. ἔλαβε. 13 τοῦτο οὖν τὸ νόμιμον — — — δικαία νομίζεται Par. 1. om.

δίκαιον ἔδοξεν· ὁ οὖν ῥήτωρ, ὅταν ἐπὶ τῶν Ἀθηναίων δικάζηται ἢ ἐπὶ τῶν Λακεδαιμονίων, οὐχ ὁρᾷ τὸ ὄντως καλὸν καὶ δίκαιον, ἀλλὰ τὸ ἀρέσκον τοῖς τοιούτοις ἔθνεσιν.

κγ΄. Ὅταν συμπεπλεγμένος ὁ λόγος ᾖ, πάντα εὑρίσκονται, οἷος ὁ περὶ τοῦ στεφάνου· ἐν αὐτῷ γὰρ τὰ τρία εἴδη εὑρίσκονται. Τέλος μὲν γὰρ αὐτοῦ τὸ δίκαιον, ὅπερ ἐστὶ τοῦ δικανικοῦ· κατασκευάζεται δὲ τῷ πανηγυρικῷ· στάσεως ἐστὶ πραγματικῆς, ἥπερ [14] ἐστὶ τοῦ συμφέροντος· τὸ δὲ συμφέρον τέλος τοῦ συμβουλευτικοῦ· πολλάκις δὲ εὑρίσκομεν καὶ δύο μόνα εἴδη ἐν τῷ λόγῳ, ὡς ἔχει ὁ πρὸς Λεπτίνην· στάσεως γὰρ ὢν πραγματικῆς ἔχει τὸ συμφέρον, ὅπερ ἐστὶ τοῦ συμβουλευτικοῦ. Τέλος δὲ ἔχει τὸ δίκαιον, ὅπερ ἐστὶ τοῦ δικανικοῦ· ὅτε δὲ μονοειδὴς ὁ λόγος ἐστὶν, ἓν τούτων ἔχει, ἢ τὸ καλὸν ἢ τὸ συμφέρον, ἢ τὸ δίκαιον· τὸ δίκαιον [15] μὲν, ἐὰν δικανικὸς ᾖ, τὸ καλὸν δὲ, ἐὰν πανηγυρικὸς, τὸ δὲ συμφέρον, ἐὰν συμβουλευτικός· ὅτι δὲ καὶ τὸ πανηγυρικὸν ἐνίοτε στασιάζεται, ἐκεῖθεν δῆλον· νόμος τὸν μέλλοντα δᾳδουχεῖν δοκιμάζεσθαι, Ἀλκιβιάδης λαχὼν δᾳδουχεῖν δοκιμάζεται· ἐνταῦθα γὰρ πᾶν τὸ ζήτημα διὰ τῶν ἐγκωμιαστικῶν διεξελθεῖν ἀνάγκη.

κδ΄. Ὡς τελείως ἔχοντα τῷ ὅρῳ σεμνῶς καὶ ἀξιωματικῶς τὴν ἐκ τοῦ ἐναντίου ἐπάγει ἀπόφασιν, ἥκιστα ῥητορικῇ προσέχειν ἀποφαινόμενος τὴν περὶ τῶν ἀληθῶς ὄντων καὶ καθόλου ζήτησιν· φιλοσοφίας γὰρ ἴδια τὰ τοιαῦτα.

κέ. Προσθεὶς τὸ ταύτην ἐχώρισεν [16] αὐτὴν ἐκ τῶν ἄλλων τῶν μὴ ῥητορικῶν ἀμφισβητήσεων· εἰκότως δὲ προσέθηκε τὸ ἀνάγκη· πάντως γὰρ δεῖ τὸ μὲν πράττειν,

---

14 Mon. Par. 2. ὅπερ. Par. 1. ἥπερ. 15 τὸ δίκαιον. Mon. om. 16. Mon. ἐχάρησεν.

τὸ δὲ ὑπό τινος πράττεσθαι· οἷον ὁ δεῖνα τόδε ποιήσας κρίνεται.

κϛ. Μετὰ τὸν ὅρον τοῦ ζητήματος ἀκολούθως καὶ τὸν περὶ τῆς ὕλης [17] ὅρον διαλαμβάνει· ὥσπερ γὰρ ὕλη τοῦ λόγου παρὰ τοῖς γραμματικοῖς ὅλα τὰ μέρη, οὕτω καὶ τῶν ζητημάτων ὕλη πέφυκε τά τε πρόσωπα καὶ τὰ πράγματα· τὸ δὲ ἀνάγκη προσθεὶς πρὸς Μινουκιανὸν ἀποτείνεται· αὐτὸς γὰρ βούλεται ζήτημα γίνεσθαι ἐλλιπὲς, πῇ μὲν προσώπου, [18] πῇ δὲ πράγματος.

κζ. Ἠλίθιον εἶναι δοκεῖ τὸ λεγόμενον· τούτων γὰρ δεῖ λέγειν διαφορὰν, ὧν κοινωνίαν ἴσμεν τινά· νῦν δ' ὥσπερ [19] ἂν εἰ ἔλεγε λίθου καὶ ἀνθρώπου διαφοράν· πολὺ γὰρ ἀλλήλων κεχώρισται πρᾶγμα καὶ πρόσωπον· ἀλλ' οὐ τοῦτο λέγει· ἀλλὰ προσώπων [20] πρὸς πρόσωπα, καὶ πραγμάτων πρὸς πράγματα· οὐχ ἁπλῶς δὲ εἶπε διαφορὰ, ἀλλὰ προσέθηκε τὸ πλείστη· πῶς γὰρ οὐ πολλὴ διαφορὰ τῶν κυρίων παρὰ τὰ κοινὰ, καὶ πάλιν τῶν κοινῶν παρὰ ἄλληλα. [21]

κη'. Τὴν μάχην φησὶ ταύτην τῶν στάσεων ἣν εἴπομεν περὶ δύο ταῦτα ἀνάγκη γίνεσθαι, [22] πρόσωπά τε καὶ πράγματα· πρόσωπα μὲν ὡς Αἰσχίνης, Περικλῆς· πράγματα δὲ πάντα τὰ γινόμενα, μοιχεῖαι, φόνοι, ὕβρεις καὶ τὰ λοιπά.

κθ'. Ἀναγκαίως· εἰ γὰρ περὶ πράγματα καὶ πρόσωπόν ἐστι τὸ ζητούμενον, ὁ τὰς τούτων διαφορὰς μαθὼν δηλονότι κἀκείνοις ῥαδίως ἐπιβάλλειν δυνήσεται· καὶ τῶν κεφαλαίων εἴσεται τὴν διαίρεσιν.

---

17 Mon. iterum ζητήματος. 18 Mon. πῆμενον πρόσωπον. 19 νῦν δ' ὥσπερ ἂν — — διαφορὰ τῶν κυρίων παρὰ τὰ κοινὰ Par. om. 20 Mon. πρόσωπον πρὸς πρόσωπον. correxi ex Par. 2. 21 Par. 1. προσάλληλα. Mon. παρὰ τ' ἄλληλα. Par. 2. πρὸς ἄλληλα. 22 Par. 1. γίνεσθαι ἀνάγκη.

λ'. Οὐ γὰρ πάντα δύναται διαιρεῖσθαι· τὰ γοῦν ἰσάζοντα οὐχ οἷόν τε διαιρεθῆναι· οἷον νέοι πλούσιοι ἐκ τῶν ἀλλήλων οἰκιῶν ἐξιόντες ὡραίας ἔχοντες γυναῖκας κρίνουσιν ἀλλήλους μοιχείας· ἐνταῦθα γὰρ ἐπειδὴ καὶ τὸ πρόσωπον καὶ τὸ πρᾶγμα ἰσάζει, οὐ δυνατὸν ποιήσασθαι διαίρεσιν, ἐπεὶ μηδὲ συνέστηκεν.

λά. Τῶν γὰρ πραγμάτων τὰ μὲν ὁμολογούμενα [23] καὶ μὴ ἔχοντα ἀντίῤῥησιν, οὐ κρίνεται· οἷον ἐφωράθη τις φονεύων τινὲ, οὐκ ἔχει ποιότητα οὔτε τὸ πρόσωπον· ὁμολογεῖται γὰρ ὁ φόνος καὶ οὐκ ἔχει κρίσιν, οὐδὲ ἐξέτασιν, ἀλλὰ κοινὸς γίνεται τόπος. ἐπὶ δὲ τῶν προσώπων τὸ ἐναντίον ἐξέτασιν ἔχει καὶ ἰσχὺν καὶ κρίσιν, ὅσα ὡμολόγηται· τὰ δὲ μὴ ὁμολογημένα οὐ κρίνεται, ὥσπερ τὸ τίς.

λβ'. Τῶν προσώπων, φησὶ, τῶν ἐξεταζομένων καὶ πολυπραγμονουμένων τὰ μέν εἰσιν ἰσχυρότερα εἰς τὸ πιθανῶς εἰπεῖν, τὰ δὲ ἐλάττονα εἰς αὐτὸ τοῦτο· τὰ γὰρ ὡρισμένα καὶ γνώριμα καὶ κύρια πιθανώτερα τῶν ἄλλων· δῆλος γὰρ ὁ Δημοσθένης, ὅτι φιλόπολις καὶ πιθανός ἐστιν, ἐὰν λέγῃ ὅτι γινόμεθα κατὰ τοῦ Φιλίππου· πόθεν δὲ ἔχουσι τὴν εὐπορίαν τὰ κύρια ἀπὸ τῶν ἐγκωμιαστικῶν τόπων, οἷον γένους, ἀνατροφῆς, παιδείας καὶ τῶν τοιούτων· τὸ δὲ ὡρισμένα ἐνταῦθα τὸ γνώριμα καὶ ἐπίσημα δηλοῖ· οὐδὲν γὰρ ὠφελεῖ τὸ κύριον, Πέτρος, ἐὰν μὴ εἰδῶ ἀπὸ ἱστορίας ἢ [24] πράξεως αὐτοῦ τίς ἐστιν.

λγ'. Εἰκότως τῶν προσώπων προτέραν ἐποιήσατο τὴν [1] τῶν πραγμάτων διδασκαλίαν, δεῖ γὰρ προϋπάρ-

---

23 Mon. ὡμολογούμενα. 24 ἢ Mon. om.

1 Mon. τῆς. Par. 2. om. Sch. min. προετάχθη τὰ κύρια τῶν ὡρισμένων, ὅτι ἐκεῖνα μὲν καὶ διὰ τῆς ἀτέχνου πίστεως καὶ διὰ τῆς ἐντέχνου ἐργάζεται· τὰ δὲ πρός τι διὰ μόνης τῆς ἐντέχνου. Ἄτεχνος δὲ πίστις ἐστὶν ἡ ἐκ τῶν νόμων καὶ τῶν μαρτυρίων γινομένη, καὶ

χειν τὸ πράττειν, εἶθ' οὕτως εἶναι τὸ πραττόμενον, τὴν δὲ τῶν προσώπων διαίρεσιν ποιεῖται πρῶτον εἰς τὰ ἐξεταζόμενα καὶ εἰς τὰ ἀνεξέταστα· ἔπειτα τῶν ἀνεξετάστων μενόντων ἀδιαιρέτων, τὰ ἐξεταζόμενα διαιρεῖ εἰς κύρια καὶ κοινά· τὰ δὲ κοινὰ πάλιν διαιρεῖ κατὰ τοὺς ἐγκειμένους τρόπους ἐν τῷ ῥητῷ· ἰστέον δὲ, ὅτι ἐν πάσαις μὲν ταῖς στάσεσιν ἔστιν ἡ τῶν προσώπων ποιότης ἀναγκαία· ἐν δὲ τῷ στοχασμῷ πλέον· ἐνταῦθα γὰρ καὶ τῆς ποιότητος αὐτῆς εἰς ἀπόδειξιν δεόμεθα· ἰσχυρὰ δὲ καλεῖ τὰ ὡρισμένα οὐχ ἁπλῶς, ἀλλὰ τὰ πλείονα τὴν εὐπορίαν παρεχόμενα. ἔστι δὲ ταῦτα τὰ κύρια· οἷον ὁ Περικλῆς, ὁ Δημοσθένης· ἐνταῦθα γὰρ τῆς τῶν προσώπων διαιρέσεως ἄρχεται καὶ φυλάττει ἐπὶ πάντων τὴν τάξιν, προέταξε τοίνυν εἰκότως τὰ κύρια· πρῶτον μὲν ὅτι καὶ τὰ ἄλλα πρὸς γυμνασίαν τούτου λαμβάνομεν· προγυμναζόμεθα γὰρ ἐν ταῖς μελέταις, ἵνα ἐπὶ ταῖς ἀληθείαις δυνάμεθα λέγειν· ἔπειτα καὶ ὁ [2] αὐτὸς Ἑρμογένης φησὶν, ἐπειδὴ τῷ κυρίῳ [3] ἀκολουθεῖ τὰ ἄλλα· εἰ γὰρ λάβοι τις Δημοσθένην [4] καὶ πολιτευόμενον ἔλαβε καὶ πατέρα καὶ στρατιώτην τυχεῖν καὶ πολλὰ ἕτερα, ἃ καὶ καθ' αὐτὰ ἐμπίπτοντα τοῖς [5] ζητήμασι κρίσιν ἐπιδέχεται, τρίτον δὲ, ὃ καὶ ἄμεινον, ὅτι πλείονα παρέχει

παρὰ παντὸς, οὐ τοῦ ῥήτορος μόνον ἐργαζομένη, ὡς Αἰσχίνης ἐν τῷ παραπρεσβείας· φέρει γὰρ τοὺς Φωκέας καὶ τοὺς Βοιωτοὺς μαρτυροῦντας· τοῖς δὲ ὡρισμένοις προσώποις οἱ ἄτεχνοι πρόσεισιν, ἐπειδὴ τὰ ἐν τῇ ἱστορίᾳ γεγενημένα πρὸς ἀπόδειξιν φέρομεν· τὰ δὲ τῆς ἱστορίας διὰ τῶν μαρτύρων πιστούμεθα, ἔντεχνος δὲ πίστις ἐστὶν ἡ ἄνευ μαρτύρων μετὰ τέχνης γινομένη· οἷον εἰ πατὴρ κρίνοιτο ἐπὶ παιδὸς φόνῳ· τεχνολογοῦντες γὰρ λέγομεν, οὐκ εἰκὸς αὐτὸν πατέρα ὄντα τὸν υἱὸν ἀνελεῖν· φύσει γὰρ οἱ πατέρες τὰ τέκνα στέργουσιν.

2 Par. καὶ ὁ αὐτός. Mon. ὃ καὶ αὐτός. 3 Post κυρίῳ Mon. habet ἤδη τὰς διαιρέσεις συνιδεῖν τὰς εἰς τὰ κεφάλαια. 4 Mon. Δημοσθένους. 5 Mon. ἐν τῆς.

τὴν εὐπορίαν ἡμῖν τὰ κύρια· παρέχει δὲ ἢ ἐκ τῆς ἡμετέρας αὐτῶν γνώσεως ἢ ἐκ τῆς ἱστορίας, οἷον τὴν μὲν Περικλέους ἴσμεν ποιότητα ἐκ τῆς ἱστορίας,[6] τὴν δὲ τοῦ δεῖνος ἀνθρώπου ἐκ τῆς ἡμετέρας γνώσεως.

λδ΄. Πρός τι λέγονται τὰ πρόσωπα, ὅσα λεγόμενα συνεμφαίνεται, ὅτι καὶ δεσπότης ἐστὶ τοῦ δούλου καὶ πατὴρ τοῦ υἱοῦ· πῶς γὰρ λεχθήσεται υἱὸς ὁ πατέρα μὴ σχὼν,[7] ἢ δοῦλος ὁ μὴ ἔχων δεσπότην; τὰ τοιαῦτα οὖν οἱ ἀρχαῖοι ἐκάλεσαν πρός τι· λέγει οὖν, ὅτι ταῦτα τὰ πρός τι οὐκ ἔχει δύναμιν οἵαν ἔχουσι τὰ ὡρισμένα καὶ κύρια, δευτέραν δὲ τῇ τάξει καὶ ὑποπίπτουσαν· ἐκεῖνα μὲν γὰρ γνώριμα ὄντα καὶ ἀπὸ τοῦ βίου ἔχουσι τὰ ἐγκωμιαστικὰ πάντα εἰς ἐξέτασιν· ταῦτα δὲ οἷον τὸ υἱὸς καὶ δοῦλος[8] ἀπὸ τοῦ βίου μὴ ὄντα γνώριμα, ἀπὸ μόνης τῆς τοιᾶσδε σχέσεως ἐξετάζεται· οἷον ὅταν εἴπωμεν, ὅτι υἱὸς παρίσταται νεοσφαγεῖ σώματι πατρὸς ἐπ᾽ ἐρημίας, ἢ δοῦλος δεσπότου σώματι, ἀπὸ τῆς περὶ τὴν σχέσιν τοιᾶσδε ποιότητος ἕκαστον τῶν προσώπων τὴν ἐξέτασιν δέχεται.

λέ. Εἰκότως ταῦτα δευτέραν εἴληφε τάξιν· τῶν μὲν γὰρ κυρίων ἥττονά εἰσι, τῶν δὲ μετὰ ταῦτα ἰσχυρότερα· εἰ γὰρ καὶ μὴ ἐν ταῖς ἱστορίαις αὐτῶν ἔχομεν τὴν ποιότητα, ἀλλ᾽ οὐ δέδωκεν ἡμῖν ἡ φύσις κοινὴν περὶ αὐτῶν ἀναπλάσασθαι ποιότητα, καὶ πάντες τοιαύτην τινὰ περὶ αὐτῶν ὑπόληψιν ἔχομεν· περὶ πατέρων, ὅτι χρηστοὶ καὶ φιλόστοργοι, καὶ τὰ καθήκοντα βουλεύσασθαι διὰ τὴν ἡλικίαν δεινοί. Καὶ περὶ τῶν λοιπῶν ὁμοίως, περὶ υἱῶν λέγω καὶ δούλων· περὶ ἑκάστου γὰρ κοινὴν ὑπόνοιαν εἰλήφαμεν· ταῦτα οὖν πλείστην μὲν ὕλην ὑπὲρ τὰ λοιπὰ πάντα παρέχεται· λείπεται δὲ ὅμως τῶν ὡρισμένων· ἐκεῖνα μὲν γὰρ πεπηγυῖαν καὶ βεβαίαν ἔχει τὴν

---

6 οἷον τὴν μὲν Περ. ἴ. π. ε. τ. ἱστορίας Mon. om. 7 Mon. μήσχωνον. 8 Mon. δούλου.

ποιότητα· τὰ δὲ πρός τι οὐ πάντως· εἰ γὰρ καὶ χρηστὸν τῶν πατέρων τὸ πρόσωπον, ἀλλ᾽ εὑρήσομέν τινας ἔλαττον φροντίσαντας τῆς φύσεως, λέγω δὴ τὰ πρός τι· οἷον πατὴρ, ἀδελφὸς, τὰ δὲ τῶν τρόπων, οἷον ἄσωτος, μοιχὸς, καὶ τὰ μὲν διπλᾶ ἐστιν ἑτέρου πάντως συνεπινοουμένου, οἷον τῷ πατρὶ συνεπινοουμένου τοῦ υἱοῦ· τὰ δὲ οὐχ οὕτως ἔχει· ζητοῦσι δὲ τοῦτο, πῶς τὸ τοῦ μοιχοῦ πρόσωπον ἐν τοῖς διαβεβλημένοις τέταχε· διαβεβλημένα γὰρ, φησὶ, καλεῖται τὰ μισούμενα, οὐχὶ τὰ κολαζόμενα· ὁ δὲ μοιχὸς τῶν κολαζομένων ἐστί· φαμὲν οὖν πρὸς τοῦτο, ὡς ὁ ῥήτωρ οὐ περὶ τοῦ ὁμολογουμένου [9] μοιχοῦ ζητεῖ, ἀλλὰ περὶ τοῦ ἀμφιβαλλομένου· ὁ δὲ μὴ ὁμολογούμενος μοιχὸς οὐ κολάζεται.

λϛʹ. Τρίτην [10] τάξιν ἔχει τὰ διαβεβλημένα· ἐπειδὴ τρόπων ἐστὶ κακία· δεύτερον δὲ τῆς φύσεως ὁ τρόπος· ταῦτα δὲ ἀσθενέστερα [11] κατὰ τὴν ὕλην τῶν προτεταγμένων ἐστίν· ἐκεῖνα μὲν γὰρ παραλαμβάνομεν πρὸς ἀπόδειξιν καὶ ἀγῶνα, ταῦτα δὲ πρὸς καταδρομὴν μόνον· ὃ γὰρ δύναται ἐν τοῖς προτέροις ἡ ἀπόδειξις, τοῦτο συντελεῖ πρὸς ταῦτα ἡ τῶν δικαστῶν πρόληψις· προμεμίσηται γὰρ τὸ πρόσωπον, καὶ αὐτὰ δὲ τοσαύτην ἔχει τὴν εὐπορίαν, ὡς καὶ ζήτημα συγκροτεῖν ἕκαστον αὐτῶν καθ᾽ ἑαυτὸ λαμβανόμενον· ὡς ἔχει ἐκεῖνο [12] τὸ πρόβλημα· ἀσώτου πατὴρ ἀφανὴς γέγονε, καὶ κρίνεται φόνου· ἐνταῦθα τὸ πρόσωπον πολλὴν παρέχει τὴν εὐπορίαν· διαβεβλημένα δὲ καλεῖ τὰ διὰ τὴν φαυλότητα τοῦ τρόπου μισούμενα· οὐ γὰρ ἐν ψιλῇ μόνον διαβολῇ ὑπάρχει τὰ τοιαῦτα, ἀλλὰ καὶ μεμίσηται· ἰστέον δὲ, ὅτι ταῦτα οὐ πρὸς ἀπόδειξιν συντελεῖ, ἀλλὰ πρὸς καταδρομήν· καὶ ἔστιν ἐπιλογικά· διὰ τί δὲ μετὰ τῶν διαβεβλημένων [13] τοὺς μοιχοὺς ἔταξε, δῆλον γὰρ ὅτι μοιχὸς εἰς δικαστή-

---

9 Mon. ὡμολογουμένου. 10 Mon. τίς τήν. 11 Mon. ἀσθενεστέρας. 12 ἐκεῖνο Par. om. 13 Mon. διαβολημάτων.

ριον οὐκ εἰσέρχεται· αὐτίκα γὰρ, εἴ τις φαίη ἐν ζητήματι, ὅτι μοιχός τις εὑρεθεὶς ἐπὶ γυναικὶ κρίνεται, ἀσύστατον· καί τινές φασιν, ὅτι μοιχὸν ἐνταῦθα τὸν μοιχικὸν ἄνδρα τὸν τρόπον, μήπω δὲ εἰς ἔλεγχον ἐλθόντα φησίν· οὐ τοῦτο δὲ μόνον, [14] ἀλλὰ δεῖ καὶ τοῦτο νοεῖν, ὅτι μοιχὸν λέγει οὐ διὰ μοιχείαν κρινόμενον, ἀλλ᾽ ἐφ᾽ ἑτέρῳ πράγματι, ὡς ἐπὶ τοῦ ἀριστέως μοιχοῦ τοῦ ἀναθέντος τὰ ὅπλα εἰς τὸ ἱερὸν καὶ ἀσεβείας κρινομένου· ἐνταῦθα γὰρ ἡ μοιχεία εἰσῆλθεν εἰς δικαστήριον οὐ κρίσιν ὑπέχουσα, ἀλλὰ διὰ τὴν ἀσέβειαν ἐξεταζομένη· τὸ γὰρ ζητούμενον, εἰ ἠσέβηκεν ἢ μὴ, νόμῳ τῶν ἀριστέων τὴν πανοπλίαν ἀναθείς· καὶ θαυμαστὸν οὐδέν· ἐν πολλοῖς γὰρ καὶ ἡ μοιχεία εὑρίσκεται τεκμήριον γιγνομένη, ὡς ἐπὶ τοῦδε τοῦ ζητήματος· προσῆλθέ τις μνώμενος κόρην· εἶπεν ἡ μήτηρ, αὐτὴν [15] θᾶττον ἀποθανεῖν, ἢ πρὸς γάμον ἐκείνῳ δοθῆναι, καὶ εὕρηται ἡ κόρη ἐπὶ σημείοις φαρμάκων ἀνῃρημένη· ἀνέκρινεν ὁ πατὴρ τὰς θεραπαίνας, ἐν οἷς περὶ μὲν τῶν φαρμάκων οὐδὲν ἀκήκοεν· μοιχείαν δὲ ἤκουσεν ἀπὸ τοῦ μνηστῆρος πρὸς τὴν γυναῖκα, καὶ [16] κρίνει αὐτὴν φόνου· ἐνταῦθα γὰρ μοιχεία εἰς σημεῖον τοῦ φόνου παραλαμβάνεται, ἥτις καὶ αὐτὴ τοῖς τε τῶν θεραπαινίδων λόγοις καὶ τοῖς τῆς γυναικὸς ῥήμασι [17] κατασκευάζεται.

λζʹ. Τὰ ἐξ ἡμετέρας ἐπιτηδεύσεως ὄντα πάντα ἢ μισεῖται καὶ καλεῖται διαβεβλημένα, ἢ καὶ γελᾶται [18] καὶ

---

14 Mon. ἐλθόντων. 15 Mon. αὐτή. 16 καὶ Mon. om. 17 Mon. ῥήματι. 18 ἢ καὶ γελᾶται κ. κ. ἠθικὰ Par. om. Sch. min. προσηγορίαι εἰσὶ τὰ ὀνόματα, παρ᾽ ὅσον οὐκ εἰσὶ κύρια, οἷον ἄσωτος, μοιχὸς, ῥήτωρ, φιλόσοφος, νέος, γέρων καὶ τὰ τοιαῦτα, εἰς στενὸν δὲ κομιδῇ καταντήσας νῦν συμπλοκὴν ἀπεργάζεται τῶν προσώπων· ἔστι δὲ ἄμφω προσηγορικὰ, ἅπερ, φασὶν, ἰδίᾳ χωριζόμενα ἐξασθενεῖ, διαζευχθέντα δὲ ἥττονα τὴν ἰσχὺν ἔχει, συναφθέντα δὲ μεγάλην.

καλεῖται ἠθικά, ἢ ψιλὴν μόνην ἔμφασιν παρέχει, τουτέστιν οὐδὲ μισεῖται οὐδὲ καταγελᾶται, ὡς ἔχει τὸ φιλόσοφος καὶ στρατηγὸς, ἅπερ τὴν ὑστάτην τάξιν ἀπείληφεν· εἰκότως δὲ τέτακται τὰ διαβεβλημένα πρὸ τῶν ἠθικῶν· τὰ μὲν γὰρ μισεῖται, ὡς ἔφαμεν, καὶ διὰ τοῦτο κινδυνεύει, τὰ δὲ καταγελᾶται· ὅσῳ τοίνυν μεῖζον τὸ κινδυνεύειν τοῦ καταγελᾶσθαι, τοσούτῳ ἰσχυρότερά ἐστι τὰ διαβεβλημένα τῶν ἠθικῶν.

λή. Κατὰ μικρὸν ὑπερβαίνει τῆς ὕλης ἀσθενούσης, δηλονότι ἐκεῖνα μὲν γὰρ πρὸς [19] καταδρομὴν λέγεται, τούτοις δὲ πρὸς ὑπόκρισιν μόνον κεχρήμεθα. Τίνος δὲ ἕνεκεν ταῦτα μόνα ἠθικὰ [20] καλεῖ, καίτοι τοῦ ἤθους καὶ ἐν τοῖς ὡρισμένοις ὄντος, καὶ ἐν τοῖς πρός τι, καὶ ἐν τοῖς διαβεβλημένοις; φαμὲν οὖν ὅτι κυρίως ἠθικὰ ταῦτα προσηγόρευσεν· ἅμα γὰρ τῷ ὀνόματι καὶ τὸ ἦθος συνεισάγει· ἀλλὰ πρὸς τοῦτο δύναιτ᾽ ἄν τις εἰπεῖν, ὅτι καὶ τοῖς ὡρισμένοις τοῖς πρός τι καὶ τοῖς διαβεβλημένοις καὶ τὸ ἦθος ἅμα τῷ λέγεσθαι συνεισάγεται· [21] λέγομεν οὖν, ὅτι τὰ τοιαῦτα τῶν ζητημάτων κωμῳδίας τρόπον ἐπέχει [22] καὶ οὐδὲν ἀγωνιστικὸν συνεισάγεται· οἷον γεωργὸς μυριζομένην τὴν γυναῖκα ἀπέπεμψεν· ἐνταῦθα γὰρ εὐπορίαν τινὰ ἀπὸ μόνου τοῦ ἤθους λαμβάνομεν.

λθ'. Προσηγορίας [23] καλεῖ τὰ προσηγορικὰ ὀνόματα· ἰστέον δὲ, ὡς ταῦτα τὰ κατὰ συμπλοκὴν ἐκ τύχης ἐστὶ καὶ ἐξ ἡλικίας· οἷον νέος πλούσιος, πένης, πρεσβύτης· τέτακται δὲ εἰκότως μετὰ τὰ ἄλλα, ὅτι καθ᾽ ἑαυτὰ μὲν λεγόμενα ἀσθενέστατά ἐστι καὶ σύστασιν οὐ ποιεῖ, ὁμοῦ δὲ γινόμενα συνίσταται· ὅσῳ οὖν τὰ μὲν ἄλλα καθ᾽ ἑαυτὰ λέγεται, καὶ σύστασιν ποιεῖ, ταῦτα δὲ δύο ὄντα

---

19 Mon. καί. 20 Mon. ἠθικαὶ ταῦτα μόναι καλεῖ. καλεῖ. 21 Mon. συνεισήγηται. Par. συνάγεται. 22 Parr. ἐπέχει. Mon. ὑπέχει. 23 Mon. προσηγορικά.

ἑνὸς χρείαν ἀποτελεῖ,[24] τοσούτῳ ἀσθενέστερα ἐκείνων καθέστηκεν.

μ'. Καινήν τινα διδασκαλίαν ἐνταῦθα ὁ τεχνικὸς ἡμῖν παραδίδωσι· περὶ γὰρ προσώπων προθέμενος λέγειν, περὶ πράγματος ἡμῖν διαλέγεται. ὅθεν καὶ σφάλλεσθαι τοῖς πολλοῖς, μᾶλλον δὲ πᾶσι σχεδὸν ἔδοξεν. ὁ δὲ βαθυτέραν τινὰ καὶ γλαφυρὰν ἡμῖν διδασκαλίαν ἐνταῦθα ἀνακαλύπτων ἔλαθε τοὺς πολλούς· ἐπεὶ γάρ εἰσί τινα μεταξὺ προσώπων τε καὶ πραγμάτων, ἤγουν ῥημάτων καὶ ὀνομάτων, οἷον αἱ μετοχαὶ μετέχουσαι καὶ προσώπου καὶ πράγματος, τουτέστι καὶ ῥήματος καὶ ὀνόματος, καθά φησι καὶ ὁ γραμματικὸς, μετοχή ἐστι λέξις μετέχουσα τῆς τῶν ῥημάτων καὶ τῶν ὀνομάτων ἰδιότητος, διδάξαι ἡμᾶς ὁ τεχνικὸς καὶ περὶ τούτων βουλόμενος, καὶ τίσιν ἄρα ταύτας συντάττειν χρεὼν, τοῖς προσώποις ἢ τοῖς πράγμασιν, οὕτω τὸν λόγον μεθώδευσε· τὰ μὲν γὰρ πράγματα διὰ ῥημάτων σημαίνεται, τὰ δὲ πρόσωπα δι' ὀνομάτων· αἱ δὲ μετοχαὶ οὔτε ῥήματά εἰσιν, οὔτε ὀνόματα· τίσιν οὖν ταῦτα συντάξομεν; ἀλλ' ἴσως ἔροιτό τις, τί οὖν αἱ μετοχαὶ τῶν προσηγορικῶν διαφέρουσι; οἷον ὁ κλέπτων τοῦ κλέπτου τί διαλλάττει; ἢ ὁ μοιχεύων τοῦ μοιχοῦ ἢ ὁ κολακεύων τοῦ κόλακος[25] ἢ καὶ αὐτὸς ὁ καλλωπιζόμενος τοῦ καλλωπιστοῦ; διαφέρει, ὅτι αἱ μὲν μετοχαὶ ἐνέργειαν ἢ πάθος κατὰ ῥῆμα παριστῶσι, τὰ προσηγορικὰ δὲ οἷον ὁ κλέπτης, ὁ μοιχὸς καὶ τὰ τοιαῦτα ποιότητα μόνην, ἀπὸ τῆς προλαβούσης ἐγγενομένην ἕξεως· διὰ τοῦτο ὁ μὲν καλλωπιστὴς τῶν προσώπων ἐστὶν, ὥσπερ δὴ καὶ ὁ κλέπτης καὶ ὁ μοιχὸς καὶ ὁ κόλαξ· ὁ δὲ καλλωπιζόμενος πρᾶγμά ἐστιν οὐ ῥηματικῶς, ἀλλὰ μετοχικῶς ἐξενηνεγμένον, καὶ ὡς μετέχον καὶ τῆς τῶν ῥημάτων καὶ τῆς τῶν ὀνομάτων ἰδιότητος, ἐν τῇ

---

24 Mon. ἀποτελῇ. 25 Mon. κολακεύοντος.

τῶν προσώπων τάξει μᾶλλον ἐμνημονεύθη, ὅτι τὰ πρόσωπα τῶν πραγμάτων πρότερα, καὶ προσώπων χωρὶς οὐκ ἂν γένοιτο πράγματα· πράγματα γὰρ ἐνταῦθα τὰς πράξεις καὶ τὰς ἐνεργείας τὰς διὰ τῶν προσώπων ἐνεργουμένας, οὐ τὰς ὕλας φαμέν. Διὰ ταῖτα τοῖς προσώποις τὰ μετοχικῶς ἑρμηνευόμενα τῶν πραγμάτων ὁ ῥήτωρ συνέταξεν· οἷα τῶν μετοχῶν ἐν μεταιχμίῳ ῥημάτων καὶ ὀνομάτων, ἤγουν προσώπων τε [26] καὶ πραγμάτων, κειμένων καὶ τῶν προσώπων ὡς προτέρων προϋφηρπακότων αὐτάς· ἔνθεν καὶ στάσις τὸ ἐξ αὐτῶν ἐστι καὶ τῶν προσώπων ἀποτελούμενον, οἷα μετεχουσῶν καὶ τοῦ ῥήματος ἤγουν τοῦ πράγματος καὶ τοῖς προσώποις διὰ τὰς εἰρημένας αἰτίας συγκατετάγησαν· ὃ καί τισιν [27] ἀγνοηθὲν αἰτίαν προσῆψε τῷ τεχνικῷ ἀγνοήματος, [28] οὐκ ὂν ἀγνόημα, ἀλλὰ βαθύτερον νόημα, καὶ βαθυτέρας καταλλήλως τῆς ἑρμηνείας ἀξιωθέν· καὶ τί, φησὶ, διαφέρει ἡ ἐνταῦθα τοῦ πράγματος μετὰ τοῦ προσώπου συμπλοκὴ [29] τῆς μετὰ τῶν ἄλλων προσώπων ἑνώσεως, ὅταν συμπλακέντα στάσιν ἀποτελῶσι, κἀκεῖ γὰρ προσώπου καὶ πράγματος ὁρᾶται συνάφεια; ὅτι ἡ μὲν ἐνταῦθα συμπλοκὴ οἷον κρᾶσίς τίς ἐστι καὶ προσφυὴς ἀναπλοκὴ καὶ ἀνάχυσις τῆς συνεμφαινομένης τῷ πράγματι, κατὰ μετουσίαν, ὡς εἴρηται, ὀνομαστικοῦ, ἤτοι προσωπικῆς ποιότητος, συνδεούσης καὶ συγκιρνώσης τῷ προσώπῳ τὸ πρᾶγμα, ἡ δὲ μετὰ τῶν ἄλλων προσώπων τοῦ πράγματος συνάφεια κατὰ μίξιν συντίθεται, θετικὴν οἱονεί τινα ἔχουσα τὴν ἕνωσιν καὶ οὐ φυσικὴν τὴν ἀνάκρασιν.

μα΄. Ταῦτα εἰκότως τὴν ὑστάτην τάξιν ἀπείληφε· τῶν γὰρ ἄλλων τὰ μὲν καθ᾽ ἑαυτὰ ἴσχυε, τὰ δὲ τῇ πρὸς ἕτερον συμπλοκῇ· ταῦτα δὲ καθ᾽ ἑαυτὰ ἀσθενέστατα [30]

26 τε Par. om. 27 Mon. τις. 28 Mon. ἀγνοήματα. Par. ἀγνοήματι. 29 Par. συμπλοκὴ μετὰ τοῦ προσ. 30 Par.

τῶν ἄλλων ὑπάρχει, καὶ συμπλοκῆς ἑτέρου τινὸς καθέστηκεν ἄμοιρα.

μβ΄. Διελὼν τὴν τοῦ προσώπου ποιότητα ἐδίδαξεν, ὡς οὐκ ἀναγκαῖον ἰδίᾳ ἑκάστην ἐξετάζεσθαι, ἀλλ᾽ ἔστιν ὅτε καὶ πλείονες ποιότητες εὑρίσκονται κατὰ ταὐτὸν καὶ ἀφορμαί· καὶ τοῦτο διὰ τοῦ παραδείγματος ἐσήμανεν.

μγ΄. Παράδειγμα τοῦτο τῆς κατὰ πλείονα συνεμπτώσεως· ἓν γὰρ πρόσωπον ὁ Δημοσθένης κύριον καὶ ὡρισμένον· καὶ τῆς πρώτης ὂν τάξεως,[31] καὶ ἴδε ὅσα κατὰ ταὐτὸ συνεμπέπτωκε· πατὴρ, ὃ τῆς δευτέρας ἐστὶ τάξεως, ῥήτωρ, πρεσβευτὴς, στρατιώτης, ἃ τῆς ἑβδόμης τάξεώς εἰσι· καὶ εἰς ταὐτὸν ἅπαντα συνελήλυθε καὶ συνέδραμε.

μδ΄. Ζητεῖται δὲ διὰ τί, εἴπερ τἄλλα τῷ κυρίῳ παρείπετο, οὐ περὶ τῶν κυρίων μόνων διέλαβεν· ἀλλὰ καὶ τῶν λοιπῶν ἐξέτασιν ἐποιήσατο· φαμὲν οὖν πρὸς τοῦτο, ὅπερ καὶ αὐτὸς ὁ τεχνικὸς, ὅτι οὐ δύναταί τις γνῶναι τῶν διπλῶν τὴν δύναμιν, μὴ πρότερον[32] μαθὼν τὴν τῶν ἁπλῶν· οὕτω τοίνυν οὐχ οἷόν τε ἦν ἐπὶ τοῦ κυρίου εἰδέναι τὴν τῶν ἐμπιπτόντων δύναμιν, εἰ μὴ πρότερον ἕκαστον ἰδίᾳ ἐξήτασεν.[33]

με΄. Εἰ περιέχει τὰ κύρια καὶ ἕτερα πρόσωπα, ἀναγκαῖον, περὶ ἑκάστου προσώπου πρῶτον διαγνῶναι τὴν δύναμιν καὶ τὴν ποιότητα· ὡς ἂν δὲ ὁ καιρὸς διδῷ, φησὶ, τουτέστιν ἡ ὕλη καὶ ἡ περίστασις[34] καὶ ἡ μέθοδος πρὸς τὴν τῶν βίων ἐξέτασιν τῶν παρὰ ποιηταῖς τε καὶ ῥήτορσιν.

μϛ΄. Ἐγκωμιαστικοὺς λέγει τόπους, γένος, ἀνατροφὴν, ἐπιτήδευμα, πράξεις· ἰστέον δὲ, ὡς μόνον ἐπὶ τῶν κυρίων χρώμεθα τοῖς ἐγκωμιαστικοῖς, οὐκέτι δὲ καὶ ἐπὶ

ἀσθενέστερα. Mon. Par. 2. ἀσθενέστατα. 31 Mon. ἄν. 32 Mon. προτέροις. 33 Par. 1. ἐξήτασεν. Mon. Par. 2. ἐζήτησεν. 34 Mon. ὑπερίστασις.

τῶν ἄλλων· οὐ γὰρ δύναταί τις πρὸς γένος εἰπεῖν ἢ ἀνατροφὴν, ὥστε ἐπὶ τῶν κυρίων μόνων ἰσχύει τὸ δεῖν χρῆσθαι πολλάκις τοῖς ἐγκωμιαστικοῖς. τὸ δὲ τοῖς ἐμπίπτουσιν, οὐ τοῖς εὑρισκομένοις φησίν· οὐδὲ γὰρ πάντως ἐξετάζειν ἕκαστα συμφέρει τῶν εὑρισκομένων, ἀλλὰ ἀντὶ τούτων τοῖς [35] κατεπείγουσι καὶ συμφέρουσι δεῖ [36] χρῆσθαι, τῶν δὲ ἄλλων οὐ μεμνῆσθαι.

μζ. Ἐγκωμιαστικοὺς λέγομεν τόπους, οἷς χρώμεθα ἐπὶ ἐπαίνου καὶ ἐπὶ ψόγου· οὐ γὰρ μόνον ἐπὶ ἐπαίνου· τὸ γὰρ ἐγκώμιον διαιρεῖται εἰς ἐγκώμιον καὶ ψόγον· τοῖς δ' αὐτοῖς κεφαλαίοις καὶ ἐπαινοῦμεν καὶ ψέγομεν. [37]

μθ'. Τουτέστι τὸ τίς· θεραπεύομεν δὲ αὐτὸ τρόποις τίσιν; καὶ λογισμὸν ἀποδιδόντες ὧν λέγομεν· ἢ ἐξ [38] ἐγκωμίου τοῦ εἰπόντος, ἅς ἔχει τό· [39] „ὡς δὲ ἐγώ τινος ἤκουσα ἀνδρὸς οὐδαμῶς οἷόν τε ψεύδεσθαι·“ ἢ ἐξ ἐπικρίσεως [40] ἡμετέρας. „καὶ μὰ Δί' [41] οὐδὲν ἄπιστον·“ ἐπειδὴ γὰρ αὐτὸ καθ' ἑαυτό τις οὐδεμίαν ἔχει ποιότητα, καὶ πίστιν τινὰ ἐντεῦθεν πρὸς τὸν ἀκροατὴν οὐ δυνάμεθα ποιήσασθαι, θεραπεύομεν αὐτὸ τοῖς εἰρημένοις τρόποις.

ν'. Πληρώσας τὸν περὶ τῶν ἐξεταζομένων προσώπων λόγον, λέγει [42] νῦν καὶ ποῖα τὰ ἀνεξέταστα, ἅ φησιν εἶναι τὸ τίς, καὶ τὰ δι' ὅλου ἰσάζοντα· τὸ μὲν γὰρ τίς ἄγνωστον οὐδεμίαν παρέξει τῷ λέγοντι ἀφορμὴν εἰς τὸ κακῶς ἐρεῖν ἢ καλῶς τι περὶ αὐτοῦ· τὰ δὲ δι' ὅλου ἰσά-

---

35 Mon. ἀντὶ τούτοις κατεπ. 36 δεῖ Par. om. 37 Litt. μή. quae sequitur, sumta est ex Syriano T. IV. p. 113. v. 26—32. τὸ μὲν οὖν πρόχειρον — ἐκτραγῳδήσομεν [Mon. ἐκτραγῳδήσωμεν.] 38 ἐξ Mon. om., recepi ex Par. 2. 39 Ol. II. p. 23. 40 Sch. min. Ἐπίκρισίς ἐστιν ἡ τῶν ῥηθέντων ἐπιβεβαίωσις ὡς ἐὰν δημηγορῶν ἐρεῖς. καινὴν ἄρα τὴν ὑπόθεσιν διεξῆλθον· ἐπικρίνεις γὰρ καὶ οἱονεὶ ἐπιλογίζῃ τοῖς μετὰ λογισμοῦ ῥηθεῖσι. 41 Mon. καινὴ διὰ οὐδὲν ἀ. Ol. I. p. 15. 42 Mon. λέγειν.

ζοντα παρέξει μέν, ἀλλ᾽ ὅσα ἂν εἴποις κατὰ σαυτοῦ, ἔσῃ ταῦτα κατηγορῶν· διὰ τοῦτο ἀναγκαῖον τὸ σιωπᾷν.

να΄. Τούτῳ εἰκότως τὴν πρώτην ἀπένειμε τάξιν· διαβεβαιούμεθα γὰρ ἐνταῦθα ὑπὲρ τῆς [43] ἡμῶν αὐτῶν γνώμης, ὡς αὐτοὶ πεπραχότες· [44] ἐν δὲ τοῖς λοιποῖς στοχαζόμεθα τῆς τῶν πεπραχότων γνώμης· οὐ γὰρ δυνάμεθα διϊσχυρίζεσθαι, ἐπείτοι ὑπόνοιαν καθ᾽ ἡμῶν αὐτῶν παρέχομεν τοῦ εἰδέναι τὰ τῶν ἐχθρῶν ἀκριβῶς. διὰ τοῦτο ἐν μὲν τῷ πρώτῳ ζητήματι ἢ μίαν ἐροῦμεν ἀπολογίαν ἢ πολλὰς οὐκ ἐναντιουμένας ἀλλήλαις, ἐν δὲ τῷ δευτέρῳ καὶ πολλὰς ἐροῦμεν, καὶ ἀναιρετικὰς ἀλλήλων ἅτε δὴ στοχαζόμενοι.

Cap. II.

Περὶ προσώπων μὴ ἐξεταζομένων.

νβ. Καὶ τούτῳ [1] εὐλόγως τὴν δευτέραν ἀπένειμεν τάξιν· ἰσχυρότερον γάρ ἐστι [2] τοῦ μετ᾽ αὐτό· τὸ γὰρ ἄντικρυς εἰς αὐτοὺς [3] ἀναφερόμενον τοῦ μὴ ἄντικρυς ἀναφερομένου πῶς οὐ καθέστηκεν ἰσχυρότερον;

νγ΄. Δευτέραν ἔλαχε τάξιν ταῦτα, διότι πεπλανημένους ἐπιδέχεται τοὺς λογισμούς. ὧν γὰρ ἄλλοι πεπράχασι, πῶς ἂν ὡρισμένας ἀποδοίημεν αἰτίας;

Διανύσας τὴν τῶν προσώπων ἐξέτασιν μέτεισιν ἐπὶ τὴν τῶν πραγμάτων· ἡ δὲ αἰτία εἴρηται, δι᾽ ἣν τὴν τῶν προσώπων ἐξέτασιν προτέραν ἐποιήσατο· διαιρεῖ τοίνυν τὰ πράγματα κατὰ τρεῖς διαφορὰς, ἢ ἐφ᾽ οἷς αὐτὸς ὁ πράξας κρίνεται, ἢ ἐφ᾽ οἷς ἑτέρου πράξαντος ἄντικρυς εἰς αὐτὸν ἀναφέρεται τὸ πραχθέν, ἢ ἐφ᾽ οἷς ἑτέρου πρά-

ξαν-

---

43 Mon. τῶν. 44 Mon. πεπραχόντες et πεπραχόντων.

1 Mon. τούτων. 2 Mon. τι. 3 Mon. ἡμᾶς.

ξαντος οὐκ ἄντικρυς ἀναφέρεται τὸ πραχθὲν εἰς αὐτόν· τὰς [4] μὲν οὖν δύο τὰς πρώτας διαφορὰς ἅπαντες παραδέχονται, τὴν δὲ τρίτην μόνος εἰσήνεγκεν Ἑρμογένης, ἣν καλεῖ μεταξὺ, περὶ ἧς μικρὸν ὕστερον ἐροῦμεν· ἰστέον δὲ, ὥς τινες κατὰ ἕνδεκα τρόπους διαιροῦσι τὰ πράγματα· φασὶ γὰρ, ὅτι ἢ ἐφ᾽ οἷς εἰπέ τις κρίνεται, ἢ ἐφ᾽ οἷς δέον εἰπεῖν, οὐκ εἶπεν· ἢ ἐφ᾽ οἷς ἑτέρου εἰπόντος ἄντικρυς εἰς αὐτὸν ἀναφέρεται, ἢ ἐφ᾽ οἷς ἑτέρου εἰπόντος οὐκ ἄντικρυς ἀναφέρεται εἰς αὐτόν· καὶ πάλιν ἢ ἐφ᾽ οἷς ἔπραξέ τις ἢ ἐφ᾽ οἷς δέον πρᾶξαι, ἢ ἐφ᾽ οἷς ἑτέρου πράξαντος ἄντικρυς ἀναφέρεται εἰς αὐτὸν, ἢ ἐφ᾽ οἷς ἑτέρου πράξαντος οὐκ ἄντικρυς ἀναφέρεται εἰς αὐτόν. ἢ ἐκ πάθους, οἷον νέος πλούσιος συνεχῶς εἰς τὴν ἀκρόπολιν ἀφορῶν [5] ἐδάκρυε, καὶ κρίνεται τυραννίδος ἐπιθέσεως· ἢ ἐφ᾽ οἷς κέκτηται· παρὰ Δημοσθένει εὑρέθη ἡ εἰκὼν Φιλίππου καὶ κρίνεται προδοσίας· ἑνδεκάτη διαφορὰ, φασὶν, ἡ τοῦ συμβουλευτικοῦ εἴδους, μηδὲ μίαν ἔχουσα [6] κοινωνίαν πρὸς τὰς εἰρημένας. Γελοιοτάτη [7] δὲ ἡ τοιαύτη διαίρεσις· ἀνάγεται γὰρ ἅπαντα ὑπὸ τὰς ἐκτεθείσας τῷ τεχνογράφῳ τρεῖς διαφοράς· εἴτε γὰρ ἐν λόγοις εἴη τὰ ζητούμενα, εἴτε ἐν πράξεσι, πράγματα καλεῖται· ὅσα γὰρ μὴ πρόσωπα, ταῦτα πράγματα ὀνομάζομεν· ταῦτά φασι παραλελοιπέναι τὸν τεχνικὸν οἱ τῆς τῶν πραγμάτων ἀπολελειμμένοι διαιρέσεως· ἐκεῖνα γὰρ, καθὰ μεμαθήκαμεν, δεῖ πράγματα καλεῖν, τὰ τὴν ἀφορμὴν τῆς κατηγορίας παρέχοντα, καὶ τὰ ἐν τῇ ὑποθέσει

4 Mon. τά. Sch. min.: Τῶν πραγμάτων τὰ μὲν κατὰ τὸ εὐθὺς, τὰ δὲ κατὰ τὸ ἐσχηματισμένον· κατὰ τὸ εὐθὺς μὲν, ὅτε τὸ ἀληθές τις ἀπολογεῖται, οὐκ εἰμὶ ἱερόσυλος, κατὰ δὲ τὸ ἐσχηματισμένον, ὡς ἐπὶ τοῦ αἱρουμένου τὴν φυγὴν υἱοῦ, διὰ τὴν ἐπὶ μοιχείᾳ τοῦ πατρὸς φήμην ἐν τῇ γυναικί· ἐσχηματισμένως γάρ φησι βούλεσθαι φεύγειν. 5 Par. 1. ἀφορῶν εἰς τὴν ἀκρ. 6 Mon. ἔχουσι. 7 Mon. γελοιότατα.

εὑρισκόμενα, καὶ πρὸς πίστιν φερόμενα τοῦ ἐγκλήματος· ταῦτα δὲ πάντα ἐν λόγοις καὶ ἐν ἔργοις ζητεῖται, καὶ πρὸς ἀπόδειξιν φέρεται τοῦ ἐγκλήματος· ἡ δὲ περὶ τοῦ συμβουλευτικοῦ ζήτησις οὐκ ἀπόβλητος· τὴν γὰρ [8] συμβουλήν, φασίν, ὑπ᾽ οὐδεμίαν ἐστὶν [9] ἀνάγειν [10] τῶν εἰρημένων τῷ τεχνογράφῳ διαφορῶν· οἷον τὸ δεῖν βοηθεῖν Ὀλυνθίοις ὑπὸ ποίαν ἄν τις τῶν εἰρημένων ἀνάγοι διαφοράν; ἀλλ᾽ ἐκεῖνό γε ἐχρῆν εἰδέναι, ὡς ἕτερόν ἐστι τὸ πιστούμενον καὶ ἕτερα τὰ πιστωτικά· πιστούμενον γάρ ἐστιν αὐτὸ τὸ ζητούμενον, πιστωτικὰ δὲ τὰ πρὸς πίστιν [11] λαμβανόμενα τοῦ ζητουμένου, ἅπερ καλεῖται πράγματα· οὕτως οὖν τὸ μὲν δεῖ βοηθεῖν Ὀλυνθίοις ἐστὶ τὸ ζητούμενον, ὅσα δὲ πρὸς πίστιν τούτου παραλαμβάνεται, καλεῖται πράγματα, καὶ πάντως ὑπὸ τὰς προειρημένας τῶν πραγμάτων διαφορὰς ἀνάγεται.

Ἑβδοματικὴν τὴν τῶν προσώπων διδάξας διαφοράν, τρίτην [12] τὴν τῶν πραγμάτων ἡμῖν παραδίδωσιν· ἢ ὅταν αὐτὸς ὁ κρινόμενος ποιήσῃ, ἢ ὅταν ἕτερος παρὰ τὸν κρινόμενον, ἢ ὅταν αὐτός τε καὶ ἕτερος, ἃ μεταξὺ τῶν προειρημένων ἐκάλεσε καὶ πρώτης δυνάμεως μὲν εἶναί φησιν, ὅταν ἀφ᾽ ὧν τις αὐτὸς πεποίηκε κρίνηται, καὶ εἰκότως· ἰσχυρότερον γὰρ εἰς κατηγορίαν τὸ ἐκ τῶν οἰκείων [13] ἔργων καὶ πράξεων διελέγχεσθαι· καὶ παράδειγμα τίθησι τὸν τὸ νεοσφαγὲς σῶμα θάπτοντα· οὐκ αὐτὸς πλάσας, ἀλλ᾽ ἐκ τῶν παλαιῶν εἰληφώς· τὸ γὰρ εἰπεῖν ὡς ὁ θάπτων, τοῦτο [14] αἰνιττομένου [15] ἐστί· δευτέρας δὲ δυνάμεως, ὅταν ἑτέρου πράξαντος ἄντικρυς εἰς τὸν κρινόμενον τὸ γεγονὸς ἀναφέρηται· οἷον τρισαριστέως εἰκόνα ἔστησαν οἱ πολέμιοι, καὶ προδοσίας κρίνεται· ἀλλαχοῦ γὰρ οὐχί. εἰς αὐτὸν δὲ τὸν τρισαριστέα

8 Par. δέ. 9 Par. ἐστὶν om. 10 Mon. ἀνάγει. 11 Mon. φύσιν. 12 Par. τριττήν. 13 Mon. εἰκείων. 14 Mon. τούτου. 15 Par. 1. αἰνισσομένου.

τὸ γενόμενον φέρεται, ἐφ᾽ ᾧ καὶ κρίνεται· τελευταίας δὲ καὶ τρίτης δυνάμεως τὰ μεταξὺ τῶν εἰρημένων ὠνόμασεν, ὅταν ἀφ᾽ ὧν τε αὐτὸς ὁ κρινόμενος καὶ ἕτερός τις ἔπραξε τὰ τῆς ἐξετάσεως γίνηται. Ὁ δὲ Ἑρμογένης τὰ μὲν ὑφ᾽ ἑτέρου πεπραγμένα ἐν τῷ παραδείγματι τέθεικε, [16] τὰ δὲ ὑπ᾽ αὐτοῦ τοῦ κρινομένου παρέλιπεν· ἐν δὲ τῷ εἰπεῖν, ἃ μεταξὺ τούτων ἐστὶ, κἀκεῖνα ἐνέφηνε. μεταξὺ γὰρ τὸ ἑκατέρων ἐξηρτῆσθαι καὶ μετέχειν ἑκατέρων ἐστὶν, ἀλλὰ καὶ τῷ φάναι, διὰ δὲ τἄλλα ἐνδέχεται καὶ τοῦτο ἐξετασθῆναι, ὡς ἀναφερόμενον· τῷ δὲ εἰπεῖν τἄλλα τοῦτο ᾐνίξατο· δόξειε δ᾽ ἄν τις ἴσως μηδὲν διαφέρειν τῆς πρώτης τάξεως τὰ πεπραγμένα τῷ Ἀρχιδάμῳ, οἷον ὅτι μὴ τοὺς καρποὺς τοῦ Περικλέους ἐδῄωσε· [17] τοῦτο γὰρ τὸ ὑπ᾽ αὐτοῦ πεπραγμένον· ὁ γὰρ αὐτός ἐστι καὶ πεπραχὼς καὶ κρινόμενος. ὥστε οὐδὲν τῆς πρώτης τάξεως διενήνοχε, καί φαμεν, ὡς εἰ μὲν, ἐξ ὧν ὁ Ἀρχίδαμος ἔπραξεν, ἐκρίνετο, εἶχε λόγον· νῦν δὲ οὐκ ἐξ αὐτῶν· οὐ γὰρ προδοσίας κρίνεται, ὡς τοὺς καρποὺς μὴ δῃώσας, ἀλλὰ δώρων [18] φεύγει· ὅπερ ἀνοίκειον μὲν αὐτῷ, οἰκειότατον δὲ πρὸς τὰ τῷ Περικλεῖ γεγραμμένα· τὰ δ᾽ οὖν ὑπὸ τοῦ Ἀρχιδάμου γινόμενα εἰς οὐδὲν ἄλλο τῷ ζητουμένῳ συμβάλλεται, ἢ ὅσον εἰς αὐτὸν ἀναφέρειν τὸν Ἀρχίδαμον τὸ ὑπὸ τοῦ Περικλέους γραφέν· τοῦτο δὲ δηλοῖ τὸ „διὰ δὲ τἄλλα καὶ τοῦτο ἐνδέχεται ἐξετασθῆναι."

νδ'. Τὸ μεταξὺ λέγεται διχῶς, εἴτε ἐπὶ τόπου, ἢ τὸ

---

16 Mon. τέθηκε. 17 Mon. Par. 2. ἐδήλωσε. et mox μὴ δηλώσας. Sch. min. καὶ Ἀρχίδαμος. γρ. καὶ Ἀρχ. παρὰ Λακεδαιμονίοις δώρων φεύγει. διὰ δὲ τὰ ἄλλα. οἷον διὰ τὴν φιλίαν, διὰ τὴν διατριβὴν τὴν ἐν τῷ Ἰσθμῷ, διὰ τὸ μὴ δῃῶσαι τοὺς ἀγρούς. Ἐνδέχεται τοῦτο ἐξετασθῆναι· ποῖον τοῦτο; τὸ περὶ τοῦ Περικλέους γραφὲν ἕνεκα τῶν ν' ταλάντων. 18 Mon. δῶρον.

μέσον δύο τινῶν· μέσον δέ ἐστι τὸ κοινωνοῦν ἀμφοτέροις· ζητοῦσιν οὖν τινες, πῶς εἶπεν ἐνταῦθα τὸ μεταξύ· ὅτι μὲν γὰρ οὐκ ἐπὶ τόπου ἐχρήσατο δῆλον· περὶ πραγμάτων [1] γὰρ ὁ λόγος αὐτῷ. ἀλλ' οὐδὲ μέσον τῶν προκειμένων καθεστὼς φαίνεται, καθὸ οὐδὲ κοινωνίαν ἔχει πρὸς αὐτά. πῶς γὰρ κοινωνεῖ, φασὶ, τὸ [2] ὑφ' ἑτέρου πεπραγμένον καὶ μὴ ἄντικρυς εἰς ἡμᾶς ἀναφερόμενον τῷ ὑφ' ἡμῶν πεπραγμένῳ; ἢ πῶς κοινωνεῖ τὸ μὴ ἄντικρυς εἰς ἡμᾶς ἀναφερόμενον τῷ ἄντικρυς εἰς ἡμᾶς ἀναφερομένῳ, ὥστε λείπεται, φασὶ, μὴ εἶναι αὐτὸ μεταξύ. Φημὶ δὲ ἔγωγε κοινωνίαν αὐτὸ πρὸς ἑκάτερον ἔχειν. πρὸς [3] μὲν οὖν τὸ δεύτερον, καθὸ ἑκάτερον ὑφ' ἑτέρου πέπρακται· ἡ δὲ διαφορὰ, καθὸ τὸ μὲν ἄντικρυς εἰς ἡμᾶς ἀναφέρεται, τὸ δὲ οὐκ ἄντικρυς. πρὸς δὲ τὸ πρότερον, ὅτι ἑκάτερον διὰ τῶν ἀποδεικτικῶν σημείων κατασκευάζεται· διαφέρει δὲ τῷ τὸ μὲν προσεχῆ ἔχειν τὰ σημεῖα, τὸ δὲ οὐχ οὕτως, ἀλλ' ἔξωθεν λαμβανόμενα. ἀλλ' ἀντιλέγουσι πρὸς τοῦτό τινες. εὑρίσκεται γὰρ, φασὶν, ἐν τούτῳ τὸ σημεῖον αὐτὸ τὸ ἀποδεικτικὸν ἀφανές· ἐξ ἀφανοῦς δὲ ἀφανὲς οὐκ ἂν πιστωθείη. ἀλλ' ἐροῦμεν, ὡς τοῦτο οὐκ ἐνταῦθα μόνον ὁρᾶται, [4] ἀλλὰ καὶ ἐπὶ τοῦ συγκατασκευαζομένου σχηματισμοῦ ἤτοι [5] στοχασμοῦ τὸ πρῶτον σημεῖον ἀφανές. τὰ δὲ ἐξ αὐτοῦ, [6] τουτέστι τὰ τούτου κατασκευαστικὰ φανερὰ, οὕτως καὶ ἐπὶ τούτου τὸ μὲν πρῶτόν ἐστιν ἀφανὲς, τὰ δ' ἑξῆς φανερά· οἷον ἐδωροδόκησας, Ἀρχίδαμε· τῷ [7] δῆλον; Περικλῆς ἔγραψεν εἰς δέον ἀνηλωκέναι [8] ν' τάλαντα. τοῦτο ἀφανὲς τὸ σημεῖον. τὰ δὲ τούτου κατασκευαστικὰ φανερά· οἷον φίλος γὰρ

1 Mon. πράγματι, omisso γάρ. Par. 2. πράγματος. Par. 1. πραγμάτων. 2 Mon. τοῦ. 3 Mon. παρά. 4 Mon. ὁρᾶτε. 5 σχηματισμοῦ ἤτοι Mon. om. 6 Par. τὰ δ' ἑξῆς. 7 Mon. τὸ, scr. τῷ. 8 Par. 1. ἀνηλωκέναι. Par. 2. ἀναλωκέναι.

ἦσθα τῷ Περικλεῖ, καὶ τοὺς αὐτοῦ οὐκ ἐδῄωσας ἀγρούς. ταῦτα γὰρ πάντα φανερά τε[9] καὶ ἀναμφίλεκτα.

νέ. Τῷ κατὰ τοῦ Ἀρχιδάμου ζητήματι μηδὲν ἀπεοικέναι τὸ τοῦ ἀσώτου φησὶν, ὃς φόνου φεύγει[10] ἐπὶ ἀφανείᾳ τῇ πατρικῇ. ἔστι γὰρ κατὰ πάντα καὶ προσφυές.[11] ἐκεῖ τε γὰρ ὁ Περικλῆς εἰς δέον τὰ ν' τάλαντα ἀναλῶσαι ἔγραψε· κἀνταῦθα ὁ πατὴρ ἀφανὴς ἐγένετο· ἐκεῖ Ἀρχίδαμος τοὺς καρποὺς οὐκ ἐδῄωσεν· ἐνταῦθα ὁ υἱὸς ἀσώτως ἐβίωσεν· διὰ τὰ πεπραγμένα τῷ Ἀρχιδάμῳ ἐκεῖ τὸ τῶν ν' ταλάντων εἰς αὐτὸν ἀναφέρεται· διὰ τὰ βεβιωμένα τῷ[12] ἀσώτῳ· ἐνταῦθα ἡ τοῦ πατρὸς ἀφάνεια[13] εἰς αὐτὸν ἀπευθύνεται.

νς'. Ἐπιλαμβάνονταί τινες οἷα δὴ κακῶς εἰπόντος ὅμοιον εἶναι τόδε τὸ ζήτημα τῷ προειρημένῳ· ἐν ἐκείνῳ μὲν γὰρ, φασὶ, τὸ πρόσωπον ὁ Περικλῆς κύριον, ἐν δὲ τούτῳ[14] κοινὸν ὁ ἄσωτος. φαμὲν δὲ, ὡς ἐνταῦθα οὐ περὶ προσώπων αὐτῷ προὔπέκειτο λέγειν, ἀλλὰ περὶ πραγμάτων· εὑρίσκομεν δὲ τὸ πρᾶγμα ἐπ' ἀμφοῖν παραπλήσιον, ὥστε λίαν ἀμούσως[15] ἐπιλαμβάνονται τοῦ τεχνικοῦ· ἐμνήσθη δὲ τούτου τοῦ προβλήματος, ἐπειδὴ τοῦτο μάλιστα[16] ἐζητεῖτο παρὰ τοῖς τεχνικοῖς.

νζ'. Βιαστικώτερον εἰσενηνέχθαι βούλονται ὑπὸ τοῦ τεχνικοῦ τὴν τρίτην τάξιν τῶν πραγμάτων· ἀντιλεκτέον γὰρ αὐτῷ φασιν, ὅτιπερ, εἰ καὶ τὰ μάλιστα, ὥσπερ φὴς ἐν

9 Par. ἐστι. 10 Par. καὶ ἐπί. 11 Mon. προσφυής. Sch. min. Μινουκιανοῦ εἰπόντος, εἶναι τὸν στοχασμὸν ἀτελῆ καὶ ἐκ πράγματος, οὗτός φησι μὴ εἶναι, καὶ παρατίθεται τὸ τοῦ ἀσώτου ζήτημα· συλλογιζόμενος δῆθεν, ὡς ἡ ἀφάνεια πρᾶγμά ἐστι κρινόμενον· ἰστέον δὲ, ὅτι τὸ πρᾶγμα ἐν στοχασμῷ τὸ σημεῖόν ἐστι, τὰ τεκμήριον δὲ ἀπ' ἀρχῆς ἄχρι τέλους· καὶ δεῖ ταῦτα φανερὰ εἶναι, ἵνα τὸ ἀφανὲς καταστήσῃ. 12 τῷ Mon. om. 13 Mon. ἐμφάνεια. 14 Par. ἐν τούτῳ δέ. 15 Mon. ἀκούσως. 16 Mon. μάλιστα τοῦτο.

τῷ συγκατασκευαζομένῳ τὸ πρῶτον σημεῖόν ἐστιν ἀφανές. ἀλλ᾽ οὖν τὰ τούτου [17] κατασκευαστικὰ ἐκ τοῦ πράγματος λαμβάνεται, ἐνταῦθα δὲ ἐκ τοῦ προσώπου· τοιγαροῦν ἐάν τις ἀμείψῃ τὸ πρόσωπον, οὐκέτι μένει ἡ ζήτησις· ὥστε τὸ πρόσωπόν ἐστι τὸ παρέχον τὴν ζήτησιν, καὶ οὐ τὸ πρᾶγμα· τοιοῦτοι μὲν τῶν ἐπιλαμβανομένων οἱ λόγοι· ὁ δὲ τεχνικὸς τοιοῦτό φησι. τῶν κεφαλαίων τὰ μέν ἐστι προσωπικὰ, τὰ δὲ πραγματικά. τουτέστι τὰ μὲν ἐκ τοῦ προσώπου λαμβάνεται, τὰ δὲ ἐκ τοῦ πράγματος. ὁ οὖν ἄσωτος κρινόμενος ἐρεῖ τι· ἐρεῖ δὲ, φασὶ, χρῶμα, [18] τουτέστι μετάθεσιν αἰτίας, ὃ πραγματικόν ἐστι· τῷ πράγματι ἄρα ἡ ζήτησις· οἱ δὲ ἅπαξ ἐπιλαβόμενοι ἑξῆς καὶ πρὸς τοῦτο διαμάχονται· ψεῦδος γὰρ, φασὶ, τὸ εἰρημένον καὶ παραλογισμός· ἡ μὲν γὰρ πρώτη πρότασις ἀληθὴς, ὅτι τῶν κεφαλαίων τὰ μέν ἐστι προσωπικὰ, τὰ δὲ πραγματικὰ, ἡ δευτέρα δὲ παραλογιστική. οὐ γὰρ ἐρεῖ ὁ ἄσωτος κρινόμενος μετάθεσιν αἰτίας, ἀλλ᾽ ἐρεῖ μέντοι πάντα. οὐκ ἐρεῖ δὲ μετάθεσιν αἰτίας, ἀλλὰ βούλησιν ἢ δύναμιν, καὶ οἷα προσωπικὰ κεφάλαια. πρὸς δὲ τούτοις καὶ ἐκ τῶν παρὰ τῷ τεχνικῷ διελέγχειν πειρῶνται τὸν λόγον. εἰ γὰρ αὐτὸς δέδωκε, φησὶν, ἐν τοῖς διπλοῖς στοχασμοῖς εἶναί τινας ἐλλιπεῖς κατὰ τὸ πρᾶγμα, πολλάκις δὲ καὶ τὸ πρόσωπον· οἷον κατὰ μὲν πρόσωπον, ἀπώλετο ἐξ ἱεροῦ χρήματα. εὑρέθησαν δύο ῥήτορες· ὁ μὲν χρυσίον κατορύττων, ὁ δὲ λόγον ὑπὲρ ἱεροσυλίας γράφων· καὶ ἀντεγκαλοῦσιν ἀλλήλοις. Ἐνταῦθα γὰρ τὰ μὲν πρόσωπα ἰσάζοντα κρίσιν οὐκ [19] ἐπιδέχεται· ῥήτορες γὰρ ἄμφω. τὸ δὲ πρᾶγμά ἐστι

---

17 Mon. τοῦτο. 18 Sch. min. Χρῶμα τὴν μετάθεσιν τῆς αἰτίας φησὶν, ἐν ταὐτῷ δὲ καὶ τὴν αἰτίαν εἶπεν· εἴρηται δὲ χρῶμα ἢ παρὰ τὸ πρόφασιν παρέχειν τῆς ἀπολογίας, καὶ παρὰ τὸ χρωννύναι ὅλον τὸν λόγον, ὥσπερ γὰρ τὸ χρῶμα τυποῖ τὸ τοιόνδε εἶδος, οὕτω καὶ ἡ μετάθεσις τῆς αἰτίας τυποῖ τὴν ἀπολογίαν ἐν τῷ στοχασμῷ. 19 Par. 1, οὐκ om.

τὸ κρινόμενον. τοῦ δὲ κατὰ τὸ πρᾶγμα ἐλλιποῦς παράδειγμα τόδε· ἀριστεὺς ἀπέθανεν ἐπὶ σημείοις φαρμάκων, καταλιπὼν τὴν μητρυιὰν καὶ αἰχμάλωτον παλλακίδα, καὶ ἀντεγκαλοῦσιν ἀλλήλαις· πάλιν γὰρ ἐνταῦθα ἰσάζον ἐπ' ἀμφοτέρων τὸ πρᾶγμα οὐκ ἐξετάζεται· ἀλλ' ἡ τῶν προσώπων ποιότης παρέχει τὴν ζήτησιν, ὅτι ἡ μὲν μητρυιὰ, ἡ δὲ παλλακίς·[20] εἰ τοίνυν, φασὶ, τοῦτο δίδωσιν αὐτὸς, καὶ ὁμολογεῖ εἶναι διπλοῦν τὸν [21] στοχασμὸν ἀτελῆ κατὰ τὸ πρᾶγμα, ὥσπερ καὶ [22] ἀληθὴς ὁ λόγος, τί δήποτε οὐ συγχωρεῖ κἀπὶ τῶν ἁπλῶν τοῦτο; ὁ γὰρ διπλοῦς στοχασμὸς οὐδὲν ἕτερόν ἐστιν, ἢ δύο ἁπλοῖ· ἀποδεικνύναι μὲν οὖν οὕτως ἐπειράθησαν τὴν τρίτην τῶν πραγμάτων τάξιν. ἡμῖν δὲ καὶ τοῦτο φαίνεται ὀρθῶς εἰρημένον τῷ τεχνικῷ· τὰς δὲ ἀποδείξεις ἐκθήσομεν ἐν τῷ περὶ τῶν εἰδῶν τοῦ στοχασμοῦ, ἔνθα καὶ αὐτὸς ὁ τεχνικὸς διείλεκται πλατύτερον.

νή. Πρὸς Μινουκιανὸν ἀποτείνεται λέγοντα, δύνασθαι εἶναι στοχασμὸν ἀτελῆ ἁπλοῦν, ἀπὸ προσώπου μόνον ἐξεταζόμενον μὴ κρινομένου τοῦ πράγματος, ὅπερ Ἑρμογένης οὐ παραδέχεται· ἀλλὰ διπλοῦν μὲν εἶναι λέγει ἀτελῆ ἀπὸ τῶν προσώπων μόνων δυνάμενον ἐξετάζεσθαι· τῶν πραγμάτων μὴ κρινομένων, ὅταν ἰσάζοντα ᾖ· ὡς τὸ ἐπιὸν δηλώσει παρ' αὐτοῦ προβεβλημένον παράδειγμα, ἁπλοῦν δὲ οὐδαμῶς, καὶ εἰκότως· ἀδύνατον γὰρ εἶναι ταῦτο καὶ ἀνεγχώρητον· ὡς ἐν τοῖς ἐφεξῆς ἐπαγωνιζόμενος δείκνυσιν.

νθ'. Ἐνταῦθα πρὸς Μινουκιανὸν ἀντιλέγει καὶ πειρᾶται κατὰ συλλογισμὸν δεῖξαι, ὅτι καὶ τὸ πρᾶγμα ἐν τῷ ἀσώτῳ ἐξετάζεται· λέγω δὲ τὸ ἀφανές· ἔστι δὲ ὁ [23] συλλογισμὸς οὕτως· εἰ συνέστηκε τὸ ζήτημα, ἀπολογίαν

---

20 Mon. Par. 2. παλλακή. Par. 1. παλλακίς. 21 τὸν Par. om. 22 Mon. ὥσπερ ἀληθής. 23 ὁ Mon. om.

ἕξει ὁ ἄσωτος· εἰ δὲ ἀπολογίαν, καὶ μετάθεσιν αἰτίας ἐρεῖ· εἰ δέ ἐστι μετάθεσις αἰτίας, συνέχει καὶ τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους· εἰ δὲ ἔχει τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, συνέστηκε τὸ πρᾶγμα· ἰστέον δὲ, ὅτι, ὅτε τὸ πρόσωπον ἐξετάζομεν, τὰ τοῦ προσώπου μόνον ἐμπίπτει κεφάλαια, οἷον βούλησις, δύναμις· ὅτε δὲ τὸ πρᾶγμα, μόνον τὰ τοῦ πράγματος, οἷον τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, μετάθεσις, ὃ καὶ χρῶμα καλεῖται, ἀντίληψις, πιθανὴ ἀπολογία· τὸ δὲ παραγραφικὸν καὶ ἡ τῶν ἐλέγχων ἀπαίτησις ἔξωθέν ἐστι· ἐλλείποντος δὲ τοῦ προσώπου λείπει καὶ τὰ κεφάλαια αὐτοῦ.

ξ΄. Ἄνω ἐν τῇ τῶν προσώπων διδασκαλίᾳ περὶ προσώπων ἀνεξετάστων λέγων παρέλαβεν ἐξισάζοντα τὸ· δύο νέοι πλούσιοι, [24] εἰ ἐπί τῳ κρίνοιεν ἀλλήλους, ἀόριστον τὸ τῶν πραγμάτων καταλιπών· ἐνταῦθα δὲ περὶ πραγμάτων ἀνεξετάστων λέγων ἀναπλάττει τὸ πρόβλημα, καὶ λαμβάνει διαφορὰν μὲν προσώπων, ἅτινα δύναται ἐξετάζεσθαι, πρᾶγμα δὲ ἐξισάζον· καὶ γὰρ ἐν τοῖς προσώποις διάφορός ἐστιν ἀπολογία· ἐν δὲ τοῖς πράγμασιν οὐδαμῶς· εἰ γὰρ ἕτερος αὐτῶν εἴποι τὴν ἐκ τῆς οἰκίας ἔξοδον τεκμήριον εἶναι τῆς μοιχείας, τούτῳ καὶ ὁ ἕτερος χρήσεται.

ξά. Ἐνταῦθα τὸ παράδειγμα τοῦ διπλοῦ ἀτελοῦς στοχασμοῦ ἀπὸ προσώπων μόνων τὴν ἐξέτασιν ἔχον· οἷα διαλλαττόντων τῶν πραγμάτων, οὐ κρινομένων, ἅτε ἐξισαζόντων, ὅτε καὶ μόνον ὁ τεχνικός φησι μὴ δέχεσθαι τὸ πρᾶγμα ἐξέτασιν, ὅπερ ἐπὶ τῶν πλαστῶν στοχασμῶν οὐκ ἐγχωρεῖ γενέσθαι, ἑνὸς ὄντος τοῦ πράγματος, τῆς ἰσότητος περὶ δύο τὸ ἔλαττον φαινομένης. Ἐπεὶ, φησίν, [26] ἐν τοῖς ζητήμασίν εἰσι μὲν κεφάλαια προσωπικὰ, εἰσὶ δὲ καὶ πραγματικὰ, ὧν ἐστι καὶ ἡ τῆς αἰτίας μετά-

---

24 Mon. add. καὶ εἶπεν. 25 Mon. τι. 26 ἐπεί φησιν ἐν τοῖς ζητ. usque ad litt. ξβ. Parr. habent post litt. νθ΄.

θεσις, τὸ οὕτω χρῶμα λεγόμενον, θαυμάζω εἰ τὸ τοιοῦτο κεφάλαιον ἀποδοίη τις μὴ κρινομένου τοῦ πράγματος· ἀπολογήσεται δὲ, οἶμαι, ὁ ἄσωτος, καὶ ἐρεῖ τι, τουτέστι κρινόμενος δώσει τῆς αἰτίας μετάθεσιν· ἐρεῖ γὰρ, διὰ τοῦτο ἀφανὴς ὁ πατὴρ, ἢ ὅτι ἀποδημῶν ἐτελεύτησε, τί γὰρ τοῦ ἀποθανεῖν ἄνθρωπον ῥᾷον καὶ εὐχερέστερον; ἢ ὅτι λῃσταῖς περιέπεσεν, ἢ ξενιτεύειν διὰ φιλοσοφίαν προείλετο, καὶ πολλὰ τοιαῦτα πεπλανημένως εἰπεῖν ἀναγκη. τοιαύτη γὰρ, ὅταν ἐπὶ τοῖς ὑφ᾽ ἑτέρου πεπραγμένοις κρίνηταί τις, ἡ τῆς αἰτίας μετάθεσις· ὃ καὶ ὁ τεχνικὸς διὰ τοῦ ἐρεῖ τις ᾐνίξατο, ἀορίστως εἰπών· πῶς δὲ καὶ ἐγχωροίη πράγματος μὴ ξυμβάντος κριθῆναι πρόσωπον· ἐπεί τοί γε καὶ ἐπὶ τῶν διπλῶν στοχασμῶν, ἐφ᾽ ὧν ἀπὸ μόνων προσώπων ἡ κρίσις, αἴτια τὰ πράγματά ἐστιν, εἰ καὶ μὴ ἐξέτασιν ἐπιδέχεται τὸ ἰσάζειν.

ξβ΄. Διεξελθὼν τὴν τῶν προσώπων καὶ πραγμάτων διδασκαλίαν μέτεισιν ἐπὶ τὴν τῶν ἐξεταζομένων καὶ ἀνεξετάστων, καὶ συνῆψε τὸν περὶ τούτου λόγον τῷ προτέρῳ, ἵνα δόξῃ μὴ ἐξ ἀκαίρου πεποιῆσθαι τὸν περὶ τῶν προσώπων καὶ πραγμάτων λόγον, ἀλλὰ διὰ ταῦτα· διέξεισι τοίνυν, ὡς ἐν ὁρισμῷ περὶ τῶν ἐξεταζομένων καὶ ἀνεξετάστων κατὰ θέσιν καὶ ἀναίρεσιν· ἐν μὲν τῇ θέσει παραλαβὼν τὰ ἐξεταζόμενα, ἐν δὲ τῇ ἀναιρέσει τὰ ἀνεξέταστα· καί τινες ἐζητήκασιν, ἀνθ᾽ ὅτου κατὰ θέσιν καὶ ἀναίρεσιν τὸν λόγον προηνέγκατο, [27] καὶ οὐχ ἁπλῶς κατὰ θέσιν· περὶ γὰρ μόνων βούλεται διδάξαι ἡμᾶς τῶν ἐξεταζομένων· φαμὲν δὲ, ὅτι καὶ τὰ ἀνεξέταστα παρέλαβε πρὸς σαφῆ διδασκαλίαν τῶν ἐξεταζομένων, ἵνα μὴ λάθωμεν πολλάκις ἀνεξετάστοις [28] χρώμενοι ὡς ἐξεταζομένοις, ἀλλ᾽ εἰδότες [29] φυλαξώμεθα· [30] εἰ δέ τις ἀποροίη, διὰ τί τὴν μὲν θέσιν τοῖς ἐξεταζομένοις, τοῖς δ᾽

27 Par. προην. τὸν λόγον. 28 Mon. ἀνεξέταστα. 29 Mon. εἰ δοτέον. 30 Par. φυλάξωμεν.

ἀνεξετάστοις δέδωκε τὴν ἀναίρεσιν, ἐροῦμεν, ὅτι δεικνὺς ἔργον μὲν αὐτῷ καθεστὼς περὶ τῶν ἐξεταζομένων διαλαβεῖν, πάρεργον δὲ καὶ διὰ τὸ προκείμενον παραλαμβανόμενον, τὸ περὶ τῶν ἀνεξετάστων· τριῶν δὲ [31] τούτων εὑρισκομένων ἐν τοῖς δικαστηρίοις ἀεί, φημὶ τῶν λεγόντων προσώπων καὶ τῶν ἀκροωμένων καὶ τοῦ πράγματος, ἐκ μὲν τῶν λεγόντων τέσσαρα δεῖ ταῦτα ζητεῖν, τὸ διαφόρους εἶναι τοὺς λόγους, τὸ ἐξ [32] ἑκατέρου μέρους, τὸ πιθανούς, τὸ ἰσχύοντας· τὸ μὲν [33] οὖν διαφόρους, ὥστε φυγεῖν τὸ ἰσάζον, τὸ δὲ ἐξ ἑκατέρου μέρους διὰ τὰ μονομερῆ καὶ τὰ ἀπερίστατα, τὸ δὲ πιθανοὺς διὰ τὰ ἀπίθανα· τὸ δὲ ἰσχύοντας διὰ τὰ ἀντιστρέφοντα· ὥσπερ δὲ ἐκ τῶν λεγόντων προσώπων δεῖ ταῦτα ζητεῖν, καὶ ἐκ τῶν ἀκουόντων δύο [34] ταῦτα ζητητέον, τό τε μὴ προειλῆφθαι αὐτούς, καὶ τὸ δύνασθαι πέρας δοῦναι τῷ ζητουμένῳ· τοῦτο δέ φημι διὰ τὰ ἄπορα, οἷον Ἀλέξανδρος ὄναρ εἶδεν, ὀνείροις μὴ πιστεύειν· ταῦτα τοίνυν ἀεὶ προσεῖναι δεῖ τῷ ζητήματι· εἰ δέ τι τούτων ἐλλείποι, ἀσύστατον εὐθέως γενήσεται.

ξγ΄ Ἐκθέμενος, φησί, τῶν τε προσώπων καὶ τῶν πραγμάτων διαφοράν, φησίν, ἐξ αὐτῶν γινώσκομεν τὰ συνεστῶτα τῶν προβλημάτων καὶ διαιρεῖσθαι δυνάμενα· ἀπὸ γὰρ τῆς τούτων ποιότητος συνίσταται τὸ ζήτημα.

ξδ΄. Καλῶς ἡ προσθήκη τοῦ διαιρεῖσθαι δυνάμενα· τὰ γὰρ συνεστῶτα καὶ διαιρεῖται· εἰ δὲ μὴ συνεστήκοι, οὐδὲ διαίρεσιν ἐπιδέχεται· ἐζήτησαν δέ τινες πιθανῶς, διὰ τί κοινὸν τὸ ζήτημα λαμβάνει ἐπί τε τῶν συνεστώτων καὶ τῶν ἀσυστάτων· εἰ γὰρ ἀσύστατα, οὐ ζητήματα, προβλήματα μέντοι· οὐδὲν γὰρ κωλύει προβλήματα μὴ συνεστάναι· πρὸς ὅ φαμεν, ὅτι καταχρηστικῶς ἐκάλεσε ζητήματα.

---

31 δὲ Mon. om. 32 Mon. δέ. Par. ἐξ. 33 Par. τὸ μέν. Mon. ὥσπερ. 34 Mon. δεῖ.

ξέ. Μετὰ τὴν τῶν προσώπων, φησὶ, καὶ τῶν πραγμάτων διάγνωσιν ἔστιν ἐπιγνῶναι καὶ τὰ ἐξ αὐτῶν συντιθέμενα· ἀπὸ [35] γὰρ τῆς τῶν ἁπλῶν ἀκριβοῦς διαγνώσεως ἀκριβέστερα καὶ τὰ συντιθέμενα διακρίνεται καὶ γινώσκεται. [36]

ξς'. Ἐπιλαμβάνονται αὐτοῦ ἐνταῦθά τινες, ὅτι ἐναντία φησὶν ἑαυτῷ, ὥσπερ ἐπιλανθανόμενος ὧν εἶπεν· ἐν μὲν γὰρ τοῖς προτέροις ἔφη μηδέποτε ἐλλείπειν τὸ πρᾶγμα· ἐνταῦθα δὲ τῷ εἰπεῖν ἢ τὸ ἕτερόν γε πάντως δηλοῖ ἢ τὸ πρᾶγμα ἢ τὸ πρόσωπον, καὶ οἶδε, φασὶν, ἐλλείπειν τὸ πρᾶγμα· ἐροῦμεν οὖν πρὸς τοῦτο, ὡς μάλιστα μὲν τὸ ἕτερον ἀντὶ ὡρισμένου δύναται νοεῖσθαι, ὥστε λέγειν αὐτὸν μόνον τὸ πρόσωπον· ἔπειτα οὐδ' αὐτός φησι καθάπαξ μὴ ἐλλείπειν πρᾶγμά ποτε, ἀλλ' ἐπὶ μόνων τῶν ἁπλῶν· ἐπὶ μέντοι τῶν διπλῶν [37] στοχασμῶν πολλάκις φησὶν ἐλλείπειν, ὥστε τοῦ εἶναι κἀνταῦθα τὸ λεγόμενον· καὶ ἐλλείπειν πολλάκις μὲν τὸ πρόσωπον, ὅποι τύχοι, πολλάκις δὲ τὸ πρᾶγμα ἐν τοῖς διπλοῖς στοχασμοῖς.

ξζ. Ὁ μὲν Μινουκιανὸς πρῶτον περὶ τῶν ἀσυστάτων διαλαβὼν καὶ μετὰ ταῦτα βουληθεὶς τῶν συνεστηκότων [38] λόγον ποιήσασθαι, τρεῖς περὶ τούτου παρέδωκε τρόπους· αἴτιον, συνέχον, κρινόμενον· αἴτιον μὲν καλέσας τὸν κατήγορον· αὐτὸς γάρ ἐστιν ὁ παρέχων ἀφορμὴν τῇ γραφῇ· συνέχον δὲ τὸν φεύγοντα, ἐξ αὐτοῦ γὰρ συνέχεται τὸ ζήτημα· οἷον ἐφόνευσας, οὐκ ἐφόνευσα· καὶ

35 Par. αὐτό. 36 Mon. γινώσκεσθαι. 37 Par. 2. τοῖς διπλοῖς στοχασμοῖς. 38 Sch. min. Ὁ τεχνογράφος ὅρον ἐνταῦθα συνεστῶτος ζητήματος λέγει, ἐκ τοῦ ἑνὸς τὰς πάσας ἰδέας τῶν ἀσυστάτων δηλῶν· τρία δέ εἰσι τὰ ποιοῦντα τὸ ζήτημα· αἰτία, ὅ ἐστιν ἡ τοῦ κατηγόρου φωνή· συνέχον, ὅ ἐστιν ἡ τοῦ φεύγοντος ἀπολογία, κρινόμενον, ὅ ἐστιν ἡ τῶν δικαστῶν ψῆφος, καὶ ταῦτα τρία ποιοῦσι τὸ ζήτημα συνεστηκός· ἀσύστατον δὲ οὐ πάντα, ἀλλὰ ἓν μόνον ἐλλεῖπον.

τούτων ἀμφισβήτησις γίνεται· κρινόμενον δὲ τὴν ψῆφον τῶν δικαστῶν· αὕτη γάρ ἐστιν ἡ κρίνουσα καὶ πέρας ἐπιτιθεῖσα τοῖς ἀμφισβητουμένοις· καὶ ὁ μὲν Μινουκιανὸς οὕτως· ὁ δὲ Ἑρμογένης πολλῷ σαφέστερον περὶ τούτου παραδιδοὺς τέσσαρας τρόπους τῶν συνεστώτων τιθέμενος ἅμα δι᾽ αὐτῶν καὶ τὰ μὴ συνεστῶτα διδάσκει, μεταξύ τινας λέξεις παρεμβαλὼν, ἢ γὰρ πρόσωπόν ἐστι καὶ πρᾶγμα κρινόμενον· καὶ ἔστιν οὗτος ὁ πρῶτος τρόπος· δεύτερος, ἡνίκα ἑκάτερος αὐτῶν λόγους πιθανοὺς ἔχει καὶ ἰσχυρούς· τρίτος, ἡνίκα μὴ παρὰ τοῖς δικάζουσι προείληπται· τέταρτος, ἡνίκα μὴ τὸ πέρας ἀδύνατον· τὰ μὲν οὖν τρία τοῦ Μινουκιανοῦ γενικά ἐστιν, ὥσπερ ἀσυστάτων· ἃ δὲ αὐτὸς ὁ τεχνικὸς καταλέγει, εἴδη τυγχάνει κἀκεῖνα εἰς ταῦτα ἀναφέρεται· οἷον τὸ μονομερὲς, ὃ αὐτὸς τέθεικεν, ἐπὶ τὸ συνέχον ἀνάγεται· ἔστι γὰρ ἀσθενὲς, ἀπὸ τοῦ φεύγοντος καὶ ἀσύστατον διὰ τὸ μὴ εὐπορεῖν ἀπολογίαν τὸν πορνοβοσκόν· ἔστι δὲ καὶ ἀπὸ τοῦ κατηγόρου μονομερὲς ἐπὶ τὸ αἴτιον ἀναγόμενον· οἷον ὡραίου μειρακίου πολλοὶ ἤρων· μὴ τυγχάνοντες ἀνήρτων ἑαυτούς· ἔφυγε τὸ μειράκιον· χρόνῳ ὕστερον κατῆλθε καὶ κρίνεται φόνου· ἐνταῦθα γὰρ ἡ τοῦ κατηγόρου ἐκλείπει φωνή· οὐ γὰρ ἂν εἴποι, ὅτι ὀφείλεις πορνεύειν· καὶ τὸ ἀπίθανον δὲ καὶ τὸ προειλημμένον ἐπὶ τὸ αἴτιον ἀνάγεται· οὔτε γὰρ ὁ κατηγορῶν μοιχείας Σωκράτους πιστεύεται, οὔτε ὁ τὴν γυναῖκα κρίνων τὴν ἐπιδείξασαν ἐπὶ τὸν τύραννον ἄνοδον ἰσχύει τι ἐκ τῆς κατηγορίας· τὸ δὲ ἄπορον ἐπὶ τὸ κρινόμενον· ἀπορεῖ γὰρ ὁ δικαστὴς, ποτέρῳ πρόσθοιτο, πότερον τοῖς λησταῖς ἢ τῷ μάντει, οὗ λαβόντες τὴν θυγατέρα ἐπηγγείλαντο δώσειν, εἰ τἀληθῆ μαντεύσαιτο· εἶτα ἐκείνου εἰπόντος, ὅτι οὐ δώσετε, ἀξιοῦσι μὴ διδόναι· εἴτε γὰρ δοῖεν, οὐ ποιοῦσιν ἃ εἶπεν· εἴτε μὴ δοῖεν, οἱ ποιοῦσιν ἃ αὐτοὶ εἰρη-

κασιν· οὕτως ἐπὶ τὰ [39] τρία τἄλλα πάντα ἀνάγεται· ἔστι δὲ καὶ ἄλλα εἴδη ἀσυστάτων, ἀναγόμενα ἐπὶ τὰ ὀκτώ· ἃ ὡς μέρη λαμβάνεται· ὥστε εἴ τις ἀπὸ τῶν γενικῶν ἐθέλει δοκιμάζεσθαι τὰ ζητήματα, ἀπὸ τῶν τριῶν εἴσεται· εἰδικῶς δὲ ἀπὸ τῶν ὀκτώ.

ξη΄. Ὁρίζεται τὰ συνεστῶτα ἐκ τῆς διαστολῆς φανεροποιῶν τά τε ἀσύστατα καὶ τὰ ἐγγὺς ἀσυστάτων· διὰ μὲν γὰρ τοῦ εἰπεῖν „τὰ μὲν γὰρ ἤτοι ἄμφω καὶ πρόσωπον ἔχοντα καὶ πρᾶγμα κρινόμενον“ ἀντιδιέστειλε τὰ [40] ἐξ ἑνὸς μέρους ἀσύστατα· διὰ δὲ τὸ εἰπεῖν „ἢ τὸ ἕτερόν γε“ πάντως τὰ ἐξ ἀμφοῖν ἀσύστατα τοῖν μεροῖν διεστείλατο, ἤγουν τὰ διόλου ἰσάζοντα· ἐκ δὲ τοῦ φάναι καὶ τοὺς ἐξ ἑκατέρου μέρους λόγους τὰ μονομερῆ [41] καὶ τὰ ἀπερίστατα καὶ τὰ ἑτεροῤῥεπῆ· [42] ἐκ δὲ τοῦ εἰπεῖν σὺν τῷ πιθανῷ τὰ ἀπίθανα· τὰ ἀντιστρέφοντα δὲ ἐκ τοῦ διαφόρους εἰπεῖν· ἐκ δὲ τοῦ ταῖς πίστεσιν ἰσχυροὺς τὰ ἀδύνατα καὶ τὰ κακόπλαστα· καὶ γὰρ κἀκεῖνα ἀδύνατα, [43] κατὰ θανόντων τὴν κατηγορίαν ἐπάγοντα· ἐκ δὲ τοῦ „ἔτι τε, ὅπερ ἐστὶ παρὰ τοῖς δικασταῖς τὸ τῆς κρίσεως ἀφανὲς, καὶ μὴ προειλημμένον τῇ κρίσει“ τὸ τῇ κρίσει [44] προειλημμένον καὶ ἄδοξον· καὶ γὰρ [45] τὸ ἄδοξον, εἰ καὶ μὴ τοῖς δικασταῖς προδιέγνωσται, [46] ἀλλὰ τῇ γνώμῃ καὶ

39 τὰ Mon. om. 40 τὰ Mon. om. 41 Mon. μονημερῆ. 42 Mon. ἑτερορεπῆ. Sch. min. *Πρᾶγμα καὶ πρόσωπον*· τοῦτο διὰ τὸ ἀπερίστατόν φησιν· ὅπερ καὶ προσώπου καὶ πράγματος ἐλλιπές ἐστιν· οἷον φόνος ἐγένετο καὶ κρίνει τις. *ἐξ ἑκατέρου μέρους*· τοῦ φεύγοντος καὶ τοῦ διώκοντος· λέγει δὲ διὰ τὸ μονομερές. *σὺν τῷ πιθανῷ*· τὸ ἀπίθανον αἰνίττεται, τὸ ἐξισάζον φησί. *ταῖς πίστεσιν ἰσχ.* διὰ τὸ ἀντιστρέφον λέγει. *Καὶ μὴ προειλημμ*· ἵνα δήλῃ ᾗ ἡ τοῦ δικαστοῦ γνώμη· τοῦτο δὲ διὰ τὸ προειλημμένον. γρ. καὶ μὴ προειλημμένον τῇ κρίσει. *δυνάμενόν τε πέρας λαβεῖν*· τοῦτο διὰ τὸ ἄπορον καὶ ἀδύνατον φασίν. 43 Mon. ἀθάνατα. 44 τὸ τῇ κρίσει Par. 1. om. 45 Mon. Par. 2. καὶ γὰρ καί. Par. 1. alterum καὶ om. 46 Par. 1.

πρὸ διαγνώσεως[47] *παρ᾽ αὐτῶν τὸ πρᾶγμα μεμίσηται,*[48] *καὶ ἅμα τῇ εἰσαγωγῇ τοῦ δικαστηρίου ἐκβάλλεται· διὰ δὲ τοῦ δυνάμενόν τε πέρας λαβεῖν τὸ ἄπορον ἀπέκρινε, καὶ τῶν συνεστώτων διέστειλε, καὶ οὕτω τά τε ἀσύστατα καὶ τὰ ἐγγὺς ἀσυστάτων διὰ τοῦ ὁρισμοῦ τῶν συνεστώτων τῇ ἀντιδιαστολῇ συμπεριλαβὼν ἐδήλωσε τοῦτο διὰ τῆς ἐπαγωγῆς ἐπειπών.*

ξθ΄. Ὅρα πῶς διὰ τοῦ ὅρου τοῦ συνισταμένου ζητήματος δείκνυσιν ἡμῖν τὰ[49] *ἀσύστατα καὶ διπλῆν ἀνθ᾽ ἁπλῆς τὴν διδασκαλίαν ποιεῖται· διὰ μὲν γὰρ τοῦ εἰπεῖν τοῦ ἐξ ἑκατέρου μέρους τὸ μονομερὲς διδάσκει· διὰ δὲ τοῦ δεῖν σὺν τῷ πιθανῷ λέγειν τὸ ἀπίθανον καὶ ἀδύνατον· διὰ δὲ τοῦ διαφόρους λόγους τοὺς δικαζομένους μελετᾶν, τὸ ἐξισάζον καὶ ἀντιστρέφον· διὰ δὲ τοῦ εἰπεῖν ταῖς πίστεσιν ἰσχυροὺς τὸ ἄδοξον καὶ ἀπερίστατον· διὰ δὲ τοῦ εἰπεῖν καὶ μὴ προειλημμένον, τὸ προειλημμένον δηλοῖ· διὰ δὲ τοῦ εἰπεῖν, δυνάμενόν τε πέρας λαβεῖν, τὸ ἄπορον· ὥστε ὀκτὼ τρόπους εἶναι ἀσυστάτων ζητημάτων.*

ό. Πρῶτόν φησιν οὐχ ἁπλῶς, ἀλλὰ κατὰ τάξιν τινὰ, κἀνταῦθα γὰρ φυλάττει τὴν τάξιν· καὶ ὥσπερ ἐπὶ τῶν προσώπων τῶν ἰσχυροτέρων ἀρξάμενος προῆλθεν ἐπὶ τὰ ἀσθενέστατα, οὕτως ἐνταῦθα ἐκ τῶν μᾶλλον ἀσυστάτων ἤρξατο· καθὸ γάρ ἐστιν ἀσύστατα, κατὰ τοῦτο τὴν ἰσχὺν ἔχει ἐν τῷ πλεῖον εἶναι ἀσύστατα· ἄρχεται οὖν ἐκ τοῦ μονομεροῦς· ἐν γὰρ τούτῳ[50] *παντελῶς οὐδὲν ἕξει*

προέγνωσται. 47 Codd. *προδιαγνώσεως.* sciunxi *πρὸ διαγν.* 48 Mon. *μειμίσεται.* Par. 1. *μιμήσηται.* Par. 2. *μεμίσηται.* 49 Mon. *τε.* 50 Mon. *ἐκ τούτω γάρ.* Sch. min. *εἰρήσεται δὲ καὶ κατ᾽ εἶδος. Καθόλου ὡς ἐν ὁρισμῷ διαλαβὼν περὶ συνεστηκότων καὶ ἀσυστάτων, μέτεισιν ἐπὶ τὴν κατὰ μέρος ἐξέτασιν, καὶ πρῶτον περὶ ἀσυστάτων διαλαμβάνει, ἐπειδὴ σύντομος μᾶλλον ἡ τούτων καθειστήκει διδασκαλία. Κατ᾽ εἶδος τὰ ἀσύστατα λέγει πρὸς γνῶσιν ἀκριβῆ, καὶ λέγει ἑκάστου τὸ ὄνομα, τὸν ὅρον, τὸ*

λέγειν θάτερον τῶν μερῶν, ἀλλ' ἀποτέτμηται ὁλοσχερῶς· ἐν γὰρ τῷ ἰσάζοντι, εἰ καὶ οὐκ ἰσχυρὰ τὰ λεγόμενα διὰ τὸ ἐπ' ἀμφοῖν εἶναι ταῦτα, ἀλλ' οὖν τὰ δύο πρόσωπα ὑφίσταται· ἐν δὲ τούτῳ παντελῶς τὸ ἕτερον ἀποτέμνεται· οἷον πορνοβοσκὸς δέκα [51] νέους κωμάζοντας ἐπὶ τὴν οἰκίαν αὐτοῦ ὄρυγμα ποιήσας ἀπέκτεινε· τὸ μὲν οὖν πορνοβοσκὸς διὰ τὸ μὴ ἀντέγκλημα γενέσθαι, ἐὰν γὰρ εἴποι τις, Περικλέα δέκα νέους κωμάζοντας ἐπὶ τὴν οἰκίαν αὐτοῦ ἀπεκτονέναι, ἀντέγκλημά ἐστι, καὶ ζήτησιν ἐπιδέχεται· τὸ δέκα νέους πρὸς αὔξησιν εἴληπται· κωμάζοντας ἐπὶ τὴν οἰκίαν αὐτοῦ, οἰκεῖον τὸ πρᾶγμα πορνοβοσκῷ· ἐξῆν γὰρ δήπου κωμάζειν ἐπὶ πορνοβοσκοῦ οἰκίαν· ὄρυγμα ποιήσας, [52] ἵνα μὴ πλάττηται [53] ἄγνοιαν· ὑποδεξάμενος ἀπέκτεινεν, ἵνα μὴ εἴη ἀνάγκη προφασίσασθαι.

οά. Ἐπὶ μὲν τῆς τῶν προσώπων καὶ τῶν πραγμάτων διαφορᾶς ἀπὸ τῶν δυνατωτέρων ἀρξάμενος κατέληξεν εἰς τὰ ἀσθενέστερα· καὶ εἰκότως· περὶ γὰρ ἐξεταζομένων προσώπων [54] καὶ πραγμάτων ἦν ὁ λόγος αὐτῷ, καὶ ὡς εἰκὸς προέταξε τὰ μᾶλλον ἐξεταζόμενα· ἐνταῦθα δὲ ἀπὸ τῶν ἀσθενεστέρων χωρεῖ ἐπὶ τὰ ἧττον τὸ ἀσθενὲς ἔχοντα, ὡς περὶ ἀσυστάτων τὸν λόγον ποιούμενος· καὶ ἄρχεται μὲν ἀπὸ τῶν ἀσυστάτων, συμπεραίνει δὲ τὸν λόγον εἰς τὰ ἐγγὺς ἀσυστάτων· ἐπ' αὐτῶν δὲ τῶν ἀσυστάτων ἀρ-

---

παράδειγμα, ἵνα ἐκ πάντων βεβαιώσῃ τῶν ἀσυστάτων τὴν γνῶσιν. Καὶ πρῶτόν γε ἀσ. εἶδος· ἐκ τῶν μᾶλλον ἀσυστάτων ἤρξατο· ἔχει γὰρ ἰσχὺν ἐκ τοῦ πλειόνως εἶναι ἀσύστατα. ἑκατέρωθεν· ἀπό τε τοῦ διώκοντος, ἀπό τε τοῦ φεύγοντος· τοῦτο γὰρ παρὰ τὸν δεύτερον κανόνα. Πορνοβοσκός· τὸ μονομερὲς τοῦ διατί δηλονότι· οὐδὲ ἐκ τοῦ πράγματος ἀπολογία, τοσούτους γὰρ ἀνεῖλον, οὔτε ἐκ τοῦ ἄσκεπτον ὄντα διόλου. τὸ ἰσάζον· τοῦτο παρὰ τὸν πρῶτον κανόνα, οὔτε γὰρ ἀσύστατον, οὔτε πράγματα ἔχει κρινόμενα, ἀλλὰ τῷ [Cod. τὸ] ἰσάζειν ἀσύστατον ποιοῦσι τὴν κρίσιν. ἄμφω, γρ. ἑκάτεροι. 51 Par. β΄. 52 Mon. ποιήσαντος. 53 Mon. πλάττεται. 54 Par. 1. καὶ πραγμάτων om.

χεται μὲν ἀπὸ τοῦ μονομεροῦς· ἐν ᾧ ὁ μὲν ἀπολογούμενος παντάπασιν ἀσθενὴς, ὁ δὲ κατήγορος ἰσχυρός· καταλήγει δὲ εἰς τὸ ἀπερίστατον, ἐν ᾧ ἰσχυρὸς μὲν ὁ ἀπολογούμενος, τῷ κατηγόρῳ δὲ [55] οὐδεμία ἰσχύς· τὰ δ' ἄλλα μέσον εἰσάγει· ἐν οἷς ὑφ' ἑαυτῶν ὅ [56] τε κατηγορούμενος καὶ ὁ κατηγορῶν ἁλισκόμενοι φαίνονται· ἐπὶ δὲ τῶν ἐγγὺς ἀσυστάτων ἀπὸ τοῦ ἑτεῤῥορεποῦς μὲν ἄρχεται· ἐν ᾧ ἧττον ὁ ἐναγόμενος δύναται· εἰς δὲ τὸ κρίσει προειλημμένον καταπαύει τὸν λόγον· ἔνθεν ὁ κατηγορῶν διὰ τὸ προειλῆφθαι τοὺς δικαστὰς ἀποσοβεῖται καὶ ἀποπέμπεται· ἐν δὲ τῷ μεταξὺ τὸ κακόπλαστον, καθὸ τῷ [57] τοῦ ἐναγομένου θανάτῳ ἀδυνατεῖ ὁ ἐνάγων· ταύτῃ τῇ τάξει καὶ τῇ μεθόδῳ χρώμενος προτίθησι μὲν, ὡς λέλεκται, τὸ μονομερές· παράδειγμα δὲ πεποίηται τὸν πορνοβοσκὸν, ὃς τοὺς κωμάζοντας νέους ὑποδεξάμενος ἔκτεινε, καὶ οὐδὲ μία χώρα ἀπολογίας αὐτῷ, ἅτε πορνοβοσκῷ ὄντι καὶ τὰ εἰς θεραπείαν τῶν νέων ἐπιτηδεύοντι καὶ μὴ ἔχοντι πρόφασιν ἐπ' αὐτῷ κωμάζοντας ἀποκτεῖναι [58] τοὺς νέους.

οβ'. Εἴδη [59] γενικώτατα τῶν ἀσυστάτων [60] δύο· ἢ γὰρ τὰ ἐναργῆ καὶ αὐτόθεν πρόδηλα οὐ ζητεῖται, ὡς ἐν ἡμέρᾳ οὐ ζητοῦμεν, εἰ ἡμέρα [61] ἐστίν· ἢ τὰ ἀδύνατα εὑρεθῆναι, οἷον εἰ ἄρτιοι οἱ ἀστέρες· λοιπὸν ἐκεῖνα [62] εἶναι λείπεται ζητήματα, ἃ καθ' ἑαυτὰ μὲν ἄγνωστά ἐστιν, ἀπὸ δὲ ζητήσεως εὑρεθῆναι δύναται· διὰ τί δὲ ἐν μὲν τῷ ὅρῳ τοῦ συνεστῶτος ζητήματος καὶ πρώτου ἐδήλωσε περὶ τοῦ ἀπεριστάτου· ἐνταῦθα δὲ περὶ τοῦ μονομεροῦς· καὶ τελευταῖον τάττει τὸ εἶδος τῶν ἀπεριστάτων; λέγομεν ὅτι

ἐκεῖ

55 δὲ Mon. om. 56 Mon. οἵ. 57 Mon. τό. et mox ἐναγομένου θανάτου. 58 Par. κτεῖναι. 59 Mon. εἴδως. 60 Par. ἀποστάτων. 61 οὐ ζητοῦμεν εἰ ἡμέρα Mon. om. 62 ἐκεῖνα Mon. om.

ἐκεῖ μὲν ἁπλῶς τὴν διδασκαλίαν ἐποιήσατο, διαλαβὼν πάντα διὰ τῶν ἐναντίων τὰ ἀσύστατα· οὐ μέντοι κατὰ τάξιν· ἐνταῦθα δὲ τῇ προσηκούσῃ τάξει χρῆται [63] καὶ πάνυ ἀσύστατα τάττει ἐν ἀρχῇ· εἶτα τὰ ἥττονα, καὶ οὕτω προβαίνει κατὰ μικρὸν ἐπὶ τὰ ἰσχυρότατα.

ογ'. Παρὰ τὸν πρῶτον κανόνα πράγματα ἔχει κρινόμενα, ἀλλὰ τῷ ἰσάζειν ἀσύστατον ποιοῦσι τὴν κρίσιν· ἰσχυρότερον δὲ τὸ ἰσάζον τοῦ μονομεροῦς· διὸ καὶ δευτέραν εἶχεν τάξιν, ἀμφότερα γὰρ ἐνταῦθα λόγους ἔχουσι· κατὰ δὲ τὸ κρινόμενον ἀσύστατόν ἐστιν· ἀπορεῖ γὰρ ὁ δικαστὴς παραπλησίων ὄντων τῶν λόγων, τίνι ψηφίσηται·[64] ἰαθείη δὲ, ἐὰν λάβῃ ἕν τι τῶν περιστατικῶν τρόπων οὕτως· πεφωράκασιν ἀλλήλους, ὁ μὲν πέμποντα τὸν ἄλλον γράμματα, ὁ δὲ διαλεγόμενον· τόπον δὲ, ὁ μὲν ἐπ' ἀγορᾶς, ὁ δὲ ἐπ' οἰκίας· πρόσωπον δὲ, ὁ μὲν ταῖς θεραπαινίσιν, ὁ δὲ τῇ γυναικὶ αὐτῇ· χρόνον δὲ, [65] ὁ μὲν νύκτωρ, ὁ δὲ μεθ' ἡμέραν· αἰτίαν, ἐμπρησμοῦ γενομένου· ὁ μὲν ἐξιόντα τὸν ἄλλον εἰς τὴν αὐτοῦ οἰκίαν, ὁ δὲ χρυσία τῆς γυναικὸς εὗρε παρὰ τῷ ἑτέρῳ.

οδ'. Περὶ μὲν οὖν τῆς τάξεως ἁπάντων τῶν ἀσυστάτων ὕστερον ἐροῦμεν· νυνὶ δὲ τὴν ἄλλην τεχνολογίαν περὶ τούτων διεξίωμεν· τὸ δι' ὅλου τοίνυν εἰκότως προσέθηκεν· ἂν γὰρ κατά τι διαλλάξῃ, εὐθέως συνεστηκὸς γίνεται.

οέ. Ζητεῖται, τίνι διαφέρει τὸ ἀντιστρέφον τοῦ ἰσάζοντος· ὁρῶμεν γὰρ, ὅτι ἐπ' ἀμφοτέρων καὶ τοῖς ἀλλήλων χρῶνται λόγοις καὶ ὑπὸ τούτων ἁλίσκονται· ἡ διαφορὰ οὖν κατὰ τὸν χρόνον· ἐν μὲν γὰρ τῷ ἐξισάζοντι ὑφ' ἑαυτοῦ κατὰ τὸν αὐτὸν ἐλέγχεται χρόνον, ἐν δὲ τῷ ἀντιστρέφοντι ὑφ' ἑαυτοῦ μὲν, ἀλλ' ἐν διαφόροις αἱ πρῶται προτάσεις συνεστηκυῖαί εἰσιν· ἡ γὰρ προσθήκη ποιεῖ

---

63 Par. χρῆται τάξει. Mon. χρῦται. 64 Mon. ψηφίσεται. tum Mon. Par. 2. ἰσθείη. Par. 1. ἰαθείη. 65 δὲ Par. om.

τὸ ἀσύστατον, λέγω δὴ ἡ ἀποκοπὴ τῶν χρεῶν· ἐν δὲ τῷ ἐξισάζοντι οὐ τοῦτό ἐστιν, ἀλλ' εὐθέως ἐκ πρώτης ἀσύστατον φαίνεται.

ος'. Περὶ τὸν δεύτερον κανόνα· οὐ γὰρ ἰσχυρὰ τὰ τῶν πίστεων αὐτοῖς, ἀλλὰ σαθρότατα· γίνεται δὲ κατὰ τὸν κρινόμενον· ἴαται δὲ μᾶλλον ἐκ περιστάσεως· οἷον ἀπῄτει τις δάνειον καὶ τόκους· ὁ δὲ παρακαταθήκην φάσκων εἶναι οὐκ ἀπεδίδου, διήρπασέ τε τῶν αὐτοῦ χρημάτων· ὁ δῆμος χρεῶν ἀποκοπὰς ἐποιήσατο· καὶ ὡς δάνειον ὀφείλων ἀπαιτεῖ τὰ διαρπαγέντα χρήματα· ἔστιν οὖν ἀπὸ χρόνου περίστασις· χρὴ δὲ εἰδέναι, ὅτι τὰ μὲν διηγηματικὰ ἐκ τῶν ἕξ περιστατικῶν γίνονται· οἷον προσώπου, Ἰάσονος καὶ [66] Μηδείας, Σκυθίδος· πράγματος, τοῦ ἔρωτος καὶ τοῦ φόνου τοῦ ἀδελφοῦ· χρόνου, πρὸ τῶν Τρωϊκῶν· αἰτίας, τοῦ χρυσοῦ δέρους· [67] τρόπου, τῆς φαρμακείας· ἐν δὲ τοῖς ζητήμασι πέντε ἐστί· τὸ γὰρ πρᾶγμα ἐν τοῖς ἄλλοις εὑρίσκεται, καὶ οὐδεὶς μέμφεται τὸ πρᾶγμα ἐν μεταλήψει.

οζ'. Ἰστέον, ὅτι ἐπράχθη τι τοιοῦτον Ἀθήνησιν ἀληθῶς· πολλῶν γὰρ πενήτων δανεισαμένων παρὰ τῶν πλουσίων καὶ ὑποτιθεμένων γῆν, ἣν εἶχεν ἕκαστος, ἐνίων δὲ καὶ πιπρασκομένων ὁ δῆμος ἐβουλεύετο τὴν πᾶσαν γῆν ἀναδάσασθαι τῶν Ἀθηναίων, ὡς μὴ μόνον ἀποστερηθῆναι τοὺς ἰδίους, ἃ ἦσαν δεδανεικότες, ἀλλὰ καὶ τῆς πολλῆς, ἧς ἐκέκτηντο γῆς, τὸ πλέον προσλαβεῖν· οὐ μὴν ἀπέβη. Σόλων γὰρ ὑπ' ἀμφοτέρων αἱρεθεὶς τῶν μερίδων χρεῶν ἀποκοπὰς ποιησάμενος κατέλυσε τὴν στάσιν· καὶ ἐκλήθη τὸ τοιοῦτον σεισάχθεια παρὰ τὸ ἀποσείσασθαι [68] τὸ ἄχθος τοὺς πένητας.

οη'. Καίτοι διαφορά ἐστιν· ἀλλά φαμεν, ὅτι δεῖ λαβεῖν τὴν ἐπέκτασιν τοῦ χρόνου· εὑρήσομεν γὰρ οὕτως

---

66 καὶ Par. 1. om. 67 Mon. δέρως. 68 Mon. συσάχθεια παρὰ τὸν ἀπὸ σόσασθαι.

ἴσως παρεχομένους ἀλλήλοις τοὺς λόγους· ἐκεῖ μὲν κατὰ ταὐτὸν ἀμφότεροι [69] παρέχονται λόγους· ἐνταῦθα δὲ ἑτέρῳ καὶ ἑτέρῳ χρόνῳ· καὶ ἐκεῖ μὲν οὐκ ἐναντιοῦται ἑαυτῷ [70] ἑκάτερος, ἀλλὰ τοὺς αὐτοὺς παρέχεται λόγους, ἴσους [71] μέντοι τοῖς τοῦ ἐναντίου· ἐνταῦθα δὲ ἐναντία λέγει ἑκάτερος οἷς εἶπε πρότερον.

οθ΄. Ζητητέον, διὰ τί ἄπορον αὐτὸ καλοῦμεν, ὡς τῶν ἄλλων ἀπόρων μὴ ὄντων; ῥητέον δ᾽ οὖν, ὅτι δύο ἐστὶν ἐν τοῖς λόγοις, τὰ μὲν κατασκευαστικὰ τῶν ἡμετέρων, τὰ δὲ ἀνατρεπτικὰ τῶν ἐναντίων· ἐν μὲν τοῖς ἄλλοις τῶν κατασκευαστικῶν ἡ ἀσθένεια ποιεῖ τὸ ἀσύστατον· οὐ δυνάμεθα γὰρ ἐν ἐκείνοις τὰ οἰκεῖα· ἐν δὲ τούτῳ οὐ μόνον τὰ οἰκεῖά τις οὐ δύναται κατασκευάζειν, ἀλλὰ καὶ τὰ ἐναντία ὧν βούλεται πάντως κατασκευάσει· ἐν γὰρ τῷ ἐξισάζοντι οὐχ ὧδε ἔχει, ἀλλ᾽ ἄμφω κατασκευάζει τε καὶ βεβαιοῖ· εἰ καὶ τὰ μάλιστα καθ᾽ ἑαυτοῦ τὸ ἕτερον· καὶ ὅλως ἐπὶ μὲν τῶν προλαβόντων ἡ διαχείρισις τῶν προσώπων ποιεῖ τὸ ἀσύστατον· ἐπὶ δὲ τούτου τοῦ προβλήματος καὶ ἡ φύσις τοῦ πράγματος· ὁπότερον γὰρ αὐτῶν Ἀλέξανδρος ἕληται, παραβαίνει τὸ ἕτερον· καὶ ὅπερ ἐπὶ τῶν ἄλλων πρὸ τῆς κρίσεως ὡμολόγηται, τοῦτο καὶ σιωπώντων ἐνταῦθα τῶν ῥητόρων ἀσύστατον γίνεται καὶ ἀναπόδεικτον· ἔσται δὲ τοῦτο καὶ προϊοῦσι φανερώτερον ἐν τῷ περὶ τῆς τάξεως λόγῳ τῶν ἀσυστάτων, [72] εἰ μὴ νῦν ἀρκούντως διασεσαφήνισται· πῶς οὖν ἑτέρως ἐνῆν

69 Par. αὐτοί. 70 ἑαυτῷ Mon. om. 71 Par. ἴσως. Sch. min. *Τοῦτο παρὰ τὸν τρίτον κανόνα ἐστὶν, οὐ γὰρ ἰσχυρὰ τὰ τῶν πίστεων αὐτοῖς, ἀλλὰ σαθρότερα· ποτὲ μὲν τάδε, ποτὲ δὲ τάδε διεξίασι· διαφέρει δὲ τοῦ ἰσάζοντος, ὅτι ἐκεῖ μὲν τοῖς ἀλλήλων, ἐνταῦθα δὲ τοῖς ἑαυτῶν οἱ δικάζοντες περιπίπτουσι λόγοις. κατὰ τὸ ἄπορον· τοῦτο ἀκριβῶς παρὰ τὸν τέταρτον κανόνα, οὐ γὰρ δύναται πέρας λαβεῖν.* 72 Par. περὶ συντάξεως λόγῳ τῶν συστάτων.

καλεῖν τὸ καὶ τῇ φύσει τοῦ πράγματος καὶ τῇ διαχειρίσει τῶν προσώπων ἀσύστατον· οὔτε γὰρ ἡ ἰσότης ἐρωμένων τῶν πραγμάτων ἐποίησε τὸ ἀσύστατον, οὔτε πάλιν τὸ τῶν χρόνων διάφορον, ἀλλὰ τὰ ὑποκείμενα πράγματα διὰ τὴν προσοῦσαν ἀσθένειαν αὐτοῖς· περιγίνεται γὰρ [73] τῷ βουλομένῳ συμβουλεύειν [74] οὐδὲν [75] ἕτερον, ἢ τἀναντία πείθειν, ὧν βούλεται· ταῦτα περὶ τῆς ὀνομασίας· καὶ τοῦτο μὲν οὕτως ἐπελυσάμεθα. οἷον Ἀλέξανδρος ὄναρ εἶδεν ὀνείροις μὴ πιστεύειν· τινὲς βούλονται αὐτὸ [76] συνεστάναι, καί φασιν, ὅτι κατὰ Ἀριστοτέλην τὰ ἀπροσδιόριστα, ἐὰν μὲν εἴη κατὰ θέσιν, μερικόν τι σημαίνει, ἐὰν δὲ κατὰ ἀπόφασιν τὸ καθόλου· οἷον τοῦ μὲν προτέρου παράδειγμά ἐστιν ἄνθρωπος καλός· τοῦ δὲ δευτέρου, [77] οὐκ ἔστιν ἄνθρωπος καλός· ἀντὶ τοῦ οὐδείς ἐστιν ἄνθρωπος καλός· οὕτω φασὶ καὶ ἐνταῦθα· κατὰ θέσιν ὄντος τοῦ ἀπροσδιορίστου, ἐξ ἀνάγκης τὸ μερικὸν νοοῦμεν, ὡς οὐκέτι ἄπορόν ἐστιν, ἀλλὰ συνεστηκός· [78] ἐροῦμεν οὖν πρὸς τοῦτο· ὡς μάλιστα μὲν οὐ δεῖ φιλοσόφων λεπτολογίας [79] εἰσάγειν ῥητορικῇ· ἔπειτα τοῦτο πλάττων οὐ καταδέχεται, ἀλλά φησι τὰ κατὰ ἀναίρεσιν ἀπροσδιόριστα πολλάκις ὡς μερικόν τι σημαίνειν· οἷον τὸ, οὐκ ἔστιν ἄνθρωπως καλὸς, δύναται καὶ μερικόν τι σημαίνειν, ὅταν περὶ τοῦ δεῖνος διαλεγώμεθα· τρίτον τὸ παρακείμενον οὐδὲ κατὰ θέσιν ἐστὶν, ἀλλὰ κατὰ ἀναίρεσιν· φησὶ γὰρ μὴ πιστεύειν· ἐπλάνησε δὲ αὐτοὺς πρὸς τὸ μὴ νομίσαι ἀναίρεσιν τὸ τὸν Ἀριστοτέλην ἀεὶ τὴν κατὰ ἀναίρεσιν διὰ τῆς οὐ προφέρεσθαι ἀρνήσεως, οὐ διὰ τῆς μὴ ἀπαγορεύσεως.

π'. Παρὰ τὸν δ' κανόνα· οὐ γὰρ δύναται πέρας λα-

73 γὰρ Mon. om. 74 Mon. συμβουλεύει. 75 Par. μηδέν. 76 Mon. αὐτῷ. 77 Par. τοῦ δὲ δευτ. οὐκ ἔστιν ἀνθρ. καλός. Mon. τουτέστιν τίς ἄνθρ. καλός. 78 ὡς οὐκέτι ἀπ. ἐστιν ἀλλὰ συνεστηκὸς. Mon. om. 79 Mon. ἀπτολογίας.

βεῖν· καὶ τοῦτο δὲ κατὰ τὸν κρινόμενον γίνεται ἀσύστατον· θεραπεύεται δὲ προςδιορισμῷ, τῷ περιστατικῷ, τῷ ἀπὸ χρόνου καὶ τόπου, οἷον εἰ ἐν Θρᾴκῃ [80] εἴποιμεν, ὄναρ εἶδεν Ἀλέξανδρος, ὀνείροις μὴ πιστεύειν· τοῖς πρότερον ἢ τοῖς ὕστερον συνέστηκε· καὶ ἐπὶ τοῦ μάντεως εἰ [81] εἴποιμεν, ὅτι νῦν οὐ δώσετε, [82] συνίσταται· ἐνδέχεται γὰρ ὕστερον δοῦναι τὴν κόρην αὐτῷ· κοινωνεῖ δὲ τὸ ἄπορον τῷ ἀντιστρέφοντι κατὰ τὸ ἀμφότερα [83] ἄπορον ἔχειν τὴν ἔκβασιν· διαφέρει δὲ, ὅτι ἐν μὲν τῷ ἀπόρῳ ἀδύνατον εὑρεῖν πέρας, καὶ ὁ δικαστὴς εἰς ἀμφιβολίαν γνώμης ἀφικνεῖται, ἐν δὲ τῷ ἀντιστρέφοντι ὁ δικαστὴς δυνηθείη ἂν ἴσως τὸ δάνειον ἔχοντι ψηφίσασθαι ἢ τῷ ἑτέρῳ.

πα΄. Ἐν τοῖς προτέροις μὲν ἀσυστάτοις εἶπεν ὅρους, οἷον ἐν τῷ μονομερεῖ ἔφη, ὅτι μονομερής ἐστιν, ἐν ᾧ τὰ τῶν λόγων μὴ ἑκατέρωθεν ἰσχυρά· ἐνταῦθα δὲ οὐ καταλέγει [84] οὐδένα ὅρον· δεῖ οὖν ἀναπληρῶσαι τὴν τοῦ τεχνικοῦ χρείαν· ἔστιν οὖν τὸ ἀπίθανον ἔγκλημα, ἐναντίαν ἔχον ποιότητα τῇ τοῦ κρινομένου προσώπου· εἰ γὰρ ἐφ᾽ ᾧ τις εὐδοκιμεῖ κρίνοιτο, οὐ προσδέξονται τοῦτο οἱ δικασταί· οἷον λειποταξίου κρίνοντες Σωκράτην ἢ Ὀδυσσέα οὐκ ἀπίθανον δόξομεν λέγειν· εἰ δὲ τὸν μὲν ἀνοίας, τὸν δὲ μοιχείας κρίνομεν, ἀσύστατον ἔσται τὸ πρόβλημα.

πβ΄. Ζητοῦσι πῶς τοῦτο λέγεται ἀπίθανον· καίτοι, φασὶ, θάνατος ἐτιμήθη παρὰ Ἀθηναίων Σωκράτει [85] καὶ

---

80 Mon. Θρᾴκοις. 81 εἰ Mon. om. 82 Mon. δώσεται. 83 κατὰ τὸ ἀμφότερα usque ad ἐν δὲ τῷ ἀντιστρέφοντι Mon. om. 84 Mon. Par. 1. καταλήγει. Par. 1. καταλέγει. 85 Mon. Σωκράτην καὶ Ἀριστείδης ἐξοστρακισμένος. Sch. min. μὴ νομίσωμεν πάντως κατὰ τὸ ἀπίθανον ἀσύστατα γίνεσθαι τὰ ζητήματα· οἷόν τι λέγω· ἀνῄει τις ἐπὶ τὸν τύραννον. ἕτερος προσυπαντήσας ἀνεῖλεν, καὶ τῆς δωρεᾶς ἀμφισβητοῦσιν. κατὰ γὰρ τὸ ἀπίθανον δόξειεν ἂν

Ἀριστείδη ἐξοστρακισμός· φαμὲν οὖν ὅτι τὸ ἀπίθανον γράφει κατονομαζόμενον παρὰ πᾶσι προσεῖναι τῷ προσώπῳ· οὐ καθ' ἕτερόν τί, οἷον Σωκράτης σώφρονος εἶχε δόξαν· κατὰ γοῦν τὸ ἐναντίον τούτου, τουτέστι τὴν πορνείαν, τὸ ἀπίθανον γίνεται, οὐ κατ' ἄλλο τι· ὁ δὲ Σωκράτης οὐκ ἐπὶ πορνείᾳ, ἀλλ' ἐπ' ἀσεβείᾳ τετελευτηκὼς φαίνεται.

πγ'. Ζητεῖται, πῶς τάττει ἰδίᾳ τὸ ἀδύνατον; σαφὲς γὰρ, ὅτι καὶ τὸ ἀδύνατον ἀπίθανόν ἐστι· ἔδει οὖν, φασὶν, εἰπεῖν ἀπίθανον καὶ ὑποδιελεῖν, ὅτι τοῦ ἀπιθάνου τὸ μὲν δυνατὸν, τὸ δὲ ἀδύνατον· λεκτέον δὲ, ὡς τὸ μὲν ἀπίθανον ἐκ τῆς ποιότητος τοῦ προσώπου γίνεται, τὸ δὲ ἀδύνατον ἐκ τῆς φύσεως τοῦ πράγματος· πῶς οὖν τὰ τοσοῦτον ἀλλήλων κεχωρισμένα ἔμελλεν ὑπὸ μίαν ἀρχὴν καὶ τὸ αὐτὸ γένος ἀνάγειν· ζητεῖται ἐπὶ τούτοις, πῶς λέγει τοὺς Σιφνίους βουλεύεσθαι [86] περὶ τῆς τῶν Ἑλλήνων ἀρχῆς ἀδύνατον εἶναι· τὸ γὰρ βουλεύεσθαι [87] ἀπίθανον μέν ἐστιν, οὐκ ἀδύνατον δέ· ἡ δὲ λύσις, ὅτι τὸ Δημοσθενικὸν παρῴδησεν· οὗτος γὰρ ἐν τοῖς ἰδιωτικοῖς φησιν· ὥσπερ γὰρ ἀδύνατον Σιφνίους καὶ Μαρωνείτας περὶ τῆς Ἑλλήνων ἀρχῆς βουλεύεσθαι, εἶτα ἐπειδὴ τοῦτο εἶδεν ἀμφιβαλλόμενον, ἐπήνεγκε τὸ βεβαιότερον καὶ ταῖς ἀληθείαις ἀδύνατον, ἢ τὸν Πύθιον ψεύδεσθαι.

ἀσθενὲς εἶναι τὸ ζήτημα, εἰ τύραννος ὢν καὶ δορυφόροις πλείστοις κομῶν ἀφύλακτος ἑάλω, ἀλλ' ὡς ἔφαμεν, ἐκεῖνο λέγει ἀπίθανον εἶναι, ᾧ μὴ δυνατὸν διὰ ἱστορίαν ἐναντιοῦσθαι· παρὰ τὸν δεύτερον δέ ἐστι κανόνα, οὐ γὰρ ἐκ πιθανῶν σύγκειται λόγων, ἀλλὰ ταῖς πάντων ἐναντιούμενος δόξαις οὐ συνᾴδοντα λέγειν ἐπιχειρεῖ. Ἀπίθανον· καὶ τοῦτο παρὰ τὸν δεύτερον κανόνα ἐστίν· οὐ γὰρ ἐκ πιθανῶν σύγκειται λόγων, ἀλλὰ ταῖς πάντων ἀκριβῶς ἐναντιοῦται δόξαις, καὶ τῷ χρησμῷ τῆς Πυθίας συνᾴδοντα λέγειν ἐπιχειρεῖ. Πορνοβοσκοῦντα· πόρνας τρέφοντα. 86 Mon. Par. 2. βούλεσθαι. Par. 1. om. περὶ τῆς τῶν Ἑλλήνων ἀρχῆς — — — περὶ τῆς Ἑλλήνων ἀρχῆς βουλεύεσθαι. 87 Par. 1. iterum βούλεσθαι.

πδ'. Τινὲς μέμφονται τὸν τεχνικὸν λέγοντες· καὶ τί[87] ἄλογον Σιφνίους εὐτελεῖς ὄντας χρόνῳ δυνηθῆναι ἄρξαι τῶν Ἑλλήνων; λέγομεν, ὅτι τὰ ζητήματα πρὸς τὴν ἱστορίαν μέχρι τῶν Ἑλληνικῶν πλάττομεν· ἐπεὶ οὖν ἐν ταύτῃ ἀσθενὲς δείκνυται, διὰ τοῦτο καὶ ἀδύνατον αὐτὸ παραλαμβάνομεν τὸ ἄρχειν· κοινωνεῖ δὲ τῷ ἀπόρῳ, καθὸ ἐν ἀμφοτέροις ἄπορον τὸ τέλος· ἀλλ᾽ ἐκεῖ μὲν τῆς βουλῆς, ἐνταῦθα δὲ τῆς πράξεως· διὸ καὶ τὸν ὅρον τοῦ ἀδυνάτου τοιοῦτον ἐκτιθέμεθα· λόγος ἔκβασιν οὐκ ἔχων· ἰᾶται δὲ ἢ πράγμασιν ἢ προσώπου μεταβολῇ· εἰ γὰρ εἴποιμεν ἀντὶ Σιφνίων Ἀθηναίους, συνίσταται· καὶ ἀντὶ τοῦ ἐπιθεῖναι τὴν Ὄσσαν τῷ Ὀλύμπῳ εἴποιμεν, ὅτι βουλεύονται φράξαι[89] τὸν Πηνειόν, ὡς ἦν πρότερον κατὰ Ἡρόδοτον, συνίσταται· ἐπὶ δὲ τῆς Πυθίας, εἰ τὴν πρόμαντιν εἴπω ψεύδεσθαι· παραπλησίως δὲ τῷ πέμπτῳ παρὰ τὸν δεύτερόν ἐστι κανόνα· οὔτε γὰρ πιθανοὶ οὔτε ταῖς πίστεσιν ἰσχυροὶ οἱ ἐν αὐτῇ λόγοι· γίνεται δὲ ἀσύστατον κατὰ τὸ κρινόμενον.

πε'. Τὸ ἄδοξον ἔῤῥωται[90] τοῖς λόγοις· ἀλλ᾽ ὅσον κατὰ τὴν κρίσιν τοῦ δικαστοῦ ἀσύστατον φαίνεται· οὐ τὸ εὐτελὲς δὲ ἄδοξον λέγεται, ἐπεὶ καὶ τῶν εὐτελεστάτων πραγμάτων πολλὰ ἐξέτασιν ἐπιδέχεται, ἀλλὰ τὸ κακόδοξον καὶ αἰσχρόν· παρὰ δὲ τὸν δεύτερόν ἐστι τοῦτο κανόνα καὶ τὸν τρίτον, οὔτε γὰρ προβαλεῖται[91] πίστιν ἀνὴρ προαγωγὸς τῆς αὐτοῦ γυναικός· οὔτε δικαστὴς σωφρονῶν, ὃς οὐ καὶ[92] πρὸ κρίσεως τὸν τοιοῦτον καταλεύσει· δοκεῖ δὲ τὸ εἶδος ἐπινοεῖσθαι ἐκ τοῦ τοῦ Αἰσχίνου λόγου·[93] ἐν ᾧ φησι κατὰ ὑπόθεσιν, ὅτι εἴ τις ἐπὶ πρα-

88 Mon. *καί τις ἄλλογον.* 89 Mon. *πρᾶξαι.* Par. 2. *φράξαι.* — Herod. VII. 129. 90 Mon. *ἔρωτα.* Sch. min. *ἄδοξον τὸ αἰσχρὸν οὐ τὸ εὐτελὲς λέγεται· πολλά γε τῶν εὐτελῶν κρίσιν ἐπιδέχεται.* 91 Parr. *προβαλεῖται.* Mon. *παραβαλεῖται. γὰρ* Mon. Par. 1. om., est in Par. 2. 92 *καὶ* Par. 2. om. tum Par. 1. et 2. *προκρίσεως.* 93 Respicit ad

γμάτων ὧν μισθώσαιτό τινα ἑταῖρον, εἶτα μετὰ τὴν πρᾶξιν μὴ δοὺς τὸν μισθὸν ἀπαιτοῖτο, καὶ παρελθὼν ἐπὶ ὑμῶν λέγοι[94] τὰ πεπραγμένα, οὐ πολλὴ κραυγὴ καὶ θόρυβος ἀπαντήσεται παρ᾽ ὑμῶν; ἐπειδὴ οὖν, ὥσπερ ὁ κατήγορος ὑπέθετο τοιούτου πράγματος μὴ δεχομένους τοὺς δικαστὰς τοὺς λόγους, ἀσύστατα ἐνομίσθη εἰκότως τὰ πεπραγμένα τούτῳ.

πς΄. Ἠπόρηται, τίνι διαφέρει τὸ ἄδοξον τοῦ ἀπιθάνου· διαφέρει δὲ, καθὸ ἐν μὲν τῷ ἀπιθάνῳ τὰ περὶ τὸ πρόσωπον μερικά ἐστι καὶ εἰς αὐτὸ μόνον τείνοντα τὸ ὑποκείμενον, ἐν[95] δὲ τῷ ἀδόξῳ καθολικὰ τὰ περὶ τὸ πρόσωπον, ἅπερ ἐστὶ πράγματα· τὸ γὰρ ἀνήρ τις ἐξεμίσθωσε τὴν ἑαυτοῦ γυναῖκα οὐχ ὑποκειμένου ἑνὸς ἔχει ποιότητα, ἀλλὰ καθολικά τινα· ἀνὴρ γὰρ καὶ ὁ δικαστὴς καὶ ὁ κατήγορος καὶ ὁ ἀπολογούμενος· τὸ οὖν ἀπίθανον καὶ κατὰ πρόσωπον ἀπίθανον· τὸ δὲ ἄδοξον κατὰ μόνον πρᾶγμα.

πζ΄. Ζητήσειαν ἂν τινες, πῶς αὐτὸ ἀπερίστατον ἔφη, εἴπερ αὐτόθι πρόσωπον ὑποτίθεται καὶ τόπον δὲ πάντως που καὶ χρόνον· ἐροῦμεν δὲ, ὅτι τῶν περιστατικῶν τὸ κυριώτερον ἡ αἰτία ἐστίν· ἐπεὶ οὖν αὕτη ἐλλείπει, οὐδὲ ταῦτα εὑρισκόμενα τὴν οἰκείαν δύναμιν ἀποπληροῖ· ἔνθεν ἐκάλεσεν αὐτὸν ἀπερίστατον· ζητοῦσι δὲ, τίνι διαφέρει τοῦ μονομεροῦς, εἴγε παντελῶς κἀνταῦθα τὸ ἕτερον μέρος ἀποτέμνεται. πρῶτον μὲν οὖν τὸ μονομερὲς οὐκ ἔχει ἐλλείπουσαν τὴν αἰτίαν· τὸ δὲ ἀπερίστατον κατὰ τὸ μὴ ἔχειν αἰτίαν γίνεται ἀπερίστατον· ἔπειτα ὁ κατήγορος ἐν τῷ μονομερεῖ ὅλην τὴν ἰσχὺν ἔχει· ἐνταῦθα δὲ ὁ ἀπολογούμενος· τρίτον δὲ, ὅτι τὸ μονομερὲς εἰσάγεται εἰς δικαστήριον, ἐπειδὴ ὁ κατήγορος ἰσχύει, ὁ δὲ κατήγορος συνίστησι τὰ δικαστήρια. τὸ δὲ ἀπερίστατον

Aesch. c. Timarch. §. 164. p. 303. Bekk. 94 Mon. λέγει. 95 Mon. οὐδὲ τὸ ἄδοξον.

οὐδὲ εἰσάγεται· οὐδὲν γὰρ ἔχει λέγειν παντελῶς ὁ διώκων. πῶς οὖν φασιν αὐτὸ ἀδύνατον, οὐ λέγομεν· εἴγε ἀδύνατον συστῆναι ἐπὶ τούτῳ δικαστήριον· λεκτέον δὲ, ὡς τὸ μὲν ἀδύνατον οὐκ ἔχει φύσιν [1] γενέσθαι· τὸ δὲ ἀπερίστατον ἐνδέχεται μὲν γενέσθαι, οὐ γίνεται δέ· εἰ δέ τις ζητοίη καὶ τὴν πρὸς τὸ ἀπίθανον αὐτοῦ διαφορὰν, ὡς ὁμοίως ἀπιθάνων ὄντων τοῦ τε Σωκράτη πορνοβοσκεῖν καὶ τοῦ ἀποκηρύττειν υἱὸν ἐπ' οὐδεμιᾷ αἰτίᾳ, εἰδέτω, ὅτι τὸ μὲν ἀπερίστατον κατά γε τὸ μὴ εἰσενεχθῆναι ὅλως εἰς δικαστήριον ἔχει τὴν ἀπιθανότητα, τὸ δὲ ἀπίθανον μένει καὶ μετὰ τὸ εἰσενεχθῆναι ἀπίθανον· ὑπόλοιπον ἔτι διαλαβεῖν καὶ περὶ τῆς τάξεως τῶν ἀσυστάτων· ἣν τῶν μὲν παλαιοτέρων ἀνδρῶν οὐδὲ εἷς, ὁ δὲ ἡμέτερος ἀνεῦρε διδάσκαλος. ἐφ' ᾧ καὶ μάλιστα ἄξιον ἄγασθαι τὸν ἄνδρα τῆς δεξιότητος· ὁμολογηθέντος ὅτι τῶν μᾶλλον ἀσύστατον τὸ μονομερὲς, ὅτι ἐν αὐτῷ ὅλως θάτερον τῶν μερῶν ἐκλείπει, περὶ τῶν ἄλλων οὕτως ἐπιβλητέον, ὅτι μᾶλλον ἀσύστατον ἂν εἴη τὸ ὑφ' ἑαυτοῦ τινα ἁλίσκεσθαι ἢ ὑφ' ἑτέρου· ἐν μὲν οὖν τῷ ἐξισάζοντι καὶ τῷ ἀντιστρέφοντι τοῦτο συμβαίνει ὑπὸ τῶν ἰδίων λόγων ἐν ἀμφοτέροις ἁλίσκεσθαι· τούτων δὲ αὐτῶν εἰκότως τὸ ἐξισάζον [2] προτέτακται, ἐπειδὴ ἐν τούτῳ μὲν ὑφ' ἑαυτοῦ ἐλέγχεται κατὰ τὸν αὐτὸν καιρόν· ἐν δὲ τῷ ἀντιστρέφοντι ὑφ' ἑαυτοῦ μὲν, ἀλλ' ἐν διαφόροις καιροῖς· ἃ γὰρ εἶπέ ποτε πρότερον, νῦν εἰς ἔλεγχον αὐτοῦ προφερόμεθα· τὰ δὲ ὑπόλοιπα ἐλέγχει μὲν τὸν λέγοντα, ἐπειδὴ καὶ ἀσύστατα, ἐλέγχει δὲ οὐκ ἐξ ὧν λέγει, ἀλλ' ἐξ ὧν ἔχει τὰ πράγματα· καὶ γοῦν αὐτόθεν τὸ ἄπορον διὰ τὸ μὴ ἐπιδέχεσθαι πέρας τὸ πρᾶγμα περιτρέπει τὸ λεγόμενον εἰς τὸ ἐναντίον, ὅθεν καὶ πρῶτόν ἐστιν εἰκό-

---

1 Par. 1. ἐφύσεως, correctum ἐκφύσεως. Mon. ἔχει φύσεως. Par. 2. φυ cum compendio scribendi. 2 Mon. τὸ ἐξισάζοντι.

τως, τῶν ἐκ τοῦ πράγματος ἐχόντων τὸν ἔλεγχον, ὅτι οὐ μόνον τὸν σκοπὸν τοῦ λέγοντος ἀνατρέπει, ἀλλὰ καὶ φέρεται πρὸς κατασκευὴν τοῦ ἀντικειμένου· λέγοι δ' ἄν τις, ὡς αὐτὸς ὁ λέγων ἐνταῦθα ἑαυτὸν τοῖς λόγοις ἐλέγχει· ὥσπερ ἐν τῷ ἐξισάζοντι· τοῦτο γάρ φησιν ὁ τεχνικός· ὅτι γὰρ ἂν συμβουλεύῃ τις, τὸ ἐναντίον αὐτοῦ ποιεῖ, πρὸς ὃ ῥητέον, ὅτι ἐκεῖ μὲν ἡ ἐναντιότης τῶν λόγων ἐκ τῆς τῶν ἀποδεικτικῶν ἀσθενείας συμβέβηκεν· ἐνταῦθα δὲ ἐκ τῆς τῶν ὑποκειμένων, ἤτοι ἐναντιότητα ἀποδεικνυμένων· καὶ γοῦν εἴ τις τοὺς λόγους περιέλοι τοῦ ῥήτορος, ἐάσει δὲ ἐφ' ἑαυτῆς μένειν τὴν ὕλην, εὑρίσκεται ἑαυτὴν ἀναιροῦσα καὶ ὅλως κἂν βουλῇ χρήσηται κἂν μὴ χρήσηται Ἀλέξανδρος, πάντως τὸ ἕτερον ἀποβήσεται· οὐ γὰρ ἔνεστιν ἄλλως ποιεῖν· ἔστω οὖν αὕτη καθαρωτάτη διαφορὰ τοῦ ἀπόρου πρὸς τὰ ἄλλα, ὅτι ἐν ἐκείνοις μὲν ἀμφισβητεῖται τὸ ζητούμενον, ἐνταῦθα δὲ ἑαυτὸν ἀναιρεῖ· οὗτος δὲ ὁ λόγος γέγονεν ἅπας, ὡς ἔλεγχος τοῦ λέγοντος γέγονεν, οὐκ ἐξ ὧν λέγει, ἀλλ' ἐξ ὧν ἔχει τὰ πράγματα· ἐφεξῆς δὲ εἰκότως τέτακται τὸ ἀπίθανον πρότερον τοῦ ἀδυνάτου· ἐπειδήπερ καὶ αὐτὸ ἐκ τῆς φύσεως τοῦ πράγματος παρέχει τὸν ἔλεγχον· οὐ μέντοι χρεὼν ἄλλως ὑπὸ τοῦ ῥήτορος ἢ οὕτως τετάχθαι· τριῶν γὰρ ὄντων περὶ ἕκαστον τῶν πραγμάτων, χρήσεως τε καὶ δόξης καὶ φύσεως, τὰ μὲν δύο τῷ ῥήτορι ἀπονενέμηται· χρῆσίς τε καὶ δόξα, τὸ δὲ τρίτον τοῖς φιλοσόφοις, ὅπερ ἔστιν ἡ φύσις· αὐτῶν δὲ τῶν δύο [3] παρὰ τοῖς [4] ῥήτορσι κυριώτερον οἶμαι ἡ χρῆσις παρ' αὐτοῖς, ἐπειδήπερ ἐξ αὐτῆς καὶ ἡ δόξα προέκυψεν· εἰ γὰρ τὰς φύσεις ἐπιζητοῦσι τῶν πραγμάτων ἐκ τῆς φύσεως, οἶμαι, τόδε τι νομίζουσι περὶ τοῦ πράγματος ἢ οὐ νομίζουσι· διόπερ πρῶτον μὲν τὸ ἄπορον ἔταξεν· ἀπὸ γὰρ τῆς χρήσεως εἶχε τὴν βλάβην. δεύτερον δὲ τὸ ἀπίθανον, ὅπερ αὐτοῦ τοῦ ῥήτορος ἴδιον·

3 δύο Mon. om. 4 τοῖς Par. 1. om.

τρίτον δὲ τὸ ἀδύνατον, ὡς πάρεργον εἰπεῖν καὶ μάλιστα μὲν οὐδέποτε παρὰ τοῖς ῥήτορσιν ἀξιούμενον λόγων, εἰ δέ ποτε παραληφθῇ,[5] εἰς ἄλλου κατασκευὴν λαμβάνεται. ὥσπερ καὶ ἐπὶ τοῦ δευτέρου παραδείγματος, ὅπερ καὶ ταῖς ἀληθείαις ἐστὶν ἀδύνατον· ἕβδομον τὸ ἄδοξον· καὶ αὐτὸ μὲν ἐκ τῆς δόξης τῶν ἀκουόντων βλαπτόμενον, διαφορὰν δὲ ἔχον ἐλάττονα πρὸς τὸ ἀπίθανον· τοῦτο γάρ ἐστι τὸ ἐκ τῆς δόξης καὶ αὐτὸ βεβλαμμένον,[6] ὅτι ἐν μὲν τῷ ἀπιθάνῳ ὁμοῦ τὸ πρόσωπον καὶ τὸ πρᾶγμα ἐναντιοῦται τῷ λέγοντι· ἐπεὶ γὰρ συνῆλθε τὸ πορνεύειν καὶ ὁ Σωκράτης, ἡ ἀπιθανότης τῷ λόγῳ προςγέγονεν, ἐνταῦθα δὲ τὸ πρᾶγμά ἐστι τὸ τῷ λέγοντι ἐναντιούμενον, ὅσῳ δὲ διαφέρει ὑπὸ δυοῖν πολεμεῖσθαι, ἢ ὑφ᾽ ἑνὸς, τοσοῦτον εἰς τὸ εἶναι ἀσύστατον ἔλαττόν ἐστι τὸ ἄδοξον τοῦ ἀπιθάνου· τί οὖν, ἐρεῖ τις, οὐ καὶ αὐτὸ πρὸ τοῦ ἀδυνάτου τέτακται, εἴγε τῶν περὶ τὴν δόξαν βεβλαμμένων ἐστὶν, ὡς αὐτὸ δήπου βοᾷ τὸ ὄνομα· φήσαιμεν δ᾽ ἄν,[7] ὅτι περὶ τὴν καθόλου δόξαν βεβλαμμένον ἐστίν. τό γάρ τις μόριον αὐτῷ πρόσεστιν, ὅπερ ἀόριστον καὶ ἐπὶ πάντας ἧκον· τὸ δὲ καθόλου οὐ ῥητορικὸν, ἀλλὰ φιλοσόφοις πρέπον·[8] ὥστε καὶ τοῦτο κατὰ τὸ πάρεργον βέβλαπται· προταχθέντος οὖν τοῦ ἀπιθάνου, καθὸ ἐκ τῆς παρὰ τὸ μερικὸν βέβλαπται[9] δόξης, ἐκ τῶν παρέργων καὶ οὐ ῥητορικῶν τὴν κατά φύσιν παρετήρησε τάξιν. ἓξ δέ εἰσι τὰ περιστατικά. καὶ τούτων μετά γε τὸ πρόσωπον καὶ τὸ πρᾶγμα συνεκτικώτατον ἡ αἰτία· ἀπερίστατον οὖν καλεῖ τὸ μηδεμίαν προφανῆ τῆς κατηγορίας ἔχον αἰτίαν. καὶ ἰστέον, ὅτι διὰ τοῦτο καὶ χρῶμα ἡ μετάθεσις τῆς αἰτίας λέγεται, ὅτι ἡ αἰτία ἐστὶν ἡ χρωννῦσα τὸ ζήτημα καὶ τοιόνδε ἢ τοιόνδε ποιοῦσα.

5 Par. ληφθῇ. 6 Mon. βεβλημένον. 7 Mon. φήσαι μηδ᾽ ἄν. 8 Mon. Par. 2. πρέπει. Par. 1. πρέπον. 9 Par. ἐβέβλαπτο.

ἐνταῦθα οὖν ἐκλείπει τό τε πρᾶγμα καὶ τὸ τεκμήριον· ἐξαιρέτως δὲ τὴν αἰτίαν καλεῖ περίστασιν διὰ τὸ μὴ δύνασθαι ἄνευ ταύτης, εἰ[10] πρόσωπα εἴη καὶ πράγματα, τὸ ζήτημα σύστασιν ἐπιδέξασθαι, ὥσπερ ἐπὶ τοῦ προκειμένου· ἔστι μὲν γὰρ πρόσωπον ὁ πατήρ· ἔστι δὲ καὶ πρᾶγμα τὸ ἀποκηρῦξαι· ἀλλ᾽ ἐπεὶ τὸ[11] κυριώτερον ἡ αἰτία λείπει, ἀσύστατον· εἰ δὲ λέγοι τις, ἀλλ᾽ ἔχει τὴν τοῦ πατρὸς ἐξουσίαν, ἐροῦμεν, ἀλλ᾽ οὐκ ἀρκοῦσαν πρὸς δικαστάς· ζητοῦσι γὰρ αἰτίαν· πῶς γὰρ οὐκ ἄτοπον τὴν φύσιν ἑαυτῇ πολεμεῖν καὶ ἀλλοτριοῦν τοὺς παῖδας μὴ ὑποκειμένης αἰτίας· τὸ γὰρ συνέχον ταῦτα μάλιστα ἡ αἰτία ἐστίν· ἐπὶ γὰρ τῶν προσώπων καὶ τῶν πραγμάτων τῶν δύο ἐκλελοιπότων γίνεται τὸ ἀσύστατον· ἐνταῦθα δὲ τῆς αἰτίας μόνης, καὶ οὕτως δὲ ὁ τρόπος παρὰ τὸν τρίτον ἐστὶ κανόνα, μηδεμίαν ἰσχυρὰν πίστιν ἐφ᾽ οἷς ἐγκαλεῖ παρεχομένου τοῦ πατρός.

πή. Ὃν τρόπον ἀσύστατα ἐξέθετο τῶν συνισταμένων ἐξαίρων αὐτά, οὕτω καὶ τὰ ἐγγὺς ἀσυστάτων προαναιρεῖ, ἵνα καθαρὰν ἡμῖν τὴν τῶν συνεστώτων παράδοσιν ποιήσηται· καλῶς δὲ τὸ ἐγγὺς προσέθηκεν. οὐ γὰρ τέλεια ἀσύστατά ἐστιν, ἀλλὰ μελετώμενα· τὸ γὰρ ἐγγὺς οὐκ αὐτό τί ἐστιν, ἀλλὰ προοίμιον· οὐκ ἀθρόως δὲ ἐπὶ τὰ συνεστῶτα χωρεῖ· ἀλλ᾽ ἐπὶ τὰ μετὰ τῶν τε συνεστώτων καὶ τῶν ἀσυστάτων· ταῦτα δὲ αὐτὸς ἐπενόησε τὰ τρία εἴδη, ὧν ἕκαστον πάλιν ἐπὶ τρία ἀνάγεται· τὸ ἑτερορῥεπὲς ἐπὶ τὸ αἴτιον· τὸ κακόπλαστον ἐπὶ τὸ ἀδύνατον· τὸ γὰρ τετελευτηκότα[12] πεμφθῆναι στρα-

10 Mon. εἰ om. In Par. 1. an legendum sit εἰ an εἴτε non praestiterim: Par. 2. habet εἰ. 11 τὸ Par. om. 12 Mon. τελευτικός. Par. τετελευτηκός, scr. τετελευτηκότα. Sch. min.: *Διανύσας τὴν τῶν ἀσυστάτων τεχνολογίαν μέτεισιν ἐπὶ τὴν* (Cod. om. τὴν) *τῶν ἐγγὺς ἀσυστάτων· φασὶ δὲ αὐτὰ πρῶτον ὑπὸ Ἑρμογένους εὑρῆσθαι· ἰστέον δέ, ὡς αὐτὰ γυμνασίας ἕνεκα ἐν ταῖς μελέταις παραλαμβάνομεν.*

τηγὸν ἀδύνατον· τὸ δὲ προειλημμένον ἐπὶ τὸ κρινόμενον· ἀμοιβῇ γὰρ τῶν δικαστῶν συνίσταται.

Cap. III.

Περὶ τῶν ἐγγὺς ἀσυστάτων.

πθʹ. Ἐν τῷ ἑτεροῤῥεπεῖ οἱ λόγοι γίγνονται περί τινος ἔξω τοῦ πράγματος· βουλεύονται γὰρ, φησὶν, Ἀθηναῖοι, εἰ δεῖ Κριτίαν [1] ἀποσπᾷν· τοῦτο δὲ οὐ περὶ Κριτίου ἐστὶν, ἀλλ' εἰ δεῖ πειθαρχεῖν τῷ νόμῳ ἢ μή· ἑτεροῤῥεπεὶς δὲ λέγει, ἐπειδὴ τὸ ἓν μέρος πλεονεκτεῖ ἐκ τῆς μεταφορᾶς τῆς πλάστιγγος· ὁ μὲν γὰρ κατήγορος φήσει, ὅτι οὐ τιμὴ τὸ γιγνόμενον, ἀλλ' ἀτιμία. Ἁρμόδιος μὲν γὰρ καὶ Ἀριστογείτων [2] αὐθένται τυράννων, Κριτίας δὲ τύραννος, ὥστε τὸ σώζειν αὐτὸν δι' ἐκείνων ὕβρις ἐστὶ κατ' ἐκείνων φανερά· ὁ δὲ ἀπολογούμενος τούτοις ἀντιλέγειν οὐκ ἔχων ἐπὶ τὸν τῶν εἰκόνων μόνων καταφεύξεται νόμον, καὶ τοῦτον προβαλεῖται κατὰ τὰ δίκαια τῆς δημοκρατίας, καὶ ὅτι ταῦτα ἀνατρέπειν οὐκ εὔλογον· κοινωνεῖ δὲ τὸ ἑτεροῤῥεπὲς τῷ μονομερεῖ κατὰ τὸ μὴ ἔχειν λόγους τὸν φεύγοντα· διαφέρει δὲ τῇ περιστάσει· ἐνταῦθα γὰρ αἱ τοῦ Ἁρμοδίου εἰκόνες [3] ἐργάζονται τὴν σύστασιν.

ρʹ. Ὅτι οὐ συνεστηκὸς τὸ ἑτεροῤῥεπὲς, ἐξ αὐτοῦ τοῦ ὀνόματος δῆλον· τὸ γὰρ ἕτερον τῶν μερῶν μᾶλλον ἰσχύον [4] ἔχει· τοῦτο δὲ οὐ συνεστηκός· θέλει γὰρ τὰ συνεστηκότα ἑκατέρωθεν ἰσχυροτάτων πίστεων τὴν δύναμιν ἔχειν, ἀλλ' οὐδὲ μὴν ἀσύστατόν ἐστιν παντελῶς· ἔχει γάρ τινα τὴν ἀπὸ τοῦ νόμου καὶ ὁ φεύγων ἀπολογίαν·

---

1 Sch. min. τύραννος οὗτος ἦν. 2 Sch. min. οὗτοι τυραννοκτόνοι καὶ ἐτιμήθησαν. 3 Mon. αὐτοῦ Ἁρμ. εἰκότως. 4 Par. 1. ἰσχύον μᾶλλον.

ἰσχύει μὲν γὰρ μάλιστα ὁ κατήγορος· σχεδὸν γὰρ αἱ στῆλαι αὐταὶ θάνατον τοῦ Κριτίου καταψηφίζονται· ἔχει μέντοι καὶ ὁ φεύγων ἀπολογίαν τὸν νόμον.

ρα΄. Τὸ κακόπλαστον ἀεὶ ἐν μελέταις καὶ πλάσμασιν εὑρίσκεται· οὐδέποτε δὲ ἐπὶ τῆς ἀληθείας, ἀεὶ μέντοι ἐκ τοῦ χρόνου ἔχει τὸ ἁμάρτημα.

ρβ΄. Τοῦτο ἀδυνάτου τάξιν ἐπέχει καὶ ἔστι παρ' ἱστορίαν· πανταχόθεν μὲν γὰρ συνέστηκεν· μόνην δὲ τὴν πρὸς τὰ πρόσωπα ἐξέτασιν χωλεύουσαν ἔχει, διότι τοὺς [5] τεθνεῶτας ὡς ζῶντας ὑποτίθησι· διαφέρει δὲ τοῦ ἀδυνάτου τῷ χρόνῳ μόνον· οὐ γὰρ ὡς ἀδύνατα τῇ φύσει πλάττεται· φησὶ γὰρ, ὅτι μετὰ τὴν Νικίου ἐπιστολὴν γράφει τις Κλέωνα στρατηγὸν πέμπειν· ἰδοὺ γὰρ ἐνταῦθα περὶ χρόνον ἐστὶ τὸ ἁμάρτημα. ἡ μὲν γὰρ ἐπιστολὴ ἐν τοῖς Σικελοῖς γέγονε πράγμασιν, ἐν τῇ ἑβδόμῃ ἱστορίᾳ·[6] Κλέων δὲ ἦν τετελευτηκὼς ἐν τοῖς κατ' Ἀμφίπολιν·[7] ὅτε δὴ καὶ Βρασίδας ἐν τῇ πέμπτῃ, καὶ οὐ τοῦτο τῇ φύσει ἀδύνατον ὥσπερ ἐκεῖνο τὸ ζήτημα, ὅτι βούλεται Ἀλέξανδρος εἰς ἤπειρον μεταθεῖναι τὰς νήσους· αὐτίκα γὰρ, εἰ τὸν καιρὸν μεταθέντες ἐν τῇ τρίτῃ ἱστορίᾳ τὸ πλάσμα ποιήσομεν, συνέστηκεν· ᾧ δῆλόν ἐστιν, ὅτι

---

5 διότι τοὺς τεθνεῶτας — — — τῇ φύσει πλάττεται Par. 1. om. Mon. καὶ ζῶντας ὑποτ. διαφέρει δὲ τῷ ἀδυνάτῳ. correxi ex Par. 2. 6 L. VII. 8. 7 Sch. min: Ἀμφίπολις Θρᾳκικὴ πόλις, ὑπήκοος Ἀθηναίων, εἰς ἣν ἀποστᾶσαν ἐν τῷ Πελοποννησιακῷ [Par. 2. Πελλοποννησ.] πολέμῳ, καὶ Λακεδαιμονίων, Βρασίδου τοῦ Λακεδαιμονίου, φρουρούντων ἐπέμφθη Κλέων μετὰ Θουκυδίδου στρατηγὸς Ἀθηναίων· ἐφ' ᾧ καὶ οἱ Λακεδαιμόνιοι ἐξαπέστειλαν Κλεαρίδην, καὶ γενομένης ἐμβολῆς νικῶσι Λακεδαιμόνιοι· πίπτουσι δὲ στρατηγῶν μὲν Κλέων καὶ Βρασίδας, Ἀθηναίων δὲ ἑξακόσιοι· οἱ δὲ λοιποὶ εἰς φυγὴν ἐτράπησαν. Αἰτησάντων δὲ Ἀθηναίων, εἰρήνην πρότερον οὐ προσιεμένων, γίνονται αἱ πεντηκοντούτεις σπονδαὶ, ὧν οὐ μετεῖχον Κορίνθιοι, Βοιώτιοι, Χῖοι· ἀπέδοσαν δὲ καὶ τοὺς ἐν Σφακτηρίᾳ ληφθέντας. Ταῦτα Θουκυδίδης. [V. 16. sqq.]

οὐ τῇ φύσει ἀδύνατον. εἰ γὰρ ἦν οὕτως, οὐδ' ἂν μετάθεσις τοῦ χρόνου συνίσταται. ἔστι δὲ παντελῶς ἀσύστατον τὸ πρόβλημα, μωρὸν γὰρ τὸ πλάσμα. Τί οὖν, εἴποι τις ἄν, καὶ πάντα τὰ ἀσύστατα οὐκ ἔστι κακόπλαστα; ναί· ἀλλ' ἔνθα μὲν ὁ τεχνικὸς εὕρισκεν ἴδιον ἐπιθεῖναι ὄνομα, ἐπετίθει· τὸ μὲν τυχὸν ἀπίθανον, τὸ δὲ ἀδύνατον· ἐνταῦθα δὲ ἐπειδὴ ἰδιάζον οὐχ εὗρεν ὄνομα, τῷ κοινῷ αὐτὸ ἐκάλεσεν. οὐ πάντως δὲ τὸ παρ' ἱστορίαν ἀσύστατόν ἐστιν, ἀλλὰ τὸ μὴ ἐνδεχόμενον γενέσθαι, ὥσπερ τοῦτο τὸ Κλέωνος ζήτημα.

ργ'. Τρίτον εἶδος τῶν ἐγγὺς ἀσυστάτων τοῦτο, ὅπερ οἱ δικασταὶ οὐκ ἀνέχονται τοῦ κρινομένου καταψηφίσασθαι. ζητητέον δὲ, διὰ τί τὸν ὅρον ἐκτιθέμενος τοῦ ὑγιοῦς ζητήματος καὶ εἰπὼν, ὅτι τὸ μὴ προειλημμένον οὐ συνέστηκε, νῦν αὐτὸ εἰς τὰ μεταξὺ τέταχε, καὶ λέγομεν, ὅτι πολλαὶ μὲν καὶ ἄλλαι φέρονται ἐξηγήσεις· ἡ δ' οὖν ἀκριβεστέρα αὕτη ἐστὶν, ὅτι δύναται καὶ ἀσύστατον καὶ συνεστηκὸς, [8] ἀσύστατον μὲν, ἐὰν κρίνηται ἐν αὐτῇ τῇ πόλει· τῶν γὰρ ἀπ' αὐτῆς εὐεργετηθέντων οὐδεὶς καταψηφίζεται, συνιστάμενον δὲ, ἐὰν εἰς ἄλλην πόλιν ἡ κρίσις ᾖ· διὰ τί δὲ μὴ συνέστηκε παντελῶς, ἀλλὰ τῶν ἐμμέσων ἐστίν; ὅτι οὐ πάνυ καταψηφιοῦνται τῆς γυναικὸς, κἂν ἀλλαχοῦ κρίνοιτο· ἐπειδὴ πᾶσα δημοκρατία μισεῖ τύραννον καὶ τῆς [9] ἀλλαχοῦ πρόνοιαν ποιεῖται· τὸ ζήτημα οὖν τοῦτο· εἰ μὲν παρ' ἄλλοις μελετηθείη ἂν ἴσως κατὰ αἴτημα καὶ ἐσχημάτισται, εἰδὼς γὰρ ὁ ἀνὴρ ἐκ τῆς μηνύσεως ὑποψίαν οὖσαν, ἀπολύεται τὸ ἔγκλημα διὰ τοῦ δοκεῖν κατηγορεῖν.

ρδ'. Ἐν τῷ προειλημμένῳ δεῖ τὰ αὐτὰ πρόσωπα εἶναι, τό τε τὴν εὐεργεσίαν δεξάμενον καὶ τὸ κρινόμενον· ἐπείτοι ἐὰν ἀμείψῃ τις πρόσωπον, εὐθέως συνεστηκὸς γίνε-

---

8 ἀσύστατον καὶ συνεστηκὸς Mon. om. 9 Mon. καὶ τῇ καὶ ἀλλ.

ται. οἷον ἂν γυνή τις αἰτία τοῦ ἀναιρεθῆναι τὸν Ἀθήνησι τύραννον,[10] κρίνοιτο παρὰ Λακεδαιμονίοις μοιχείας, συνεστηκὸς ἔσται· οὐκέτι γὰρ προείληπται· ζητοῦσι δὲ, τίνι διαφέρει τοῦτο τῆς ἀντιστάσεως·[11] κἀκεῖ γὰρ μείζων εὐεργεσία τοῦ φερομένου ἐγκλήματος[12] ἀντεισφέρεται, ὥσπερ ἐνταῦθα· ἀλλ' ἐν μὲν τῇ ἀντιστάσει ὁμολογεῖται τὸ ἔγκλημα. ἀντεισφέρεται δὲ[13] μεῖζον εὐεργέτημα δι' αὐτοῦ, ἐνταῦθα δὲ οὐχ οὕτως· οὐ γὰρ ὁμολογεῖται· ἔπειτα ἐν μὲν τῇ ἀντιστάσει καὶ τὸ ἔγκλημα καὶ τὸ εὐεργέτημα δεῖ δημόσιον ὑπάρχειν, ἢ εἴπερ ἰδιωτικὸν τὸ ἔγκλημα, ἰδιωτικὸν εἶναι καὶ τὸ εὐεργέτημα· ἐνταῦθα δὲ τὸ μὲν ἔγκλημα ἰδιωτικὸν τὸ δὲ εὐεργέτημα δημόσιον· πρὸς δὲ τούτῳ ζητεῖται, πῶς ἀνωτέρω εἰπὼν χρῆναι τὰ ζητήματα ἔχειν τὸ τῆς κρίσεως ἀφανὲς, καὶ μὴ προειλημμένον, οὐκ ἔταξεν αὐτὸ ἐν τοῖς ἀσυστάτοις· ἀπολελόγηνται οὖν πρὸς τοῦτό τινες, ὅτι τὸ τῆς κρίσεως προειλημμένον γίνεται ἢ περὶ τὸ πρόσωπον, ἢ περὶ τὸ πρᾶγμα· τὸ μὲν οὖν περὶ τὸ πρόσωπον τὸ ἀπίθανον. τὸ δὲ περὶ τὸ πρᾶγμα τὸ προειλημμένον· ὅτε οὖν φησὶν ἀνωτέρω προςετίθει[14] τὸ τῆς κρίσεως ἀφανὲς καὶ μὴ προειλημμένον περὶ τοῦ ἀπιθάνου ἔλεγον ὅπερ ἔταξεν ἐν τοῖς ἀσυστάτοις, ἀλλ' εὕρομεν ψεῦδος ἄντικρυς εἶναι τὸ εἰρημένον· ἰδίᾳ γὰρ περὶ τοῦ ἀπιθάνου εἶπεν, δι' ὧν προσέθηκε καὶ τοὺς ἐξ ἑκατέρου μέρους λόγους σὺν τῷ πιθανῷ· φαμὲν οὖν τὴν ἀληθεστάτην λύσιν, ὅτι ἀνωτέρω οὐ περὶ ἀσυστάτων ἔλεγεν· ἀλλὰ περὶ τῶν μὴ συνεστηκότων· οὐκέτι δὲ μὴ συνέστηκε τοῦτο εὐθέως ἀσύστατον· ἀλλ' ἐγγὺς, ὥστε λέλυται τὸ ἄπορον· περὶ δὲ

τῆς

10 τύραννον Mon. om. recepi ex Par. 1. in Par. 1. supra lineam est: τυραννήσαντα. 11 Mon. καὶ ἀντὶ στάσεως. 12 Mon. ἐγκλήματα. 13 Mon. ἀντιφέρεται, omisso δέ. 14 προςετίθει Mon. om.

τῆς τάξεως αὐτῶν ῥητέον, ὡς κἀνταῦθα ἀπὸ [15] τῶν ἀσθενεστέρων ἐπὶ τὰ ἰσχυρότερα προελήλυθεν. [16] ἀσθενέστερον τοίνυν τῶν ἄλλων τὸ ἑτερόῤῥεπές· σχεδὸν γὰρ ἐκινδύνευεν εἶναι μονομερές· ἐκ δὲ τῶν ὑπολειπομένων ἀσθενέστερον τὸ κακόπλαστον· τοῦτο γὰρ εἰς ἑαυτὸ βέβλαπται· τὸ δὲ προκατειλημμένον οὐκ εἰς ἑαυτὸ ἀλλ' εἰς τὸ ἔξωθεν, τουτέστιν εἰς τὸν ἀκροατήν. Ὅρα πῶς διὰ τοῦτο βαθέως δείκνυσιν, ὅτι καὶ καταψηφίσαιντο ἂν [17] οἱ δικασταὶ πολλάκις, οὔτε εἶπεν ἀποφαντικῶς, ἀλλὰ ἀμφιβάλλων, ἡ δὲ ἀμφιβολία τῆς γνώμης σαφηνίζει τὸ ἡμῖν ἀγνοούμενον.

ρς΄. Ὅτι περ καὶ εἴ τινα τοιαῦτα ἕτερα ἀναπλάττοιντο [18] ἐν τοῖς εἰρημένοις συναχθήσονται, δῆλον ἀφ' ὧν τινες ἀνεπλάσαντο· τὰ δέ εἰσι τὸ πάντη φανερὸν, ὡς εἴ τις ἀπροφασίστως ἐγκαλοῖτο φόνου ἢ κλοπῆς ἐπί τινι ἀδήλως ἀνῃρημένῳ, ἢ ἐπὶ χρήμασιν [19] ἀσυμφανῶς [20] συλληφθεῖσι· τοῦτο δὲ ὑπὸ τὸ ἀπερίστατον. ὅσον γὰρ εἰς κλοπὴν οὐδεμίαν αἰτίαν εἰσενεγκὼν εὑρίσκεται ὁ κατηγορούμενος· δι' εἶδος αὐτοῖς τὸ ἀπρεπὲς ἀνεπλάσθη, οἷον ἠράσθη τις παῖς τῆς ἰδίας μητρός· συνεχωρήθη παρὰ τοῦ πατρὸς ἑνωθῆναι αὐτῇ· καὶ κρίνεται παρὰ τοῦ πατρὸς ἀθεμιτομιξίας ὁ παῖς· ὑπὸ τὸ ἄδοξον δὲ τὸ τοιοῦτον ἀνενεχθήσεται· ἐντεῦθεν δῆλον, ὡς εἰ καί τι ἕτερον προσεξευρεῖν δυνηθείη τις, ἐν τοῖς προανατεταγμένοις τῷ τεχνικῷ ἀναχθήσεται.

ρζ. Φαίνεται ὁ Ἑρμογένης μὴ πάντα τοῖς πρὸ [21] αὐτοῦ πειθόμενος, [22] ἀλλὰ προσεπινοῶν ἐξ ἑαυτοῦ τὰ παρειμένα τοῖς παλαιοτέροις, οὐδὲ μὴν πάντα τῇ φύσει

---

15 Mon. ὡς κἂν ἐπί. 16 Par. 1. προσελήλυθεν. 17 Mon. ὅτι καταψηφίσαιντ' ἂν δικασταί· πολλάκις γὰρ εἶπεν ἀποφατικῶς. 18 Mon. ἀπαλλάττοιντο, omisso ἕτερα. 19 Par. 1. χρήμασιν. Par. 2. ῥήμασι. Mon. κρίμασι. 20 Mon. Par. 2. ἀσυμφανῶς. Par. 1. ἀσυμφώνως. 21 Mon. πρός. 22 Par. 1. πιθόμενος.

τῇ οἰκείᾳ πιστεύων, ἀλλ' ὑπονοῶν καὶ τοῖς ἑαυτοῦ τινα παρ' ἑτέρων ἐπινοηθήσεσθαι· ἔνθεν προσέθηκε τὸ τάχα δ' ἂν[23] εὑρεθείη παρὰ ταῦτα εἴδη τινά.[24] εἰ δὴ ζητοῖέν τινες, πῶς, εἴπερ εἴδη τινὰ ἐλλείποντα ᾔδει, οὐ ζητήσας αὐτὸς προσέθηκεν; ὅτι πρῶτον μέν, ὡς ἔφαμεν, οὐ πάντα πιστεύει φύσει τῇ ἑαυτοῦ, ἔπειτα τὰς μὲν ἀρετὰς περιορίζομεν, αἱ δὲ κακίαι ἀπεριόριστοι· οὕτως οὖν τὰ μὲν συνεστηκότα περιορίζει, τὰ δὲ ἀσύστατα ἐνόμιζε μὴ[25] παντελῶς περιορίζεσθαι. προσέθηκε δὲ καὶ τὸ ἄλλα τοιαῦτα, δηλῶν ὡς, εἰ καὶ εὑρίσκοιντο τοιαῦτα, ἀναιρεθείη. προστιθέασι δέ τινες τοῦτο τὸ πάντη δῆλον καὶ πάντη ἄδηλον, ἀχρώματον καὶ ἀναπολόγητον, πρίονα ἢ κροκοδειλίτην, ἦθος καὶ μάχην· τὸ κατὰ κακοήθειαν πάντα μὲν οὖν δῆλόν ἐστιν. οἷον πατὴρ φονεύσας τὸν υἱὸν κρίνεται, ὅπερ ὁμολογουμένως ὑπὸ τὸ μονομερὲς ἀναχθήσεται· πάντη δὲ ἄδηλον, οἷον πατήρ τις ἐτελεύτησεν ἐπὶ δύο παισί, τελευτῶν θατέρῳ τῶν υἱῶν εἰς ὦτα διελέχθη καὶ ἀπαιτεῖ ὁ ἕτερος θησαυρόν, ὅπερ πάλιν ὑπὸ ἀπερίστατον ἀνάγομεν. δεῖ γὰρ τὰ σημεῖα προσεχῆ εἶναι. οὐδένα δὲ ἐνταῦθα ἔχει λόγον ἀποδεικτικὸν τοῦ, ὅτι περὶ θησαυροῦ διελέχθη· τί γὰρ μὴ μᾶλλον περὶ τοῦ φυλάττεσθαι τὸν ἀδελφὸν ἐπιβουλεύοντα, ὥστε ἡ παραλαμβανομένη αἰτία οὐ συμβαίνουσα πρὸς τὴν κατηγορίαν οὐδὲ αἰτία ἐστί· καὶ οὕτως καθέστηκεν ἀπερίστατον. ἀχρώματον δὲ καὶ ἀναπολόγητον, οἷον νόμου ὄντος, παρθένους καὶ καθαρὰς εἶναι τὰς ἱερείας, ἱέρειά τις εὑρέθη ἀτόκιον φέρουσα,[26] καὶ κρίνεται· ὅπερ ἀνάγομεν ὑπὸ τὸ μονομερές. οὐδὲν γὰρ ἕξει λέγειν ἱέρεια. ἀλλ'

23 Par. 1. τις εὑρεθείη. 24 Mon. εἴδη τινὰ ζητοῦν τινες. ad marg. corrigitur. Sch. min.: μεταγενέστεροί τινες ἐπινοοῦσι τῷ χρόνῳ ἕτερα εἴδη· καὶ ὅτι ἀπέραντον τὸ τῶν ἀσυστάτων γένος, φύσει γὰρ ἡ κακία πρᾶγμα ποικίλον καὶ ἀμήχανον. 25 Mon. μὴ om. 26 Par. 1. φοροῦσα.

ἐρεῖ, φασὶ, διὰ τὰς τῶν δαιμόνων ἐπιφοιτήσεις καὶ ἐπιβουλὰς περιτεθεῖσθαι, καὶ πῶς οὐκ ἀνόητον κομιδῇ τὸ τοιοῦτον· ἔδει γὰρ πρὸς τὸ μὴ ἀφαιρεθῆναι τὴν παρθενίαν φορεῖν τι ἀποτρόπαιον, οὐ μὴν πρὸς τὸ τεκεῖν. πρίων δὲ ὁ [27] καὶ κροκοδειλίτης· οἷον κατὰ τὸν Αἰγύπτιον μῦθον γυνή τις ἔχουσα παιδίον ἐβάδιζε πρὸς ταῖς ὄχθαις τοῦ ποταμοῦ· ταύτης κροκόδειλος ἀφείλετο τὸν παῖδα· καὶ προστίθησιν, ὡς, εἴπερ τἀληθὲς ἐρεῖ, ἀπολήψεται τὸν παῖδα· ἡ δὲ ἔφη, οὐκ ἀποδώσεις· καὶ ἀξιοῖ τὸ παιδίον ἀπολαβεῖν· ἐκφυγόντες οὖν ἀπὸ τοῦ μύθου ἕτερον τοιοῦτο πλάττουσιν· ὑπὸ λησταῖς ἐγένετο μάντις ἔχων θυγατέρα· ταύτην ἀφείλοντο ἐκεῖνοι· καὶ ὑπισχνοῦνται τἀληθὲς λέγοντι δώσειν τὴν θυγατέρα· ὁ δὲ ὡς οὐκ ἀποδώσουσιν ἀπεκρίνατο, καὶ ἀξιοῖ τὴν παῖδα λαβεῖν· κροκοδειλίτην μὲν τοῦτο τὸ πρόβλημα προσαγορεύουσι διὰ τὸν κροκόδειλον· πρίονα δὲ ὅτι ὥσπερ ἐκεῖνος τῶν τεμνομένων σωμάτων ἀντέχεται, οὕτω καὶ ἐν τούτῳ ἀλλήλων αἱ προτάσεις ἀντέχονται. Ἰστέον, ὅτι ὁμολογουμένως ὑπὸ τὸ ἄπορον ἀναχθήσεται· ἔθος δὲ καὶ μάχη. οἷον πλούσιος καὶ πένης ἐχθροὶ τὰ πολιτικὰ πρεσβεύειν ἐκρίθησαν· νόμου κελεύοντος μὴ συμπλεῖν τοὺς πρεσβευτὰς, ναυαγίῳ περιπεσὼν ὁ πένης ἀξιοῖ δεχθῆναι ἐπὶ τῆς νεὼς, ἔνθα καὶ ὁ πλούσιος ἔπλει· ὁ δὲ αὐτὸν οὐχ ὑπεδέξατο· καὶ τελευτήσαντος κρίνεται δημοσίων ἀδικημάτων· τοῦτο δὲ σχεδὸν καὶ συνεστηκός ἐστιν· καί τινες αὐτὸ μετάστασιν νενομίκασιν ἐπὶ τὸν νόμον ἄγοντος τοῦ πλουσίου τὴν αἰτίαν, καὶ καλῶς [28] ἂν ἔλεγον, εἰ μὴ τὸ πρόσωπον προείληπτο· τοῦτο γὰρ ἡ μετάστασις ἔχειν οὐ βούλεται· ἀνάγομεν οὖν αὐτὸ ὑπὸ τὸ προκατειλημμένον· προκατείληπτο γὰρ, ὅτι ἐχθροὶ τὰ πολιτικὰ, ἀλλ' ἐναντιοῦται πρὸς τοῦτο ἡμῖν τὸ μὴ ἐξ ὠφελείας τοῦ δι-

27 ὁ Mon. om. est in Par. 2. 28 Mon. καλοὺς ἂν ἔλεγον, εἰ μὴ πρόσωπον προσείληπτο· τοῦτο ἡμέτεροι ἔχειν οὐ β.

κάστου εἶναι τὴν πρόληψιν, ἀλλ' ἔξωθεν· ἐν γὰρ τῷ προειλημμένῳ, εἴπερ ἀνέλοι τις τὸ τὴν εὐεργεσίαν δεξάμενον πρόσωπον καὶ παρ' ἑτέρῳ ποιεῖ τὸ δικανικὸν,[29] εὐθέως συνεστηκὸς γίνεται τῆς προλήψεως ἀναιρουμένης· τοῦτο δὲ οὐχ οὕτως ἐστίν· ἔστιν οὖν ἑτερόῤῥεπὲς τοῦ κατηγόρου ἰσχύοντος· τὸ κατὰ κακοήθειαν δὲ, οἷον νόμος τὸν νόθον ἐξ ἴσου τῷ γνησίῳ κληρονομεῖν· διανέμειν δὲ τὴν οὐσίαν τὸν γνήσιον· ἐτελεύτησέ τις ἐπὶ παιδὶ γνησίῳ καὶ νόθῳ ἐκ δούλης· διανέμων ὁ γνήσιος τὴν οὐσίαν ἐν μιᾷ θεὶς μοίρᾳ τὴν τοῦ νόθου παιδὸς μητέρα, τὰ ἄλλα πάντα ἐν τῇ ἑτέρᾳ ἔθηκεν· καὶ κρίνεται κακοηθείας, ἀλλὰ καὶ τοῦτο ἀνάγομεν ὑπὸ τὸ ἑτερόῤῥεπές.

ρη'. Αἱ ὠφέλειαι γίνονται διχῇ κατὰ τὸ ἐκκόπτειν τὰ βλάπτοντα καὶ προστιθέναι τὰ χρήσιμα· οὕτω τοίνυν ὁ τεχνογράφος προκαθάρας τὴν διδασκαλίαν, καὶ τὰ ἀσύστατα προανελὼν ἔρχεται ἐπὶ τὴν τῶν χρησίμων, τουτέστι συνεστηκότων, διέξοδον· καὶ οὐ μόνον φησὶ περὶ ὅτου ποιήσεται τὸν λόγον, ἀλλὰ καὶ περὶ οὗ σιωπήσεται, σαφεστέραν τὴν διδασκαλίαν ποιούμενος· τί δέ ἐστιν, ὅ φησιν εἴδους καὶ τρόπου. τὸ μὲν εἶδος ἐπὶ τῆς ἀπαγγελίας λαμβάνεται, τουτέστιν ἡ ἰδέα·[30] ἔστι δὲ πενταχῆς, πανηγυρικὴ καὶ λαμπρὰ καὶ πομπικὴ, δικανική τε καὶ εὔζωνος· ὁρῶμεν γὰρ τοὺς ἰδιωτικοὺς Δημοσθένους[31] κομιδῇ κατὰ τὴν ἑρμηνείαν εὐζωνεστέρους· οἱ δὲ δημόσιοι σεμνότεροι μὲν τούτων, οὐ καθὸ δικανικοὶ, ἀλλὰ καθὸ δημόσιοι, ἧττους δὲ ὅμως τῶν συμβουλευτικῶν· ὁ δὲ τρόπος ἐπὶ τῶν ὑποθέσεων λαμβάνεται τετραχῶς· ἢ γάρ ἐστιν ἔνδοξος καὶ κατὰ τὸ πρᾶγμα καὶ κατὰ πρόσωπον, ἢ ἄδοξος κατ' ἀμφότερον, ἢ ἀμφίδοξος, ἀδόξου μὲν τοῦ πράγματος ὄντος, ἐνδόξου δὲ τοῦ προσώπου, ἢ τοὐναντίον, ἢ παράδοξος· ἄδοξος μὲν κατ' ἀμ-

29 Mon. ποιεῖτο δίκαιον. 30 Mon. ἐπιδεά. 31 Mon. δημοσθενικοῦ, omisso κομιδῇ.

φότερα· οἷον πορνοβοσκὸς τὰ τῶν Μουσῶν ὀνόματα ταῖς πόρναις ἐπιθεὶς κρίνεται ἀσεβείας· ἔνδοξος δὲ κατ' ἀμφότερον. οἷον Θεμιστοκλῆς μετὰ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν συμβουλεύει θύειν [32] τοῖς ἀνέμοις· καὶ γὰρ τὸ πρόσωπον ἔνδοξον Θεμιστοκλῆς· καὶ τὸ πρᾶγμα ἡ εὐσέβεια· ἀμφίδοξος δὲ τοῦ μὲν προσώπου ὄντος ἐνδόξου, τοῦ δὲ πράγματος ἀδόξου· οἷον [33] Περικλῆς ταῖς θεραπαίναις τὰ τῶν Μουσῶν ὀνόματα ἐπιθεὶς κρίνεται ἀσεβείας· ἀμφίδοξος δὲ, τοῦ προσώπου ὄντος ἀδόξου, τοῦ δὲ πράγματος ἐνδόξου· οἷον εἰ Σίφνιόν τινα ὑποθώμεθα, μετὰ τὰ [34] ἐν Σαλαμῖνι συμβουλεύοντα τοῖς Ἀθηναίοις [35] θύειν τοῖς ἀνέμοις· παραδόξου δὲ, ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους· παρανόμου γὰρ καθεστηκυίας τῆς γραφῆς εὑρίσκεται περὶ [36] τῆς Χερσοννήσου φυλακῆς διαλεγόμενος· ὅπερ παρὰ τὴν ὑπόνοιαν καὶ δόξαν τῶν τηνικαῦτα συνόντων αὐτῷ ἦν.

ρθ'. Ὁ Μινουκιανὸς τῷ περὶ τῶν στάσεων λόγῳ καὶ τὸν περὶ ἰδεῶν συνανέφυρεν, οὐ γενναῖόν τι καὶ [37] λόγου ἄξιον [38] διδάσκων ἡμᾶς· οὐδὲ περὶ τοῦ καθόλου τῶν προβλημάτων [39] εἴδους ἢ τῶν τρόπων, ὥσπερ ὁ τεχνικὸς ἐν τῷ περὶ ἰδεῶν λόγῳ ἐδίδαξεν, ἀλλὰ ψεκάδας τινὰς εἰδῶν καὶ τρόπων ἰσχνῶς καὶ μικρολόγως ὑποτιθεὶς, καὶ πέντε δή τινα εἴδη [40] προβλημάτων εἰσάγων, πανηγυρικὸν, δικανικὸν, ἠθικὸν, παθητικὸν καὶ μικτόν· τέσσαρας [41] δὲ τρόπους· ἔνδοξον, ἄδοξον, ἀμφίδοξον καὶ παράδοξον· εὑρεσιλογίας [42] τινὰς ἀνευρίσκων καὶ ἀσάφειαν

---

32 θύειν Mon. om. 33 Mon. τοῦ. 34 τὰ Mon. om. 35 τοῖς Ἀθηναίοις Par. om. 36 περὶ Mon. om. Par. 2. περὶ τῆς Χερροννήσου. 37 καὶ Mon. om. 38 Par. ἄξιον λόγου. 39 Mon. post προβλημάτων infert: εἰσάγων πανηγυρικὸν, δικανικὸν, ἠθικόν. 40 Par. 1. πέντε εἴδη τινα. 41 Mon. δ'. Par. διά. 42 Mon. ἀρεσιλογίας.

ἐντεῦθεν καὶ σύγχυσιν ἐργαζόμενος, ὅπερ ὁ τεχνικὸς εὐκρινείας καὶ τοῦ σαφοῦς ἐπιμελόμενος οὐ ποιεῖ.

σʹ. Εἶδος [43] μὲν ὁ τοιόςδε χαρακτὴρ, ὁ λαμπρὸς, ὁ ἀνθηρὸς, τρόπος δὲ ἡ ὑποκειμένη ὕλη τῷ προβλήματι, πρὸς ἣν γίγνεται ὁ χαρακτήρ. ὥσπερ δὲ πέντε εἴδη τοῦ προβλήματος ὑποτίθεται, οὕτω καὶ τέσσαρας τρόπους· καὶ τὸν μὲν λέγει ἔνδοξον, τὸν δὲ ἄδοξον, τὸν δὲ ἀμφίδοξον, τὸν δὲ παράδοξον· διαφέρει δὲ ἡ ἰδέα τοῦ εἴδους, τῷ τὸ μὲν εἶδος ἀπὸ γένους [44] διαιρεῖσθαι, οἷόν φημι ἀπὸ τῆς ῥητορικῆς τὸ δικανικὸν καὶ συμβουλευτικόν· τὴν δὲ ἰδέαν ποιότητα εἶναι τῆς φράσεως, οἷον τὴν σφοδρότητα ἢ τραχύτητα ἢ λαμπρότητα, καὶ τἄλλα ὁμοίως, περὶ ταῦτα γὰρ τὰ τῆς ἰδέας καθέστηκεν. ἐνίοτε δὲ εἰς ταὐτὸ ἄμφω συνέρχεται τό τε εἶδος καὶ ἡ ἰδέα, καὶ τὸ δικανικὸν εἶδος, εἰ τύχοι, δικανικῆς ἀπολαύει [45] τῆς ἰδέας· ἐνίοτε δὲ ἐναλλὰξ καὶ εἴδει δικανικῷ πανηγυρικὴ ἰδέα συμπλέκεται, καὶ πανηγυρικὴ συμβουλευτικῷ, καὶ συμβουλευτικὴ δικανικῷ.

αʹ. Τὰ εἴδη φησὶ καὶ οἱ τρόποι, ἤγουν αἱ ἰδέαι καὶ τὰ, δι' ὧν αὗται [46] γίγνονται, οἷον ἔννοια μέθοδος καὶ

---

43 Schol. min. εἴδους γὰρ ἕνεκα προβλημάτων, τὸ εἶδος ὄνομά ἐστιν ὁμώνυμον· λέγω γε εἶδος ῥητορικῆς, διὸ καὶ τέμνεται ἡ ῥητορικὴ εἰς τρία. λέγεται δὲ εἶδος προβλημάτων, περὶ οὗ νῦν φησιν, οἷον ποῖον εἶδος ποιεῖ καθαρὰν ἔννοιαν, καὶ τἄλλα τὰ μυρία εἴδη, ἃ ἐν τῇ περὶ ἰδεῶν βίβλῳ διεξέρχεται. Ἐνταῦθα οὐκ οἰκείως τὰ ζητήματα εἶπε προβλήματα, ἀλλὰ καταχρηστικῶς. Ἰδέαις τῶν λόγων χρώμενοι· τὸ πανηγυρικὸν λέγει καὶ ἐπιδεικτικόν· καλεῖται δὲ ἐπιδεικτικὸν, ὅτι τὸ ἦθος τοῦ ἐπαινουμένου τοῖς ἄλλοις ἐπιδεικνύμεθα· τὰ μὲν οὖν ἐπιδεικτικῶς ὑψηλῶς λέγομεν καὶ πομπικῶς· τὰ δὲ συμβουλευτικῶς, σεμνῶς καὶ μετὰ φρονήματος, τὰ δὲ δικανικῶς ταπεινῶς καὶ ἀκριβῶς. 44 Mon. ἀπόγε. 45 Mon. ἀπολάβοι. Par. 1. ἀπολαύοι. Par. 2. ἀπολαύει. 46 Mon. ταῦτα.

τὰ λοιπὰ διὰ τὰ προβλήματα καὶ τὰς στάσεις εἰσίν· ἵνα ταῖς οἰκείαις ἰδέαις ταῦτα μελετῶμεν. ὅταν μὲν ᾖ δικανικὸν τὸ πρόβλημα ταῖς προσφυέσι τῷ δικανικῷ, οἷον τῇ ἀφελείᾳ μᾶλλον καὶ ἐπιεικείᾳ καὶ τῷ ἠθικῷ [47] πλεονάζοντας· ὅταν δὲ συμβουλευτικὸν ταῖς προσφόροις τῷ συμβουλευτικῷ, οἷον τῷ μεγέθει πλέον καὶ τῷ ἀξιώματι τοῦ λόγου χρωμένους, ὅταν δὲ πανηγυρικὸν ταῖς ἐπιπρεπούσαις τῷ πανηγυρικῷ, οἷον τῷ κάλλει καὶ τοῖς τοῦ κάλλους καὶ τῷ ὡραίῳ καὶ ἁβρῷ λόγῳ ἐπὶ μᾶλλον προσέχοντας.

β΄. Τοῦ πολιτικοῦ λόγου τὰ μὲν μέρη καλοῦνται ὡς προοίμιον, διήγησις καὶ ἑξῆς. τὰ δὲ κεφάλαια, ὡς τὰ [48] στοχαστικὰ, ὁρικὰ, [49] ἀντιληπτικὰ, ἅπερ τοῖς μέρεσι τοῦ λόγου συνεπιπλέκονται· λεγόμενα δὲ ταῦτα καλεῖ διὰ τὴν πολυωνυμίαν· οἱ μὲν γὰρ συμπεράσματα αὐτὰ καλοῦσιν, οἱ δὲ ἐπιφορὰς, οἱ δὲ ζητήματα, οἱ δὲ περιεχόμενα. τὰ μερικώτερα τοίνυν ἀγνοοῦντας πρὸς τὴν τῶν ὁλικωτέρων τρέπεσθαι ζήτησιν, ἅπερ ἐστὶ τά τε εἴδη καὶ οἱ τρόποι, παντελῶς ἀνόητον.

γ΄. Εἰ διὰ τὰ προβλήματα, φησὶ, καὶ τὰς στάσεις αἱ ἰδέαι εἰσὶν, ἵνα ταύταις ἐκεῖνα μελετῶμεν, καὶ δι᾽ ἐκεῖνα αὗται ἐπενοήθησαν, κἀκεῖνα τούτων τὰ αἴτια, ἀμήχανον πρὸ τῆς τῶν προβλημάτων καὶ στάσεων διαγνώσεως καλῶς τὰς ἰδέας γινώσκειν. ὥσπερ ἀδύνατον πρὸ τῆς ὑποκειμένης ὕλης τὴν μορφὴν θεωρεῖν καὶ περιεργάζεσθαι, ἢ πρὸ θεμελίων τὴν ὀροφὴν ἢ πρὸ τῆς ὑλωδεστέρας καὶ παχυτέρας οὐσίας τὴν λεπτοτέραν τε καὶ δυσθεωρητοτέραν ὑπάρχουσαν.

47 Sch. min. σημειωτέον, ὅτι ἠθικὸν καὶ τὸ ἐσχηματισμένον δηλοῖ, ὅταν ἄλλο μὲν λέγῃ ὁ ῥήτωρ, ἄλλο δὲ κατασκευάζῃ τὸ προκείμενον· οἷον προσαγγέλλει Δημοσθένης ἑαυτόν· ἐνταῦθα γὰρ οὐ τῇ ἀληθείᾳ βούλεται ἀποθανεῖν, ἀλλ᾽ ἄλλο ἔχει τὸ κατασκευαζόμενον τὸ ἐπιτιμῆσαι ἢ μὴ ἀποθανεῖν. 48 τα Par. om. 49 ὁρικὰ Mon. om.

δ΄. Εὐηθείας φησὶ καὶ ἀνοίας μεστὸν, τὸ πρὸ τῶν αἰτίων τὰ αἰτιατὰ πειρᾶσθαι [50] διδάσκειν καὶ προτιθέναι εἰς μάθησιν.

έ. Τρίτην ἀποδίδωσιν αἰτίαν τοῦ μὴ περὶ τῶν ἰδεῶν διαλαβεῖν νῦν, μίαν μὲν, ὅτι ἀναγκαῖον τὴν εἰς τὰ κεφάλαια διαίρεσιν γνῶναι, καὶ τὴν στάσιν ἥτις καθέστηκε, καὶ τὰ πρόσωπα καὶ τὰ πράγματα, πρὸς ἃ ἀνάγκη τοὺς λόγους ἐπενεγκεῖν· δευτέραν δὲ, ὅτι οὐ τοῦ παρόντος καιροῦ περὶ τούτων εἰπεῖν· ἢ γὰρ μικρὰ περὶ αὐτῶν εἰπόντες ἀτελῆ τὸν λόγον ἐάσομεν, ἢ σαφῶς περὶ αὐτῶν εἰπεῖν βουλόμενοι περιττόν τι καὶ ἀπειρόκαλον ὑποίσομεν, πέρα τοῦ δέοντος τὸν λόγον ἐκτείνοντες· τρίτον δὲ, ὅτι τὸ [51] περὶ ἰδεῶν ἐντελέστερόν ἐστι τοῦ περὶ διαιρέσεως· ἄτοπον δὲ τὸ ἐντελέστερον ἐν τῷ ἀτελεστέρῳ λέγειν· διὸ τάξιν τῷ λόγῳ τῷ περὶ τῶν ἰδεῶν ὁ τεχνικὸς ἐφύλαξεν. ἔστι γὰρ ἡ πρώτη τῶν αὐτοῦ συγγραμμάτων τάξις ἡ τῶν προγυμνασμάτων. δευτέρα ἡ παροῦσα τῶν στάσεων· τρίτη ἡ περὶ τῶν ἰδεῶν.

ς΄. Οὐ μόνον ἀνόητόν φησι τὸ περὶ τῶν ἰδεῶν διδάσκειν πρὸ τῆς διδασκαλίας τῶν στάσεων, ἀλλὰ καὶ ὁ τοῦ παρέργου λόγος ὑπερβαλεῖ πάντως. καὶ μεῖζον ἔσται τοῦ ἔργου τὸ πάρεργον, πάρεργον δὲ αὐτὸ διὰ τὴν ἀκαιρίαν, οὐ διὰ τὴν τοῦ πράγματος ὀνομάζων εὐτέλειαν.

ζ. Τὸ εἰπεῖν τίς ἑκάστῃ αὐτῶν [52] χρεία, καὶ πότε χρηστέον καὶ πῶς, οὐ τῆς τυχούσης πραγματείας· ποίᾳ χρηστέον ἰδέᾳ· ποίοις μετασχηματισμοῖς, οἷον τῇ σφοδρότητι καὶ τραχύτητι καὶ ἑξῆς· ποῖον εἶδος λόγου ποιεῖ καθαρὰν ἔννοιαν, ἀνάπαυσιν καὶ ἑξῆς, ἃ τῇ περὶ ἰδεῶν βίβλῳ διεξέρχεται.

ή. Ὃ καὶ ἐν προθύροις εἴρηκε τῆς διδασκαλίας, ὅτι περὶ τῆς τῶν πολιτικῶν ζητημάτων διαιρέσεως εἰς τὰ λε-

50 Par. διδάσκειν πειρᾶσθαι. 51 τὸ Mon. om. 52 Mon. ἑκάστη αὐτῷ, scr. ἑκάστῃ αὐτῶν.

γόμενα κεφάλαια ὁ λόγος αὐτῷ, τοῦτο καὶ νῦν φησιν, ὅτι περὶ ἐκείνης τῆς διαιρέσεως λεκτέον τῆς ἀφ᾽ ἑκάστης στάσεως εἰς τὰ οἰκεῖα τούτων κεφάλαια.

θʹ. Πάλιν τῶν προτέρων μέμνηται ἐπικυρῶν τὰ οἰκεῖα· ὅτι ἐκεῖνος ὀρθῶς καὶ ὡς ἄριστα διελεῖν δυνήσεται ὁ τὴν ἡμῖν εἰρημένην διαφορὰν τῶν προσώπων καὶ τῶν πραγμάτων ἐπεγνωκώς, καὶ προσέτι τὴν λεγομένην στάσιν, περὶ ἧς μέλλει λέγειν ἐπιγνοὺς, τοῦ ζητήματος· ἐπεὶ γὰρ ἑκάστη στάσις ἰδίοις κεφαλαίοις διῄρηται, δεῖ καὶ στάσιν ἑκάστην, ὁποία τίς ἐστιν, ἐπιγνῶναι, δι᾽ ἧς μέλλομεν ὑποθέσθαι μεθόδου· ὥσπερ καὶ περὶ τῆς τῶν προσώπων καὶ πραγμάτων διαφορᾶς ὑπεθέμεθα, καὶ μετὰ τὸ καὶ τὴν τῶν στάσεων προσλαβέσθαι διάγνωσιν, οὕτως ἐπὶ τὴν τῶν κεφαλαίων χωρῆσαι διαίρεσιν.

ιʹ. Τοῦτό φησιν ἐνταῦθα, ὅτι ὁ εἰδὼς τὴν τῶν προσώπων ποιότητα καὶ τῶν πραγμάτων ὀρθῶς διαιρήσει· ἐπὶ μὲν τῶν προσώπων πόσην ὕλην ἔχει τὰ κύρια, καὶ τὰ λοιπά. καὶ τί ἀλλήλων διενηνόχασιν. ἐπὶ δὲ τῶν πραγμάτων σκοπεῖν δεῖ τὸ κρινόμενον, εἰ αὐτοῦ τοῦ φεύγοντος ὡς ποιήσαντος ἐγκαλουμένου, ἢ ἑτέρου πράξαντος καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. Προστίθησι δὲ καὶ τὰ [53] τῆς στάσεως. δεῖ γὰρ εἰδέναι πρότερον καὶ τὴν στάσιν τοῦ ζητήματος. τοῦτο γὰρ συμβάλλεται πρὸς τὸ ἐπιγνῶναι τὴν διαίρεσιν. οὐ γὰρ τῆς αὐτῆς στάσεώς εἰσι πάντα τὰ ζητήματα. τοῦτο δὲ λέγει, ἐπειδὴ ἀκολουθεῖν τῇ ποιότητι τῶν προσώπων καὶ τῶν πραγμάτων δεῖ καὶ [54] τὸν στοχασμόν· πρὸς τὰ κεφάλαια δὲ εἰπὼν αἰνίττεται, ὅτι καὶ μία τοῦ στοχασμοῦ τυγχάνει διαίρεσις. πρόσωπα γὰρ καὶ πράγματα λαμβάνει τὴν διαίρεσιν.

ιαʹ. Μετὰ τὸν τῶν ἄλλων ἁπάντων λόγον ἀνακεφαλαιοῦται πάλιν τὴν πραγματείαν καὶ τὸν σκοπὸν τοῦ βιβλίου.

---

53 Par. 2. τό. 54 Par. 1. καὶ om.

τὰ μὲν κατὰ ἀνακεφαλαίωσιν λαβὼν, τὰ δὲ κατὰ ἀπαγγελίαν. δῆλον δὲ, ὅτι ἀνακεφαλαιούμεθα τὰ εἰρημένα, ἀπαγγέλλομεν δὲ περὶ τῶν μελλόντων εἰρήσεσθαι· τὸ μὲν γὰρ προσώπων καὶ πραγμάτων κατὰ ἀνακεφαλαίωσιν εἴρηται, τὸ δὲ ἔτι τὴν λεγομένην στάσιν κατὰ ἀπαγγελίαν.[55]

ιβ'. Πανταχοῦ δείκνυσιν ἑαυτὸν μὴ τῶν ὀνομάτων ἀντιποιούμενον, ὥσπερ καὶ ἀνωτέρω εἶπεν, εἰς τὰ λεγόμενα κεφάλαια, καὶ ἁρμόσουσιν[56] οἱ ἐπ' ἐκείνου λόγοι καὶ ἐνταῦθα.

ιγ'. Παραλείπει τὴν ἐτυμολογίαν τῆς στάσεως γραμματικῆς ἐρεσχελίας τὸ τοιοῦτον οἰόμενος·[57] ἀποτείνεται δὲ πρὸς Μινουκιανὸν ἐτυμολογήσαντα· τὴν δὲ στάσιν[58] οἱ μὲν παρὰ τὸ στασιάζειν λελέχθαι φασὶν, οἱ δὲ παρὰ τὸ ἵστασθαι· ἑκάτερον ἐπὶ τῆς οἰκείας προτάσεως. τὸ μὲν οὖν παραλελοιπέναι τὴν ἐτυμολογίαν τὸν τεχνικὸν οὐκ ἄν τις δι' ἐγκλήματος αὐτῷ ποιοῖτο δίκαιον. τὸ δὲ καὶ τὸν ὅρον παραλελοιπέναι τῆς στάσεως, οὐ μέμψεως ἐλεύθερον καθεστάναι δοκεῖ· οὐ γὰρ ἔνεστι λέγειν, ὡς ἀλλότριον ῥήτορος ἦν· φαμὲν δὲ, ὡς οὐ βούλεταί τι τῆς[59]

55 Par. 1. ἐπαγγελίαν. 56 Mon. ἁρμόσσουσιν. 57 Mon. οἰόμενον. 58 Sch. min. στάσις ἐστὶ τὸ ἐκ τῶν πρώτων προτάσεων συνιστὰν τὸ ζήτημα, καθὸ ἵσταται ἡ ὑπόθεσις· οἷον αἱ μὲν προτάσεις, ἀπέκτεινεν, οὐκ ἀπέκτεινεν· ἐκ τούτων δὲ ἐνέστηκε ζήτημα, εἰ ἀπέκτεινε, τοῦτό ἐστιν ἡ στάσις· καὶ ὁμοίως ἐπὶ τῶν ἄλλων στάσεις αἱ ἴδιαι προτάσεις ἑκάστων· ἡ στάσις ἐστὶ ζήτημα πολιτικὸν, ἐφ' ἣν αἱ κατὰ μέρος πίστεις ἀνάγονται τῶν ἐν τῷ ζητήματι κινουμένων· πρὸς Μινουκιανὸν δὲ ἀποτείνεται, αὐτὸς γὰρ ὁ εἰπὼν, ὅτι εἴρηται στάσις ἢ ἀπὸ τοῦ [Par. 2. h. l., et in sqq. παρὰ τὸ] στασιάζειν ἐν αὐτῇ τοὺς ἀγωνιζομένους, ἢ ἀπὸ τοῦ ἵστασθαι εἰς τὸ βῆμα, ἢ ἀπὸ τοῦ ἐνίστασθαι τοῖς δικαίοις ἑαυτῶν ἕκαστον, ἢ ἀπὸ τοῦ τοὺς δικαστὰς ἐν αὐταῖς ἀμφιβάλλειν. 59 Par. 1. βούλεταί τις προκ.

προκειμένης ἔξωθεν πραγματείας τεχνολογεῖν· πρόκειται δὲ αὐτῷ περὶ τῆς διαιρέσεως τῶν ζητημάτων εἰπεῖν· συνεβάλλετο δὲ αὐτῷ οὐδὲν ὁ τῆς στάσεως ὅρος πρὸς τὴν διαίρεσιν· ἀλλ' οὐχ ἡ μέθοδος, ἣν οὐχὶ παρέδραμεν, ὡς εἴγε οὐδὲ αὕτη ἐδόκει συμβάλλεσθαι, οὐχ ἥκιστα ἂν καὶ ταύτην παρεπέμψατο· διὰ τί οὖν, φαίη ἄν τις, τὸ ζήτημα ὡρίσατο; οὐ γὰρ δήπου συνεβάλλετο πρὸς τὴν διαίρεσιν ὁ τοῦ ζητήματος ὅρος, πρὸς ὃ ῥητέον, ὡς δι' ἕτερον ἐκεῖσε λόγον τὸν ὁρισμὸν ἀπέδωκεν·[60] ἐπεὶ γὰρ ἀντίκειται τῷ ἀσυστάτῳ τὸ ζήτημα· τῶν γὰρ προβλημάτων τὰ μὲν ζητήματα, τὰ δὲ ἀσύστατα. λέγειν δὲ περὶ ἀσυστάτων ἐβούλετο, ἐξ ἀνάγκης ὡρίσατο τὸ ζήτημα, ἀποχωρίζων αὐτὸ τῆς περὶ ἐκείνων διδασκαλίας.

ιδ'. Ἐπειδὴ ἐμνήσθη στάσεως, οὐκ ἀξιοῖ περὶ[61] τὴν ἐτυμολογίαν διατρῖψαι τὸν λόγον καὶ ζητεῖν, πόθεν εἴρηται τὸ τῆς στάσεως ὄνομα. τινὲς γὰρ ἤδη καὶ περὶ τούτου ἠμφισβήτησαν· φησὶν οὖν, ὅτι λεπτολογία ἂν εἴη γραμματικῶν τὸ περὶ τούτων ποιεῖν, ῥήτορος δὲ οὐδαμῶς.[62]

ιε'. Ἰστέον, ὅτι πανταχοῦ τὴν στάσιν ἐπὶ τοῦ ζητήματος τάττων φαίνεται· οὐκέτι δὲ καὶ τὸ ζήτημα ἐπὶ τῆς

---

60 Par. 2. ἀποδέδωκεν. 61 Mon. Par. 1. παρά. Par. 2. περί. 62 Sequitur in Par. schol. ad: στάσιν ἐπιγνοὺς τοῦ ζητήματος. Πολυώνυμον τὸ ζήτημα· καλοῦσι γὰρ αὐτὸ οἱ μὲν ζήτημα διὰ τὴν ἐν αὐτῷ τοῦ δικαίου ζήτησιν, οἱ δὲ πρόβλημα ἀπὸ τοῦ προβάλλεσθαι πρὸς διάγνωσιν τῆς ἐν αὐτῷ στάσεως, οἱ δὲ ὅρον ἀπὸ τοῦ περιγράφειν καὶ περιορίζειν τινά, οἱ δὲ ὑπόθεσιν ἀπὸ τοῦ ὑποτίθεσθαι πρᾶγμά τι γεγονὸς ἐκ προσώπου· οἱ δὲ μελέτην, διότι οὐκ ἄνευ τινὸς συνεχοῦς ἀσκήσεως ἡ περὶ ῥητορικοῦ λόγου ἐπιστήμη προσγίνεται ἀνθρώπῳ, ὡς καὶ τῶν ἄλλων ἕκαστον, οἱ δὲ πλάσμα καὶ γύμνασμα ἀπὸ τοῦ καὶ πράγματος ἀληθοῦς μὴ ὑποκειμένου γυμνασίας ἕνεκα μόνης πλάττειν τινὰς ὑποθέσεις.

στάσεως· ἡ γὰρ στάσις τὸ ζήτημα ποιεῖ· οὐ μὴν τὸ ζήτημα τὴν στάσιν· στάσεις γάρ εἰσιν αἱ ἀνωτάτω προτάσεις· ἐφόνευσας καὶ οὐκ ἐφόνευσα, αὗται δὲ συνιοῦσαι ποιοῦσι ζήτημα· τὸ εἰ ἐφόνευσεν· ἐὰν οὖν ἀναλῦσαι τοῦτο πάλιν [63] βουλώμεθα, [64] ἀναλύομεν αὐτὸ εἰς τὴν στάσιν, τουτέστιν εἰς τὸ ἐφόνευσας, οὐκ ἐφόνευσα· τοῦτο δὲ ἔφην ἐπιδεικνὺς λεγομένην τὴν στάσιν καὶ ἐπὶ τοῦ ζητήματος· λανθάνει γὰρ τοὺς [65] πολλοὺς τὸ τοιοῦτο· ὥστε οὐ δυνατὸν πυνθανομένου τινὸς τὸ ζήτημα τόδε, ποίας εἴη στάσεως, ἀναστρέφειν τὴν ἐρώτησιν· ἡ γὰρ στάσις, φαίημεν ἄν, οὐκ ἔστι ζήτησις· εἰ δὲ λέγει τις τὴν μὲν στάσιν καθολικόν τι εἶναι, τὸ δὲ ὑποκείμενον ζήτημα μερικόν, ἡ πρὸς τοῦτο ἀπάντησις ῥαδία· ὥσπερ γάρ ἐστί τις καθολικὴ στάσις καὶ μερικὴ, οὕτω καὶ μερικὸν ζήτημα καὶ καθολικόν· ὥστε λέγοντες, ποίας στάσεως εἴη τόδε τὸ ζήτημα, οὐδὲν ἕτερόν φαμεν ἢ ποίου ζητήματός ἐστι τοῦτο τὸ ζήτημα· ταῦτα ἄν τις παραλογίσαιτο [66] τοὺς ἀμαθεστέρους, ἐπεί τοι δῆλον, ὅτι λέγεται μὲν ἡ στάσις ἐπὶ τοῦ ζητήματος κατὰ τὸ περιεκτικώτερον, ἐξ αὐτῆς γὰρ γίνεται· οὐ πάντως δὲ ἡ στάσις ἡ αὐτή ἐστι τῷ ζητήματι· ἡ μὲν γὰρ ποιεῖ, τὸ δὲ γίνεται· τοῦ μὲν οὖν γινομένου, τουτέστι τοῦ ζητήματος, κατ᾽ ἀρχὴν τὸν ὅρον ἀποδέδωκε· περὶ δὲ τοῦ ποιοῦντος, τουτέστι τῆς στάσεως ἐνταῦθα ἐμνήσθη· ὅρον δὲ αὐτῆς οὐκ ἀποδέδωκεν, καθ᾽ ὃν προείπομεν λόγον, δεῖ μέντοι τοὺς εἰρημένους παρ᾽ ἄλλοις ὅρους τῆς στάσεως ἡμᾶς ἐκθέσθαι· τινὲς μὲν οὖν τοιῶσδε αὐτὴν [67] ὡρίσαντο· στάσις ἐστὶ τὸ ἐκ τῶν πρώτων προτάσεων συνιστάμενον ζήτημα· ἀλλ᾽ οὗτοι μέγιστον διήμαρτον· εἰ γὰρ πᾶς ὅρος συνίσταται ἐκ γένους καὶ διαφορᾶς, εὑρεθήσεται κατὰ τὸν τούτων

63 Par. πάλιν τοῦτο. 64 Mon. βουλόμεθα. 65 Mon. τὸν καὶ πολλούς. 66 Mon. παραλογήσατο. 67 Mon. τοιούςδε αὐτῶν.

λόγον γένος τῆς στάσεως τὸ ζήτημα, ὅπερ [68] ἄτοπον· τὸ γὰρ ζήτημα ἐκ τῆς στάσεως, ὥσπερ ἔφαμεν, γίνεται· ἕτεροι δὲ ὁρίζονται οὕτως· φάσις ἡ ἀνωτάτη, πρὸς ἣν αἱ κατὰ μέρος ἀποδείξεις ἀναφέρονται· ἀλλὰ καὶ οὗτοι πταίουσι· διδόασι γὰρ ἐκ μιᾶς προτάσεως εἶναι τὴν στάσιν· τοῦτο δὲ τῶν ἀτοπωτάτων· διὰ τοῦτο γὰρ ἀεὶ ἐκ τοῦ φεύγοντος τὴν στάσιν παραλαμβάνομεν, ὡς οὐκ ἐνὸν ἐκ μιᾶς προτάσεως, φημὶ τῆς τοῦ κατηγόρου, τοῦτο ποιεῖν· τοῦ γὰρ φεύγοντος προὔπεστιν ὁ κατήγορος· ἄμεινον οὖν κατὰ τὸν Ἑρμαγόραν οὕτως ὁρίσασθαι· στάσις ἐστὶν, καθ' ἣν ἀντιλαμβανόμεθα τοῦ ὑποκειμένου πράγματος· διὰ γὰρ τοῦ ἀντιλαμβανόμεθα τὰ δύο παρέστησε πρόσωπα· τουτέστι πρὸς ἑαυτοὺς ἀνθέλκομεν· εἰ δέ τις ἀποροίη, διὰ τί εἶπεν ἑνικῶς, ἡ αἰτία δήλη· οἱ γὰρ ὅροι πρὸς ἑνικόν τι ἐκφέρεσθαι βούλονται· κἂν πλῆθος ᾖ τὸ ὁριζόμενον, οἷον τί εἰσιν ἄνθρωποι; ζῶον λογικόν· καὶ ἡ αἰτία τούτου καταφανής· εἰ γὰρ πᾶς ὅρος συνίσταται ἐκ γένους καὶ διαφορᾶς, δῆλον ὅτι καὶ πρὸς ἑνικὸν ἐξενεχθήσεται· ἓν γὰρ δήπου ἐπὶ παντὸς ὁριζομένου τὸ γένος· τί δέ ἐστιν, ὅπερ ὁ τεχνογράφος ἔφησεν, ὄνομα δὲ ἀφεὶς τοῦτο κοινὸν ἢ καὶ συμβεβηκὸς τῶν ζητημάτων ἁπάντων· τινὲς μὲν ἐξηγοῦνται, ὡς ἄρα κοινὸν μὲν λέγει, ὃ αὐτοῦ τοῦ πράγματος καὶ τῆς οὐσίας καθάπτεται· ὥσπερ ἔχει τὸ ζῶον· συμβεβηκὸς δὲ ὥσπερ τὸ λευκόν· ἄμεινον δὲ ἑτέρως ἐξηγεῖσθαι, ὅτι κοινὸν μὲν τὸ [69] ἔτι μηδέπως ἐπικείμενον, ἀλλ' ἐν μόνῃ ὂν προφορᾷ· ὃ γίνεται ἰδιωτικὸν, ὅταν ἐπί τινα ἐνεχθῇ, ὡς τὸ Δημοσθένης ὄνομα, ὅταν μηδενὸς ἀντιλαμβανώμεθα, συμβεβηκὸς δὲ τὸ ἔκ τινος συμβάντος ἐπιτεθὲν, μήπω πρότερον εὑρεθὲν ἐν τῇ κοινῇ προφορᾷ· ὡς ἔχει τὸ Νεῖλος ὄνομα, ἐκ τοῦ νέαν ἰλὺν ἕλκειν τὸν ποταμόν· οὐ γὰρ

68 Mon. ὅπως. 69 Mon. τὸ om., recepi ex Par. 2.

ἐπ' ἄλλου ποταμοῦ δύναται λέγεσθαι, ὥσπερ τὸ Δημοσθένης ἐπὶ παντὸς ἀνθρώπου.

ις'. Παραλιπεῖν εἰπὼν τὸ περὶ τῆς ἐτυμολογίας τι τῆς στάσεως ἐξειπεῖν ὅμως, ἵνα μὴ δόξῃ διαπορεῖν, ἐν παραλείψεως [70] σχήματι, καὶ περὶ τούτου διδάσκει· ἢ κοινὸν εἶναι τοῦτο λέγων ὄνομα καὶ φυσικὸν τῶν στάσεων ἁπασῶν, ὡς ἡμῶν τὸ ἄνθρωπος, ἢ συμβεβηκὸς, ὡς ἔκ τινος αἰτίας ἐπισυμβὰν, καθάπερ τὸ Αἰθίοψ ὄνομα ἐκ τῆς ἡλιακῆς καύσεως ἐπιτεθὲν τοῖς Αἰθίοψιν· εἶτα τὴν μέθοδον ἡμῖν εἰπεῖν ἐπαγγέλλεται, δι' ἧς ἑκάστην τῶν στάσεων ἐπιγνωσόμεθα· καὶ οὕτως ἐπὶ τὴν τῶν κεφαλαίων ἥξειν διαίρεσιν, [71] ἀρξάμενον ἀπὸ τοῦ στοχασμοῦ, ἀναγκαίως καὶ φυσικῶς ὡς καὶ αὐτὸ δηλώσειν τὸ πρᾶγμα φησὶ, καθάπερ [72] δήπου διαφανῶς δεδήλωται· ὡς γὰρ φύσει τὸ μὴ ὂν ἐν τοῖς γεννητοῖς [73] προηγεῖται τοῦ ὄντος, οὕτω καὶ ὁ στοχασμὸς τῶν ἄλλων πρόκειται στάσεων, περὶ τῆς τοῦ πράγματος οὐσίας ἔχων τὴν ζήτησιν τῶν λοιπῶν, τοῦ μὲν ὅρου περὶ τελειότητος, τῶν δὲ ἄλλων περὶ ποιότητος καταγινομένων· ἐφεξῆς δὲ μετὰ τὸν στοχασμὸν καὶ περὶ τῶν ἄλλων λελέξεται, ὡς ἡ φύσις ἑκάστης στάσεως καὶ ἡ ποιότης τὴν τάξιν αὐτῶν παραδίδωσιν.

ιζ'. Εἰπὼν, ὅτι τὴν περὶ τοῦ ὀνόματος ζήτησιν ἑτέροις παρίημι, φησὶν, ὅτι ἐγὼ ἁπλῶς συγχωρῶ οὕτω λέγεσθαι τὸ ὄνομα τοῦτο, ἐπὶ πάντων τῶν ζητημάτων, εἴτε ὄνομα κοινὸν εἴη αὐτῶν, εἴτε συμβεβηκὸς, οὐ πολυπραγμονῶν ὅθεν εἴρηται· καὶ κοινὸν μέν φησιν τὸ ἁπλῶς τεθειμένον ἐπὶ πάντων· κοινὸν γὰρ καλεῖται ὃ καὶ ἄλλῳ ἐπιτεθήσεται ὄνομα, καὶ ᾧ κληθείη ἂν καὶ ἕτερος· οὐ

70 Mon. παραλήψεως. 71 Sch. min. διαίρεσίς ἐστι τὸ μὴ παρὰ τοῦ ἔχοντος εἰς τὰ περιεχόμενα ζήτημα, καὶ εἰς διαίρεσιν στοχασμοῦ. 72 Par. 2. καθὰ δήπου διαφανῶς καὶ δεδήλ. 73 Par. 1. Mon. γενικοῖς. Par. 2. γεννητοῖς, scr. γεννητοῖς.

δι' αἰτίαν τινά, ἀλλ' ἁπλῶς τῆς προσηγορίας τεθείσης, οἷον Περικλῆς, Δημοσθένης· συμβεβηκὸς δὲ τὸ διά τινα αἰτίαν τεθέν· ὥσπερ καὶ τὸ Νεῖλος διὰ τὸ νέαν ἰλὺν φέρειν, καὶ ἵππος παρὰ [74] τὸ ἵεσθαι τοῖς ποσίν.

ιή. Ἅπαντα προειπὼν ὁ τεχνικὸς ὅσα ἔδει πρὸς διδασκαλίαν ῥηθῆναι περὶ τῆς ὕλης τῶν ζητημάτων, καὶ διδάξας, ὅσα συνέστηκε, καὶ ὅσα μηδὲ ἀκολούθως ἐπὶ τὴν τῶν κεφαλαίων διαίρεσιν ἦλθε· καί φησι πρῶτον ἄρχεσθαι ἀπὸ τοῦ στοχασμοῦ, ὕστερον δὲ τὴν αἰτίαν προτίθησι, διὰ τί ἀναγκαίως; ὅτι, φησί, καὶ ἐν ταῖς ἄλλαις τῶν στάσεων ταῖς πλείοσιν ἐμπίπτει ὁ στοχασμός· καὶ διὰ τοῦτο αὐτὸν προέταξεν, ἵνα μαθόντες μὴ ξενισθῶμεν ἐν ταῖς ἄλλαις στάσεσιν αὐτὸν εὑρόντες· ταύτην μὲν αὐτὸς εἶπεν αἰτίαν· ἀληθεστέρα δέ ἐστιν ἑτέρα· ἐπειδὴ ἐν τῷ στοχασμῷ περὶ τῆς οὐσίας τοῦ πράγματός ἐστιν ἡ ζήτησις· τῇ δὲ φύσει πρῶτον ζητοῦμεν τὴν αἰτίαν· ἐντεῦθεν προτέτακται τῶν ἄλλων στάσεων ὁ στοχασμός.

ιθ'. Ἐζήτηται, ἀνθ' ὅτου ἔλαβεν ἐκ στοχασμοῦ τὴν ἀρχήν· καί τινες αἰτίαν ταύτην ἀπέδοσαν· ὅτι κατὰ ἄρνησιν τοῦ πράγματος γίνεται· φύσει δὲ οἱ ἄνθρωποι ἐπὶ τὸ ἀρνεῖσθαι τὰ ἐπιφερόμενα ἐγκλήματα καταφεύγομεν. καὶ μεῖζόν ἐστι τὸ μηδὲ προσίεσθαι τὸ πρᾶγμα, ἢ αὐτὸ μὲν προσίεσθαι, λέγειν δὲ ὡς δικαίως εἴη πεπραγμένον ἢ συμφερόντως· ἄμεινον δὲ λέγειν ὅτι τῶν ζητημάτων ἢ κατ' οὐσίαν ὄντων, ἢ κατὰ ἰδιότητα, ἢ κατὰ ποιότητα, τὸ κατ' οὐσίαν δεῖ προϋπάρχειν τῶν ἄλλων· ὅπερ ἐστὶ στοχασμός, ὥσπερ καὶ πάντων ἡ οὐσία φαίνεται προτέρα.

ή. Μέθοδός ἐστιν οἱονεὶ τάξις καὶ ὁδηγία ὁδῷ τινι καὶ ἀκολούθως προάγουσα ἡμᾶς ἐπὶ τὴν τοῦ ζητήματος διάγνωσιν, ἣν ἡμῖν νῦν ὁ τεχνικὸς ὑποτίθησιν εἰς διάγνωσιν τῆς τῶν στάσεων οὐσίας καὶ φύσεως.

74 Mon. περί.

Cap. IV.

Διαίρεσις[1] τῆς μεθόδου τῶν στάσεων.

ά. Τοῦ διδασκαλικοῦ τρόπου τετραχῶς θεωρουμένου, διαιρετικοῦ τε ὄντος καὶ ὁριστικοῦ, ἀναλυτικοῦ τε αὖ καὶ ἀποδεικτικοῦ, τῷ διαιρετικῷ τε καὶ ὁριστικῷ ὁ Ἑρμογένης πανταχοῦ τῆς μεθόδου ταύτης χρώμενος ἀναφαίνεται· καὶ σκοπητέον καθεξῆς τὸ λεγόμενον παντὸς οὑτινοσοῦν προτεθέντος ζητήματος, εἰ συνεστήκοι, ὡς πρὸς εἰδότας φησὶ τὸ εἰ συνεστήκοι· ὡς ἤδη περὶ ἀσυστάτων σαὶ συνεστώτων διδάξας· εἰ οὖν συνεστήκοι, φησὶν, ἐπισκοπεῖν τὸ κρινόμενον, εἰ ἀφανές ἐστιν ἢ φανερόν· ὁ διαιρετικὸς οὗτος τρόπος ἐστὶν, ὃν καὶ πυρὶ παμφανόωντι ἐοικέναι ἀπεφήνατο διὰ τὸ πάντα ὑπ᾽ αὐτὸν ποιεῖσθαι καὶ διαφωτίζειν· καὶ μηδὲν τὴν διαιρετικὴν διαφεύγειν μέθοδον.

β΄ Ἀκολουθῶν τῇ φύσει τῶν πραγμάτων ὁ τεχνογράφος ἀπὸ τοῦ στοχασμοῦ ἄρχεται ποιεῖσθαι τὴν διδασκαλίαν, ἀπ᾽ αὐτῆς ὡς εἰπεῖν τῆς ῥίζης τῶν πραγμάτων· ἡ γὰρ ὕπαρξις καὶ οὐσία τοῦ πράγματος προϋπάρχει· μὴ γὰρ οὔσης οὐσίας[2] οὔτε ἰδιότης οὔτε ποιότης εἶναι δυνήσεται· ἐπειδὴ τοίνυν περὶ στοχασμοῦ πρόκειται νῦν εἰ-

---

1 Mon. διέρευσις. 2 Mon. οὖσία. Sch. min. **τὸ κρινόμενον**· τὸ κρινόμενον τὸ ἔγκλημα νῦν λέγει· λέγει δὲ κρινόμενον καὶ τὸ φεῦγον πρόσωπον, ὥσπερ εἰ κρίνεταί τις φόνου ἢ ὕβρεως· λέγεται κρινόμενον καὶ ἡ κρίσις τᾶν δικαστῶν, ὡς τὸ αἴτιον, τὸ συνέχον τὸ κρινόμενον· αἴτιος μὲν ὁ κατήγορος, αὐτὸς γὰρ αἴτιός ἐστι τῆς δίκης, συνέχον ὁ φεύγων, εἰ μὴ γὰρ ὁ ἀπολογούμενος εἴη, οὐκ ἂν συνέχοι τὸ δικαστήριον, κρινόμενον δὲ ἡ διάγνωσις τῶν δικαστῶν, ἰστέον δὲ, ὅτι κρινόμενὸν εἰπὼν πάντως καὶ τὸ αἴτιον καὶ τὸ συνέχον περιελάμβανεν.

εἰπεῖν, πῶς γίνεται στοχασμὸς, καὶ τί ἴδιον, καὶ κατὰ πόσους τρόπους· ἰστέον τοίνυν, ὅτι ἐν παντὶ στοχασμῷ ἀμφίβολόν ἐστι τὸ περιεχόμενον ἔγκλημα τῷ τὸν φεύγοντα τοῦτο ἀρνεῖσθαι, ἀλλὰ δόξειεν ἂν κοινὸν εἶναι τοῦτο καὶ πρὸς τὰς ἄλλας στάσεις· ἐν πάσαις γὰρ ὁ φεύγων ἀρνεῖται τὸ ἐπιφερόμενον· λέγομεν δὲ, ὅτι οὐχ ὁμοίως ἡ ἄρνησις γίνεται· τριῶν γὰρ οὐσῶν τῶν ποιουσῶν τὰς στάσεις, ὑπάρξεως, ἰδιότητος, ποιότητος, ἐν μὲν τῷ στοχασμῷ περὶ αὐτὴν τὴν ὕπαρξιν ἡ ἄρνησις γίνεται[3] καὶ ὁ φεύγων παντελῶς ἀρνεῖται πεποιηκέναι· ἐν δὲ τῷ ὅρῳ τὸ μὲν τοῦ πράγματος ὁμολογεῖ πεποιηκέναι, τὸ δὲ οὐχ ὁμολογεῖ· καὶ γίνεται περὶ τῆς ἰδιότητος ἡ ζήτησις· ἐν δὲ ταῖς ἄλλαις ὁμολογεῖ μὲν πεποιηκέναι, τὰ δὲ τῆς ποιότητος ἔξαρνος γίνεται· ὥστε ἡ τοῦ στοχασμοῦ ζήτησις περὶ τὴν ὕπαρξιν γίνεται· καὶ ἐπειδὴ ἐν τούτῳ παντελῶς ἀρνεῖται ὁ φεύγων πεποιηκέναι, ἐφεῦρεν ἡ τέχνη ἐν ταῖς τοιαύταις ζητήσεσι σημεῖά τινα φανερά· ἐξ ὧν δύναται γενέσθαι φανερὸν τὸ ἔγκλημα· εἰ γὰρ μὴ ἔχομεν φανερὰ σημεῖα, δι᾽ ὧν δείκνυται τὸ ἔγκλημα, μάτην ἡμῖν ἡ ζήτησις γίνεται· δεῖ γὰρ, ὥς φησιν Ἰσοκράτης, τὰ ἀφανῆ ἐκ τῶν φανερῶν ταχίστην ἔχειν τὴν διάγνωσιν· φανερὰ δὲ λέγομεν τὰ σημεῖα, οὐχ ὡς τοῦ πράγματος ὄντα δηλωτικὰ πάντως, ἀλλ᾽ ὁμολογούμενα ὑπὸ τοῦ κατηγόρου καὶ τοῦ φεύγοντος, καὶ δεῖ τὰ σημεῖα ταῦτα ἀνεύθυνα εἶναι· οὕτω γὰρ καὶ ὁ φεύγων παῤῥησιαζόμενος ὁμολογήσει αὐτά· ὅθεν ἡμῖν ἡ τῆς κατηγορίας ἀπορία καθίσταται· ἐκεῖθεν γὰρ τὸ ζητούμενον κατασκευάζομεν· καὶ δεῖ τὸν φεύγοντα πρὸς ταῖτα τῆς αἰτίας τῇ μεταθέσει χρήσασθαι· εἰ γὰρ μὴ χρήσεται, οὐδὲ ζήτησις ἔτι καταλείπεται· ἵνα δὲ σαφέστερον γένηται, ὃ λέγομεν, εἴπωμεν ἐπὶ παραδείγματος, ᾧ καὶ ὁ τεχνικὸς καὶ οἱ ἄλλοι πάντες κέχρηνται· πεφώραταί τις ἐπ᾽ ἐρη-

---

3 Mon. γρά.

μίας θάπτων νεοσφαγὲς σῶμα, καὶ φόνον φεύγει· ἰδοὺ γὰρ τὸ ἔγκλημα, ὥς ἔφαμεν, ἀφανές· ἄδηλον γὰρ, τίς ἐστιν ὁ ἀνῃρηκώς· τὸ δὲ σημεῖον φανερὸν καὶ ὁμολογούμενον ὑπ᾽ ἀμφοῖν, τὸ θάπτειν τὸ νεοσφαγὲς σῶμα, καὶ ἀνεύθυνον πάντῃ· ἀπὸ δὲ τούτου πειρᾶται ὁ μὲν κατήγορος δεῖξαι, ὅτι πεφόνευκεν, ὁ δὲ φεύγων, ὅτι οὐ πεφόνευκεν· ἀλλ᾽ ἀναφέρει [4] ἐπί τινα ἀνεύθυνον αἰτίαν, ἐπὶ ἔλεον τυχὸν ἤ τι τοιοῦτον.

Φησὶ τὸ συνεστηκὸς ἐκ τοῦ ζητήματος χρῆναι σκοπεῖν, οὐκ ἐκ τῶν προτάσεων, ἀλλ᾽ ἐρεῖ τις, ὅτι καὶ αἱ προτάσεις ἔχουσιν ἐν αὐταῖς [5] τὸ ζήτημα, καὶ τὸ ζήτημα ἔχει ἐν αὐτῷ τὰς προτάσεις· ὥστε ταὐτὸν ἂν εἴη τὰς προτάσεις σκοπεῖν καὶ τὸ ζήτημα· καὶ ἔστι μὲν ὁ λόγος ἀληθής· ἐκ τοῦ ζητήματος δὲ λέγει δεῖν ὁ τεχνογράφος σκοπεῖν διὰ τὸ ἁπλούστερον· τὸ μὲν γὰρ ζήτημα ἓν καθεστὼς ἔχει τὰς προτάσεις ἐν αὐτῷ, αἱ δὲ προτάσεις δύο οὖσαι ἓν ἔχουσι τὸ ζήτημα ἐν ἑαυταῖς· ὅσῳ δὴ [6] μεῖζον τὸ ἔχεσθαι ὑφ᾽ ἑνὸς τὰ δύο, ἢ ὑπὸ τῶν δύο τὸ ἕν, τοσούτῳ δικαιότερον ἐκ τοῦ ζητήματος ἢ ἐκ τῶν προτάσεων διασκέπτεσθαι τὸ συνεστηκός· ζητοῦσι δὲ, πῶς εἶπε τὸ προτεθέντος ζητήματος εἰ συνεστήκοι· εἰ γὰρ ζήτησις, πάντως καὶ συνεστηκός· φαμὲν δὲ, ὡς πρὸ τοῦ διασκέψασθαι, πότερον συνέστηκεν ἢ μὴ, συνέστηκεν, ὡς ζήτημα δὲ προφέρεται· τοιγαροῦν ὁ προτιθεὶς οὐκ ἂν τὸ ποιὸν ἐζήτει τῆς στάσεως, εἰ μὴ συνεστηκὸς αὐτὸ εἶναι ᾤετο.

δ΄. Φασί τινες, ὡς οὐδὲ τὸ φανερόν ἐστι ζήτημα· τὸ μὲν γὰρ ἀφανὲς ἀνυπόστατόν τε καὶ ἄδηλον· περὶ ὧν δὲ μὴ [7] οἶδε, πῶς ἄν τις ζητήσειε, τὸ δὲ φανερὸν καὶ ὁμολογούμενον ἀνεξέταστον, ἀλλὰ πρὸς τοῦτό φαμεν, ὅτι οὐδὲ τὸ ἀφανὲς καθάπερ ἐστὶν ἀφανές. Τριῶν γὰρ

---

4 Mon. ἀλλὰ φέρει. 5 Mon. ταῖς. 6 Mon. δεῖ. 7 Par. μηδὲ οἶδεν. Mon. εἶδε.

ὄντων ἢ τὸ πρόσωπον ἢ τὸ πρᾶγμα ἢ τὴν γνώμην πάντως βούλεται ἔχειν ἐν τῷ φανερῷ, ὥστε ἐκ τοῦ φανεροῦ γίνεσθαι τὴν περὶ τοῦ ἀφανοῦς ζήτησιν· ἔπειτα οὐδὲ τῇ φύσει τοῦ πράγματός ἐστιν ἀφανὲς, ἀλλὰ τῇ γνώμῃ τοῦ δικάζοντος· οὐδὲ τὸ φανερὸν πάντῃ ἐστὶ φανερὸν, ἢ γὰρ κατὰ τὴν οὐσίαν ἐστὶ φανερόν, κατὰ δὲ τὴν ἰδιότητα οὐκέτι, ἢ κατὰ μὲν τὴν ἰδιότητα φανερὸν, οὐκέτι δὲ κατὰ τὴν ποιότητα· οἷον ἐν οἰκίσκῳ πόῤῥωθεν ὁρῶμέν τι καὶ ἐπιστάμεθα μὲν, ὅτι ἔστι τι ἐν αὐτῷ· τὴν δὲ ἰδιότητα αὐτοῦ ἀγνοοῦμεν, οὐ γὰρ οἴδαμεν, πότερον λίθος ἢ ξύλον ἢ ἄνθρωπος· ἢ πάλιν οἴδαμεν, ὅτι ἄνθρωπος, τουτέστι τὴν ἰδιότητα, οὐκέτι δὲ τὴν ποιότητα, πότερον Λάκων ἢ Ἀθηναῖος ἢ Ἴων· ἰστέον δὲ, ὅτι ἀφανὲς λέγεται τὸ κατ᾽ οὐσίαν· ἀφανὲς γὰρ κυρίως· τοῦτό ἐστι τὸ κατὰ [8] αὐτὴν τὴν ὕπαρξιν ἄδηλον.

ε´. Λέγει τήν τε εὕρεσιν ὁμοῦ, τουτέστι πῶς δεῖ εὑρίσκειν τὰς στάσεις καὶ ἑκάστης τῶν στάσεων ἀκριβῆ τὴν διδασκαλίαν ποιεῖται· οὐ γὰρ λέγει μόνον τὸ εὑρίσκον, ἀλλὰ καὶ τὸ εὑρισκόμενον.

ϛ´. Ἐπιλαμβάνονται τοῦ ὅρου ὡς πλεονάζοντος καὶ ἐλλείποντος· πλεονάζει μὲν γὰρ, φασὶ, [9] δι᾽ ὧν εἶπεν, ἀδήλου πράγματος ἔλεγχος· συμπεριλαμβάνει γὰρ, φασὶ, [10] καὶ ἄλλας τῶν στάσεων, εἴγε περὶ τῶν ἀδήλων καὶ ἐν ἄλλαις ζητοῦμεν, ἀλλὰ πρόκειται τὸ οὐσιωδῶς, ὅπερ οὐδεμιᾷ τῶν ἄλλων στάσεων κοινωνεῖ· τὸ μὲν οὖν δοκεῖν πλεονάζειν ταύτῃ ἐπελυσάμεθα· φασὶ δὲ αὐτὸν καὶ ἐλλείπειν· πρῶτον μὲν καθὰ τὸ σημεῖον οὐκ ἐν παντὶ στοχασμῷ καθέστηκε φανερόν· ἀλλ᾽ εἰσί τινες, οἳ καὶ τὸ σημεῖον ἀφανὲς ἔχουσιν, ὡς οἱ συγκατασκευαζόμενοι, οἷον ἐν τῷ παραπρεσβείας, ἀπώλεσας, φησὶν, Αἰσχίνη Φωκέας, τῷ δῆλον; ἐδωροδόκησας γὰρ, τοῦτο αὐτὸ ἀφα-

8 Mon. Par. 2. τὴν αὐτὴν τήν. Par. 1. prius τὴν om. 9 Par. φησί. 10 Mon. φησί. Par. 2. φασί. Par. 1. om.

νὲς καὶ δεῖται κατασκευῆς ἑτέρας· πρὸς οὖν τοῦτο λεκτέον, ὡς ἐν τῷ τοιούτῳ στοχασμῷ, φημὶ δὴ τῷ συγκατασκευαζομένῳ, τὸ μὲν πρῶτον ἀφανές ἐστι τὸ σημεῖον· τὰ δ' ἑξῆς, τουτέστι τὰ τούτου κατασκευαστικὰ, φανερά· εἰ γὰρ εἴη καὶ ταῦτα ἀφανῆ, οὐκ ἂν ἀπόδειξις ἐντεῦθεν γένοιτο· πῶς γὰρ ἄν τις τὸ ἀφανὲς ἐξ ἀφανῶν πιστώσαιτο· ὥστε καὶ οἶτοι ἀπό τινος ὁρμῶνται φανεροῦ σημείου· οὐ γὰρ εἶπε [11] πρώτην ἢ δευτέραν τυχὸν, ἀλλ' ἁπλῶς ἀπό τινος φανεροῦ σημείου· ἔπειτα, φασὶ, [12] καὶ καθ' ἕτερον ἐλλείπει ὁ ὅρος· ἔδει γὰρ εἰπεῖν εἰκότων ἢ σημείου· τὰ μὲν γὰρ τοῦ προσώπου ἀποδεικτικὰ εἰκότα [13] καλεῖν εἰώθαμεν, τὰ δὲ τοῦ πράγματος σημεῖα, καὶ αὕτη διαφορὰ σημείου καὶ εἰκότων· ἠγνοήκασι δὲ, ὅτι τὸ σημεῖον γενικόν ἐστι, καὶ διαιρεῖται εἴς τε [14] εἰκὸς καὶ ὁμώνυμον αὐτῷ σημεῖον· εἴρηται οὖν ἐνταῦθα σημεῖον γενικώτερον, ὅπερ ἔχει ἐν αὐτῷ καὶ τὸ εἰκὸς καὶ τὸ σημεῖον.

ζ. Ὑπογράψας διὰ τῆς μεθόδου τὴν στάσιν, ἀποδίδωσιν αὐτῆς καὶ τὸν ὁρισμόν· „στοχασμός [15] ἐστιν ἀρ-

11 οὐ γαρ εἶπε πρώτην — — φανεροῦ σημείου ex Par 2. recepi, Mon. et Par. 1. om. 12 φασὶ ex Par. recepi. 13 Mon. εἰκότως. 14 Mon. εἴτε. 15 Sch. min. στοχασμὸς ἔσται· ἴδιον στοχασμοῦ τὸ δύο πράγματα ἔχειν· ὧν τὸ μὲν ἀνεύθυνον καὶ φανερὸν καὶ σημεῖον, τὸ δὲ ὑπεύθυνον καὶ ἀφανές. ἔστι γὰρ στοχασμός· τοὺς ὅρους ἐκ τῶν τριῶν τούτων συνεστάναι ἀνάγκη, γένους, διαφορᾶς, ἰδίων. περὶ τὸ πρόσ. ὑποψίας· ἐπειδή εἰσι στοχασμοὶ, ἐφ' ὧν ἐλλείπουσι τὰ σημεῖα, οἷον ὁ ἐπὶ τῆς μητρυιᾶς καὶ τῆς αἰχμαλώτου, καὶ ὁ τοῦ ἀσώτου, καὶ ὁ ἐπὶ τῆς μητρυιᾶς, τῆς τὸν μὲν υἱὸν πληξάσης, τὸν δὲ πρόγονον ἀνελούσης, καὶ ἕτεροι πολλοὶ, τούτου χάριν ὁ τεχνικὸς τῷ ὅρῳ προσέθετο τό· ἢ ἀπὸ τῆς περὶ τὸ πρόσωπον ὑποψίας· ὕποπτον γὰρ ὁ ἄσωτος, ἢ μητρυιὰ, ἢ παλλακὴ, καὶ τοῖς τοιούτοις πρόσεστι τὰ καλούμενα εἰκότα, οἷον ἄσωτος ἦν, καὶ εἰκὸς αὐτὸν ἀνελεῖν τὸν πατέρα· μητρυιὰ ἢ παλλακὴ, καὶ εἰκὸς αὐτὸν ἀνελεῖν τὸν Ἀριστοτέλην· μάγος, καὶ εἰκὸς παρασκευάσαι, κατενηνέχθαι τὸν σκηπτὸν, καὶ τοῖς τοιούτοις εἰκόσι τῶν προσώπων ὑπόπτων ὄντων ἡ κρίσις συνίσταται· ἰστέον γὰρ, ὅτι ἐπὶ μὲν τῶν

νησις παντελὴς τοῦ ἐπιφερομένου ἐγκλήματος·" σαφέστερον δ' ἂν εἴη εἰρηκὼς ὁ Ἑρμογένης προσθεὶς τὸ οὐσιωδῶς· ἐν ἁπάσαις γὰρ ταῖς στάσεσιν ὁ φεύγων ἀρνεῖται τὸ ἐπιφερόμενον ἔγκλημα· πρόσκειται δὲ ἔλεγχος, ἀλλ' οὐ ζήτησις πρὸς ἀντιδιαστολὴν τῶν ἐν ταῖς ἄλλαις τέχναις ζητημάτων· ζήτημα γὰρ λέγομεν καὶ ἐπὶ τῶν κατὰ φιλοσοφίαν ἀδήλων, καὶ ἐπὶ τῶν ἰατρικῶν, καὶ ἐν ταῖς ἄλλαις τέχναις ὡσαύτως· ἔλεγχον ἐπὶ μόνων τῶν κατὰ ῥητορικὴν, διὰ τὴν ἐπιφερομένην παρὰ τοῦ δικαστοῦ ψῆφον· ἐπὶ γὰρ τῶν τοιούτων ἐφ' οἷς ὥρισται τιμωρία ἔλεγχος λέγεται, τὸ δὲ οὐσιώδης καλῶς ἔφη, ἵνα μάθωμεν τὴν πρὸς τὰς ἄλλας στάσεις διαφορὰν τοῦ στοχασμοῦ τὸ περὶ τῆς οὐσίας καὶ ὑπάρξεως ἔχειν τὴν ζήτησιν· ζητεῖται μὲν γὰρ καὶ ἐν ἐκείναις ἀφανές· οὐ μέντοι καὶ οὐσιωδῶς· στοχασμοῦ γὰρ τοῦτο μόνου· τοῦ δὲ ὁρισμοῦ γένος ἐστὶ τὸ ἀδήλου πράγματος· ἐν πάσῃ γὰρ στάσει ἄδηλόν ἐστι πρᾶγμα ἐξεταζόμενον, ὡς ἐν ἀντιλήψει ἄδηλον, ἔξεστιν ἢ μὴ, εἰ γὰρ δοίημεν ἐξεῖναι ὁμολογουμένου πράγματος ἀσύστατον ἔσται καὶ ἐν πράγματι καὶ τὸ μέλλον ἄδηλον· τὸ δὲ ἴδιον τοῦ στοχασμοῦ οὐσιωδῶς· καλῶς δὲ καὶ τὸ ἀπό τινος φανεροῦ σημείου· ἀφανὲς γὰρ ἀφανεῖ οὐ δύναται κατασκευασθῆναι· τινὲς δέ φασιν ἐναντιοῦσθαι ἑαυτῷ τὸν τεχνικὸν, ἐν μὲν τῷ τοῦ ἀσώτου ζητήματι πρᾶγμα εἶναι λέγοντι[16] ἐξεταζόμενον τὴν ἀφάνειαν, ὡς σημεῖον τοῦ τεθνάναι αὐτὸν, ἐνταῦθα δὲ ἀπό τινός φησι φανεροῦ σημείου· ἀλλὰ δεῖ εἰδέναι, ὅτι εἰ καὶ βούλεται ὁ τεχνικὸς ἐν τῷ ἀσώτῳ ἐξετάζεσθαι τὸ ζήτημα, καὶ ὡς σημεῖον παραλαμβάνεσθαι τὴν ἀφάνειαν, οὐ διαμάχεται ἑαυτῷ, ἔστι γὰρ φανερὸν τὸ πρᾶγμα καὶ ὁμολογούμενον. τὰ γὰρ σημεῖα φανερά φαμεν εἶναι οὐχ ὡς ὄντα τῶν ἐγκλημάτων

προσώπων εἰκότα λέγεται, ἐπὶ δὲ πραγμάτων σημεῖα, οἷον σημεῖον τοῦ ἀνελεῖν τὸ ἐπ' ἐρημίας παρίστασθαι. 16 Mon. λέγεται.

δηλωτικά· ἢ γὰρ ἂν οὐδὲ ζήτημα κατελείπετο, εἰ φανερῶς καὶ αὐτόθεν τὸ σημεῖον ἐδήλου τὸ ἔγκλημα· ἀλλά φαμεν τὰ σημεῖα φανερὰ εἶναι, ὡς [17] πράγματα γεγενημένα ὑπὸ τοῦ κατηγόρου καὶ τοῦ φεύγοντος· εἰ τοίνυν ὁμολογεῖ εἶναι καὶ ὁ ἄσωτος ἀφανῆ τὸν πατέρα, πάντως ὁμολογεῖται, ὅτι φανερόν ἐστι τὸ σημεῖον· καὶ οὐκ ἐναντιοῦται ὁ τεχνικὸς ἑαυτῷ.

η΄. Ἀτελοῦς στοχασμοῦ παράδειγμα δίδωσιν, ἵνα μὴ τελείου δοὺς δόξῃ τὸν ἀτελῆ ἀποδιϊστᾷν ἐκ τῶν στοχασμῶν· ἀτελὲς γὰρ δέδωκε καὶ τὸν τέλειον συνεισήνεγκεν· εἰ γὰρ ἐκεῖνος ἐν στοχασμοῖς, πολλῷ μᾶλλον ὁ τέλειος· ἀλλ᾽ ἐνταῦθα μὲν ἀπὸ τοῦ θάπτειν φανεροῦ ὄντος ἀφανές τι πρᾶγμα οὐσιωδῶς, τίς ὁ φονεύσας, ζητοῦμεν· τί δ᾽ ἂν εἴποιμεν ἐπὶ τοῦ ἀπὸ γνώμης στοχασμοῦ· ἄνωθεν ἔλαβεν· [18] ἡ μητρυιὰ ἐν δόξῃ μανίας τὸν υἱὸν ἔτρωσε, τὸν δὲ πρόγονον ἀπέκτεινε· δῆλον γὰρ ἐνταῦθα καὶ τὸ φονεῦσαν πρόσωπον· πῶς οὖν οὐσιωδῶς, τίς ὁ φονεὺς, ζητοῦμεν; καί φαμεν ὡς ἄδηλον ἐὰν ἡ μητρυιὰ πεφόνευκεν· εἰ γὰρ ἡ μανία αἴτιος, ἡ μητρυιὰ πάντως ἀναίτιος.

Cap. V.

Περὶ ὅρου. [1]

Τὸ κρινόμενον διελὼν εἰς τὸ ἀφανὲς καὶ τὸ φανερὸν, εἶτα τὸ ἀφανὲς ἀπολαβὼν καὶ τὸν στοχασμὸν ὁρι-

17 Mon. καὶ πρ. γεγεννημένα. 18 Mon. ἔλλαβε, sine ἄνωθεν.

1 Sch. min. οὐ γὰρ ᾖ τοιοῦτον· ἐὰν ᾖ φανερὸν τὸ πρᾶγμα· ἀτελὲς δὲ ποιεῖ τὴν στάσιν ὁρικόν. ἔστι γὰρ στάσις ὁρική· οὐκ εἶπεν ὄνομα ἁπλῶς, ἀλλὰ περὶ πράγματος· πρᾶγμα δέ φησι τὸ ἔγκλημα ἢ τὸ κατόρθωμα, οὐ γὰρ πρόσωπόν ἐστιν ὄνομα τὸ ζητούμενον, ἀλλ᾽ ἐκ τοῦ πράγματος τοῦ ἐνεργηθέντος ζητοῦμεν τὸ ὄνομα. Κοινωνεῖ ὁ ὅρος ὁ κατὰ στοχασμοῦ τῇ ἀρνήσει τῷ ὅρῳ, ἐπεὶ ἐν ἑκατέρᾳ στάσει τὰ ἐγκλήματα ἀρνοῦνται οἱ ἐγκαλούμενοι.

σάμενος, νῦν τὸ φανερὸν ὑποδιαιρεῖ εἰς τὸ ἀτελὲς καὶ τὸ τέλειον, ἵνα ἀπὸ τοῦ ἀτελοῦς τὸν ὅρον δείξῃ γινόμενον· ἑρμηνεύει δὲ τί ποτέ ἐστι τὸ ἀτελές.

β΄. Διελὼν τὸ κρινόμενον πρᾶγμα, τουτέστι τὸ ἔγκλημα εἰς ἀφανές τε καὶ φανερὸν, καὶ εἰπὼν, ὅτι τὸ ἀφανὲς ποιεῖ τὴν στοχαστικὴν στάσιν, καὶ διδάξας αὐτῆς ἐν συντόμῳ τὴν δύναμιν, νῦν καὶ τὸ φανερὸν διαιρεῖ καί φησιν, ὅτι τὸ φανερὸν ἢ ἀτελές ἐστιν ἢ τέλειον· φανερὸν δὲ λέγει οὐ τὸ τοῖς δικασταῖς ὁμολογούμενον, ἢ γὰρ ἂν οὐδὲ κρίσις ἦν, ἀλλὰ προειλημμένον ἐγίνετο· ἀλλὰ φανερὸν τῇ οὐσίᾳ· κρινόμενον δὲ νῦν λέγει τὸ ἐνεργηθὲν ἤτοι τὸ ἐκ τῆς ἐνεργείας γεγονὸς, περὶ οὗ ἡ κρίσις· πάλιν τὸ ἀτελὲς διττόν ἐστιν ἐνταῦθα· ἢ γὰρ τῇ ἐνεργείᾳ καὶ τῇ πράξει τοῦ φεύγοντός ἐστιν ἀτελὲς ἢ πρὸς τὴν φωνὴν τοῦ κατηγόρου· τῇ μὲν ἐνεργείᾳ, ὡς ἐπὶ τοῦ τὸ κενοτάφιον ὀρύξαντος, καὶ κρινομένου τυμβωρυχίας· τὸ μὲν γὰρ ὀρύξαι τὸν τάφον καὶ αὐτὸς ὁμολογεῖ ὁ φεύγων· τὸ δὲ τυμβωρυχῆσαι οὐδ' ὅλως πέπρακται· κατὰ δὲ τὴν φωνὴν τοῦ κατηγόρου, ὡς ἐφ' οὗ

διαφέρει δέ, ὁ μὲν τέλεον ἀρνεῖται τὸ ἔγκλημα, ὁ δὲ ἀπὸ μέρους· οἷον ὑφειλόμην, οὐ μὴν ἱεροσύλησα, καὶ ὅτι ἐν τῷ ὅρῳ τὰ ὁμολογούμενα ὑπεύθυνά ἐστι τὸ κλέπτειν, τὸ ἐπανατείνεσθαι, ἐν δὲ στοχασμῷ ἀνεύθυνα, τὸ δακρύειν, τὸ θάπτειν· καὶ ὅτι ἐν στοχασμῷ ἄλλο δι' ἄλλου κατασκευάζεται, ἐν ὅρῳ δὲ οὐχί. Καθ' ἑκάστην στάσιν τρία διδάσκει ἡμᾶς ἐν βραχεῖ ὁ τεχνογράφος, τρεῖς τρόπους διδασκαλίας ἡμῖν παραδιδοὺς, μέθοδον λέγω, πῶς γίνεται στοχασμὸς, ἢ ὅρον· ὅταν περὶ ἀφανῶν ἐξετάζωμεν πραγμάτων, στοχασμός ἐστιν, ὅταν δὲ περὶ φανερῶν μὲν, ἀτελῶν δὲ, ὅρος· μετὰ δὲ τὴν μέθοδον τὸν ὅρον τῆς στάσεως στοχασμοῦ τυχὸν καὶ ὅρου· τρίτον δὲ τὸ οἰκεῖον τῇ στάσει παράδειγμα, ὡς ἐπὶ τούτου, τὸ πεφώραταί τις θάπτων· αἰτιῶνται δὲ τὸ παράδειγμα τοῦτο, ὡς ἀτελὲς ἐκ προσώπου, τὸ γάρ τὶς τῶν ἀνεξετάστων· ἀλλ' ἴσως τῷ ὁρισμῷ ἑαυτοῦ κατακολουθεῖ Ἑρμογένης, ὃς ἀπὸ μόνου σημείου τὸν στοχασμὸν λέγει γίνεσθαι, τοῦ προσώπου πάντη καταπεφρονηκώς.

παρέθετο ζητήματος· ἐνταῦθα γὰρ ἡ μὲν φωνὴ τοῦ κατηγόρου μείζων ἐστὶν, ὁ δὲ φεύγων ἀνθαιρεῖται τὸ ἔλαττον· καὶ ἡ μὲν πρᾶξις τελεία· εἰσῆλθε γὰρ εἰς τὸ ἱερὸν, καὶ τὰ χρήματα ἀφείλετο· πρὸς δὲ τὴν τοῦ κατηγόρου φωνὴν ἀτελὴς ἡ πρᾶξις.

γ΄. Μετὰ τὸ ἀφανὲς ἐπὶ τὸ φανερὸν μέτεισιν· ὑποδιαιρεῖ δὲ αὐτὸ εἴς τε ἀτελὲς καὶ εἰς τέλειον· καὶ διαλαμβάνει πρῶτον περὶ τοῦ ἀτελοῦς, εἰκότως· τὸ γὰρ ἀτελὲς πρότερον φύσει τοῦ τελείου· εἴγε τὸ τέλειον ὅλον ἐστὶ, τὸ δὲ ὅλον μερῶν ἐστιν ὅλων. τὸ δὲ μέρος ἀτελὲς ὡς τέλος ἐκ τοῦ ἀτελοῦς γίνεσθαι πέφυκεν· ἔπειτα καὶ καθ᾽ ἕτερον λόγον εἰκότως τὸν περὶ ἀτελοῦς λόγον ἐποιήσατο πρῶτον οἷα δὴ μονοειδοῦς ὄντος· μένει γὰρ οὐχ ὑποδιαιρούμενον. τὸ δὲ τέλειον οὐχ οὕτως· πρῶτον ἄρα εὐλόγως τὸν περὶ τοῦ ἁπλουστέρου πεποίηται λόγον.

δ΄. Ἀκριβῶς τὸ ὡς λείποντος πρόςκειται· τὸ γὰρ πρᾶγμα τέλειόν ἐστι φύσει· οὐδὲν γὰρ ἀτελὲς εἰς δικαστήριον εἰσάγεται· ἀλλὰ περὶ τοῦ ὀνόματός ἐστιν ἡ ζήτησις. τοίνυν ἡ τοῦ ὅρου ἀτέλεια περὶ τὸ σχεῖν ὄνομα, διὸ καὶ ἐπάγει, ὄνομά τε εὐθὺς γίνεται καὶ οὐκέτι λαμβάνει, φησὶν, ὄνομα τὸ πραχθὲν καὶ οὐκέτι περὶ τοῦ ὀνόματος ἀμφιβάλλεται, ἀλλὰ τέλειον γίνεται.

ε΄. Εἴπερ τῷ ἀτελεῖ κατὰ τὸν αὐτοῦ λόγον προστιθέμενόν τι ὡς λεῖπον ἀσύστατον αὐτὸ ποιεῖ διὰ τὸ ὁμολογούμενον γίνεσθαι, πῶς τὸ τέλειον συνεστάναι δύναται; ἐλέγομεν γὰρ τοῦ φανεροῦ τὸ μὲν ἀτελὲς, τὸ δὲ εἶναι τέλειον· ῥητέον οὖν, ὅτι ζήτημα αὐτό φησι μὴ ἐπιδέχεσθαι περὶ τῆς ἰδιότητος, ὅπερ ἔστι τῆς ὁριστικῆς στάσεως· ζητεῖσθαι δὲ κατὰ τὴν ποιότητα.

ς΄. Ἐκεῖνο ἀτελὲς, ὃ καθ᾽ ἑαυτὸ μὲν ὀνομασθῆναι, τί ποτέ ἐστιν, οὐ δύναται· διὰ γὰρ τοῦτο καὶ τὴν ἰδιότητα λέγομεν ἐν τῷ ὅρῳ ζητεῖσθαι. ὥσπερ τὴν ὕπαρξιν

ἐν τῷ στοχασμῷ· προστεθέντος δὲ αὐτῷ τινος τηνικαῦτα καὶ ὀνομάζεται· τὸ δὲ τοιοῦτον δηλονότι τὸ ἀτελές.

ζ. Πάλιν ἐνταῦθα ἐκ γένους καὶ συστατικῶν διαφορῶν διαστελλουσῶν τὸ ὁριζόμενον ὁ ὅρος τέθειται· οὗ ἑκάστης λέξεως τὰ ἀντιδιῃρημένα καὶ αὐτὸς ἀναθεωρῶν γνοίης.

η. Ἠπόρηται, πῶς εἶπεν ὀνόματος ζήτησις,[2] τὸ γὰρ περὶ ὀνομάτων ἀμφισβητεῖν γραμματικῶν, οὐ ῥητόρων. ὑποληπτέον δὲ πρὸς τοῦτο, ὡς μάλιστα μὲν προσέθηκε τὸ περὶ πράγματος· ὥστε οὐχ ἁπλῶς ὄνομα· ἔπειτα τὸ ὄνομα ἐπὶ τούτῳ ὁμολογουμένην ἔχει τὴν τιμωρίαν· ὥσπερ εἴπερ ἐφαρμόσει τὸ ὄνομα τῷ ὑποκειμένῳ, καὶ τὸ τῆς μωρίας εὐθὺς ἕπεται· ἐπιλαμβάνονται δὲ τοῦ ὅρου κατὰ τὸ ἐλλεῖπον. φασὶ γὰρ, ὅτι τεττάρων ὄντων εἰδῶν τοῦ ὅρου ἓν παρέθετο μόνον τὸ ἔχον τὸ μὲν πεπραγμένον, τὸ δὲ ἐλλεῖπον· τὸ δὲ τέλειον ἢ τὸ ἀτελὲς πάντῃ ἢ τὸ πλεονάζον, οὐδαμῶς· τέλειον μὲν οὖν, οἷον νόμος, τὸν καινὸν ὅπλον ἀνευρίσκοντα δωρεὰν αἰτεῖν· ἵππον τις πρῶτος διδάξας πολεμιστὴν ἀξιοῖ τυχεῖν τῆς δωρεᾶς· ἐνταῦθα γάρ φασιν οὐδὲν ἐλλείπειν· λέληθε δὲ αὐτοὺς, ὅτι τὸ μὲν αὐτοῦ πέπρακται, τὸ δὲ ἐλλείπει· πέπρακται μὲν τὸ ἀνευρεῖν ἵππον πολεμιστὴν, ἐλλείπει δὲ τὸ, εἰ[3] τῷ νόμῳ τοῦτο ὅπλον δοκεῖ καινόν. εἰ δὲ μὴ βούλονται οὕτως ἐλλείπειν αὐτὸ, ἀσύστατον ἔσται, ὡς οὐκ ἐπιδεχόμενον ζήτημα τῷ ὁμολογούμενον εἶναι· ἀτελὲς δέ φασι πάντῃ, οἷον ἀνασχόμενός τις τὰς χεῖρας πολλάκις ἐπὶ τῷ πλῆξαι μὴ πλήξας ὕβρεως κρίνεται· ἐνταῦθα γὰρ, φασὶν, οὐδὲν πέπρακται· ἀλλ' ἐροῦμεν, ὅτι πέπρακται μὲν τὸ ἀνασχεῖν τὰς χεῖρας, ἐλλείπει δὲ τὸ πλῆξαι. ὁ ἀτελὴς, οὗ τὸ μὲν πέπρακται, τὸ δὲ λείπει, εἴρηται τῷ τεχνικῷ· τοῦ δὲ πλεονάζοντος, οἷον νόμος, τοὺς τελείους ἱερᾶσθαι, τοὺς δὲ μὴ τελείους ἀπείργεσθαι, περιττόν τις

2 Mon. ὃν ζήτημα. 3 τὸ εἰ et δοκεῖ Mon. om.

ἔχων δάκτυλον πρόσεισι τοῖς ἱεροῖς καὶ κωλύεται· ἀλλὰ κἀνταῦθα πέπρακται μὲν τὸ πέντε κεχρῆσθαι δακτύλοις, λείπει δὲ τὸ περιττὸν ἔχειν· τὸ γὰρ περιττὸν οὐ κατὰ φύσιν, τὸ δὲ μὴ κατὰ φύσιν ἀτελές· ταῦτα περὶ τοῦ μὴ δεῖν οἴεσθαι ὅρον ἄλλως ἔχειν, ἢ κατὰ τὸ ἐλλεῖπον καὶ τὸ πεπραγμένον, οἷον τὸ ἐξ ἱεροῦ, μετὰ δὲ τὸν ὅρον ἐπάγει παράδειγμα. ἐφ' ἑκάστης γὰρ στάσεως πρῶτον μὲν τὴν μέθοδον, εἶτα τὸ ὄνομα τῆς στάσεως, εἶτα τὸν ὅρον, εἶτα τὸ παράδειγμα ἀποδίδωσιν, ἕνεκα τοῦ σαφῆ τὴν διδασκαλίαν ποιήσασθαι.

θ'. Τὸ μὲν ὄνομα ὁ[4] ἱερόσυλος, περὶ οὗ ἡ ζήτησις, τὸ ἀμφισβητήσιμον ἐκ τοῦ πράγματος ἔχει,[5] οὗ τὸ μὲν πέπρακται, ἡ ἐξ ἱεροῦ ἀφαίρεσις, τὸ δὲ ἐλλείπει, τὸ ἱερὰ εἶναι τὰ χρήματα· καὶ διὰ τοῦτο ἀμφίβολος ἡ κλῆσις, μήτε κλέπτου καλουμένου τῷ[6] ἐξ ἱεροῦ γεγενῆσθαι τὴν ἀφαίρεσιν, μήτε ἱεροσύλου τῷ μὴ ἱερὰ εἶναι τὰ χρήματα, ὅπερ εἰ προστεθῇ, σαφὴς ὁ κεκλοφὼς ἱερόσυλος καὶ τὸ κρινόμενον ἀνεξέταστον.

Cap. VI.

Περὶ πραγματικῆς.[1]

α'. Φυσικωτάτη ἡ τάξις ἀπὸ τοῦ ἀφανοῦς ἐπὶ τὸ φανερὸν μὲν, ἀτελὲς δὲ, ἀπὸ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον καὶ τὴν ποιότητα καταντήσασα, περὶ ἣν[2] αἱ ἄλλαι τῶν στά-

4 ὁ et ἡ ante ζήτησις Mon. om., recepi ex Par. 2. 5 Mon. Parr. ἔχοντος. genitivus natus ex similitudine praecedentis πράγματος. In Par. 2. correctum: ἔχει. 6 Mon. Par. 2. τὸ, et paullo post: μήτε ἱερόσυλος τό. correxi ex Par. 1.

1 Mon. γραμματικῆς. Sch. min.: ἂν μέντοι φανερὸν ᾖ καὶ τέλειον· φανερόν φησιν ἀντιδιαστέλλων πρὸς τὸν στοχασμὸν, τέλειον δέ πάλιν ἀντιδιαστέλλων πρὸς τὸν ὅρον. 2 Mon. μέν.

σεων καταγίνονται· οὐ γὰρ εἰ γέγονε ζητοῦμεν ἐν αὐταῖς ἢ οὐ γέγονεν ἢ παρὰ τίνος γέγονεν· οὐδ᾽ εἰ ἀπήρτισται τὸ γεγονὸς ἢ οὐκ ἀπήρτισται, ἀλλὰ τοῦ πράγματος φανεροῦ καὶ τελείου τυγχάνοντος, εἰ δίκαιον ζητοῦμεν ἢ ἄδικον, εἰ λυσιτελὲς ἢ ἀσύμφερον ἢ ἔννομον τὸ συμβὰν ἢ παρὰ νόμον, ὃ καὶ ποιότητα γενικὴν ὀνομάζομεν. ποιότητα μὲν, ὅτι ὁποῖόν τι καὶ ποταπὸν τὸ πρᾶγμα ἐξετάζομεν· γενικὴν δὲ ὅτι περιεκτικὴ πλειόνων καὶ διαφόρων γίνεται στάσεων. Γένος [3] γὰρ λέγεται τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον· ἀλλ᾽ ἐνταῦθά τις ἡμῖν μεγίστη ζήτησις ἀνεφύη, πῶς καὶ τὴν πραγματικὴν περὶ πράγματος μήπω γεγονότος ἀλλὰ γενέσθαι μέλλοντος τὴν ζήτησιν ἔχουσαν, οὐ μετὰ τοῦ στοχασμοῦ καθ᾽ ὃν ἡ οὐσία τοῦ πράγματος, ἀλλὰ μετ᾽ ἐκείνων ὁ τεχνικὸς τῶν στάσεων [4] ἔταξε, καθ᾽ ἃς ἡ ποιότης τοῦ πράγματος ἐξετάζεται· καί φαμεν ὅτι καὶ [5] κατὰ τὴν πραγματικὴν εἰ καὶ μέλλοντος πράγματος ἔχει τὴν ζήτησιν, οὐ τὴν οὐσίαν ζητοῦμεν, εἰ ἔχει φύσιν γενέσθαι ἢ μὴ, [6] ἀλλὰ τὴν ποιότητα, εἰ συμφέρον τὸ πρᾶγμά ἐστιν ἢ ἀσύμφορον· ἐπὶ δὲ τοῦ στοχασμοῦ ἡ μὲν ποιότης δήλη καὶ φανερά· οἷον ὅτι κακὸν ὁ φόβος, ἀλλὰ ζητεῖται, εἰ γέγονε περὶ τοῦ τὸ νεοσφαγὲς σῶμα θάπτοντος· καὶ ὅτι καλὸν ἡ τοῦ τυράννου ἀναίρεσις· ἀλλὰ ζητεῖται, εἰ παρὰ τοῦ μάγου ἀνήρηται τοῦ ἐπαγγελλομένου τριάκοντα ἐντὸς ἡμερῶν τὸν τύραννον ἀνελεῖν· ἀστραπῆς δὲ κατενεχθείσης καὶ ἀνελούσης αὐτόν· καλῶς ἄρα καὶ ἡ πραγματικὴ ταῖς ὑπὸ τὴν ποιότητα τεταγμέναις συνηρίθμηται στάσεσιν, εἰ καὶ περὶ μέλλοντος πράγματος ἔχει τὴν ζήτησιν.

β΄. Ἐπιλαμβάνονται αὐτοῦ τινες, ὡς οὐ καλῶς εἰπόντος γενικόν· ἔδει γὰρ, φασὶν, [7] εἰπεῖν γενικώτατον, εἴγε ἔχει

3 Par. 1. γεγονός. 4 Par. 1. τὰς στάσεις. 5 καὶ Par. 2. om. 6 ἢ μὴ Mon. om. 7 Mon. φησίν. Parr. φασίν.

γένος ὑφ' ἑαυτὸ ἐπάλληλον, ἀλλ' ἐροῦμεν, ὡς οὐ πᾶν ἔχον γένος ὑπάλληλον τοῦτο πάντως γενικώτατον γένος· ἀκριβῶς γὰρ σκοποῦντι ἓν μόνον ἐστὶ γένος τὸ γενικώτατον ἡ οὐσία.

γʹ. Ζητοῦσι διὰ τί ἐν τῇ διαιρέσει περί τε τὴν ποιότητα τὸ ἴδιον αὐτῆς βουλόμενος εἰπεῖν καὶ περὶ τί καταγίνεται, φησίν· οἷον εἰ δίκαιον, εἰ συμφέρον, εἰ νόμιμον, δοκεῖ γὰρ τὴν πραγματικὴν ἐνταῦθα περιλαμβάνειν· πρὸς ὅ φαμεν, ὅτι ἀληθῶς μὲν καὶ ἡ πραγματικὴ περὶ ταῦτα καταγίνεται· οὐ μέντοι περὶ αὐτῆς νῦν, ἀλλὰ καθόλου περὶ τῆς ποιότητος ἀποφαινόμενός φησιν, ὅτι δίκαιόν ἐστιν ἢ συμφέρον ἢ νόμιμον· τινὲς δέ φασιν, ὅτι διὰ μὲν τοῦ δικαίου δηλοῖ τὰς δικαιολογίας, διὰ δὲ τοῦ συμφέροντος τὴν ἀνάστασιν, διὰ δὲ τοῦ ἐννόμου τὰς νομικάς· ἀλλά φαμεν, ὅτι ἡ ἀντίστασις μία τῶν δικαιολογικῶν ἐστιν, εἰ τοίνυν ἐδήλου τὰς δικαιολογικὰς διὰ τοῦ δικαίου, συμπεριελάμβανε καὶ τὴν ἀντίστασιν, μέρος γὰρ τῆς δικαιολογίας· δεῖ οὖν νοεῖν, ὅτι κοινῶς, φησὶν, περὶ ταῦτα τὰ τρία εἱλοῦνται αἱ στάσεις, οἷον ἡ δικαιολογικὴ περὶ τὸ δίκαιον καὶ συμφέρον, ἡ πραγματικὴ, ὁμοίως ἡ ἔγγραφος· αἱ νομικαὶ περὶ τὸ δίκαιον καὶ νόμιμον ἢ ὅτι ἐν πάσαις ταῖς ὑπὸ τὴν ποιότητα στάσεσι ταῦτα κοινῶς ζητοῦμεν, εἰ δίκαιον, εἰ συμφέρον, εἰ νόμιμον.

δʹ. Τοῦτο περιττῶς κεῖται· κατασκευάζοντες γὰρ τὸ νόμιμον, εἰ δίκαιον, εἰ συμφέρον, καὶ τὰ ἐναντία τούτων ἀνατρέπομεν, ἢ ὡς πρὸς τὰ δύο πρόσωπα τοῦ κατηγόρου καὶ τοῦ φεύγοντος, ὁ μὲν γὰρ κατασκευάζει ὅτι νόμιμον, ὁ δὲ, ὅτι παράνομον, ἐκ τῶν ἐναντίων ὡρμημένος.

εʹ. Κοινὸν ὄνομα τὴν ποιότητα εἶπε τῶν κατὰ ποιότητα ἐξεταζομένων στάσεων· ἡ γὰρ ποιότης ὡς οὖσα πολυειδὴς οὐ στάσις ἀλλὰ μήτηρ ἐστὶ στάσεων· πλὴν γὰρ

στοχασμοῦ καὶ ὅρου αἱ λοιπαὶ πᾶσαι ἐντεῦθεν ὁρμῶνται· ὥσπερ δέ φαμεν κοινὸν εἶναι τὸ ζῶον, εἴδη δὲ, οἷον ἄνθρωπος, κύριον δὲ, οἷον Σωκράτης, οὕτως κοινὸν μὲν ἡ ποιότης οἷον γενικώτατον· γένος δὲ γενῶν ἐστιν· εἴδη δὲ ταύτης, οἷον αἱ λογικαὶ καὶ νομικαὶ, κύριαι δὲ, οἷον ἀντίληψις, ἀντίστασις καὶ αἱ λοιπαί· ἡ οὖν δικαιολογία εἰδικὸν οὖσα καὶ γένος τῶν ὑπ' αὐτὴν καὶ ἐξ αὐτῆς στάσεών ἐστι· καὶ αἱ ἀντιθέσεις ὁμοίως ὑπὸ τὴν ποιότητά εἰσιν, οὖσαι καὶ αὗται γένη μερικώτερα.

ς'. Ἐὰν πρόκειται, φησὶ, στάσεως ἐξέτασις, ἂν μήτε ἀφανὲς παντάπασιν ᾖ, μήτε ἐν μέρεσι μὲν ὁμολογούμενον, ἐν μέρει δὲ [8] τὴν ἀμφισβήτησιν ἔχον· οἱονεὶ περὶ τὴν ἰδιότητα ἐπισκοπεῖν χρὴ καὶ ζητεῖν εὐθέως τὴν ποιότητα γνῶναι, πότερον κατὰ ῥητόν ἐστιν ἡ ἀμφισβήτησις ἢ κατὰ πρᾶγμα· κἂν μὲν περὶ πρᾶγμα ᾖ, ἀνάγκη ἢ περὶ μέλλοντος εἶναι ἢ περὶ παρῳχημένου· ἐὰν δὲ περὶ ῥητὸν, τὰς νομικὰς ἀμφισβητήσεις ποιεῖ.

ζ'. Ζητητέον, πῶς πρότερον τῶν περὶ ῥητὸν ἐμνήσθη· εἶθ' οὕτως τῶν περὶ τὸ πρᾶγμα· φησὶ μὲν τοίνυν ὁμολογουμένως μὲν προτιμότερα καθεστάναι τὰ πράγματα τῶν νόμων· διὰ γὰρ τὰ πράγματα οἱ νόμοι παρελήφθησαν, οὐ διὰ τοὺς νόμους τὰ πράγματα. ἔπειτα καὶ πρεσβύτερα τῶν νόμων τὰ πράγματα· οὐ μὴν ἀλόγως ἀντεστράφθαι τὴν τάξιν ὑπὸ τοῦ τεχνικοῦ· ἀνωτέρω μὲν γὰρ εὐθὺς εἰκότως κατὰ τὸν τούτων λόγον προέταξε τὸ πρᾶγμα τοῦ ῥητοῦ· ἐνταῦθα δὲ προέταξε τὸ ῥητὸν, ἐπειδὴ περὶ τούτου μὲν ἀναβάλλεται τέως εἰπεῖν.

η'. Διελὼν τὸ κρινόμενον εἰς τὸ ἀφανὲς καὶ τὸ φανερὸν, τὸ δὲ φανερὸν ὑποδιελὼν εἰς τὸ ἀτελὲς καὶ τὸ τέλειον, εἶτα τὸ τέλειον γενικῶς ὀνομάσας ποιότητα, ὑποδιαιρεῖ πάλιν ταύτην εἰς πρᾶγμα καὶ εἰς ῥητόν· καὶ τὸ μὲν ῥητὸν νομικὴν στάσιν ἀποκαλεῖ γενικῶς, ὡς πλειό-

8 Mon. μέν.

νων ὂν στάσεων περιεκτικόν· ὅθεν καὶ εἰς ὕστερον εἰπεῖν ἐπαγγειλάμενος τὰ περὶ[9] ἑαυτοῦ οὐκ εἶπε, περὶ οὗ ὕστερον ἐροῦμεν, ἀλλὰ περὶ ὧν ὕστερον ἐροῦμεν· πρὸς τὰ εἴδη τὸν λόγον, οὐ πρὸς τὸ γένος ἀποδιδούς, ἀποστὰς δὲ τοῦ ῥητοῦ καὶ τὸ πρᾶγμα ἀπολαβὼν λογικὴν τὸ τοιοῦτο κατονομάζει.

ϑ'. Ἀπορήσει τις, πῶς διαιρεῖ φάσκων ἕτερον εἶναι τὴν νομικὴν καὶ ἕτερον τὴν λογικήν,[10] ὡς μὴ οὔσης τῆς νομικῆς λογικῆς, εἴγε ἡ πᾶσα ῥητορικὴ λογική ἐστιν· ἐλέγομεν γὰρ δύο τέχνας εἶναι λογικάς· τὴν διαλεκτικήν τε καὶ ῥητορικήν· ῥητέον οὖν, ὅτι τῶν πίστεων αἱ μέν εἰσιν ἄτεχνοι, αἱ δὲ ἔντεχνοι· ἔντεχνοι μὲν αἱ δι' ἐνθυμήματος καὶ παραδείγματος· ἄτεχνοι δὲ αἱ διὰ νόμων τε καὶ μαρτύρων· τὴν οὖν διὰ πίστεων ἐντέχνων γινομένην κατ' ἐξαίρετον καλεῖ λογικήν, ἀλλὰ τοῦτο οὐκ ἄν τις παραδέξαιτο· καὶ γὰρ αἱ νομικαὶ διὰ ἐνθυμημάτων καὶ παραδειγμάτων ἔχουσι πολλάκις τὰς στάσεις· καὶ ἔμπαλιν αἱ νομικαὶ διὰ νόμων τε καὶ μαρτύρων· δεῖ οὖν ἐκεῖνο λέγειν, ὅτι δυοῖν ὄντοιν, τοῦ ἀποδεικνυμένου καὶ τοῦ ἀποδεικνύντος, κυριώτερον τὸ ἀποδεικνύμενον· πρὸς οὖν τοῦτο καὶ τὰς στάσεις λαμβάνομεν· ἐὰν μὲν οὖν νόμος ᾖ ὁ ἀποδεικνύμενος, νομικὴν καλοῦμεν τὴν στάσιν· ἐὰν δὲ πρᾶγμα, ἁπλῶς λογικὴν εἶναι τὴν στάσιν ἐκδεξόμεθα, κἂν μυρίοι νόμοι πρὸς κατασκευὴν αὐτοῦ λαμβάνωνται· ζητοῦσι δέ, πῶς κατὰ τὴν διαίρεσιν τῆς λογικῆς εὑρίσκομεν οὐδὲ τὸν στοχασμὸν οὐδὲ τὸν ὅρον

---

9 περὶ Mon. om. 10 Sch. min.: Ἂν δὲ περὶ πρᾶγμα, λογικήν· γενικὸν καὶ τοῦτο τὸ ὄνομα· τί δήποτε τὰς προλαβούσας λογικὰς οὔσας, ἐπ' οὐδεμιᾶς γὰρ οὐκ ἔστιν, ἐφ' ἧς ὁ λόγος οὐ πρόεισιν, ἐνταῦθα τὸ λογικὸν ἀπεκλήρωσεν· ὅτι ἐκεῖναι μὲν οἰκείας ἔχουσαι ἰδιότητας ἐξ αὐτῶν ἐκλήθησαν, ἐνταῦθα δὲ οὐκ ὄντος ἑτέρου τινὸς ἰδιώματος ἀπὸ τῆς κοινῆς τοῦ λόγου προσηγορίας ἐξελήφθησαν.

περιεχόμενον;[11] ἐροῦμεν δὲ ὡς οὐ περὶ πάσης ποιεῖται τῆς λογικῆς τὴν διαίρεσιν, ἀλλὰ περὶ τῆς[12] ποιότητος μόνης. Ὁ δὲ στοχασμὸς ἢ ὁ ὅρος οὐ περὶ τὴν ποιότητα τὴν ζήτησιν ἔχουσιν, ἀλλ᾽ ὁ μὲν κατ᾽ οὐσίαν, ὁ δὲ κατὰ τὴν ἰδιότητα.

ί. Ζητεῖται πῶς τὰ κατὰ μέλλοντα χρόνον τῶν κατὰ παρελθόντα προτέταχε. καὶ ἔστι μὲν ἀποδεῖξαι τὸν πρῶτον τοῦ παρῳχημένου θεωρητῷ λόγῳ τινὶ, ἀλλ᾽ ἵνα μὴ δόξῃ γραμματικῆς ἐρεσχελίας τὸ τοιοῦτο ἔχεσθαι, ἐκεῖνό φαμεν, ὅτιπερ συντομωτέρα ἡ τούτων διδασκαλία· βούλεται οὖν ἀπαλλαγεὶς ἐντεῦθεν οὕτως ἐπὶ τὰ πλείονος λόγου δεόμενα τραπέσθαι, ὅπερ πολλαχῶς ποιῶν φαίνεται.

ιά. Ἐπιλαμβάνονταί τινες ὡς κακῶς εἰπόντος τὸ ἀμφισβήτησις· ἐν γὰρ τοῖς ὅροις, φασὶν, οὐ τὰ γενικώτερα, ἀλλὰ τὰ προσεχῆ γένη λαμβάνειν εἰώθαμεν. ἀλλ᾽ εἰ μὲν ὅρον ἀπεδίδου, τάχα ἂν οὐ κακῶς ἐπελαμβάνοντο· νῦν δὲ ὑπογραφὰς πασῶν ἀποδίδωσιν· ἡ δὲ ὑπογραφὴ, ὅπως ἂν ἔχοι, σημαίνειν μόνον τὸ ὑποκείμενον βούλεται.

ιβ́. Τετάρτην διαίρεσιν· ὑποδιαίρεσις δὲ τρίτη· μετά γε τὴν πρώτην διαίρεσιν ὑποδιαιροῦσι τὰς λογικὰς εἴς τε τὸ παρῳχηκὸς καὶ τὸ μέλλον· τὸ δ᾽ οὖν μέλλον ἅπαν μίαν συλλήβδην περιλαβὼν στάσιν πεποίηται· οἷα μήπω ἐκβεβηκὸς εἰς ἐνέργειαν· ὡς γὰρ ἐπὶ τῶν μήπω εἰς φῶς ἐξεληλυθότων ἀνθρώπων ἑνὶ ὀνόματι[13] τοῦ ἐμβρύου ἀρκούμεθα, τὰς ποικίλας μετὰ τὴν γένεσιν προσηγορίας ποιούμενοι, οὕτω καὶ ὁ τεχνικὸς τὴν φύσιν ἀπομιμούμενος τὸ τοῦ μέλλοντος χρόνου εἰς μίαν ἀπεκορύφωσε στάσιν. τὸ δὲ παρῳχηκὸς εἰς πλείους διεῖλε· τὴν δὲ περὶ τοῦ μέλλοντος στάσιν ὠνόμασε πραγματικὴν, ὡς

11 Mon. περιέχομεν. 12 Mon. τῆς περί. 13 Mon. ὁ νόμος τοῦ ἐμβρίου.

ἐπὶ πρᾶξιν προτρέπουσαν, ὅπερ ἐπὶ τῶν ἄλλων οὐκ ἐποίησε στάσιν. οὐ γὰρ ἐπὶ πράξεις ἐκεῖναι προτρέπονται. ἀλλὰ τὸ ἤδη γεγονὸς ἢ γενέσθαι δοκοῦν ζητοῦσι καὶ δοκιμάζουσιν.

ιγ΄. Ἐδόκει τισὶν ὁ ὅρος οὐ περὶ πραγματικῆς καθεστάναι μόνης, ἀλλὰ περιλαμβάνειν καὶ ἑτέρας τῶν στάσεων. εἰσὶ γὰρ στοχασμοὶ, φασὶ, κατὰ τὸ μέλλον ἔχοντες τὴν ζήτησιν· οἷον νέος πλούσιος ἀποβλέψας εἰς τὴν ἀκρόπολιν ἐδάκρυσε, καὶ κρίνεται τυραννίδος ἐπιθέσεως. τὸ γὰρ εἰ τυραννήσει μέλλοντος καὶ οἱ κατὰ αἴτησιν δὲ ὅροι, φασὶ, περὶ τὸ μέλλον τὴν ζήτησιν ἔχουσιν· οἷον φιλόσοφος συνεχῶς παρὰ τὸν τύραννον εἰσιὼν, πείσας αὐτὸν καταθέσθαι τὴν τυραννίδα ὡς τυραννοκτόνος ἀξιοῖ δωρεὰν λαβεῖν. πᾶσα γὰρ αἴτησις, φησὶ, περὶ μέλλοντος πράγματος· ἐχρῆν δ' αὐτοὺς ἀκριβέστερον διεξελθεῖν τὸν ὅρον· οὐ γὰρ εἶπεν ἁπλῶς ἀμφισβήτησις περὶ μέλλοντος πράγματος, ἀλλὰ προσέθηκεν· εἰ δεῖ γενέσθαι, τόδε τι ἢ μὴ γενέσθαι, ἢ δύναται ἢ μὴ δύναται· ὅπερ ἐν τῷ στοχασμῷ οὐκ ἔστιν. ἐκεῖ μὲν γὰρ περὶ τῆς οὐσίας ζητοῦμεν ἁπλῶς, εἰ γενήσεται· ἐνταῦθα δὲ περὶ τῆς ποιότητος, εἰ δεῖ γενέσθαι τόδε ἢ μὴ γενέσθαι· καὶ οὕτω μὲν τὸ τοῦ στοχασμοῦ ἀπολυόμεθα· τὸ δὲ τοῦ ὅρου ἐκείνως. Τινὲς μὲν προσγράφουσι τῷ κειμένῳ·[14] ἢ δοῦναι τόδε τι ἢ μὴ δοῦναι· ἄμεινον δὲ μὴ παρεντιθέναι. ἀλλὰ κατὰ κοινοῦ τὸ ἄνω ἐκδέχεσθαι· εἰ δεῖ γενέσθαι τόδε τι ἢ μὴ γενέσθαι· ἢ δοῦναι ἢ μὴ δοῦναι, ἵνα ἀπὸ κοινοῦ τὸ τόδε τι λάβωμεν· τούτου δὲ οὕτως ἔχοντος οὐδὲ μία ἀμφιβολία καταλείπεται. ἐν μὲν γὰρ τῷ ὅρῳ ἡ ἰδιότης ἐστὶν ἡ ζητουμένη, εἰ τυραννοκτόνος· καὶ εἰ δεῖ λαβεῖν αὐτὸν ὅλως δωρεάν· ἐν δὲ τῇ πραγματικῇ οὐ περὶ τοῦ δοῦναι ὅλως ζητοῦμεν, ἀλλὰ περὶ τῆς ποιότητος,

εἰ

14 Mon. add. *καί φασιν.*

εἰ τήνδε χρὴ δοῦναι ἢ μή. ὡς εἰ πλάττοιμεν οὕτως· ἀνελών τις τύραννον ἀξιοῖ τὴν οὐσίαν αὐτοῦ λαβεῖν· ὅτι μὲν γὰρ δεῖ δοῦναί τινα δωρεὰν, ὁμολογούμενον· ἀλλ᾽ εἰ δεῖ ταῦτα δοῦναι, ἐστὶν ἡ ζήτησις· τυραννήσεις γὰρ, φησὶν, ὥσπερ ἐκεῖνος, εἰ λάβοις τὴν οὐσίαν αὐτοῦ.

ιδ΄. Ὁρᾷς, ὡς οὐκ ἔξω τοῦ δεδομένου ὅρου βέβηκεν [15] ἡ ἐξήγησις· ἡ γὰρ βουλὴ καὶ ἡ σκέψις περὶ τοῦ γενέσθαι ἢ μὴ γενέσθαι [16] ἢ δύνασθαι ἢ μὴ δύνασθαι, οἷον [17] εἰ χρὴ, φησὶ, θάπτειν τοὺς ἐν Μαραθῶνι πεσόντας τῶν βαρβάρων. καὶ ὅλως περὶ τοῦ ποιῆσαι ἢ μὴ ποιῆσαι· καὶ περὶ πραγμάτων ὁ λόγος καὶ τῷ διώκοντι καὶ τῷ φεύγοντι· τοῦ μὲν προτρέποντος, τοῦ δὲ ἀποτρέποντος· ὥστε καὶ εἰκότως πραγματικὴ ἡ στάσις τῷ τεχνικῷ κατωνόμασται· φασὶν οὖν τινες, ὡς ἀπὸ τοῦ περιέχειν τὰς ὅλας ἐν ἑαυτῇ [18] στάσεις πραγματικὴ ὠνομά-

15 Mon. βεβίωκεν. 16 ἢ μὴ γενέσθαι Mon. om. Idem ἢ δύναται ἢ μὴ δύναται, scr. δύνασθαι. 17 οἷον Mon. om. 18 Par. 1. στάσεις (Mon. στάσει) ἐν ἑαυτῇ. Sch. min.: πεσόντας τῶν βαρβάρων. Ἡρόδοτος· Ἱππίας, ὁ Πεισιστράτου, ἐκβληθεὶς τῆς τυραννίδος πρὸς Ἀθηναίων ἔπεισε Δαρεῖον, πολεμεῖν Ἀθηναίοις, ὁ δὲ πέμπει λ΄ μυριάδας, οἵ γε ἐν περίπλῳ Νάξον ἀνήρπασαν, καὶ Ἐρέτρειαν κατασκάψαντες τοὺς αἰχμαλώτους ἀνέπεμψαν Δαρείῳ, εἰς οὓς ἐστιν ἐπίγραμμα Πλάτωνος.

Εὐβοίων γένος εἰμὲν Ἐρετρικὸν, ἀγχὶ δὲ Σουσῶν
Κείμεθα, φεῦ αἴας τόσσον ἀφ᾽ ἡμετέρας.

Οἱ δὲ Ἀθηναῖοι ἔπεμψαν Φιλιππίδην ἡμεροδρόμον, παρακαλοῦντα συμβαλεῖν Λακεδαιμονίους· οἱ δὲ ἔφασαν μὴ δύνασθαι (Codd. δυνάμενοι) διὰ τὸ μὴ εἶναι κατὰ τὸν νόμον πανσέληνον, ἐφ᾽ ᾧ καὶ τὰ κατὰ τὸν Πᾶνα. Οἱ δὲ εἵλοντο στρατηγὸν Μιλτιάδην τὸν Κίμωνος, ὃς εὐθὺς στρατολογήσας ἐννακισχιλίους Ἀθηναίους παρεγένετο εἰς Μαραθῶνα, εἰς ὃν τόπον ἐστρατοπέδουν οἱ βάρβαροι, ἀπέχοντα ἀπ᾽ Ἀθηνῶν σταδίους τ΄, δυσίππαστον, [Par. 2. δυσίπιστον] ἔχοντα πηλούς τε [Par. 2. πηλούσιον] καὶ τενάγη καὶ λίμνας, καὶ συμβαλὼν ἐνίκα, τοὺς μὲν ἀποκτείνας, τοὺς δὲ τρέψας, θάψας δὲ καὶ τοὺς

σθη. τότε γὰρ νόμιμον αὐτῆς κεφάλαιον κατὰ μίαν τῶν νομικῶν ἐξετάζεται· καὶ τὸ δίκαιον κατὰ μίαν τῶν δικαιολογικῶν, ὥστε οὖν ταύτας ἐν ἑαυτῇ περιέχει· κἀντεῦθεν μᾶλλον πραγματικὴ ὠνομάσθη· ἀλλ᾽ εἰ διὰ τοῦτο φαίημεν αὐτὴν οὕτως ὀνομασθῆναι, ἔδει καὶ τὴν μετάληψιν ἐν τῷ παραγραφικῷ μὲν αὐτῆς μέρει τὰς νομικὰς περιέχουσαν, ἐν δὲ τῇ εὐθυδικίᾳ τὰς λοιπὰς τῶν στάσεων ὁμοιοτρόπως κληθῆναι· ἀλλ᾽ οὐκ ὠνόμασται οὕτως· φασὶ δὲ πάλιν, ὅτι διὰ τὸ τὸ ὅλον εἶδος τοῦ συμβουλευτικοῦ ἐν αὐτῇ ἀπειλῆφθαι πραγματικὴ ἐκλήθη· ἀλλ᾽ ἐχρῆν καὶ τὸ ἐγκωμιαστικὸν διὰ τὸ τὸ πανηγυρικὸν ἅπαν εἶδος ἐμπεριέχειν πραγματικὸν ὀνομάζεσθαι. ἀλλ᾽ οὐχ οὕτως ὠνόμασται· οὔκουν διὰ ταῦτα, ἀλλὰ διὰ τὴν προειρημένην αἰτίαν ἁρμόδιον ἂν εἴη τοῦ τῆς πραγματικῆς ὀνόματος ταύτην μεταλαχεῖν.

Cap. VII.

Περὶ ἀντιλήψεως.

α΄. Καὶ μὴν καὶ αἱ νομικαὶ καὶ ὁ ὅρος πεπραγμένον ἔχουσι τὸ κρινόμενον· καὶ καλοῖντο ἂν κἀκεῖναι δικαιολογίαι δικαίως· ἄλλως τε καὶ δικαιολογίας ἀντιποιούμεθα· ἐν πάσαις γὰρ στάσεσι καὶ τῷ στοχασμῷ δι-

πεσόντας τῶν βαρβάρων. Τρόπαιον οὖν ἔστησεν· ἦν δὲ ἡ ὁδὸς διὰ τριῶν νυχθημερῶν στάδιοι χίλιοι ἑξακόσιοι. Ἐπειδὴ κοινωνεῖ τῷ στοχασμῷ ἡ ἀντίληψις, εἴπωμεν καὶ τὴν κοινωνίαν καὶ τὴν διαφοράν· κοινωνεῖ μὲν οὖν, καθὸ ἀντιλαμβάνεται ἐξουσίας ὁ φεύγων ἐν ἑκατέρῳ, καὶ ὅτι ἀπὸ τῶν αὐτῶν λαμβάνεται ἀμφοτέροις, λέγω δὲ νόμου, ἔθους, φύσεως καὶ τέχνης, διαφέρει δὲ, ὅτι ἐν μὲν τῷ στοχασμῷ ἐπὶ τῶν σημείων τὴν ἐξουσίαν προβάλλει, ἐν δὲ τῇ ἀντιλήψει, ἐπὶ τῶν ἐγκλημάτων χρῆται τῇ ἐξουσίᾳ, καὶ ὁ μὲν ἐφ᾽ οἷς πεποίηκεν, ὁ δὲ ἐξ ὧν.

καιολογίας ἀντιποιοῦνται οἱ ἀγωνιζόμενοι· ἀλλ' ὥσπερ λογικὰς πάσας οὔσας, ἅτε καὶ λόγου μετεσχηκυίας, τὰς μετὰ τὴν [1] τῶν νομικῶν ὑπεξαίρεσιν λογικὰς προσηγόρευσεν, [2] ἐξ ἰδιοτήτων οἰκείων τῶν ἄλλων ὠνομασμένων, οὕτω δὴ καὶ νῦν πεπραγμένον, καὶ τῶν νομικῶν ἐχουσῶν τὸ κρινόμενον, πρὸς δὲ καὶ τοῦ ὅρου καὶ τοῦ δικαιολογικοῦ μετεχουσῶν τῶν στάσεων ἁπασῶν, ὅμως τὰς περὶ [3] τὴν πραγματικὴν δικαιολογικὰς ἀπεκάλεσεν, ὡς τῶν λοιπῶν ἰδιοσήμοις προσηγορευμένων ὀνόμασι· ταύτῃ [4] οὖν αἱ μετὰ τὴν πραγματικὴν δικαιολογικαὶ ὠνομάσθησαν, ὥσπερ αἱ μετὰ τὸν στοχασμὸν καὶ τὸν ὅρον ποιότητες· καὶ διὰ τί οὐκ εἶπεν, ὄνομα κοινὸν τούτῳ δικαιολογία, ὥσπερ ἐκείνῳ λογική, τὰς μετὰ τὰς νομικὰς ὀνομάσας; ὅτι πρὸς τὸ γενικώτερον τὸν λόγον καὶ τὸ καθολικώτερον ἀνήγαγεν, ὡς καὶ γνωριμώτερον· τῶν γὰρ μερικωτέρων τὰ καθολικὰ μᾶλλόν εἰσιν ἐμφανέστερα.

β'. Διὰ τοῦ π ε π ρ α γ μ έ ν ο ν τὸν παρεληλυθότα λαμβάνει, [5] διεῖλε γὰρ τὸ πρᾶγμα εἰς παρῳχημένον καὶ μέλλοντα, καὶ πρῶτον περὶ τοῦ μέλλοντος εἰπὼν νῦν πάλιν διαιρεῖ τὸν παρῳχημένον. Κρίσις δὲ εἶπεν ἐντεῦθεν καὶ οὐ ζήτησις, ἐπειδὴ καθόλου ἐν ταῖς δικαιολογικαῖς ἐγκλήματα ἔχομεν καὶ κατηγορίας.

γ'. Μέτεισιν ἐπὶ τὸ ἕτερον τμῆμα, [6] ὅπερ ἐστὶ κατὰ τὸν παρῳχημένον· ζητοῦσι δέ τινες, πῶς τοῦτο μόνως καλεῖ δικαιολογίαν· καὶ γὰρ ἐν στοχασμῷ καὶ ἐν ὅρῳ περὶ τοῦ δικαίου πολλάκις ζητοῦμεν, καὶ ἐν ταῖς νομι-

1 τὴν Mon. Par. 1. om., est in Par. 2.; mox Par. 1. ἐξαίρεσιν. Par. 2. et Mon. ὑπεξαίρεσιν. 2. Mon. προσηγορεύσας. Par. 1. προσηγορίας. Par. 2. προσηγόρευσεν. 3 Mon. Par. 2. μετά. Par. 1. περί. 4 Mon. ταύτην. 5 Mon. λαμβάνειν. 6 Mon. τίμημα. Sch. min. διαιρεῖ τὸν παρῳχημένον εἰς κεκωλυμένον καὶ μὴ κεκωλυμένον, κἂν μὲν εἴη κεκωλυμένον, φησὶ, ποιεῖ τὴν ἀντίληψιν.

καῖς δὲ τῶν στάσεων· ὑποληπτέον οὖν πρὸς τοῦτο, ὡς οὐδὲ ἐν στοχασμῷ οὐδὲ ἐν ὅρῳ δύναταί τις περὶ τοῦ δικαίου ποιεῖσθαι τὴν ζήτησιν· ὁ μὲν γὰρ στοχασμὸς κατ' αὐτήν ἐστιν ἀφανὴς [7] τὴν οὐσίαν· περὶ δὲ τοῦ ἀφανοῦς πῶς ἄν τις ζητήσειε, πότερον δίκαιον ἢ οὔ; ὁ δὲ ὅρος ἀτελὴς, τὸ δὲ ἀτελὲς οὐκ ἄν τις ὑπὸ τὴν τοῦ δικαίου ζήτησιν ἄγοι. οὔτε γὰρ δίκαιον τέως οὔτε ἄδικον· περὶ δὲ τῶν νομικῶν ἐκεῖνό φαμεν, ὅτι διαιρεῖται τὸ δίκαιον εἰς ἔγγραφόν τε καὶ ἄγραφον· τὸ μὲν οὖν ἔγγραφον καλεῖται νόμιμον, τὸ δὲ ἄγραφον καλεῖται ὁμωνύμως τῷ γένει δίκαιον· τί δὲ ἂν λέγοις περὶ τῆς πραγματικῆς, φαίη τις ἂν, ἔνθα τὸ δίκαιον αὐτὸ μὲν γίνεται· ναὶ φήσομεν, ἀλλ' οὐ τῶν ἀποδεικνυμένων, τῶν ἀποδεικτικῶν δέ· ἐν μὲν γὰρ τῇ ἐγγράφῳ τὸ νόμιμον ἀποδείκνυται, ἐν δὲ τῇ ἀγράφῳ τὸ συμφέρον· ἐνταῦθα δὲ τὸ δίκαιον πέρας [8] ἐστὶ καὶ ἀποδεικνύμενον· εἰκότως οὖν ταύτας μόνας καλεῖ δικαιολογίας.

δ'. Ἐχρῆν οὕτως εἰπεῖν· ἢ γὰρ ἐρεῖ τι πεποιηκέναι ὁ φεύγων, ἢ οὔ· πῶς γὰρ οἷόν τε τὸν ἠδικηκότα ὁμολογεῖν ἀδικεῖν· πλὴν ὡς ἀδίκημα εἶπεν, ὡς ἀπὸ τοῦ κατηγόρου· ἐκεῖνος μὲν γὰρ ὡς ἀδίκημα προβάλλεται· ὁ δὲ φεύγων οὐχ ὁμολογεῖ ὡς ἀδίκημα, ἀλλὰ προβάλλεταί τι δίκαιον.

ε'. Φέρεται Ἀντιοχὶς ἀπορία γελοιοτάτη· [9] καὶ γάρ φασι τὸ Δημοσθενικὸν προβαλλόμενοι ἐκ τοῦ τῆς παραπρεσβείας, [10] μὴ ἂν δικαστήριον συστῆναί ποτε, ὁμολογοῦντος ἠδικηκέναι τοῦ φεύγοντος, ἀφ' οὗ δὲ γέγονε δικαστήριον παρ' ἡμῖν, οὐδεὶς ὁμολογῶν ἀδικεῖν ἑάλω· τοῦτο δὲ πολλῆς ἀνοίας μεστόν· πρόσκειται γὰρ, ὡς ἐρεῖ τι πεποιηκέναι ὡς ἀδίκημα.

---

7 Mon. ἀφανές. 8 Par. 1. πέρας δίκαιον. 9 Mon. τελειότητος. 10 p. 408.

ϛʹ. Κατά τί εἶπε καὶ οὐ καθόλου· ἐμφαίνων ὡς ἐν ταῖς ἀντιθέσεσιν ἀδίκημα μέν ἐστι φύσει τὸ πεπραγμένον· κατὰ δὲ τὴν περίστασιν οὐ κεκώλυται, ἀλλ' ἔχει ταύτην ἐπικουροῦσαν [11] τῷ ἀδικήματι.

ζ. Λαμβάνεται ἡ ἀντίληψις τριχῶς, ἢ ἐξ ἔθους, ἢ ἐκ νόμου, ἢ ἐκ φύσεως· ἢ γὰρ ἔθος λέγεται παρέχειν ἡμῖν τὴν ἐξουσίαν τοῦ πράγματος, ἢ νόμον ἢ φύσιν, οἷον φύσει οἱ ἄνθρωποι τόδε τι πάσχειν εἰώθαμεν· τινὲς δὲ προστιθέασι τούτοις τὸ ἐκ τέχνης· οἷον ζωγράφος ναυάγια [12] γράψας πρὸ τοῦ λιμένος [13] ἀνέθηκεν· οὐ κατάγονται εὔποροι, καὶ κρίνεται δημοσίων ἀδικημάτων· ἀναφέρει γάρ, φασίν, ἐπὶ τὴν τέχνην, ὅτι δίδωσι γράφειν, [14] ὅπερ ἄν τις βουληθείη· ἀλλ' ἐροῦμεν, ὡς καὶ τοῦτο ὑπὸ ἔθος πάντως [15] ἢ ὑπὸ νόμον ἀναχθήσεται· ἐπιδιαιροῦμεν δὲ οὕτως· τῆς ἀντιλήψεως τὸ μέν ἐστι κατὰ τὸ μὴ κεκωλυμένον, τὸ δὲ κατὰ τὸ ἐπιτετραμμένον· τοῦ μὲν οὖν μὴ κεκωλυμένου παράδειγμα, Ἀλκιβιάδης δᾳσὶ [16] μυστικαῖς κωμάζων κρίνεται ἀσεβείας· ἐρεῖ γάρ, ὡς οὐ κεκώλυται τὸ δᾳσὶ μυστικαῖς κωμάζειν· ἐπεί τοι ἄν τις αὐτὸ κεκωλυμένον ἐκδέξηται, εὐθέως ἀσύστατα γίνεται· τοῦ δὲ ἐπιτετραμμένου τοιόνδε παράδειγμα· νόμος τὸν μοιχὸν ἀναιρεῖν· τρισαριστεύς τις εὑρὼν μοιχὸν ἀνεῖλε, καὶ κρίνεται δημοσίων ἀδικημάτων· ἐπιτέτραπται γὰρ τὸ τὸν μοιχὸν ἀναιρεῖν, καὶ πάλιν καθ' ἑτέραν [17] διαίρεσιν τῆς ἀντιλήψεως· τὸ μὲν ἔχει τὴν κρίσιν, ἀφ' ὧν ἐποίησε, τὸ δὲ ἀφ' ὧν οὐκ ἐποίησεν· ἀφ' ὧν ἐποίησεν, ὡς ἐπὶ τοῦ ζωγράφου τοῦ προτιθέντος ἐν τῷ λιμένι τὰ ναυάγια· τὸ δὲ ἀφ' ὧν οὐκ ἐποίησεν, οἷον ζωγράφος μὴ γράψας ποτὲ θεοὺς κρίνεται ἀσεβείας· ἔτι δὲ τῆς ἀντιλήψεως· τὸ μὲν ἔχει τι ἐπισυμβαῖνον ἄτοπον, τὸ δὲ οὔ·

11 Par. 2. ἐπικυροῦσαν. 12 Mon. Par. 1. ναυαγία. Par. 2. ναυάγια. 13 Par. λειμῶνος. 14 Mon. γράφων. 15 Mon. πάντων. 16 δυασὶ bis. 17 Mon. καθετέον.

οἷον τοῦ μὲν προτέρου παράδειγμα ὁ ζωγράφος, ὁ πρὸ τοῦ λιμένος θεὶς τὰ ναυάγια· ἄτοπον γάρ τι συνέβη τὸ μὴ καταίρειν τοὺς ἐμπόρους· τοῦ δὲ δευτέρου παράδειγμα ὁ Ἀλκιβιάδης δᾳσὶ μυστικαῖς κωμάζων, εἶτα κρινόμενος· προτέτακται δὲ εἰκότως ἡ ἀντίληψις τῶν ἀντιθετικῶν· τοῦτο μὲν, ὅτι οὐδὲ προσίεται τὴν ἀρχὴν τὸ ἀδίκημα, τοῦτο δὲ, ὅτι ἁπλούστερος [18] ὁ περὶ αὐτῆς λόγος· ἀδιαίρετος γὰρ μένει τῆς ἀντιθέσεως διαιρουμένης εἰς ἕτερα τέσσαρα.

ή. *Πῶς εἰ ἀνεύθυνον τὸ πεπραγμένον, συνίσταται τῇ στάσει ὑπεύθυνον γινόμενον;* δοκοῦντος δὲ εἶπεν ἀνευθύνου, ἀλλ' οὐχὶ πάντως ἀνεύθυνον· οὐδὲ γὰρ εἶπεν ὄντος καὶ πάλιν οὐκ εἶπεν ἄντικρυς ὑπεύθυνον, ἀλλ' ὡς ὑπευθύνου· γίνεται δὲ ἀντίληψις, ὅτε ὁ φεύγων ὁμολογῶν πεπραχέναι προβάληται τὴν ἐξουσίαν, φάσκων ἐξεῖναι αὐτῷ τοῦτο ποιεῖν.

ϑ΄. Καὶ τὸ τῆς δικαιολογίας ὄνομα γενικόν ἐστιν· ἐφ' ὅσον γὰρ κάτεισι διαιρῶν ὁ τεχνικὸς καὶ μὴ ὁριζόμενος τὰ διαιρούμενα, γενικά εἰσιν, ὑπάλληλα ὄντα γένη τε καὶ εἴδη· γένη [19] μὲν τῶν ὑποκειμένων, εἴδη δὲ τῶν ὑπερκειμένων, ἕως ἂν ἢ ἀνιόντες εἰς γένος καταντήσωμεν γενικώτατον, μὴ ἔχον ἕτερον ὑπερκείμενον γένος, ἢ κατιόντες εἰς εἶδος τὸ εἰδικώτατον, μὴ ἔχον ἕτερον ὑποκείμενον εἶδος· ὃ καὶ στάσις ἐστὶ καὶ τὸν ὁρισμὸν παρὰ τοῦ τεχνικοῦ ἐπιδέχεται· εἰσὶ μέντοι καὶ εἴδη τινὰ στάσεων διαιρούμενα εἰς διάφορα εἴδη, ὥσπερ ὁ στοχασμὸς, ὁ ὅρος, ἡ ἀντίληψις, ἡ πραγματικὴ, ὁ συλλογισμός τε καὶ ἡ μετάληψις· ὡς ἐν τῇ τῶν κεφαλαίων διαιρέσει γνωσόμεθα· οὐ πολὺ μέντοι ἀλλήλων τὰ ἐν αὐτοῖς διαφέρει, ἀλλ' ἰδιώμασί τισιν, ὥσπερ Σκύθης τῷ χρώματι καὶ Αἰθίοπες, [20] ἄνθρωποι ὄντες καὶ φύσει τοῦ

18 Mon. ἁπλούστερον ὅπερ αὐτῆς, 19 Mon. γένος. 20 Mon. χρήματι καὶ Αἰθίοψιν.

αὐτοῦ εἴδους ἑκάτερον, ὑποδιαιρεῖται οὖν ὡς γένος καὶ ἡ δικαιολογία εἰς δύο, ὡς εἶναι τοῦτο τέσσαρας ὑποδιαιρέσεις· ὑποδιαιρεῖται δὲ εἴς τε τὸ κεκωλυμένον κατά τι· οὐ γὰρ εἰς τὸ πάντη κεκωλυμένον· ἢ γὰρ ἂν καὶ ἀσύστατον ἦν καὶ εἰς τὸ πάντη ἀκώλυτον· ὡς ὁ κατηγορούμενος ἀπομάχεται. ἐπεὶ ὅ γε κατήγορος κεκωλῦσθαι αὐτὸ καὶ μὴ ἁπλῶς ἀφειμένον εἶναι διϊσχυρίζεται· εἰ μὲν οὖν οὐδαμῶς, φησὶ, φάσκει κεκωλῦσθαι τὸ γεγονὸς ὁ κατηγορούμενος, ἀντίληψις ἡ στάσις ἐστὶν, ἣν καὶ ὁρίζεται λέγων· ἀντίληψίς ἐστιν ἀνευθύνου πράγματος εἶναι δοκοῦντος ὡς ὑπευθύνου κατηγορία, καὶ παρὰ πόδας τίθησι τὸ παράδειγμα· οἷον γεωργὸς φιλοσοφοῦντα τὸν υἱὸν ἀποκηρύττει. Πῶς αἱ ἄτεχνοι πίστεις διαλευκαίνουσι τρανῶς καὶ διαφωτίζουσι τὰ λεγόμενα, μηδὲ ἑρμηνείας δεόμενα· διὰ γὰρ τοῦτο καὶ ἄτεχνοι λέγονται, ἀνεπιτήδευτον τῷ ἀκροατῇ ἐμποιοῦσαι τὴν τῶν λεγομένων διάγνωσιν· ὁ γὰρ ὅρος ἀσυμφανῶς διηγόρευσεν καὶ εἰς προὖπτον τὸ παράδειγμα προτεθὲν ἐξενήνοχεν· ἀνευθύνου πράγματος εἶναι δοκοῦντος ὡς ὑπευθύνου κατηγορία· τὸ φιλοσοφεῖν γὰρ ἀνεύθυνον· εἰ δὲ καὶ φύσεως ἢ ἔθους ἢ τέχνης ἡ ἀντίληψις ἐπιλάβοιτο, λαμπροτέρα φανήσεται· φύσεως δὲ, ὡς Ἀλκιβιάδης γελάσας τὰ κατὰ Πύλον τοῦ Κλέωνος ἀπαγγέλλοντος, καὶ κρινόμενος ὕβρεως· ἔθους, ὡς ὁ αὐτὸς ἐν ἐκπώμασι [21] γράψας τὰ περὶ Σικελίαν καὶ δημοσίων κατηγορούμενος· τέχνης δὲ, ὡς ὁ [22] τὰ ναυάγια γράψας ἐπὶ τοῦ λιμένος ζωγράφος [23] καὶ μὴ καταιρόντων τῶν πλοίων κρινόμενος δημοσίων.

---

21 Mon. ἅς αὐτὸς ἐν ἐκπτώμασι. Parr. ὡς ὁ αὐτὸς ἐν ἐκπώμασι [Par. 2. ἐκπώματι]. Post δημοσίων Mon. ad marg. addit: ἀδικημάτων. 22 ὁ Mon. om. 23 Mon. ζωγράφου.

Cap. VIII.

Περὶ τῶν ἀντιθετικῶν. [1]

ά. Καλῶς προσέθηκε τὸ γενικὸν, ἵνα μὴ πλάνῃ τις ἐμπέσῃ· πλὴν γὰρ Μινουκιανοῦ πάντες ἀντιθέτων μίαν ἴσασι στάσιν· δηλοῖ οὖν διὰ τούτου, ὅτι οὐ στάσις ἐστὶν, ἀλλὰ γένος στάσεως.

β΄. Ἔστι καὶ τοῦτο τῶν οὐχ ἥκιστα ἠπορημένων, πῶς ταύτην ἀντίθεσιν οἰκείως καλεῖ· πανταχοῦ γὰρ, φασὶν, ἐξ ἀντιθέσεως ἡ στάσις γίνεται, οἷον ἐφόνευσας· ἀντίθεσις, οὐκ ἐφόνευσα· οὐκ ἀκριβῶς δὲ κατενόησαν τὴν φύσιν τῆς ἀντιθέσεως· ἐν ταύτῃ γὰρ αὐτὸς ἑαυτῷ τρόπον τινὰ ὁ κατηγορούμενος ἀντιτίθησιν, ὥστε εἶναι δύο ἀντιθέσεις σχεδὸν, τὴν μὲν τοῦ κατηγόρου, τὴν δὲ αὐτοῦ τοῦ κατηγορουμένου, ἣν αὐτὸς ἑαυτῷ ἀντιτίθησι τῷ δέχεσθαι τὸ ἔγκλημα, ὥστε αὕτη κατ᾽ ἐξαίρετον καλεῖται ἀντιθετική.

γ΄. Πάλιν ἐνταῦθα γενικὸν ἐξεῦρεν ὄνομα τὴν ἀντίθεσιν, ὅταν ὁ φεύγων ὁμολογῇ πεποιηκέναι τι ὡς ἀδίκημα, ἐξ ἧς τέσσαρας ἀπογεννᾶσθαι [2] στάσεις, τὰς ἀντιθετικὰς λεγομένας, ἀντίστασιν, ἀντέγκλημα, μετάστασιν καὶ συγγνώμην, ἃς ἰδιώμασιν οἰκείοις ἀποδιαιρεῖ ἀλλήλων καὶ διΐστησιν οὕτως· εἰ μὲν γὰρ εἰς ἑαυτὸν ὁ φεύγων τὸ γεγονὸς ἀναδέχοιτο, θαῤῥούντως ποιεῖ, ὥς τι μεῖζον ἐπιδεδειγμένος κατόρθωμα· καὶ καλεῖ ἀντίστασιν, ἣν καὶ ὁριζόμενός φησιν· γίνεται γὰρ ἀνθίστασις, ὅταν ὁμολογῶν ὁ φεύγων πεποιηκέναι τι ὡς ἀδίκημα ἀνθίστησιν ἕτερον εὐεργέτημα δι᾽ αὐτοῦ μεῖζον τοῦ ἀδικήματος

---

1 Mon. περὶ ἀντιθέτων. Sch. min. Καλεῖται ὀνόματι κοινῷ ἀντιθετικὰ, ἐπειδὴ πρὸς τῷ ἔχειν τὰς δικαιολογίας καὶ ἀντίθεσιν ἔχουσι πράξεώς τινος, δι᾽ ἣν τοῦτό φησί τις πεπραχέναι. 2 Mon. ἀπογεγεννᾶσθαι.

πεπραγμένον. Σκόπει τοῦ ὁρισμοῦ τὴν ἀκρίβειαν, πῶς ἐκόλασε τὸ ὁ μ ο λ ο γ ῶ ν ἀπό τε τοῦ εἰπεῖν τι, καὶ ἀπὸ τοῦ προσθεῖναι τὸ ὡς· οὐ γὰρ καθάπαξ οὐδὲ ἁπλῶς ἀδικῆσαι ὁμολογεῖ, ἀλλὰ καὶ μικρὸν καὶ δοκοῦν ἀδίκημα· διὰ μὲν γὰρ τοῦ τί [3] τὸ μέτριον καὶ μικρὸν ἐσήμανε· διὰ δὲ τοῦ ὡς τὸ δοκοῦν τε καὶ νομιζόμενον· καὶ τὸ δι' αὐτοῦ πάλιν, οἷον διὰ τοῦ τοιούτου μετρίου καὶ νομιζομένου ἀδικήματος· οὐ γὰρ ἐξ ἄλλης αἰτίας, ἦ γὰρ ἀναπολόγητος ὁ φεύγων ἦν, ἀλλὰ διὰ τοῦ ἀδικήματος αὐτοῦ μεῖζον ἀνθίστησιν εὐεργέτημα, καὶ ταῦτα μὲν ὁ φεύγων ἀγωνιεῖται· ὁ δὲ διώκων τἀναντία δηλονότι ἀνθυποφέρων ἐρεῖ· πλὴν ἀλλ' ὁ τεχνικὸς οὐ τέθεικε παράδειγμα· ἡμεῖς δὲ ἐνεργείας ἕνεκα πλείονος θήσομεν, ἐξ αὐτοῦ λαβόντες, ὅπερ ἐν τῇ διαιρέσει τῶν κεφαλαίων τῶν ἀντιθετικῶν ἐξέθετο στάσεων· ἐν λιμῷ, φησὶ, καὶ πολιορκίᾳ συμβουλεύων ὁ στρατηγὸς ἐξιέναι καὶ μάχεσθαι οὐκ ἔπεισε. διέκοψε λαθὼν μέρος τοῦ τείχους, καὶ νενικήκασι μὲν ἐξελθόντες, δημοσίων δὲ ὕστερον φεύγει· δείκνυσι γὰρ ἐνταῦθα ὁ στρατηγὸς μεῖζον τῆς καθαιρέσεως τοῦ τείχους τὸ ἀπὸ τῆς νίκης εὐτύχημα δι' αὐτοῦ γενόμενον τοῦ ἀδικήματος, ὃ εἰ μὴ ὁ στρατηγὸς ἐτεχνάσατο, σὺν αὐτοῖς ἂν τείχεσι καὶ ἡ πόλις ἄρδην ἅπασα συναπόλωλεν.

Cap. IX.

Περὶ ἀντιστάσεως.

ά. Τεσσάρων οὐσῶν τῶν ἀντιθετικῶν κοινωνοῦσιν ἀντίστασις καὶ ἀντέγκλημα τῷ ἀμφοτέρας ἔχειν τὸ ἑκού-

---

5 Par. 2. τουτὶ τὸ μέτριον καὶ μικρὸν καὶ μικρὸν [sic] Mon. μέτρον.

σιον· εἰ καὶ μὴ ἐπίσης· ἄλλο γάρ ἐστι τὸ ἑκούσιον ἐν τῇ ἀντιστάσει, [1] ἄλλο τὸ ἐν τῷ ἐγκλήματι· ἀλλ᾽ οὖν κοινὸν ἀμφοτέρων τὸ ἑκούσιον· κοινωνεῖ δὲ καὶ ἡ μετάστασις τῇ συγγνώμῃ, καθὸ ἐν ἀμφοτέροις ἐστὶ τὸ ἀκούσιον, γίνεται τοίνυν ἡ ἀντίστασις, ὅταν μηδὲ μίαν ἔχῃ χώραν, μήτε ἀρνεῖσθαι τὸ γεγενημένον, ὡς ἐν στοχασμῷ, μήτε μέρος ὡς ἐν ὅρῳ, μήτε περὶ μέλλοντος ἔχῃ τὴν ζήτησιν, ὡς ἡ πραγματικὴ, μήτε δύνηται ὁμολογῶν τὸ ἔγκλημα εἰς ἐξουσίαν καταφυγεῖν· ἀλλ᾽ ἐκ πάντων τούτων ἐγκλειόμενος ὁμολογῇ [2] μὲν πεποιηκέναι, προτείνῃ δὲ γεγενημένην εὐεργεσίαν, δι᾽ ἣν ἀξιοῖ μὴ εἶναι ἔγκλημα τὸ πραχθέν· γίνεται δὲ τοῦτο, ἡνίκα τὸ μὲν γεγενημένον φύσει ἐστὶν ἀδίκημα, ἐκ περιστάσεως δὲ ἀνεύθυνον· ἀντεστραμμένον τῇ ἀντιλήψει· ἐκεῖ γὰρ οὐ φύσει μέν ἐστιν ἀδίκημα τὸ ἔγκλημα, ἐκ περιστάσεως δὲ δοκεῖ εἶναι ὑπεύθυνον· ἐνταῦθα δὲ τοὐναντίον φύσει μὲν πονηρὸν, τῇ δὲ περιστάσει οὐ δοκεῖ ἔγκλημα εἶναι.

β΄. Σημειωτέον, ὅτι χρὴ δι᾽ αὐτοῦ τοῦ ἀδικήματος [3] ἀντεισάγειν τὸ εὐεργέτημα· οὐ γὰρ δυνατὸν τὸν καθελόντα τὰ τείχη λέγειν, ὥς ποτε εἰσενεγκὼν εἴη χρήματα τῇ πόλει· δεῖ γὰρ ἐξ αὐτοῦ τοῦ γενομένου ἀδικήματος εἰσφέρειν τὸ εὐεργέτημα· ἔστι δὲ ἀεὶ ἐναντία τῇ ἀντιλήψει ἡ ἀντίστασις, ἐν μὲν γὰρ τῇ ἀντιλήψει αὐτὸ τὸ πεπραγμένον ἀνεύθυνόν ἐστι· διὰ δὲ τὴν παράστασιν ὑπεύθυνον γίνεται, διὰ δὲ τῆς περιστάσεως ἀνεύθυνον γίνεται· ζητοῦσι δὲ διαφορὰν τῆς συγγνώμης καὶ τῆς μεταστά-

1 Mon. ἀστάσει, omisso sq. ἄλλο. 2 Mon. ὁμολογεῖ — προτείνει δὲ γεννημένην ἀεργ. — v. 14. Mon. ἀντεστραμμένη, scr. — ον. 3 Sch. min.: Καλῶς εἶπε δι᾽ αὐτοῦ τοῦ ἀδικήματος, οὐδὲ γὰρ ἐπεισάξει ἄλλο ἔξωθεν ἀδίκημα. idem infra repetitur in codice. δι᾽ αὐτοῦ· διατί εἶπεν „ἐὰν δὲ εἴς τι τῶν ἔξωθεν." τοῦτο γὰρ ἴδιον ἀντεγκλήματος, ἀλλὰ καὶ τῶν ἄλλων, καί φαμεν, ὅτι καὶ κοινωνὸν ἔλαβε κατ᾽ αὐτῶν, εἶτα ὑποκατιὼν διαιρεῖ καὶ καταμερίζει ἑκάστῳ τὸ ἴδιον.

σεως· αὐτὸς μὲν ὁ τεχνογράφος διορίζεται, ὡς ἐὰν μὲν εἰς ὑπεύθυνόν τινα μεταφέρῃ τὴν αἰτίαν, μετάστασιν ποιοῦμεν, ἐὰν δὲ εἰς ἀνεύθυνον, συγγνώμην. Ἀλλ' ἐναντιοῦνται αὐτῷ πολλοὶ, αὐτίκα ὁ Μινουκιανὸς δίδωσι πρόβλημα τοιοῦτο· πρεσβύτης ἐξελθὼν οἰκείῳ παιδὶ τελευτήσαντι χοὰς ἐπενεγκεῖν γέγονεν ὑπὸ τοῖς πολεμίοις, εἶτα μαστιζόμενος ἐξεῖπε τὰ ἀπόῤῥητα· καὶ ἐπανελθὼν κρίνεται δημοσίων ἀδικημάτων· καὶ τοῦτο μεταστατικῶς μελετᾷ· ὅπερ ἂν εἴη συγγνώμη κατὰ τὸν τεχνικόν· ἕτεροι δὲ ἄλλην διαφορὰν οἱ ἀμφὶ τὸν Ἄβαντα [4] ἀποδιδόασιν· ἐὰν μὲν γὰρ εἰς πάθος οἰκεῖον, φασὶν, μεταφέρῃ τὴν αἰτίαν ὁ κρινόμενος, οἷον μέθην, ὀργὴν, ἔρωτα, συγγνώμην ποιεῖ· ἐὰν δὲ εἰς ἄλλο τι, μετάστασιν· ἄλλοι δὲ διαφέρειν αὐτὰς ἀλλήλων ἔφασαν, καθὸ ἡ μὲν συγγνώμη εὐτελοῦς προσώπου ὑποκειμένου γίνεται, ἡ δὲ μετάστασις περιφανοῦς· οἷον εἰ μὲν κρίνοιντο οἱ δέκα στρατηγοὶ εὐθὺς, ὅτι [5] οὐκ ἀνείλοντο τὰ τῶν πεσόντων σώματα ἐν Ἀργινούσαις, [6] συγγνώμη γενήσεται, ἐπειδὴ οὐ λαμπρὰ τὰ πρόσωπα· ἐὰν δὲ Περικλῆς ὁ κρινόμενος ᾖ, μετάστασις· περιφανὲς γὰρ τὸ Περικλέους πρόσωπον καὶ οὐκ ἄν ποτε ἕλοιτο συγγνώμην αἰτεῖν, ἀλλὰ μεταστατικῶς ἐπὶ τὸν χειμῶνα χωρήσει· ἄμεινον δὲ ταύτην παρέντας τὴν Πορφυρίου διαφορὰν παραδέχεσθαι· ἔστι δὲ αὕτη· εἰ μὲν εἴη τὸ ἀδίκημα οἷον ἐνδεχόμενον μὴ γενέσθαι ἀλλὰ θεραπείας τετυχηκέναι τινὸς, μετάστασις γίνεται· οἷον νόμος τὸν πρεσβευτὴν εἴσω λ' ἡμερῶν ἐξιέναι, λαβόντα παρὰ τοῦ ταμίου χιλίας δραχμὰς εἰς ἐφόδιον· μὴ λαβών τις καὶ καταμείνας κρίνεται· τοῦτο γὰρ ἐνεδέχετο μὴ γενέσθαι τὸ ἀδίκημα, δυναμένου τοῦ πρεσβευτοῦ ἢ δανείσασθαι, ἢ οἰκεῖα ἔχοντα ἐφόδια ἐξελθεῖν· ἐὰν δὲ ᾖ μὴ ἐνδεχόμενον ἑτέρως γεγενῆσθαι, συγ-

---

4 Mon. ἄβατον. Parr. Ἄβαντα. 5 ὅτι Mon. om. 6 Parr. ἀργιννούσαις. Mon. ὀργινούσαις.

γνώμην ποιεῖ· οἷον χειμῶνος ἐπιλαβόντος οὐκ ἀνείλοντο οἱ στρατηγοὶ τὰ σώματα τῶν πεσόντων ἐν Ἀργινούσαις κατὰ τὴν μάχην καὶ κρίνονται, οὐ γὰρ ἠδύναντό τινα θεραπείαν προσάγειν τῷ ἐκ χειμῶνος κωλύματι· ζητοῦσι δὲ, εἴ τινι διοίσει τὸ ἀντέγκλημα τοῦ ἀντεγκληματικοῦ στοχασμοῦ· λάβωμεν δὲ ἐπὶ παραδείγματος ἀντεγκληματικὸν στοχασμόν· ἐξ ἱεροῦ ἀπώλετο χρήματα, εὑρέθησαν δύο ῥήτορες, ὁ μὲν κατορύττων χρυσίον, ὁ δὲ γράφων ὑπὲρ ἱεροσυλίας λόγον, καὶ ἀντεγκαλοῦσιν· καὶ γὰρ ἐνταῦθα, φασὶν, ἀντικατηγορήσουσιν [7] ἑαυτῶν, ὥσπερ ἐν τῷ ἀντεγκλήματι· σαφὴς δὲ καὶ ἡ τούτου διαφορά· ἐν μὲν γὰρ τῷ ἀντεγκλήματι διακεκριμένοι εἰσὶν ὅ τε [8] κατήγορος καὶ ὁ ἀπολογούμενος καὶ δῆλον τὸ πεπραγμένον, ὑφ᾽ ὅτου πέπρακται· οὐ μόνον δὲ, ἀλλὰ καὶ τὸ ἑκουσίως πεπρᾶχθαι πρόσεστιν· ἐν δὲ τῷ ἀντεγκληματικῷ στοχασμῷ ἄδηλον, τίς κατηγορεῖ ἢ τίς ἀπολογούμενος· ἀντεγκαλοῦσι γὰρ ἀλλήλοις· καὶ τίς ὁ πεπραχὼς ἄδηλον· ἔπειτα ἐν μὲν τῷ ἀντεγκλήματι μεταλλαγή τις εἴωθε γίνεσθαι· συμβαίνει μὲν γὰρ τὸν κατηγορούμενον κατηγορεῖν, τὸν δὲ διώκοντα ἀπολογεῖσθαι· ὁ μὲν γὰρ φεύγων κατηγορήσει, φάσκων, ἄξιον εἶναι παθεῖν τὸν πεπονθότα [9] ὃ πέπονθε, καὶ χρήσεται τοῖς τοῦ κατηγόρου κεφαλαίοις· ὁ δὲ διώκων ἐκ τοῦ ἐναντίου ἀπολογήσεται· ἐν δὲ τῷ ἀντεγκληματικῷ στοχασμῷ οὐκ ἔστι τὸ τοιοῦτον εὑρεῖν, ὅπου γε οὐδὲ διακέκριται, τίς μὲν ὁ κατήγορος, τίς δὲ ὁ κατηγορούμενος.

---

7 Par. 1. ἀντικατηγοροῦσιν, omisso φασίν. 8 Mon. οἵ τε. 9 Mon. τὸν πεπ. παθεῖν, ἃ παθεῖν.

Cap. X.

Περὶ ἀντεγκλήματος.

α΄ Τὸ ἕτερον τῆς διαιρέσεως σκέλος ἀπολαβὼν τὸ εἴς τι [1] τῶν ἔξωθεν μεθιστῶν τὸ ἀδίκημα, πάλιν ὑποδιαιρεῖ τοῦτο διχῶς· ἢ γὰρ εἰς τὸν παθόντα, φασὶν, ἢ εἰς ἄλλο τι μεθίστησιν· ἂν μὲν οὖν εἰς τὸν παθόντα, ἀντέγκλημα γίνεται [2] καὶ τὸν ὅρον ἐπήνεγκε λέγων ἀντέγκλημα, ὅταν ὁμολογῶν ὁ φεύγων πεποιηκέναι τι ὡς ἀδίκημα διὰ τοῦ ὡς πάλιν καθαιροῦντα δεικνὺς τὸν κατηγορούμενον τὸ ἀδίκημα, ἀντεγκαλεῖ τῷ πεπονθότι ὡς ἀξίῳ παθεῖν. Τὸ ὡς ἐνταῦθα βεβαιωτικὸν, οὐχ ὑφέσιμον ἀπὸ τοῦ φεύγοντος κατὰ τοῦ παθόντος λεγόμενον, εἴτε αὐτὸς ὁ κατήγορος εἴη εἴτε καὶ ἕτερος· παράδειγμα δὲ οὐδ᾽ ἐνταῦθα δίδωσιν, ὥσπερ οὐδὲ ἐν τῇ ἀντιστάσει· κείσθω δὲ παράδειγμα ὁ ἀριστεὺς, ὃς πορνεύοντα τὸν υἱὸν ἀπέκτεινε καὶ φόνου φεύγει· ἀντεγκαλέσας γὰρ τῷ πεπονθότι ὡς ἀξίῳ παθεῖν, αἰσχροῦ βίου ὄντως [3] ὡς καὶ πατρικὰ παρακινῆσαι σπλάγχνα δι᾽ ὑπερβολὴν τῆς αἰσχρότητος.

Cap. XI.

Περὶ μεταστάσεως.

Ὅταν μήτε εἰς ἑαυτὸν μήτε εἰς τὸν παθόντα μεθιστᾷ ὁ φεύγων τὸ ἔγκλημα, ἀλλ᾽ εἴς τι ἕτερον τούτου [1] πάλιν ὑποδιαιρούμενον, εἴς τε τὸ ὑπεύθυνον καὶ ἀνεύθυνον, δύο στάσεις ἡμῖν ἀπογεννῶν ἀναφαίνεται, μίαν μὲν ἐκ

---

1 Mon. εἴ τις. 2 Mon. γίνεσθαι, scr. γίνεται. 3 ὄντος Mon. om.

1 Mon. τούτου. Par. 1. τουτί.

τοῦ ὑπευθύνου τὴν μετάστασιν, ἑτέραν δὲ ἐκ τοῦ ἀνευθύνου τὴν λεγομένην συγγνώμην· ὅρους μὲν οὖν τῶν εἰρημένων οὐ δίδωσι στάσεων, διὰ δὲ παραδειγμάτων τρανότερον τοῦ ὁρισμοῦ ταύτας ἡμῖν παραδίδωσι.

β΄. Ζητοῦσι πῶς εἶπεν ὑπεύθυνον πρᾶγμα· πῶς γὰρ δυνατὸν ὑπὸ κρίσιν καὶ εὐθύνας πρᾶγμα γενέσθαι· τοῦτο γὰρ προσώπων ἐστί. ῥητέον δὲ, ὡς ὑπεύθυνα λέγει πράγματα τοὺς νόμους καὶ τὰ ψηφίσματα· ὅσα γὰρ μὴ πρόσωπα, ταῦτα δηλονότι πράγματα. εἴπερ οὖν οὐδαμοῦ κατηρίθμησεν ἐν τοῖς προσώποις τὸν νόμον ἢ τὸ ψήφισμα, λείπεται πράγματα καθεστάναι αὐτά· ὑπεύθυνα δὲ γίνεται τῷ λυθῆναι ἢ τὸν τεθεικότα κολασθῆναι.

Cap. XII.

Περὶ συγγνώμης.

α΄. Πρὸς Μινουκιανὸν καὶ νῦν ἀποτείνεται λέγων, „εἰ δέ τις περὶ τούτων ἀμφισβητεῖ·“ ἐκεῖνος γὰρ ἄλλως διαιρεῖ τὴν συγγνώμην τῆς μεταστάσεως, καὶ οὐ τῷ ἀνευθύνῳ καὶ ὑπευθύνῳ, ὥσπερ ὁ Ἑρμογένης, καὶ τοῖς τῆς ψυχῆς πάθεσι καὶ τοῖς περὶ τὰ πάθη τὰ ψυχικά. τὸ μὲν γὰρ εἴς τι τῶν ψυχικῶν καθιστᾷν παθῶν συγγνώμης εἶναι ὁρίζεται, τὸ δὲ ἄλλο τι μετάστασιν, κἂν ὑπὸ εὐθύνην δύνηται γίνεσθαι κἂν μή· ὡς εἶναι αὐτοῖς τὴν διαφορὰν περὶ τῶν μήτε εἰς πάθη ἀναφερομένων ψυχῆς, μήτε εὐθύνης δεκτικῶν. οἷον φέρε εἰπεῖν, χειμὼν, χάλαζα, ὑετὸς, σκηπτὸς [1] καὶ εἴτι [2] ἕτερον τοιου-

---

1 σκηπτὸς Mon. Par. 1. om. recepi ex Par. 2.   2 Mon. ἔτι.

Sch. min.: διὰ τὸν χειμῶνα· ἐνταῦθα ἐπὶ τὸν χειμῶνα ἡ μετάστασίς ἐστι [Par. 2. ἔσται] τοῦ ἀδικήματος, εὐθύνης ἀνεπίδεκτον ὄντα. γνώρισμα δὲ τοῦτο συγγνώμης ἡ διδασκαλία παρέδωκεν. — Ἰστέον,

τότροπον. τὸ γὰρ εἰς τοιαῦτα μεθιστᾶν Ἑρμογένης μὲν ὑπὸ τὴν συγγνώμην τάττεσθαι βούλεται, ὥστε καὶ τὸ εἴς τι πάθος ἀναφέρειν ψυχῆς. ὁ δὲ Μινουκιανὸς ὑπὸ τὴν μετάστασιν· ὥσπερ καὶ αἰτιώμεθα τὸν ὑπ᾽ εὐθύνην γενέσθαι δυνάμενον· ἐν μὲν γὰρ τοῖς ὑπ᾽ εὐθύνην καὶ τοῖς ψυχικοῖς συμφωνοῦσιν ἑκάτερα. ἐν δὲ τοῖς τούτων μεταξὺ διαφέρονται·[3] ὁ μὲν τῇ συγγνώμῃ, ὁ Ἑρμογένης, ὁ δὲ τῇ μεταστάσει, ὁ Μινουκιανὸς, ταῦτα συνάπτοντες· ἀλλ᾽ ἵνα τῷ τεχνικῷ συνασπίσωμεν, ἄριστα περὶ αὐτῶν διεσκέψατο εἰρηκὼς, ὅτι τὰ τοιαῦτα καὶ μετάστασιν ἄν τις ἐν καιρῷ[4] καὶ συγγνώμην ἀποκαλέσειεν· ὅτε μὲν ἀντιστῆναι τῷ προσισταμένῳ μηχανή τις προσῇ, ὑπὸ συγγνώμην[5] ἄγων αὐτὰ, ὁπηνίκα δὲ τοῦτο ἀδύνατον, ὑπὸ τὴν μετάστασιν τιθεὶς, ὅπερ μεθόδου δεινότητος, οὐ τοῦ διαιρετικοῦ τρόπου ἴδιον, ὡς ἐν τῇ περὶ τῶν ἀντιθετικῶν διαιρέσει ὁ Ἑρμογένης ἡμῖν παραδίδωσιν. ἀλλ᾽ ἡ μὲν περὶ τῶν ἀντιθετικῶν στάσις διάγνωσις ἐν τοσούτῳ· πλὴν οὐδ᾽ ἐκεῖνο παραδραμεῖν ἄξιον, τί δήποτε τῶν ἀντιθετικῶν ἁπασῶν ἐν τοῖς αὐτοῖς τεμνομένων κεφαλαίοις οὐ μιᾶς καὶ τῆς αὐτῆς στάσεως, οἷον τῆς ἀντιθέσεως, εἴδη αὐτὰς ὁ τεχνικὸς ἀπεκάλεσεν, ὥσπερ ἐπὶ τοῦ στοχασμοῦ καὶ τοῦ ὅρου, καὶ μέντοι καὶ τῆς ἀντιλήψεως πεποιηκὼς καταφαίνεται, ἀλλ᾽ ἑκάστην αὐτῶν ἰδίαν στάσιν[6] ὠνόμασε, πρὸς ὅπερ ἐπιλύοντες λέγομεν, ὅτι ταυτότητα στάσεως οὐχ ἡ ταυτότης τῶν κεφαλαίων, ἀλλ᾽ ἡ τοῦ ὁρισμοῦ ταυτότης ἐργάζεται. καὶ οὐ χρὴ τῇ ταυτότητι τῶν κεφαλαίων προσέχοντας μίαν δὲ καὶ τὴν αὐτὴν στάσιν τὰς ὅλας ἀποκαλεῖν, ὁπόσαι τοῖς αὐτοῖς κεφαλαίοις διῄ-

---

ὡς ἑκάστου πράγματος τρία εἰσὶ, τὸ αἴτιον, τὸ συνέχον, τὸ κρίνον· αἴτιον μὲν οὖν ὁ κατήγορος, μὴ γὰρ αὐτοῦ βουλομένου, οὐκ ἂν εἴη δικαστὴς, συνέχον δὲ ὁ ἀπολογούμενος, κρίνον δὲ ὁ δικαστής.

3 Mon. *διαφέρεται.* 4 Mon. *ταυτῷ.* 5 Mon. *συγγνώμης.*
6 Mon. *ἰδία στάσις.*

ρηνται,[7] ἀλλὰ τῷ ὁρισμῷ δεῖ προσέχειν, κἂν τῷ αὐτῷ ταύτας ὑποκειμένας ἐφεύροιμεν, τῆς αὐτῆς εἶναι στάσεως εἴδη ταύτας ἀποκαλέσομεν· εἰ δὲ διάφορον ὁρισμὸν ἑκάστῃ τούτων ἀποδεδομένον εὑρήσομεν, διαφόρους εἶναι καὶ τὰς στάσεις ἐπιγνωσόμεθα. Ἐπεὶ [8] τοίνυν ἐν μὲν τῷ στοχασμῷ καὶ τῷ ὅρῳ καὶ τῇ ἀντιλήψει ἕνα καὶ τὸν αὐτὸν ὁρισμὸν, τὸν ὑπὸ τοῦ τεχνικοῦ καθ᾽ ἑκάστην τῶν εἰρημένων στάσεων ἀποδεδομένον, ἐφαρμόζοντα καὶ πᾶσι τοῖς λεγομένοις αὐτῶν εἴδεσι καταγνοοῦμεν, εἰκότως καὶ εἴδη τούτων εἶναι αὐτὰς, ἃν τοῖς ὁρισμοῖς ὑπόκεινται, δεδιδάγμεθα. ἐπὶ δὲ καὶ τῶν ἀντιθετικῶν ἑκάστης αὐτῶν ἴδιον ὅρον ἀφωρισμένον λαχούσης, εὐτέχνως καὶ στάσιν ἑκάστην εἶναι τούτων ὑπὸ [10] τοῦ τεχνικοῦ παρελάβομεν.

β΄. Τὴν περὶ τῶν λογικῶν τελέσας στάσεων μέθοδον καὶ ταῖς νομικαῖς εἰσβαλεῖν ἤδη μέλλων, συμπληρωτικῇ ἐννοίᾳ καὶ καταστατικῇ ἅμα χρῆται,[11] τὰς μὲν διὰ τῆς συμπληρωτικῆς ἀναπαύων ἐννοίας, τῶν δὲ καταστατικῶς ἀναρχόμενος· καὶ, φησὶ, τὰς μὲν οὖν λογικὰς τῶν στάσεων ἐκ τούτων ἐπιγνωσόμεθα· ποίων τούτων; ἐκ τῆς διαιρέσεως καὶ τῶν ὁρισμῶν, ἐκ τῶν παραδειγμάτων αὐτῶν· ἀλλὰ ταῦτα μὲν κοινὰ τῶν στάσεων ἁπασῶν· οἷς δὲ ἀλλήλων διενηνόχασι, ποῖα; ὅτι αἱ μὲν λογικαὶ οὐ περὶ ῥητὰ, περὶ δὲ πράγματα καταγίνονται, καὶ τὴν τούτων ποιότητα, αἱ νομικαὶ δὲ περὶ ῥητὰ τὴν ζήτησιν ἔχουσι. ταύτῃ τοι καὶ μετὰ τὰς λογικὰς εἰκότως ἐτάχθησαν. ὑστερόχρονοι γὰρ οἱ νόμοι τοῦ λόγου· καὶ πᾶς μὲν νόμος καὶ λόγος, οὐ πᾶς δὲ λόγος καὶ νόμος, ἔνθεν καὶ συντελέσας τὰ περὶ τῶν λογικῶν, καὶ τῇ συμπλη-

7 Mon. διήρηται. 8 Mon. ἐπὶ, omisso sq. μέν. 9 καὶ Parr. om. 10 ὑπὸ Mon. om., recepi ex Parr. 11 Mon. καταστικῇ χρῆτ᾽ ἂν, sine ἅμα.

πληρωτικῇ ἐννοίᾳ ἐπισφραγίσας αὐτὰς καὶ περὶ τῶν νομικῶν ἐπήγαγε λέγων. τὰς δὲ αὖ νομικὰς οὕτως καταστατικῶς εἰς ἀρχὴν ἀνάγων τὸν λόγον· καὶ ὥσπερ ἐπ᾽ ἐκείνων ἱστῶν τὸν ἀκροατὴν, οὕτως ἐπὶ ταύτας διανιστῶν.

γʹ. Διεῖλε τὴν ποιότητα εἰς λογικὰς καὶ νομικάς· διεξελθὼν οὖν τὰς λογικὰς ἔρχεται ἀκολούθως ἐπὶ τὰς νομικὰς καὶ λέγει πρῶτον, ὅ τί ποτέ ἐστι καθόλου νομικὴ στάσις, καὶ οὕτως ἐπὶ τὰ κατὰ μέρος ἔρχεται· λέγει δὲ νομικὴν στάσιν τὴν ἀπὸ ῥητοῦ ἀρχομένην, καὶ περὶ αὐτὸ τὴν ζήτησιν ἔχουσαν· ἂν γὰρ μὴ γένηται [12] περὶ αὐτὸ ἡ ζήτησις, οὐκ ἔστι νομική.

Cap. XIII.

Περὶ τῶν νομικῶν στάσεων.

αʹ. Πρὸ τῶν ἄλλων τοῦτό σε χρὴ γινώσκειν, τὴν διαφορὰν τῶν νομικῶν, ἣν ἔχουσι πρὸς τὰς λογικὰς, ἀλλὰ καὶ τὰς ἄλλας στάσεις, ὅτι περὶ ῥητὰ ἀνάγκη καὶ νόμιμα τὴν ζήτησιν ἐνταῦθα γίνεσθαι, ἃ τῶν λόγων ὡς ἔγγραφα ὑστερίζουσι, μήτις ἄρα μάτην οἴηται [1] ἡμᾶς ἐκείνων ταῦτα ἀποδιελόντας καὶ ἀποκρίναντας ὑστεραίαν [2] τὴν περὶ αὐτῶν ταμιεῦσαι ζήτησιν, ὅτι καὶ νόμοι πρὸς λόγους τὸ μεταχρόνιον ἔχουσι· καὶ οὐκ εἴ τι λόγος, καὶ νόμος, εἴ τι δὲ νόμος, καὶ λόγος, καὶ καλῶς ἄρα ταύταις τὴν ἐσχάτην ἀπενείμαμεν χώραν ὡς εἰδικωτέραις καὶ ὑποβεβηκυίαις τοῦ λόγου προτερεύοντος καὶ γενικωτέραν τὴν φύσιν καὶ καθολικωτέραν [3] λαχόντος, εἰ καὶ τὴν μετάληψιν αὐταῖς ὑπελάβομεν, [4] καὶ εἰκότως ὡς κατὰ μίαν τῶν νομικῶν καὶ τῶν ἄλλων στάσεων [5] ἐξεταζο-

---

12 Mon. γένοιτο.

1 Codd. οἴεσθαι. 2 Mon. ὑστερέσας. 3 τὴν φύσιν καὶ καθολ. Mon. om. 4 Mon. ὑπερβάλομεν. 5 Par. νομ. στάσεων καὶ τ. ″.

μένην, καὶ διὰ τοῦτο μετὰ πάσας ταχθεῖσαν, ἵνα τῶν ἐξ ὧν ἐστιν ἤδη προεγνωσμένων τὸ εὔληπτον αὐτὴ καὶ τὸ εὐδιάγνωστον ἕξει. εἰ γὰρ καὶ τὸ ἔγγραφον αὐτῆς μέρος ἰδίοις ἐξετάζεται κεφαλαίοις, ἀλλὰ τῷ μείζονι μέρει καὶ κρείττονι συναπήχθη, καὶ τῆς αὐτῆς αὐτὸ τάξεως εἴληχε·[6] κρείττων γὰρ ἡ ἀπὸ νόμου παραγραφὴ τῆς ἀγράφου· διαπορήσειε[7] δ᾽ ἄν τις περὶ τῆς πραγματικῆς, διὰ τί μὴ καὶ αὐτὴ πασῶν τῶν στάσεων μετετάγη,[8] τῶν αὐτῆς κεφαλαίων, τοῦ τε νομίμου καὶ τοῦ δικαίου, κατὰ μίαν τῶν νομικῶν καὶ τῶν δικαιολογικῶν ἐξεταζομένων· αὐτόθεν ἡ λύσις· ὅτι τῶν δύο μόνων αὐτῆς κεφαλαίων κατ᾽ ἐκείνας ἐξεταζομένων τὰ λοιπὰ πλείονα ὄντα ἰδίαν ἔχει ἐξέτασιν, καὶ τῷ πλείονι καὶ αὕτη μέρει αὐτῆς συναπήχθη, καὶ ἣν ἐκείνῳ τάξιν ἡ διαίρεσις ἔταξε, ταύτης εἰκότως καὶ ἡ πραγματικὴ πᾶσα τετύχηκεν, ἄλλως δὲ καὶ ἡ μετάληψις τῆς διαιρετικῆς μεθόδου ἔξωθεν πίπτουσα μετὰ τὴν διαιρετικὴν εἰκότως τέτακται μέθοδον· ἡ πραγματικὴ δὲ τοιαύτης ἔλαχε τάξεως, οἵαν ἡ διαίρεσις παραδέδωκεν· εἰ δὲ ἐν τῇ μεθόδῳ οὕτω[9] τὴν τάξιν αὐτῶν διαθεὶς ἐν τῇ τῶν κεφαλαίων διαιρέσει τὴν αὐτὴν μὴ ἐτήρησε τάξιν, ἑτέρου λόγου,[10] ὃν ἐν τοῖς ἐκεῖσε γενόμενοι λέξομεν.

β. Εἴπομεν, ὅτι κατὰ ῥητὸν ζήτησις γίνεται, ὅταν ὁμολογουμένων τῶν πραγμάτων ἐκ τῶν νόμων ἡ ζήτησις ἀνακύπτῃ· κἂν γὰρ ἐν ταῖς λογικαῖς εὑρίσκωνται νόμοι, ἀλλ᾽ οὖν ἀπὸ ῥητῶν μὲν ἡ ζήτησις· οὐ μὴν δὲ καὶ περὶ ῥητά· σκόπει γὰρ ὅπως ἀκριβῶς ὡρίσατο εἰπὼν περὶ τὸ ῥητόν· οὐ γὰρ ἁπλῶς, ὅπου δ᾽ ἂν ἐμπίπτῃ ῥητὸν, νομικὴν ποιήσει τὴν στάσιν, ἀλλ᾽ ὅταν περὶ τὸ ῥητὸν ἡ ζήτησις ᾖ.

---

6 Par. 1. μετέλαβε. Par. 2. Mon. εἴληχε. 7 Mon. διαπορήσει. Par. 2. διαπορήσῃ. Par. 1. διαπορήσειε. 8 Mon. μετάγη. 9 Mon. τούτῳ. 10 Mon. ἕτερον λόγον.

γ΄. Εἴπερ αἱ κατὰ ῥητὸν στάσεις νομικαὶ αἱ μὲν[10*] διαθήκας, αἱ δὲ ψηφίσματα ἔχουσιν ὑποκείμενα, πῶς οὐ καὶ διαθετικὰς, εἰ τύχοι, λέγομέν τινας στάσεις καὶ ψηφισματικὰς, ἀλλ' ἐκ τοῦ ἑνὸς κοινῶς νομικάς; λεκτέον δὲ, ὡς ἐκ τοῦ κυριωτέρου ἡ ἐπὶ πάντα ὀνομασία[11] κεχώρηκεν, τοῦ δὲ κατὰ ῥητὸν ἀνάγκην φησὶν ἢ περὶ ἓν ῥητὸν, ἢ περὶ πλείονα γίνεσθαι· ἐὰν μὲν οὖν, φησὶ, περὶ ἓν ῥητὸν γένοιτο, ἀντιτίθεμεν αὐτῷ ἢ τὴν διάνοιαν ἢ πρᾶγμά τι εἰς ταὐτὸν ἄγον τὸ ἄγραφον τῷ ἐγγράφῳ. τοῦ μὲν οὖν προτέρου παράδειγμα τὸ τὸν ξένον ἐπὶ τὸ τεῖχος ἀνιόντα θανάτου ζημιοῦσθαι· ἀνελθών τις ἠρίστευσε καὶ ὑπάγεται τῷ νόμῳ· ἀντιτίθησι γὰρ τὴν διάνοιαν τοῦ νομοθέτου, ὅτι τοὺς ἐπὶ βλάβῃ ἀνιόντας ἐκώλυσε· τοῦ δὲ δευτέρου νόμου, τὸν ἐκ πόρνης μὴ[12] δημηγορεῖν, ἐκ πόρνου τις γενόμενος κωλύεται λέγειν· συνάγει γὰρ τόν τε νόμον καὶ τὸ πρᾶγμα, φάσκων ταὐτὸν εἶναι, ἄν τε ἐκ πόρνου τις ἄν τε ἐκ πόρνης γεγένηται· ἀλλὰ κἀνταῦθα φαίη ἄν τις τὴν διάνοιαν ἐξετάζεσθαι τοῦ ὑποκειμένου ῥητοῦ. Τίς οὖν ἡ διαφορὰ τοῦ συλλογισμοῦ πρὸς τὸ ῥητὸν καὶ τὴν διάνοιαν; πρῶτον μὲν τῷ ῥητῷ καὶ τῇ διανοίᾳ αἰτίαν ἀποδίδομεν· οἷον διὰ τὸ μὴ βλάβην τινὰ γενέσθαι, ἀνιόντος ἐπὶ τὸ τεῖχος τοῦ ξένου, ἔθηκε τοῦτον ὁ νομοθέτης τὸν νόμον, ἐγὼ δὲ ὠφέλησα· ἐν δὲ τῷ συλλογισμῷ οὐκ αἰτίαν ἀποδώσομεν, ἀλλ' αὐτὸ τοῦτο εἶναι φήσομεν, τὸ ἐκ τοῦ νόμου δημηγορευμένον· ἔπειτα μὲν τῷ συλλογισμῷ ὁ διώκων συνάγει τό τε ῥητὸν καὶ τὸ ἔξωθεν φερόμενον. ἐν δὲ τῷ ῥητῷ καὶ τῇ διανοίᾳ διΐστησι· τὸ γὰρ ῥητὸν μόνον προβάλλεται, τὴν δὲ τῆς διανοίας ἐξέτασιν οὐ παραδέχεται. τοῦτο γὰρ ὁ φεύγων ποιήσει· τρίτη διαφορὰ, ὅτι ἐν μὲν τῷ ῥητῷ καὶ τῇ διανοίᾳ τὸ ἔξωθεν παραλαμβανόμενον

10* Mon. αἱ μὲν νομικαὶ, αἱ δὲ διαθήκας. mutavi ex conj. 11 Mon. ὀνομάτων. 12 μὴ Mon. om.

ὁ κατηγορούμενος ἔχει, τουτέστι τὸν τῆς διανοίας ἐξετασμὸν, τὸ δὲ ῥητὸν ἀεὶ ὁ κατηγορῶν. ἐν δὲ τῷ συλλογισμῷ ὡς ἐπὶ πᾶν ὁ φεύγων τὸ ῥητόν· προσέθηκε δὲ τὸ ὡς ἐπὶ τὸ πλεῖστον. τινές φασιν, ὧν ἐστι καὶ Μινουκιανὸς, ὅτι γε οὐκ ἐν παντὶ ῥητῷ καὶ διανοίᾳ τὸ ῥητὸν ὁ κατήγορος ἔχει· ἐν γὰρ τοῖς κατὰ αἴτησιν ὁ φεύγων αὐτῷ χρήσεται, οἷον νόμος τὸν πηρὸν ἐκ τοῦ δημοσίου τρέφεσθαι, πηρώσας τις ἑαυτὸν ἀξιοῖ ἐκ τοῦ δημοσίου κομίζεσθαι τὰς τροφάς. ἐνταῦθα γὰρ, φησὶν, ὁ μὲν κατηγορῶν χρήσεται τῇ διανοίᾳ, ὅτιπερ ὁ νόμος κελεύει τοὺς κατὰ περίστασιν πηρωθέντας ἐκ τοῦ δημοσίου τρέφεσθαι, οὐ τοὺς ἐξεπίτηδες τοῦτο ἑαυτοὺς δεδρακότας· ὁ δὲ ἀπολογούμενος χρήσεται τῷ ῥητῷ. τοῦτο δὲ οὐκ ἀληθὲς, ἀεὶ γὰρ τὸ ῥητὸν ἔσται τοῦ κατηγόρου, ἀλλ' ἵνα μὴ δόξῃ πάντα ἐναντιοῦσθαι Μινουκιανῷ, διὰ τοῦτο προσέθηκε τὸ ὡς ἐπὶ τὸ πλεῖστον ὁ τεχνικός.

δ'. Ῥητὰ, φησὶν, ἀκούσας μὴ μόνον νόμους νοήσῃς ἀλλὰ καὶ διαθήκας, ἐπεὶ καὶ αὗται ὡς νόμος παρὰ τοῖς κληρονόμοις κρατοῦσι καὶ ψηφίσματα· ἀπὸ γὰρ νόμων καὶ ταῦτα ὥρμηνται· καὶ ἐπιστολὰς οὐ τὰς ἐν τύπῳ φιλίας, ἀλλὰ διαταγῆς δυνάμει ἐκ βασιλέων τοῖς ἄρχουσι τῶν ἐπαρχιῶν στελλομένας, αἳ ὅρος αὐτοῖς καὶ νόμος ἐστὶν ἀπαράγραπτος. Κηρύγματα ὡρισμένα,[13] οὐχ ἁπλῶς κηρύγματα, ἀλλ' ὡρισμένας[14] διατάξεις ἐπιτελεστικάς τινας ἔχοντα. πάντα ἁπλῶς τὰ ἐν ῥητοῖς· τί φησι λέγειν διαθήκας, ψηφίσματα, ἐπιστολὰς, κηρύγματα καὶ ταῦτα δὴ τὰ κατὰ μέρος νοούμενα, συνε-

13 Sch. min.: ὡρισμένα, ὅταν ἐπὶ συμφέροντι τῆς πόλεως κηρύττηται, καὶ τὰ δημόσια, οἷον ὁ ἀγωνιζόμενος ὑπὲρ ἐλευθερίας τῆς πόλεως στεφανούσθω, καὶ τὰ ἐπὶ ὡρισμένου προσώπου, οἷον Δημοσθένην Παιανιέα ἐψηφίσατο ὁ δῆμος στεφανοῦσθαι χρυσῷ στεφάνῳ. 14 Mon. ὁρισμένους. Par. 1. ἀλλ' ὡρισμ. διατάξεις usque ad τί φησι λέγειν διαθήκας ψηφίσματα om.

λόντα εἰπεῖν ἅπαν ῥητὸν ἢ πρὸς τὸ ὑπήκοον ἐν διατάγματος ἐκφωνούμενον τρόπῳ ἢ ἐν συμφώνοις τισὶν ἢ συναλλάγμασιν οἱοισδήποτε κείμενα, εἰ μὴ ἐναντιοῦται νόμῳ, ἰσχὺν ἔχει νόμου· καὶ ὡς νόμος καὶ πράττεται καὶ συνδεῖ καὶ συνέχει τοὺς συναλλάξαντας. ἢ τοίνυν οὕτως ἑρμηνευτέον· ἢ τὸ [15] μὲν κηρύγματα στικτέον, τὸ δὲ ὡρισμένα τῷ πάντα ἁπλῶς τὰ ἐν ῥητοῖς προσθετέον, ἵν' ᾖ πάντα ἁπλῶς τὰ ἐν ῥητοῖς ὡρισμένα, τουτέστι προστεταγμένα, εἴτε νόμος εἶεν εἴτε διαθῆκαι εἴτε ψηφίσματα εἴτε ἐπιστολαὶ εἴτε κηρύγματα εἴτε τινὰ ἕτερα ἐν ῥητοῖς θεωρούμενα, ὡς εἶναι τὰ ὡρισμένα οἷον κλεῖδά τινα καὶ σύνδεσμον, συνδέοντα πάντα τὰ προῤῥηθέντα.

έ. Τὴν περὶ τὰ ῥητὰ [16] συμβαίνουσαν ζήτησιν ἤτοι περὶ ἓν ῥητὸν ἢ καὶ περὶ πλείονα συμβαίνειν γίνεσθαί φησι, πλείονα λέγων, κἂν ἓν εἰς δύο σχίζηται καὶ τὸ μὲν τοῦ ῥητοῦ ὁ ἕτερος· τὸ δ' ὁ ἕτερος πρὸς ἑαυτὸν ἐπισπᾶται· λέγει δὲ τοῦτο τὴν διαφορὰν τῶν δύο στάσεων ῥητοῦ καὶ τῆς ἀντινομίας ἐντεῦθεν ἡμῖν ὑπανοίγων· καὶ

---

15 Mon. τῷ μὲν κηρύγματι. 16 Sch. min.: κἂν ἕν τι ῥητόν· τὸ ῥητὸν ὡς γένος εἶπεν, οὐ γὰρ ἕν τι τὸ ῥητὸν τυγχάνει, ἀλλ' ὅσον ἔγγραφον· ἔστι δ' ἃ καὶ ἄγραφα ἐν λόγῳ ἀγράφῳ· μαντεῖαι, κηρύγματα, καὶ ὅλως φωνή τις. διαιρῆται· μέρη ταῦτα καλεῖ τοῦ ῥητοῦ, τῷ τὸν λόγον ἐξ ὕλης καὶ εἴδους συνεστάναι· ὕλης τῆς λέξεως, εἴδους τῆς διανοίας, ἃ καὶ μέρη κυριώτατα αὐτοῦ ἐστιν· ἐπεὶ οὖν ὁ μὲν σχεδὸν τῇ λέξει χρῆται, ὁ δὲ τῇ διανοίᾳ, εἰκότως εἴρηκε τὸ διαιρεῖσθαι. ἢ καθ' αὑτὸ θάτερον· θάτερον εἶπεν ἀορίστως, ἀλλ' οὐχ ὡρισμένως, οὐ πάντως γὰρ δεῖ τὸν φεύγοντα ἔχειν τὴν διάνοιαν, τὸν δὲ διώκοντα τὸ ῥητὸν, ἀλλὰ καὶ ἀντεστραμμένως ἐνίοτε· ἐν γὰρ τοῖς κατ' ἀξίωσιν ὁ φεύγων ἔχει τὸ ῥητὸν, καὶ ὁ κατήγορος τὴν διάνοιαν, ὡς ἐπὶ τὸ πλεῖστον· ἀκριβῶς ὡρίσατο εἰπὼν περὶ ῥητὰ, οὐ γὰρ ἁπλῶς, ὅπου ἂν ἐμπίπτῃ ῥητὸν, νομικὴν ποιεῖται τὴν στάσιν, ἀλλ' ὅταν περὶ τὸ ῥητὸν ἡ ζήτησις ᾖ.

δεικνὺς, ὅτι κἂν ἓν ᾖ ῥητὸν τοῖς δυσὶ, τῷ τε διώκοντι καὶ τῷ φεύγοντι, κατ' αὐτὰ τὰ ῥητὰ μεριζόμενα ἀντινομία γίνεται· κατ' αὐτὰ δὲ εἶπεν, ὅτι τοὐναντίον πάλιν, κἂν πολλὰ ᾖ ῥητὰ, πάντα δὲ αὐτὰ τὰ ῥητὰ τὸ ἓν ἀπολαβὸν μέρος ἔχῃ,[17] εἰ καὶ ταῖς διανοίαις τὸ ἕτερον κέχρηται, ῥητόν ἐστι καὶ διάνοια· σκόπει δὲ τὸν τεχνικὸν, πῶς τῆς μεθόδου τῆς διαιρετικῆς οὐκ ἀφίσταται· ἀλλ' ἄνωθεν τὸ περὶ τῶν νομικῶν σκέλος ἀπολαβὼν πάλιν διαιρεῖ λέγων, ἤτοι περὶ ἓν ἔσεσθαι ῥητὸν ἢ περὶ[18] πλείονα τὴν ζήτησιν· εἶθ' οὕτως περὶ τὸ ἓν στὰς ῥητὸν τὴν περὶ τούτου ἐξήγησιν ποιεῖται καὶ τὸ ῥητὸν ἀνευρίσκει καὶ τὴν διάνοιαν· παραθεὶς δέ τις ἔξωθεν τῷ ῥητῷ ἀγράφῳ καὶ ἑτέραν στάσιν ἐφώρασε τὸν συλλογισμὸν, πρὶν ἢ ἐπὶ τὰ πλείονα μετασταίη ῥητά· ἐπειδὴ καὶ μετὰ τὴν πρόσθεσιν ἓν ἔτι φαίνεται τὸ ῥητόν· καὶ οὕτω μετὰ τὸν συλλογισμὸν ἐπὶ τὰ πλείονα μέτεισιν· ἀεὶ γὰρ φίλον αὐτῷ· ἀλλὰ καὶ τῇ διαιρετικῇ μεθόδῳ ἀπὸ τῶν ἁπλουστέρων χωρεῖν ἐπὶ τὰ[19] συνθετώτερα· καὶ τὴν ἀντινομίαν ἐντεῦθεν πάλιν ἐθήρευσεν, οὐδὲν ἄλλο οὖσαν, ἀλλ' ἢ διπλῆν τινα ζήτησιν ῥητοῦ καὶ διανοίας· μεριζομένων τῶν ῥητῶν ἑκατέροις τοῖς μέρεσι· καὶ τοῦτο ἡ διαφορὰ ἑκατέρων τῶν στάσεων, τὸ τὰ ῥητὰ ἐπὶ τῆς ἀντινομίας τοῖς δυσὶν ἐπιδιασχίζεσθαι μέρεσιν, παρ' ἑνὶ μέρει ἐπὶ τοῦ ῥητοῦ καὶ τῆς διανοίας εὑρισκομένων· τἄλλα δ' ἂν ἐπικοινωνοῦσιν ἐν ἅπασι· διὰ γὰρ τοῦτο καὶ περὶ τοῦ ῥητοῦ καὶ τῆς διανοίας ὁ τεχνικὸς προδιέλαβεν ὡς ἐκεῖθεν τῇ ἀντινομίᾳ μετοχετευομένων τῶν ἀφορμῶν.

ϛ'. Σαφῶς ὁμοῦ καὶ ἀσφαλῶς, ἀλλὰ μὴν καὶ συντόμως τῷ τεχνικῷ ταῦτα ἐκπέφρασται· ἂν μὲν γὰρ ᾖ,

---

17 Mon. ἀπολαβὼν μέρ. ἔχει. Par. 1. μερ. ἀπολαβὸν ἔχῃ.
18 Mon. παρά. et mox παρὰ τὸ ἐνστάς. correxi ex Par. 2.
19 τὰ Mon. om.

φησὶ, περὶ ἓν ῥητὸν ἡ ζήτησις, καὶ θάτερον τῶν μερῶν ὁ διώκων ἢ ὁ φεύγων, ἀορίστως γὰρ εἴρηκεν, ἢ περὶ τὰς τούτου διανοίας μόνας, ἢ κατ᾽ αὐτό γε πάντως ἱστάμενον τὸ ῥητὸν, εἶδος δὲ ἡ διάνοια, τηνικαῦτα ἡ στάσις ῥητόν ἐστι καὶ διάνοια, καὶ τὸν ὁρισμὸν εὐθὺς ἀποδέδωκεν εἰπών.

ζ΄. Ἀκόλουθος τῇ διδασκαλίᾳ ὁ ὁρισμὸς ἀποδέδοται, γίνεσθαι γάρ φησι ῥητὸν καὶ διάνοιαν, ὅταν τοῦ ἑτέρου οἷον ἑνὸς τῶν μερῶν, εἴτε τοῦ διώκοντος [20] εἴτε τοῦ φεύγοντος τῷ ῥητῷ χρωμένου, καὶ ὡς ἐπὶ τὸ πλεῖστόν γε τοῦ διώκοντος, σπανίως γὰρ τῷ φεύγοντι τὸ ῥητὸν ἐφαρμόζεται, θάτερον [21] μέρος, ὁποῖον ὂν ἂν καὶ τύχοι, τὰς διανοίας μεταχειρίζεται καὶ τὸ παράδειγμα ἐγγύθεν· [21*] ξένος ἐπὶ τὸ τεῖχος ἀνιὼν νόμου κωλύοντος καὶ διὰ τοῦτο κρινόμενος· κἀνταῦθα μὲν ὁ διώκων τῷ ῥητῷ χρήσεται· ἐπ᾽ ἐκείνου δὲ τοῦ προβλήματος ὁ φεύγων, οἷον πατὴρ τῷ διδασκάλῳ ἐπέταττε φονεῦσαι τὸν υἱὸν, εἰ μὴ ἐκμανθάνοι καλῶς, μὴ μανθάνοντα τοῦτον ἀπέκτεινε καὶ φόνου φεύγει· τῷ γὰρ ῥητῷ ἐνταῦθα φεύγων ὢν ὁ διδάσκαλος χρήσεται.

η΄. Προτέτακται τὸ ῥητὸν καὶ ἡ διάνοια εἰκότως· ἐν μὲν γὰρ τῷ συλλογισμῷ ἔξωθέν τι παραλαμβάνει καὶ συνάγει εἰς ταὐτὸν τῷ ῥητῷ. ἐνταῦθα δὲ τὴν διάνοιαν αὐτοῦ τοῦ ῥητοῦ ἀντεισάγει· ὅσῳ δὴ μεῖζον τὸ ἐξ αὐτοῦ τι παρεισφέρειν τοῦ ἔξωθεν παραλαμβάνειν, εἶτα συνάγειν, τοσούτῳ μᾶλλον ἔδει πρὸ τοῦ συλλογισμοῦ τὸ ῥητὸν τετάχθαι καὶ τὴν διάνοιαν.

θ΄. Περὶ τοῦ ῥητοῦ καὶ τῆς διανοίας ἀπαρτίσας διδασκαλίαν, ἐπείπερ εὕρισκεν τῷ ῥητῷ καὶ ἔξωθέν τι ἀγράφως παραφυόμενον, ἵνα μὴ τὴν περὶ ἑνὸς ῥητοῦ δια-

---

20 Par. 1. εἴτε τοῦ φεύγοντος, εἴτε τοῦ διώκοντος. 21 θάτερον μέρος — — — μεταχειρίζεται Mon. om., supplevi ex Parr. 21* Mon. ἐγγύον.

κύψῃ διδασκαλίαν, παρενείρει καὶ αὐτὸ κατὰ καιρὸν τὸν ἁρμόζοντα καί φησιν· ἢ τοῦτο μὲν οὐχί· τὸ τὸ μὲν τοῖν μεροῖν περὶ τὸ ῥητὸν, τὸ δὲ περὶ τὴν διάνοιαν ἵστασθαι, ἀλλὰ τοῦ ἑνὸς τῷ ῥητῷ μετὰ τῆς διανοίας χρωμένου, θάτερον μέρος πρᾶγμά τι τῷ ῥητῷ παρατίθησιν, εἰς ταὐτὸν ἄγον τὸ ἄγραφον τῷ ἐγγράφῳ καὶ συλλογισμὸν ἀπεργάζεται οὕτως εἰπών· καὶ τὸν ὁρισμὸν συνήθως ἐπήνεγκεν ἐπειπών.

ί. Ἡ τοῦ συλλογισμοῦ φύσις παράθεσίς ἐστι καὶ σύγκρισις καὶ συνεξέτασις ἀγράφου πρὸς ἔγγραφον, τοῦ μὲν λέγοντος ταὐτὸν εἶναι ἄγραφον τῷ ἐγγράφῳ, καὶ μηδὲν διαφέρειν μηδὲ διαλλάττειν αὐτοῦ, ἀλλ' ἢ τῷ ἀγράφῳ μόνον καὶ τῷ ἐγγράφῳ, τοῦ δὲ πάμπολυ διαφέρειν καὶ διαλλάττειν· καὶ κατὰ μηδὲν κοινωνεῖν, καὶ τοῦτό ἐστιν ἑκατέρῳ τῷ τε διώκοντι καὶ τῷ φεύγοντι ἅμιλλα· τὸ τὸν[22] μὲν συνάγειν καὶ συνάπτειν ἀμφότερα, τὸν δὲ ἀπάγειν ἀλλήλων καὶ ἀποκρίνειν καὶ διϊστᾶν· οἷον ὅτι οὐδὲν τὸ διάφορον, εἴτε ἐκ πόρνης εἴτε ἐκ πόρνου τις γεννηθείη· τὸ γὰρ ἁμάρτημα τῶν γεννητόρων ταὐτόν· καὶ αἰσχρότης ἡ αὐτή· ἢ ὅτι πάνυ διαφέρει· ὁ μὲν γὰρ ἐκ πόρνης ἀμφίβολον, τίνος ἂν καὶ εἴη παῖς, ὁ δὲ ἐκ πόρνου δῆλος, σώφρονος οὔσης τῆς τετοκυίας, καὶ ἁπλῶς τοιαῦτα ἑκάτεροι· κοινωνεῖν δὲ τῷ ὅρῳ ἡ στάσις αὕτη καὶ ἐμφερὴς εἶναι πάνυ δοκεῖ, ἐπεὶ καὶ ὁ τεχνικός φησιν, ἐν τῇ τῶν κεφαλαίων τοῦ συλλογισμοῦ διαιρέσει, ὅτι ὅλος ὁ συλλογισμὸς πλὴν τῆς ἐναλλαγῆς τῶν πρώτων κεφαλαίων καὶ τὸν ὅρον διαιρεῖται· καὶ γάρ εἰσιν, ὡς εἴρηται, πάνυ ἀλλήλαις προσεοικυῖαι αἱ στάσεις, οἷον ὅτι ταὐτόν ἐστι, κἂν ἱερὰ, κἂν ἰδιωτικὰ εἴη τὰ ἐξ ἱεροῦ ἀποσυλούμενα χρήματα· καὶ πάλιν ταὐτόν ἐστιν κἂν ἐκ πόρνης κἂν ἐκ πόρνου τις εἴη γεγεννημένος· κἀκεῖ νό-

---

22 τὸν Par. 2. om.

μος [23] τὸν ἱερόσυλον τεθνάναι, κἀνταῦθα νόμος τὸν ἐκ πόρνης μὴ λέγειν· τίς οὖν ἡ διαφορά; καί φαμεν, ὅτι ἐπὶ μὲν τοῦ ὅρου οὐκ αὐτὸ ἐκεῖνο τὸ πεπραγμένον ὁ κατήγορος ἐγκαλεῖ, οἷον ὅτι ἰδιωτικὰ ἀφείλου χρήματα ἐκ τοῦ ἱεροῦ, καὶ ἐπὶ τούτῳ ἱερόσυλος εἶ· ἀλλὰ τὸ ἰδιωτικὰ εἶναι τὰ χρήματα ὑπεκκλίνων, ὡς καθαιροῦν καὶ ὑποβιβάζον τὸ ἔγκλημα, τοῦτο μόνον φησὶν, ὅτι ἱερόσυλος εἶ, ὡς συλήσας ἐξ ἱεροῦ, καὶ τὴν ἐξ ἱεροῦ ἀφαίρεσιν μόνον προβάλλεται τὸ ἰδιωτικὰ εἶναι τὰ χρήματα ὑπεκφεύγων· ἐπὶ δὲ τοῦ συλλογισμοῦ αὐτὸ τὸ πρᾶγμα, αὐτὸ τὸ ὂν ὁ κατήγορος λέγει· οὐ γὰρ δύναται ἄλλως ἐρεῖν, ἀλλ᾽ ὅτι ἐκ πόρνης εἶ καὶ οὐ δεῖ σε λέγειν· τὸ δ᾽ αὐτὸ εὑρήσεις καὶ ἐπὶ τοῦ εὐνούχου ἁλόντος ἐπὶ μοιχείᾳ ἀναιρεθέντος· εἰ γὰρ καὶ τὸν γεγονότα φόνον προβάλλεται ὁ κατήγορος, ἀλλ᾽ οὐκ [24] αὐτό ἐστι τὸ ζητούμενον, εἰ φόνος ἢ μὴ, ἀλλ᾽ εἰ μοιχὸς ὁ εὐνοῦχος ἢ μή· καὶ ὁ φεύγων κατηγορῶν τοῦ εὐνούχου διὰ τὸ ἀντεστράφθαι τὴν τάξιν, οὐ λέγει, ὅτι εὐνοῦχον ἀπέκτεινα ὡς μοιχὸν, ἀλλ᾽ ὡς καθαιρετικὸν τοῦτο τοῦ ἐγκλήματος φεύγων· ἐκεῖνο μόνον φησὶν, ὅτι μοιχὸν ἀπέκτεινα· ἦν δ᾽ ἂν ἐξ εὐθείας τὸ ἔγκλημα, εἰ μήπω ὁ εὐνοῦχος ἀνῄρητο, ἀλλὰ περιὼν ἔτι κατηγορεῖται μοιχείας· καὶ γὰρ ἂν ἦν ὁ φεύγων τηνικαῦτα διώκων, καὶ ἐξ εὐθείας ἐκινεῖτο τὸ ἔγκλημα· ἀλλ᾽ ἡ μὲν διαφορὰ αὕτη τοῦ συλλογισμοῦ πρὸς τὸν ὅρον, τὸ ἐκεῖσε μὲν μὴ τὸ πεπραγμένον προβάλλεσθαι, ἀλλ᾽ οἷον σπεύδειν συγκαλύπτειν αὐτὸ, καὶ πρὸς τὸ μεῖζον ἀεὶ φέρεσθαι τὸν κατήγορον, εἴτε καὶ τὸν φεύγοντα, ὅταν ἡ τάξις ἐναμειφθῇ· ἐνταῦθα δὲ αὐτὸ τὸ γενόμενον λέγειν καὶ ἐξ αὐτοῦ τὴν ἰσχὺν λαμβάνειν καὶ μὴ ἑτέρωθεν· περὶ δὲ τῆς πόρνης τὰς ἄλλας στάσεις διαφορᾶς, εἴτε τοῦ συλλογισμοῦ, εἴτε

23 Mon. κἀκεῖνος. 24 οὐκ Mon. om.; idem paullo post: ἢ φόνος.

καὶ τῶν ἄλλων πρὸς ἄλληλα, περίεργον ἂν εἴη λέγειν ἐν τῷ παρόντι· ἄλλως τε καὶ οὐδ᾽ οὕτως ἐκείνων ἰσχνὴ ἡ [25] διαφορὰ, τοῦ δὲ συλλογισμοῦ πρὸς τὸν ὅρον, ἄξιον ἦν ἐξετάσεως· τῷ καὶ τὸν τεχνικὸν παρεικάσαι ἀμφοτέρας τὰς στάσεις καὶ τὴν αὐτὴν τομὴν καὶ διαίρεσιν, πλὴν ὀλίγων τινῶν κεφαλαίων αὐτὰς ἐπιδέχεσθαι, ἐκεῖνο δὲ μᾶλλον οἷον ἥδυσμά τι τῷ ῥητορικῷ συλλογισμῷ ἀπὸ τοῦ τῆς φιλοσοφίας ἀπολαβὼν [26] συλλογισμοῦ παραμίξαιμι, καὶ τιμήσω τοῦτον ἀπὸ τοῦ φύσαντος· [27] ἐκεῖθεν γὰρ αὐτῷ τὸ οὕτως ὀνομασθῆναι προσγέγονεν· ὡς γὰρ ἐκεῖνος συλλέγει τὸ ἀληθὲς καὶ τὸ κυρίως καλὸν ἢ φαῦλον καὶ δηλοποιὸς [28] τῶν ἀδήλων ποιῶν συμπερασμάτων καθίσταται, οὕτως καὶ οὗτος· συλλέγει τὸ δοκοῦν ἀληθὲς καὶ τὸ ἐν ὑπολήψει καλὸν ἢ κακὸν, καὶ πιθανουργὸς τῶν ἀπιθάνων προβλημάτων καθίσταται, οἷον ὅτι [29] ἐκεῖνος συνάγει, ὅτι ἀθάνατος ἡ ψυχή· συνάγει δὲ οὕτως· ἡ ψυχὴ αὐτοκίνητος πρὸς τὴν ἐπ᾽ ἄμφω τοῦ καλοῦ τε καὶ τοῦ ἐναντίου ῥοπήν· τὸ αὐτοκίνητον πρὸς τὴν ἐπ᾽ ἄμφω τοῦ καλοῦ τε καὶ τοῦ ἐναντίου ῥοπὴν ἀθάνατον, ἡ ψυχὴ ἄρα ἀθάνατος· οὗτος συμπεραίνει, ὅτι τὸν ἐκ πόρνου λέγειν οὐ χρὴ, συμπεραίνει δὲ οὕτως· ὁ πόρνος τὸν αὐτὸν τῇ πόρνῃ βίον ἐπιδεικνύμενος φαίνεται· τὸν ἐκ πόρνης λέγειν ὁ νόμος οὐ συγχωρεῖ, τὸν ἐκ πόρνου ἄρα λέγειν ὁ νόμος οὐ συγχωρεῖ· καὶ τοῦτο τὸ δι᾽ ὅλης κατασκευαζόμενον τῆς [30] στάσεως· καὶ ἔστι τὸ μὲν τοῦ κυρίως καὶ ἀψευδῶς ἀληθοῦς· τὸ δὲ τοῦ δοκοῦντος εἶναι δικαίου [31] τε καὶ καλοῦ· ὡς οὖν τὸν κυρίως συλλογισμὸν τῆς φιλοσοφίας ὑποδυόμενος συλλογι-

---

25 ἡ Par. 1. om. 26 Par. 1. παραλαβών. 27 Mon. φήσαντος. Parr. φύσαντος. 28 Mon. δηλοῖ ποιός. Par. 2. δηλοῖ ποῖον. omisso ποιῶν recepi lectionem ex Par. 1. 29 ὅτι Mon. om. 30 τῆς Mon. om. 31 Mon. δικαίας, δικαίου τε καί.

σμὸς καὶ οὗτος κατ᾽ ἐκεῖνον ἐπωνομάσθη· ἀλλ᾽ [32] ἐπανίτω ὁ λόγος πρὸς τὸ ἀκόλουθον, καὶ τῶν τοῦ τεχνικοῦ ῥημάτων πάλιν ἁπτέσθω.

Cap. XIV.

Περὶ ἀντινομίας.

ά. Μετὰ τὴν τοῦ ῥητοῦ καὶ τῆς διανοίας καὶ τοῦ παρεζευγμένου ταύτῃ συλλογισμοῦ παράδοσιν ἐπὶ τὴν ἀντινομίαν χωρεῖ, οὐκ εἰδὼς [1] διάφορον, εἰ δύο ἢ καὶ πλείονα ῥητὰ εἴη, ἢ καὶ ἓν εἰς δύο διαιρούμενον, ἀλλ᾽ ἓν τοῦτο ἀντινομίαν [2] τὴν ἐξ οὑτινοσοῦν τούτων διαμάχην [3] ἀποκαλεῖ· μόνον εἰ τοῖς δυσὶ μέρεσιν τὸ ῥητὸν ἢ τὰ ῥητὰ τῷ τε διώκοντι ἐπιμερίζοιτο [4] καὶ τῷ φεύγοντι.

β΄. Ἡ ἀντινομία, φησὶν, δύο [5] βούλεται ἔχειν ἢ καὶ πλείονα ῥητὰ, ἢ καὶ ἓν διαιρούμενον, τουτέστι διπλοῦν,

---

32 ἀλλ᾽ Mon. om.

1 Mon. εἰγὼς διαφ. εἰς δύο ἢ κ. π. ῥητόν. 2 Mon. νόμον. 3 Mon. διὰ μάχην. 4 Mon. ἐπιμερίζοντα. 5 Sch. min.: δεῖ τὰ δύο ῥητὰ ἀντινομίᾳ κεκραμμένα εἶναι· εἰ δὲ τὸ μὲν πάλαι κεκύρωται, τὸ δὲ νῦν εἰσάγεται, πραγματικὴν, ἀλλ᾽ οὐκ ἀντινομίαν ποιεῖ· δεῖ δὲ καὶ τὸν ἕτερον τῶν νόμων περιβεβῶσθαι· τοῦτο προσέθηκεν, ἐπειδή ἐστι καὶ ἐκ τῶν τριῶν ἀντινομία νόμων· οἷον τὴν ἐπίκληρον ἀριστεῖ γαμεῖσθαι, καὶ νόμος τὴν μνηστείαν βεβαίαν εἶναι, καὶ νόμος τὰς τοῦ δήμου δωρεὰς κυρίας εἶναι· καταληφθείσης ἐπικλήρου κόρης, ἀριστεὺς ᾔτησε γαμηθῆναι αὐτῷ· ἄλλος μνηστευσάμενος ἦν, καὶ συγγενὴς ἀξιοῖ αὐτὴν λαβεῖν, καὶ ἀμφισβητοῦσι πρὸς ἀλλήλους. ἁπλῆ τίς ἐστι ζήτ. ῥητοῦ καὶ διανοίας· οὐ τῆς στάσεως, ἀλλ᾽ αὐτὸ τοῦτο δύο ῥητὰ ἔχει καὶ δύο διανοίας τὸ παράδειγμα· οὐχ ἁπλῶς ἀντινομίας, ἀλλὰ πραγματικῆς κατὰ τὴν ἀντινομίαν· οὐ γὰρ παρεβάθη τι ἐν αὐτῷ· ζητοῦμεν δὲ, πότε δεῖ παραβαθῆναι πότερον.

οἷον εἰ λέγοι τις· νόμος τὸν ξένον μὴ ἀνιέναι εἰς τὸ τεῖχος· ἁπλοῦν ἐστι τό ῥητόν· καὶ οὐκ ἂν εἴς τινα διαιροῖτο, ἁπλοῦν γε ὄν· οὐδὲ ποιῆσαι ἀντινομίαν· εἰ δὲ λέγομεν, νόμος τοῖς πατράσι βοηθεῖν, μαχομένου πρὸς τὴν μητέρα τοῦ πατρὸς ἐπήμυνέ τε τῇ μητρὶ καὶ ὑπάγεται τῷ νόμῳ· τί δέ ἐστι μὴ φύσει ἐναντίων κατὰ περίστασιν μάχη; οὐ γὰρ δεῖ τὰ ῥητὰ ἐκ τῆς ἑαυτῶν φύσεως ἐναντία καθεστάναι πρὸς ἄλληλα, τοῦτο γὰρ ἀμαθὲς, ἀλλ᾽ ἐκ τῆς περιστάσεως γίνεσθαι· οἷον οὐκ ἄν τις λέγοι, ὅτι νόμος τὸν κλέπτην κολάζεσθαι καὶ νόμος ἕτερος τὸν κλέπτην στεφανοῦσθαι· καὶ οὕτω πλέκοι ἀντινομίαν· ταῦτα γὰρ φύσει ἐναντία ἀλλήλοις ὄντα οὐχ ὑγιαινούσης ἐστὶ πολιτείας, ἀλλὰ δεῖ αὐτοῖς μὴ εἶναι ἐναντία, γενέσθαι δὲ ἔκ τινος περιστάσεως· οἷον νόμος τὸν ἀποκήρυκτον τῶν πατρῴων ἀποστερεῖσθαι, καὶ νόμος τὸν ἐπιμείναντα χειμαζομένῃ νηῒ λαμβάνειν αὐτήν· ἀποκήρυκτος ἐπὶ πατρῴας διαπλέων νηὸς [6] ἐπέμεινε χειμαζομένῃ καὶ ἀντιποιεῖται αὐτῆς· οὐ γὰρ ἐναντία φύσει τὸ τὸν ἐπιμείναντα χειμαζομένῃ νηΐ λαμβάνειν αὐτὴν, τῷ τὸν ἀποκήρυκτον ἀποστερεῖσθαι τῶν πατρῴων· γίνεται δὲ διὰ τὸ συμβὰν καὶ τὴν περίστασιν· ἐζητήκασι δὲ περὶ τῆς τάξεως αὐτῆς καί φασι χρῆναι αὐτὴν τετάχθαι δευτέραν μετὰ τὸ ῥητὸν καὶ τὴν διάνοιαν· εἴτε, καθάπερ αὐτὸς ἔφη, διπλῆ τις οὕτως ἐστὶ ζήτησις ῥητοῦ καὶ διανοίας· καὶ πρῶτον μὲν οἱ τοῦτο λέγοντες οὐ νενοήκασι τὸ εἰρημένον τῷ Ἑρμογένει, ὡς δειχθήσεται μικρὸν ὕστερον· ἔπειτα ἐκεῖνό φαμεν, ὅτι τὸ ῥητὸν καὶ ἡ διάνοια ἐξ ἑνός ἐστιν ἁπλοῦ ῥητοῦ, καὶ ὁ συλλογισμὸς ὅμοιος, ἡ δὲ ἀντινομία ἐκ πλειόνων· ἐπεὶ οὖν κεκοινωνήκασι [7] κατὰ τὸ ποσὸν τοῦ ῥητοῦ ὅ τε συλλογισμὸς καὶ τὸ ῥητὸν, καὶ ἡ διάνοια εἰκότως μετὰ ἀλλήλων ἐτάγησαν.

---

6 Mon. νηΐ. Parr. νηός. 7 Mon. κεκωνήκασι.

γ'. Τρίτην ἔταξε τὴν ἀντινομίαν τῆς προσηκούσης εὐταξίας γενόμενος·[8] ἠβουλήθη γὰρ τὰς μὲν περὶ ῥητὸν ἓν καταγινομένας πρῶτον εἰπεῖν, εἶτα ἀκολούθως τὰς περὶ δύο ῥητά· μετὰ τὸ ῥητὸν οὖν καὶ τὴν διάνοιαν ἔταξε καὶ τὸν συλλογισμόν· ἑκάτερα γὰρ περὶ τὸ ἓν ῥητὸν καταγίνεται· εἶτα εἶπε τὴν ἀντινομίαν, ἥτις περὶ δύο ῥητὰ ἔχει τὴν ζήτησιν· εἰ γὰρ πάλιν ἀνέδραμεν εἰς τὸν συλλογισμὸν τὸν περὶ ῥητὸν ἐνιστάμενον, πολλὴν ἐποίει τῷ λόγῳ σύγχυσιν, καὶ τάξιν οὐκ εἶχε τὰ τῆς τεχνολογίας· οἱ δὲ λέγοντες εἶδος εἶναι ῥητοῦ καὶ διανοίας τὴν ἀντινομίαν, ὡς ἐν στοχασμῷ εὑρίσκεται ἁπλοῦν τε καὶ διπλοῦν εἶδος καὶ ἐν ὅρῳ, οὐκ ἴσασιν, ὅτι τὰ εἴδη τῶν στάσεων οὐ ποιεῖ τῶν κεφαλαίων ἐναλλαγὴν, προσθήκην μέντοι, διττῶς τῶν κεφαλαίων προερχομένων· τὸ γὰρ ἓν διαιρούμενον ἀναπληροῖ δύο νόμων τάξιν· τέλειον γάρ ἐστιν ἕκαστον τῶν μερῶν, καὶ οὐδὲ ἐναντίον ἕκαστον αὐτῶν τῷ ἄλλῳ κατὰ φύσιν, ἀλλ' ἡ περίστασις καὶ ἡ πλοκὴ τὴν μάχην ἐποίησεν· ἐμέμψαντό τέ τινες, ἀφ' ὧν εἶπεν, „ἢ καὶ ἑνὸς διαιρουμένου·" οὐ γὰρ δύναται ὁ εἷς διαιρεῖσθαι εἰς δύο νόμους, οὐδὲ αὐτὸς ἑαυτῷ ἐναντίος εἶναι· ἀλλ' ὥσπερ τοὺς μὴ φύσει ἐναντίους νόμους ἡ περίστασις ποιεῖ ἐναντίους, οὕτω καὶ τὸν ἕνα νόμον ἡ περίστασις ἀντιφάσκειν ἑαυτῷ ποιεῖ.

ε'. Μάχην μὲν εἶναί τινα ἐκ διαφόρων ἢ καὶ ἑνὸς διαιρουμένου ῥητοῦ τὴν φύσιν τῆς ἀντινομίας ὁρίζεται; οὐκ ἐκ φύσεως[9] δὲ[10] τὴν ἐναντιότητα, οὐδ' ἀπ' αὐτῶν εἶναι τῶν τοῦ νόμου ῥητῶν· ἀλλ' αὐτὰ μὲν πρὸς ἄλληλα τὸ ἀστασίαστον ἔχειν παραβαλλόμενα καὶ τὸ ἄμαχον, ἐκ περιστάσεως δὲ καὶ συμβολῆς πραγμάτων τὴν στάσιν αὐτοῖς ἀναφύεσθαι.

ς'. Εἰ γὰρ περὶ ῥητὸν ἢ ἑτέρῳ ῥητῷ ἢ διανοίᾳ λύ-

8 Mon. Par. 2. γινόμενος. Par. 1. γενόμενος. 9 Par. ἐν φύσει. 10 Mon. ἐπί.

εται, ἕκαστον δὲ τῶν ῥητῶν παρὰ τοῦ ἐναντίου τῇ διανοίᾳ λύεται, διπλοῦν ἂν [11] εἴη ῥητὸν καὶ διάνοια, καὶ εἰ διπλῆ ἐστιν ἐξέτασις ῥητοῦ καὶ διανοίας, διὰ τί μὴ διπλοῦν ῥητὸν καὶ διάνοια καλεῖται, ὥσπερ διπλοῖ εἰσι στοχασμοὶ καὶ ὅροι; ὅτι ἐν ῥητῷ καὶ διανοίᾳ παράβασις εὑρίσκεται νόμου, ἐνταῦθα δὲ τῶν νόμων ὁ ἕτερος εὑρίσκεται φυλαττόμενος· τὸ οὖν διάφορον ἐποίησε στάσιν ἑτέραν· ὀλίγη γὰρ ἐναλλαγὴ στάσιν ἑτέραν ἐργάζεται· ἐν δὲ τῷ στοχασμῷ καὶ ὅρῳ ἐπὶ πάντων τῶν εἰδῶν τὸ ὅμοιον σώζεται· διπλῆ δὲ, ἐπεὶ ἀμφότερα διπλᾶ δείκνυνται, οὐχ ὡς ἐν ῥητῷ καὶ διανοίᾳ ὁ μὲν τὸ ῥητὸν ἀπενείμαντο, ὁ δὲ τὴν διάνοιαν, ἀλλ᾽ ἀμφότεροι ἀμφοτέροις κέχρηνται. ἑκάτερος γὰρ λύσας τῇ διανοίᾳ τὸ τοῦ ἐναντίου ῥητὸν, οὕτως ἐπεισάγει τὸ ἴδιον, καθολικὸν γὰρ τοῦτο τοῖς βλάπτουσι ῥητοῖς ἀντιτάττειν τὰς διανοίας.

ζ΄. Τὸ ὅλον τοῦτό ἐστιν· ἡ ἀντινομία, φησὶ, διπλῆ ῥητοῦ καὶ διανοίας ἐξέτασις, τοῦ μὲν παρὰ τῷ διώκοντι ῥητοῦ τὴν διάνοιαν τοῦ φεύγοντος ἔχοντος, τοῦ δὲ παρὰ τῷ φεύγοντι τοῦ διώκοντος, καὶ οὕτως ἀλλήλοις ἀντιδιατιθεμένων τοῖς τε ῥήμασιν αὐτοῖς καὶ ἀμοιβαδὸν τοῖς νοήμασιν ἡ ἀντινομία συνίσταται· τὸ δὲ παράδειγμα σαφέστερον παριστᾷ τὰ λεγόμενα.

η΄. Ἴδε πῶς οἱ νόμοι οὐ μάχονται ἀλλήλοις, οὐδὲ ἐναντίωσιν ἔχουσιν, καὶ σκόπει πῶς ἐκ περιστάσεως διαμάχη τις αὐτοῖς καὶ ἐναντίωσις συμπέπτωκε· λεγέσθω γὰρ καὶ τὸ ἑξῆς τοῦ παραδείγματος· ἀποκήρυκτος ἐπέμεινε χειμαζομένῃ νηΐ· ὁρᾷς ὅπως ἐκ τῆς περιστάσεως αὐτοῖς καὶ διαμάχη συμβέβηκεν· ἐνταῦθα γὰρ τοῦ μὲν πατρὸς λέγοντος, „ὁ ἀποκήρυκτος μὴ μετεχέτω τῶν πατρῴων,“ τῇ διανοίᾳ ἀπαντᾷ ὁ υἱὸς λέγων· ἀλλὰ σκόπει, πάτερ, πότε ὁ νόμος τὸν ἀποκήρυκτον εἴργει; οὐχ ὅτε ἐπιμείνῃ [12] χειμαζομένῃ νηΐ, οὐδ᾽ ὅτε ἀπολλυμένῃ καὶ κιν-

11 Mon. διπλοῦ κἄν. 12 Mon. ὅτι ἐπιμείνει — οὐδ᾽ ὅτι

δυνευούσῃ μὴ εἶναι τοῦ πατρὸς, ἀλλ' ὅτε παρὰ τῷ πατρί ἐστι καὶ παρ' αὐτῷ διασώζεται καὶ τῆς τούτου δεσποτείας[13] οὖσα γνωρίζεται, οὐχ ὅτε ξένη καὶ ἀλλοτρία καὶ τοῦ κλύδωνος μᾶλλον καὶ τῆς θαλάσσης ἢ τοῦ πατρός· πάλιν δὲ τοῦ υἱοῦ τὸν ἕτερον νόμον ἀντιπροβαλλομένου καὶ λέγοντος, ὁ ἐπιμείνας χειμαζομένῃ νηῒ δεσπότης ἔστω τῆς νεὼς, ἀντιτίθεται αὐτῷ ὁ πατὴρ λέγων· ἀλλὰ νόησον, τέκνον, πότε φησὶν ὁ νόμος τὸν ἐπιμείναντα χειμαζομένῃ νηῒ δεσπότην εἶναι τῆς διασωθείσης νεώς; ὅτε οὐκ ἀποκήρυκτος, ὅτε οὐ πατρῴα ἡ ναῦς· καὶ τῶν εἰργομένων γίνεσθαι παρὰ τῷ παιδὶ, ἀλλ' ἑτέρου τινὸς ξένου καὶ ἀλλοτρίου καὶ οὐ κατὰ πατρότητα τῷ ἐπιμείναντι ἀποκηρύκτῳ προσήκοντος· ἢ ὁ ἐπιμείνας ἕτερός[14] ἐστι καὶ οὐ μεμισημένος υἱὸς καὶ ἀπόκληρος, καὶ τῶν πατρῴων ὑπὸ τοῦ νόμου παντάπασιν ἐξειργόμενος, καὶ ἐφεξῆς δι' ὅλης τῆς στάσεως οὕτως ἀλλήλοις κατὰ τὴν τοῦ παρ' ἑκάστου ῥητοῦ καὶ τῆς διανοίας δύναμιν ἀντιφέρονται·

θ'. Καὶ οὗτος τὸ ἀστασίαστον ὁ νόμος ἔχων καθ' ἑαυτὸ ἐκ τῆς κατὰ τὴν βίαν περιστάσεως στασιώδης ἐγένετο· κἀνταῦθα τοίνυν τὸ τοῦ νόμου ῥητὸν ἐκ μέρους ἑκάστη τῶν βιασθεισῶν διελόμεναι ταῖς διανοίαις ἀμοιβαδὸν ἀλλήλαις ἀντιτεθήσονται· καὶ διὰ τῶν λοιπῶν οὕτω κεφαλαίων ἀγωνιοῦνται, δίαυλον ἀγῶνα τοῦ ῥητοῦ καὶ τῆς διανοίας ἀγωνιζόμεναι· ὁ δὲ πραγματικῆς εἶναι στάσεως τὰ εἰρημένα τιθεὶς παραδείγματα ἠγνόησεν ἀντινομίαν καὶ πραγματικὴν, κἀντεῦθεν ἐξηπατῆσθαι τὸν τεχνικὸν αὐτὸς ἠπατημένος ὑπέλαβεν· ἦν γὰρ τότε πραγματικῆς τὸ παράδειγμα· εἰ πρὸ τοῦ ἐπιμεῖναι τῇ νηῒ ὁ υἱὸς προσῆλθε τῇ βουλῇ, γνῶσιν ἐπιζητῶν, εἰ δοθήσεται αὐτῷ ἡ ναῦς ἐπιμείναντι· νῦν δὲ περὶ πράγματος

— — ἀλλ' ὅτι. 13 Mon. δεσπότου. 14 Mon. ἕτερος om. Par. ἐστι. om.

ἤδη γεγονότος τοῦ πατρὸς ἀπομαχομένου καὶ τοῦ υἱοῦ, εἰ δίδοται τῷ υἱῷ, ἐξ ὧν ἤδη πέπραχε, τὸ δεσπόσαι τῆς νεὼς ἢ μὴ, ἀναμφίλεκτος [15] ἡ ἀντινομία· ἐπεὶ ἄρα καὶ τὰ κατ᾽ αἴτησιν πάντα προβλήματα, οἷον τὸ τοῦ φιλοσόφου τοῦ ἀποθέσθαι τὴν τυραννίδα τὸν τύραννον πείσαντος, καὶ τὸ γέρας αἰτοῦντος καὶ εἴτι τοιουτότροπον πραγματικὰς εἶναι λέγει, μᾶλλον δὲ καὶ τὰς στάσεις ἁπάσας, ὅτι αἱ μὲν πρὸς ποινὰς, αἱ δὲ πρὸς γέρα προτρέπονται, πραγματικὰς ὀνομάζεσθαι. Ἔδοξε δέ τισι περὶ τῆς ἀντινομίας διπλοῦν εἶδος εἶναι ῥητοῦ καὶ διανοίας αὐτὴν, ὥσπερ ἐπὶ τοῦ στοχασμοῦ καὶ τοῦ ὅρου ὁ διπλοῦς στοχασμὸς καὶ ὁ διπλοῦς ὅρος ἐστὶν, οὐ μέντοι στάσιν ἑτέραν παρὰ τοῦ ῥητοῦ καὶ τῆς διανοίας, ὡς κατ᾽ οὐδὲν αὐτῆς διαλλάττουσαν· ἀλλ᾽ ἢ μόνον τὸ διπλοῖς τέμνεσθαι τοῖς κεφαλαίοις, οἷον ἐπὶ τοῦ στοχασμοῦ καὶ τοῦ ὅρου τεθεωρήκασι· τὸ δ᾽ αὐτὸ κἀνταῦθά φαμεν, ὁποῖον καὶ περὶ τῶν ἀντιθετικῶν προειρήκαμεν, ὅτι ταυτότητα στάσεως οὐχ ἡ ταυτότης τῶν κεφαλαίων, ἀλλ᾽ ἡ τοῦ ὁρισμοῦ ταυτότης οἶδεν ἐργάζεσθαι· ὅθεν ὁ μὲν διπλοῦς στοχασμὸς καὶ ὁ διπλοῦς ὅρος ὡς ὑπὸ τὴν αὐτὴν ἐκείνοις φύσιν ὄντες καὶ τὸν αὐτὸν ὁρισμὸν ἔχοντες, εἰ καὶ εἴδη ἕτερα ὠνομάσθησαν, καθάπερ Αἰθίοψ καὶ Σκύθης τῷ τῆς μορφῆς εἴδει, οὐ τῷ φυσικῷ διαλλάττοντες, ὃ δὴ καὶ παραγραφὴν οὐχ ὁρισμὸν ὁ λόγος οἶδεν ἀποκαλεῖν, ὡς οὐκ ἐκ φυσικῶν διαφορῶν, οἷον λογικοῦ ἢ ἀλόγου, θνητοῦ ἢ ἀθανάτου, ἐξ ὧν ὁ ὁρισμὸς οἶδε γίνεσθαι, ἀλλ᾽ ἀπὸ λευκοῦ καὶ μέλανος χρώματος συμβεβηκότων, ἐξ ὧν ἡ περιγραφὴ, ἀλλήλων διαφέροντες· ἡ μέντοι ἀντινομία ἕτερον ὁρισμὸν παρὰ τὸν τοῦ ῥητοῦ καὶ τῆς διανοίας ἔχουσα [16] εἰκότως ἑτέρα στάσις [17] ἡμῖν ὑπὸ τοῦ τεχνικοῦ παραδέδοται. ι. Τι-

---

15 Mon. ἀναφίλεγκτος. 16 Mon. ἔχουσι. Par. ὡς ἔχουσα.
17 Mon. ἑτέρας στάσεις.

ι. Τινὲς τὸ παράδειγμα τῶν οὐ συνεστώτων φασί· πῶς γὰρ οἷόν τε κατὰ ταὐτὸ [18] τὰς δύο βιάσασθαι· ἄλλως τε δὲ καὶ ἐξισάζει· ἐπ᾽ ἀμφοῖν γὰρ ὁ νόμος τὴν ἐξουσίαν δίδωσι τὴν αὐτὴν, εἰ καὶ διαφόροις αἰτήσεσι· καὶ οὐδὲ τὸ μὲν τοῦ νόμου πέπρακται, τὸ δὲ παραβέβασται, ὅπερ ἀντινομίας ἴδιον, ἀλλὰ καὶ ἡ βία ἴση καὶ τὰ πρόσωπα· καὶ ὁ καιρὸς ἄδηλος· ἀλλ᾽ ὁ μὲν Μινουκιανὸς οὐκ ἰσάζειν φησὶ διὰ τὸ ἀνόμοιον τῆς αἰτήσεως· ἀλλ᾽ εἰ καὶ διάφορα τὰ τῆς αἰτήσεως, ἀλλ᾽ οὖν ἰσάζει τῷ ἀμφοτέρας αἰτεῖν τι· ὑπάρχει δέ τις ἑτέρα διαφορά· δύναται γὰρ ἡ αἰτοῦσα θάνατον λέγειν· ὡς εἰ τεθνήξεται, ἀμφότεραι λήψονται δίκην τῆς βίας, καὶ οὐδὲν μᾶλλον ὑπὲρ αὐτῆς ἢ ὑπὲρ ἐκείνης αἰτεῖ· τῇ δ᾽ αὖ γάμον αἰτούσῃ δύναται χρήματα δώσειν ἐπαγγείλασθαι ὑπὲρ τῆς βίας· ἔστι μὲν οὖν καὶ ἀπὸ τῆς διαφορᾶς συκοφάντας δεῖξαι τοὺς μεμψιμοίρους· πλὴν καὶ εἴ τις ἀκριβῶς σκοπήσοι, οὐδὲ ἓν τὸ τοῦ νόμου ῥητὸν, ἀλλὰ τῇ προφορᾷ μὲν ἓν, διττὸν δὲ τῇ διανοίᾳ· ἄλλο γάρ ἐστιν, ὡς εἴπομεν, ἡ τοῦ θανάτου αἵρεσις, καὶ ἄλλο ἡ τοῦ γάμου· εἰκὸς δὲ καὶ πρότερον θατέραν ἐγνωκέναι καὶ τῇ ἐλπίδι τοῦ γάμου ἡσυχάζουσαν ταύτην οὐδὲν κατ᾽ αὐτοῦ κινῆσαι. ἀκούσασαν δὲ μετὰ μικρὸν, ὡς καὶ ἑτέραν διέφθειρε, τότε τὴν τοῦ θανάτου κινῆσαι κατ᾽ αὐτοῦ αἵρεσιν, ὡς εἶναι τὴν περίστασιν διττὴν, ἀπό τε τοῦ χρόνου καὶ τοῦ προσώπου· ἀλλὰ καὶ τοῦ ῥητοῦ [19] παραβέβασταί τι· τουτέστιν ἡ τῆς προγενεστέρας ἐλπὶς τοῦ

18 Mon. κατ᾽ αὐτό. Sch. min.: εἰ καὶ κατὰ ταὐτὸν εἴρηκεν, οὐδέπου καὶ κατὰ τὸ ἀκαριαῖον. ἀμφιβολία καὶ ἀπ᾽ αὐτοῦ τοῦ ὀνόματος· γίνεται ἀμφιβολία καὶ κατὰ στιγμὴν, ὥς τὸ στῆσαι Ἡρακλέα χρυσοῦν ῥόπαλον ἔχοντα, καὶ κατὰ πνεῦμα, ὡς τὸ τρέφειν τὸν ἀποκήρυκτον ἐν δέκα ἔτεσι· καὶ καθ᾽ ὁμωνυμίαν, ὡς τὸ δὶς περὶ τῶν αὐτῶν δίκας μὴ εἶναι· σχῆμα γὰρ ἡ δίκη, καὶ τὴν δικασίαν καὶ τὴν τιμωρίαν. 19 Mon. ῥήτορος.

γάμου· οὐδὲ γὰρ ἐνῆν [20] τὰς δύο εἰς ὑμέναιον ἄγεσθαι. Ἔστι παράδειγμα ἀντινομίας κατὰ διαίρεσιν τόδε· νόμος τιμωρεῖν τοῖς πατράσιν· Ὀρέστης τὴν μητέρα ἀνεῖλε τιμωρῶν τῷ πατρί· δῆλον γὰρ ἅς ἐφ᾽ οἷς τὴν μητέρα ἀνεῖλεν, εὐθύνοιτ᾽ ἂν, εἴγε διὰ τοῦ *πατράσιν*, ὡς ἔφαμεν, οὐχ ὁ πατὴρ παραλαμβάνεται μόνος, ἀλλὰ καὶ ἡ μήτηρ· τῆς δὲ κατὰ δύο ῥητὰ ἀντινομίας παράδειγμα τόδε· νόμος τὸν στρατιώτην μὴ πωλεῖν τὰ ὅπλα, καὶ νόμος θάπτειν τὸν πατέρα· ἐπὶ στρατοπέδου τις ἀποθανόντος τοῦ πατρὸς πωλήσας τὰ ὅπλα θάπτει αὐτὸν καὶ κρίνεται.

Cap. XV.

Περὶ ἀμφιβολίας.

ά. Μετῆλθεν ἐπὶ τὴν ἀμφιβολίαν ὑστάτην τάξας αὐτὴν, ὅπου γε [1] πρός τινων καὶ ἀπεβάλλετο [2] τῶν στάσεων, καθάπερ ὑπὸ Νέστορος τοῦ Στοϊκοῦ, οὐδὲ μία γὰρ στάσις, φασὶ, περὶ ποιότητα φωνῆς ἔχει τὴν ζήτησιν, περὶ τόνου λέγω καὶ διαστάσεως συλλαβῶν, ἅπερ γραμματικοῖς δικαίως ἂν καταλείποιτο· ἔπειτα, φασὶν, ἀσύστατα ἂν εἴη, οὐ γὰρ δυνατὸν πέρας ἢ λύσιν αὐτῆς εὑρεθῆναί τινα, ἰσάζει γὰρ τὰ λεγόμενα· ἀλλ᾽ ὅπερ ἐλέγομεν περὶ τῆς ἀντινομίας, τοῦτο κἀνταῦθά φαμεν, ὡς εἰ μὲν ἐφ᾽ ἅπασι τὸ ἐξισάζειν εἶχεν, ἀσύστατα ἂν ἦν, νῦν δὲ διαφόρους ἐστὶ τὰς τῶν προσώπων ποιότητας εὑρεῖν, ἐξ ὧν ἂν γίνοιτο τὸ συνεστηκός. δείκνυσι δὲ καὶ Δημοσθένης, ὅτι τῶν στάσεων ἡ ἀμφιβολία, [3] καὶ ὅπως

20 Mon. ἐν αὐτὰς δύο εἰς μέναιον ἀγαγέσθαι. Par. 1. ἕνα τὰς δύο εἰς ὑμ. ἄγεσθαι. Par. 2. ἐνῆν τὰς δύο εἰς ὑμ. ἀγαγέσθαι.

1 γε Mon. om. 2 Par. ἀπεβάλετο. 3 Mon. ὅτι τε στάσιν ἢ ἀμφιβολίαν. Par. 2. ὅτι τε στάσις. Par. 1. ὅτι τῶν στάσεων.

μεταχειριστέον[4] αὐτήν. ἐν γὰρ τῷ τῆς[5] παραπρεσβείας ἐνέπεσεν[6] τοιόνδε αὐτῷ κεφάλαιον· ἔχρησεν, φησὶν, ὁ θεὸς, τοὺς ἡγεμόνας φυλάττεσθαι, καὶ ἀμφισβητοῦσιν οἱ μὲν τοὺς ῥήτορας, οἱ δὲ τοὺς στρατηγοὺς λέγοντες· ἀμφιβάλλεται γὰρ, τίνας εἶπεν ὁ Δημοσθένης ἡγεμόνας, πότερον τοὺς στρατηγοὺς ἢ τοὺς ῥήτορας· ἐπιχειρεῖ οὖν ὁ Δημοσθένης ἐκ τοῦ καιροῦ· εἰ μὲν γὰρ ἦν, φησὶ, πολέμου καιρὸς τοὺς στρατηγοὺς ἂν ἔλεγε, νῦν δὲ οὐκ ὄντος πολέμου, τίνας ἑτέρους ἢ τοὺς ῥήτορας προσαγορεύει δεῖν φυλάττεσθαι;

β. Τῶν λίαν ἠπορημένων ἐστὶ, πῶς τοῦτο ὡς ἐξαίρετον ἐπὶ τῆς ἀμφιβολίας ἔφη. δῆλον γὰρ, ὡς[7] ἐφ' ἁπάντων ταὐτόν ἐστιν. καὶ γὰρ ἡ ἀντινομία ἀπὸ τοῦ ὀνόματος καθέστηκε φανερὰ, ὅτι νόμων ἐναντίωσιν ἔχει. καὶ τὸ ῥητὸν δήπου καὶ ἡ διάνοια ἐκ τοῦ ὀνόματος τὴν ἑαυτῆς ὑποδείκνυσι φύσιν·[8] καὶ ὅλως τὰ τεχνικὰ τῶν ὀνομάτων δηλοῦν τὴν σημασίαν τῶν ὑποκειμένων βούλεται· τῶν γὰρ ὀνομάτων τὰ μὲν φυσικὰ, ἅπερ ἐξ ἀρχῆς ἐπί τινος τεθεμάτισται, ἃ καὶ οὐ πάντως ἔχει τινὰ ἐξ αὐτοῦ πρὸς τὸ ὑποκείμενον σημασίαν, τὰ δὲ τεχνικὰ, ἃ πάντως αὐτόθεν ἅπτεσθαι βούλεται τούτων, ὧν ἐστι καὶ ὀνόματα.[9] ἐροῦμεν οὖν κομψότατον λόγον,[10] εὕρημα ὄντα τοῦ ἡμετέρου διδασκάλου. ὅτι γε ὄνομα πᾶσα λέξις καλεῖται, καὶ δηλοῖ Δημοσθένης, εἰπὼν ἐν τῷ ἑβδόμῳ τῶν Φιλιππικῶν, „ὅτι δι' ἀμφοτέρων ὀνομάτων, ὁποτέρῳ ἂν χρῆσθε ὑμεῖς, ἕξετε τὴν νῆσον,[11] ἄν τε λάβητε, ἂν

4 Par. 1. αὐτὴν μεταχειριστέον. 5 τῆς Par. 1. om. — p. 436. 6 Mon. ἐνέπεσον τ. α. κεφαλαίῳ· ἔχησεν, (sic) φησὶν ὁ Δημοσθένης. 7 ὡς Mon. om. 8 Mon. φύσιν om. 9 Mon. ὀνόματα. 10 Mon. κομψότερον λέγεσθαι. Par. 1. κομψότατον νόμον Par. 2. κομψότατον λόγον. 11 Mon. τὴν νόμον. Par. 1. τὴν νόσον. Par. 2. τὸν νόμον, scr. τὴν νῆσον ex Dem. de Halon. p. 78.

τε ἀπολάβητε", [12] τὸ γὰρ λάβητε καὶ ἀπολάβητε ῥήματα ὄντα εἶπεν ὀνόματα. καὶ ἐν τῷ δεκάτῳ· [13] „ἀλλ' ἔστιν, ὦ πρὸς τοῦ Διός, ὅστις εὖ φρονῶν οὐκ ἐκ τῶν ὀνομάτων μᾶλλον ἢ τῶν πραγμάτων τὸν ἄγοντα εἰρήνην ἢ πολεμοῦντα αὐτῷ σκέψαιτο"; εἰ οὖν, ὡς ἐδείχθη, πᾶσα λέξις ὄνομα κληθήσεται, λέγει Ἑρμογένης τὴν ἀμφιβολίαν καὶ ἐξ αὐτοῦ τοῦ ὀνόματος εἶναι φανεράν. οὐκ ὄνομα τὸ τῆς στάσεως παραλαμβάνει, ἀλλ' ὄνομά φησι τὴν λέξιν, περὶ ἣν ἡ ἀμφιβολία γίνεται, οἷον τὸ Πανταλέων, καὶ πάντα λέων· ἐξ αὐτοῦ γὰρ δὴ τοῦτο φανερὸν τὸ τῆς ἀμφιβολίας γίνεται.

γ'. Ἐκ τῶν σαφεστέρων ὑπέγραψεν αὐτήν, ἐπείτοι οὐκ ἐκ μόνης προσῳδίας καὶ διαστάσεως συλλαβῶν ἡ ἀμφιβολία γίνεται, ἀλλ' ἐπειδὴ νῦν οὐ διαίρεσιν ἀμφιβολίας ἡμῖν εἰπεῖν βούλεται, [14] ἀλλ' ὑπογραφήν, εἰκότως τὰ φανερώτερα παρέλαβεν. ἰστέον μέντοι, ὡς γίνεται ἡ ἀμφιβολία κατὰ τούσδε τοὺς τρόπους, κατὰ πνεῦμα, κατὰ τόνον, κατὰ διάστασιν συλλαβῶν, καὶ καθ' ὑπέρθεσιν λέξεως, καὶ κατὰ ὁμωνυμίαν. κατὰ μὲν οὖν πνεῦμα, οἷον συνωμολόγησαν δύο πόλεις, ἐν δέκα ἔτεσι μὴ ἄρασθαι πόλεμον πρὸς ἀλλήλας. τοῦ δεκάτου διανυσθέντος ἔτους πόλεμον αὐτῶν ἑτέρα κινεῖ, καὶ κρίνεται [15] ὡς παραβεβηκυῖα τὰς σπονδάς· ἡ μὲν γὰρ ἀναγινώσκει δασέως, ἵνα σημαίνηται ἓν πρὸς τοῖς δέκα, ἡ δὲ ψιλῶς ἐν δέκα, ὥστε τὴν ἐν παραλαμβάνεσθαι πρόθεσιν. ἀλλὰ καὶ κατὰ προσῳδίαν τοῦτο δύναται καὶ κατὰ διάστασιν συλλαβῶν εἶναι, ἵνα ἡ μὲν ἀναγινώσκῃ προπαροξυτόνως ἕνδεκα, ὡς μιᾶς λέξεως καθεστηκυίας, ἡ δὲ προπαροξυτόνως ὡς προθέσεως μετ' ὀνόματος οὔσης. καὶ ἔτι κατὰ διάστασιν συλλαβῶν, ἵνα [16] ἡ μὲν ὑφ' ἕν, ἡ δὲ κατὰ διάστασιν

12 Mon. μὴ λάβητε. Parr. μὴ ἀπολάβητε, ejeci μὴ h. l. et paullo post. 13 Phil. III. p. 114. 14 Par. 1. βούλεται εἰπεῖν. 15 Mon. κρίσιν. Par. κρ. 16 Mon. εἶναι.

ἀναγινώσκῃ· διὸ παραιτητέον τὴν κατὰ πνεῦμα λεγομένην ἀμφιβολίαν, ὥστε ἡμῖν τέσσαρα λείπεσθαι ἀμφιβολίας εἴδη. τοῦ μὲν οὖν κατὰ τόνον καὶ κατὰ διάστασιν συλλαβῶν αὐτὸς παραδείγματα δέδωκε, τοῦ δὲ καθ᾽ ὑπέρθεσιν λέξεων τοῦτο ἔσται παράδειγμα. τελευτῶν τις τοῖς παισὶν ἐπέτρεψε [17] κατασκευάσαι Ἡρακλέα χρυσοῦν ῥόπαλον ἔχοντα, καὶ ἀναθεῖναι τὸ ἄγαλμα τῷ θεῷ. ὁ μὲν γὰρ τὸ χρυσοῦν τῷ ῥοπάλῳ προσνέμει, ὥστε εἶναι μόνον τὸ ῥόπαλον χρυσοῦν, ὁ δὲ ἐφ᾽ Ἡρακλέος αὐτὸ ἐκδέχεται, ὥστε εἶναι χρυσοῦν ποιεῖν Ἡρακλέα· τοῦ δὲ καθ᾽ ὁμωνυμίαν παράδειγμα τὸ ἀνωτέρω εἰρημένον, ὅπερ ἐν τῷ παραπρεσβείας ἐμπεπτωκέναι ἐφάσκομεν. οἷον Δημοσθένης· [18] ἔχρησεν Ἀπόλλων δεῖν τοὺς ἡγεμόνας φυλάττεσθαι, καὶ ἀμφισβητοῦσιν, οἱ μὲν περὶ τῶν στρατηγῶν, οἱ δὲ περὶ τῶν ῥητόρων αὐτὸν εἰρηκέναι λέγοντες· ἕτερον δὲ ἔχομεν ἐκ τῆς ἱστορίας παράδειγμα. ἔχρησεν ἐν τοῖς Μηδικοῖς Ἀπόλλων τοῖς Ἀθηναίοις ξυλίνῳ τείχει πρὸς τὸν πόλεμον χρήσασθαι, καὶ οἱ μὲν συνεβούλευον τὴν ἀκρόπολιν καταλαβεῖν, Θεμιστοκλῆς δὲ ἐμβῆναι προὔτρεπεν εἰς τὰς ναῦς, ταύτας ὑπὸ τοῦ χρησμοῦ φάσκων ξύλινον τεῖχος εἰρῆσθαι· ἐνταῦθα γὰρ ὁμωνυμία. δύναται γὰρ ἐπ᾽ ἀμφοτέρων νοεῖσθαι τὸ ξύλινον, ὃ ἐποίει τὴν ἀμφισβήτησιν.

δ΄. Ζητῆσαι ἄξιον πῶς τῶν ἄλλων νομικῶν τὴν ἀμφιβολίαν μετέταξεν ἐξ ἑνὸς οὖσαν ῥητοῦ, καὶ ἔστιν εἰπεῖν, ὡς εἰ καὶ ἐξ ἑνὸς εἶναι δοκεῖ ῥητοῦ, ἀλλ᾽ οὐδὲν ἧττον ἐκ δυοῖν οὖσα εὑρίσκεται· ἄλλο γὰρ τό· ἑταίρα χρυσία εἰ φοροίη δημοσία ἔστω, καὶ ἄλλο τό· δημόσια ἔστω· καὶ ἕτερον τὸ ἐχέτω τὰ ἐμὰ πάντα λέων, καὶ τὸ Πανταλέων ἐχέτω ἕτερον· διὰ ταῦτο ὡς ἐκ δύο οὖσαν σχεδὸν ῥητῶν, οὔτε τοῦ ῥητοῦ καὶ τῆς διανοίας, οὔτε τοῦ συλλογισμοῦ

17 Mon. ἐπέστρεψε. 18 Δημοσθένης Mon. om., recepi ex Parr.

δεῖν ἔκρινε προτάξαι αὐτὴν, τῆς δὲ ἀντινομίας πάλιν αὐτὴν οὐ προτέθεικεν, ὡς ἐχομένης ἐκείνης τοῦ ῥητοῦ καὶ τῆς διανοίας καὶ μὴ χρῆναι διασπασθῆναι αὐτῆς· εἰκότως οὖν μετετάγη· εἶναι δὲ αὐτὴν καὶ ἀπ' αὐτοῦ τοῦ ὀνόματος εἴρηκε φανεράν· ὅτι ἐξ ἐπιπολῆς[19] ἔχει καὶ ἀπερικάλυπτον τὸ ἀμφίβολον, ἐξ αὐτῆς προφορᾶς ἐληλεγμένον καὶ φανερώτατον· τί γὰρ ἐκδηλότερον τοῦ δημόσια καὶ τοῦ δημοσία, καὶ τοῦ πάντα Λέων καὶ Πανταλέων· ὁ μὲν οὖν τεχνικὸς ἐκ προσῳδίας ἢ διαστάσεως συλλαβῶν τὴν ἀμφιβολίαν ἔφη συνίστασθαι, καὶ ἀπ' αὐτῶν παραδειγμάτων δῆλον ἑκάτερον παρεσκεύασεν. ἔστι μέντοι ἐξ ὁμωνυμίας ἀμφιβολία. οἷον δύο ἦσάν τῳ δοῦλοι, ὁμωνυμοῦντες ἀλλήλοις, Λέων καὶ Λέων. τελευτῶν ὁ δεσπότης διέθετο, βούλεσθαι τὸν Λέοντα εἶναι ἐλεύθερον. καὶ ἀμφισβητοῦσιν οἱ δοῦλοι τῆς ἐλευθερίας· ὁ γοῦν τεχνικὸς ἐκ τοῦ ὀνόματος γνωρίζεσθαι τὴν ἀμφιβολίαν εἰπὼν, καὶ ταύτην[20] ἐδήλωσε μᾶλλον ἐκείνων ἀπ' αὐτοῦ τοῦ ὀνόματος, ἑνὸς καὶ τοῦ αὐτοῦ ἀμφοτέρων τῶν δούλων κατηγορουμένου τὸ ἀμφίβολον ἔχουσαν.[21]

έ. Γίνεται καὶ καθ' ὁμωνυμίαν ἀμφιβολία, ὅταν ἡ αὐτὴ λέξις ἐπὶ διαφόρων λαμβάνηται πραγμάτων, οἷον δίς μὴ εἶναι δίκας περὶ τῶν αὐτῶν· φόνου τις κρινόμενος ἀπέφυγε. χρωμένῳ τούτῳ ἔχρησεν ὁ θεὸς, ἀνδροφόνοις οὐ χρῶ, καὶ κρίνεται φόνου πάλιν· καὶ τὸν νόμον προβάλλεται· ἐνταῦθα γὰρ ὁ μὲν φεύγων λαμβάνει τὴν δίκην ἐπὶ τοῦ δικάσασθαι, λέγων, ὅτι περὶ τῶν αὐτῶν δίς ὁ νόμος ἀπαγορεύει δικάζεσθαι· ὁ δὲ κατήγορός φησιν, ὅτι δίκην ὁ νόμος λέγει τὴν τιμωρίαν, σὺ δ' οὔπω δέδωκας τιμωρίαν οὐδεμίαν.

19 Mon. ἐπιπολλῆς. 20 Mon. ταῦτα. 21 Par. 1. ἐχούσης.

Cap. XVI.

Περὶ μεταλήψεως.[1]

α΄. Τελευταία ἡ μετάληψις διὰ τὸ μὴ περὶ τὸ πρᾶγμα τὴν ζήτησιν ἔχειν, ἀλλ᾽ ὁμολογουμένου τοῦ πράγματος παρὰ μόνην τὴν περίστασιν στρέφεσθαι· αἱ μὲν γὰρ ἄλλαι στάσεις ἢ ἄρνησιν ἔχουσι τοῦ κρινομένου πράγματος, ἢ τὸ μὲν ὁμολογοῦσι, τὸ δ᾽ οὔ. ἢ τι τῶν τοιούτων· αὕτη δὲ οὐδὲ ὁμολογίας ἀξιοῖ τὸν κατήγορον.

β΄. Περὶ τῶν προῤῥηθεισῶν[2] στάσεων ὅπως διαγινώσκονται εἴρηκεν· ὅτι ζητούντων ἡμῶν εἰ ἔστιν ἢ τί ἐστιν, ἢ ὁποῖόν τί ἐστιν, οἷον τὴν ὕπαρξιν, τὴν ἰδιότητα, τὴν ποιότητα, τὴν δὲ μετάληψιν οὐχ ὁμοίως ἔφη διαγινώσκεσθαι· ἀλλ᾽ ὅταν ζητῆται, εἰ τὸν ἀγῶνα δεῖ εἰσελθεῖν ὅλως· μήτε γὰρ τὸ εἰ ἔστι ζητεῖσθαι, ὥσπερ ἐν στοχασμῷ, μήτε τὸ τί ἐστιν, ὡς ἐν ὅρῳ, μήτε τὸ ὁποῖόν τί ἐστιν, ὥσπερ ἐν ταῖς λοιπαῖς τῶν στάσεων· ἀλλ᾽ αὐτὸ τοῦτό φησιν, εἰ δεῖ εἰσαχθῆναι τὸν περὶ τούτων ἀγῶνα. παραγραφὴ γάρ ἐστιν ἤγουν παραίτησις καὶ παρωθισμὸς τοῦ ἀγῶνος· μετάληψις δὲ εἴρηται, ὅτι κατ᾽ ἔνστασιν εἰσάγεται καὶ ἀντιπαράστασιν, καθάπερ ἡ μετάληψις τὸ κεφάλαιον. ὥσπερ ἐπὶ τοῦ παρεστῶτος τῷ νεοσφαγεῖ σώματι τοῦ κρινομένου λέγοντος ἀντιληπτικῶς, ὅτι ἐξῆν μοι παρίστασθαι, μεταληπτικῶς ὁ κατήγορος ἀντικαθίσταται, λέγων ὅτι οὐκ ἐξῆν σοι, ὅπερ ἐστὶν ἡ ἔνστασις· εἶτα, ὅτι εἰ καὶ ἐξῆν, ἀλλ᾽ οὐχ οὕτω, ξίφος κατέχοντα καὶ ᾑμαγμένον τὰς χεῖρας, ὅπερ ἐστὶν ἡ ἀντιπαράστασις, οὕτω καὶ ἡ μετάληψις, ἡ στάσις. πρῶτον μὲν παραγραφή, διωθουμένη τὸν ἀγῶνα ἐνστατικῶς. ἔνθεν καὶ πα-

---

1 Schol. min. τριῶν ὄντων τῶν ποιούντων τὴν στάσιν, ὑπάρξεως (Cod. ὑπέξεως) ἰδιότητος, ποιότητος, οὐδενὸς τούτων μετέχει ἡ ἀντίληψις, ἀλλὰ τὴν ζήτησιν ἔχει περὶ τοῦ, εἰ δεῖ τὸν ἀγῶνα εἰσελθεῖν. 2 Mon. προρηθέντων. Par. 1. προῤῥηθέντων.

ραγραφὴ λέγεται· εἶτα δεχομένη πάλιν ἀντιπαραστατικῶς ἀγωνίζεται, ὡς ἐπὶ τῶν παραδειγμάτων ἐν τοῖς[3] ἐφεξῆς σαφέστερον δηλωθήσεται.

γʹ. Μέμφονταί αὐτόν τινες ὡς πᾶσαν τὴν μετάληψιν περὶ τοῦ, εἰ δεῖ τὸν ἀγῶνα εἰσελθεῖν, ἀποφηνάμενον. δύο γὰρ τῆς ἀντιλήψεως ὄντων εἰδῶν, τῆς μὲν ἐγγράφου, τῆς δὲ ἀγράφου, μόνης τῆς ἐγγράφου τὸ εἰρημένον ἐστίν· ἡ γὰρ ἄγραφος οὐ περὶ εἰσαγωγῆς ἔχει τὴν ζήτησιν, ἀλλὰ περὶ τῆς τοῦ πράγματος περιστάσεως· ἔδει οὖν οὕτως ὁρίσασθαι. τὴν δὲ μετάληψιν οὐκέτι ὁμοίως ἐπιγνωσόμεθα, ἀλλ᾽ ὅταν ἡ ζήτησις ᾖ, ἢ περὶ τοῦ τὸν ἀγῶνα εἰσελθεῖν, ἢ περί τινα τῶν περιστατικῶν. οὕτως γὰρ ἂν καὶ τὴν ἄγραφον περιελάμβανεν.

δʹ. Χαρακτηρίζει αὐτὴν δι᾽ ὧν καὶ νομίζει· τριῶν γὰρ οὐσῶν τῶν ζητήσεων, εἴ ἐστι, τί ἐστι, καὶ ὁποῖόν τί ἐστιν, οὐδὲν, φησὶ, τούτων ἐν τῇ μεταλήψει ζητοῦμεν· ἀλλ᾽ εἰ δεῖ τούτων εἰσενεχθῆναί τι· καί τίνες λέγουσι πρώτην αὐτὴν ταχθῆναι, ἐπειδὴ παραγράφει τὸν ἀγῶνα, σπουδάζουσι δὲ πάντες ἄνθρωποι, αὐτὸ τοῦτο οὐδὲ εἰσελθεῖν, ἀλλὰ παραγράφει τὸν ἀγῶνα. ἀλλὰ πρὸς τοῦτο ἀσφαλῶς ὡρίσατο, εἰ δεῖ τούτων εἰσενεχθῆναι φήσας. ἀδύνατον δὲ τούτων ἦν τι παραγράφεσθαι μὴ μαθόντας ὅλως, τί ταῦτά ἐστιν. καὶ φασί τινες, ὅτι, ἐπεὶ τρία εἰσὶ τὰ ζητούμενα, τούτων δὲ οὐδέν ἐστιν ἡ μετάληψις, οὐκ ἂν εἴη στάσις, ἀλλ᾽ οὐκ ἀνεῖλεν αὐτὴν καθόλου,[4] ἀλλὰ προηγουμένως φησὶ, περὶ τούτων οὐκ ἔχει τὴν ζήτησιν. καλῶς δὲ προσέθηκε τὸ προηγουμένως. ἐν γὰρ τῇ ἐγγράφῳ μεταλήψει, ἣν καὶ καλοῦμεν παραγραφὴν, ἐμπίπτει πάντως καὶ δεύτερον ζήτημα παρὰ τὸ τῆς γραφῆς, κατὰ μίαν τῶν ἄλλων στάσεων, οὐ μὴν προηγουμένως· ἀλλ᾽ ἐν δευτέρῳ λόγῳ δύο ἐν παραγραφῇ τὰ ζητούμενα· ὧν

3 ἐν τοῖς Par. om. 4 αὐτὴν καθόλου Par. 1. om.

τὸ μὲν πρότερον ἔχει τὴν παραγραφὴν, ἀπαγωγὴν οὖσαν τῆς εὐθυδικίας. τὸ δὲ δεύτερον κατὰ μίαν τῶν προειρημένων στάσεων.

έ. Διδάξας τὸν ὅρον τῆς μεταλήψεως, ὅτι παραγραφή ἐστιν, εἰ δεῖ τὸν ἀγῶνα εἰσελθεῖν τὸν περὶ τοῦ εἰ ἔστιν ἢ τί ἐστιν ἢ ὁποῖόν τί ἐστιν, τοῦτο γὰρ ὅρος τῆς μεταλήψεως, διδάσκει καὶ περὶ τῶν ταύτης εἰδῶν καινόν τι πρᾶγμα ποιῶν, ὅπερ οὐδεμία τῶν ἄλλων πεποίηκε στάσεων· πρὶν ἢ προθεῖναι τὴν περὶ τῶν κεφαλαίων διαίρεσιν διδάσκει περὶ εἰδῶν· ἀλλ᾽ ἐπειδὴ τὰ εἴδη τῆς μεταλήψεως ἰδίοις ἕκαστον τέμνεται κεφάλαιον, ὡς ἐν τῇ διαιρέσει τούτων εἰσόμεθα, τούτου ἕνεκα καὶ τάξεως αὐτὰ τῆς μετὰ τῶν στάσεων ἠξίωσεν· ἀλλ᾽ ἐνταῦθα ἕτερόν τι πάλιν ἀνεφύη ἄπορον, ὡς εἴγε ἰδίοις τέμνεται κεφαλαίοις ἑκάτερον εἶδος [5] τῆς μεταλήψεως, πῶς οὐ στάσις [6] εἶναι τούτων ἕκαστον καὶ νομίζεσθαι λέγεται· ἀλλ᾽ ὡς εἴδη ἡμῖν παρὰ τοῦ τεχνικοῦ παραδέδονται· ἐντεῦθεν οὖν ἔστιν ἐπιγνῶναι, ὅτι ὥσπερ οὐ στάσιν τὴν αὐτὴν ἡ ταυτότης τῶν κεφαλαίων ποιεῖ, οὕτως οὐδὲ ἡ ἑτερότης ἑτερότητα στάσεων, ἀλλ᾽ ἡ τοῦ ὅρου ταυτότης ἢ ἑτερότης, αὕτη ταυτότητα στάσεων ἢ ἑτερότητα στάσεων κατεργάζεται· καὶ [7] διὰ ταῦτά φησιν, ὅτι δύο δὲ αὐτῆς εἴδη. εἰπὼν δὲ τὴν ποσότητα τῶν εἰδῶν, ὅτι δύο, μέτεισιν καὶ ἐπὶ τὴν τούτων ποιότητα· λέγων ὅτι ἡ μὲν ἔγγραφός ἐστιν, ἡ δὲ ἄγραφος· τὸ ἔγγραφον ἐνταῦθα εἶδος [8] τῆς μεταλήψεως τοῦ ἀγράφου προτίθησι· [9] τοὐναντίον τῆς κατὰ τὴν διαίρεσιν τῶν λογικῶν τε καὶ νομικῶν στάσεων ἐνδεικνύμενος τάξεως· ἐκεῖ μὲν γὰρ διὰ τῆς διαιρετικῆς [10] μεθόδου τὰς στάσεις παραδιδοὺς τῇ διαιρετικῇ ἑπόμενος φύσει τὰς λογικὰς ὡς ἁπλουστέ-

5 εἶδος Mon. om. 6 Mon. στάσεως. 7 καὶ Mon. om.
8 εἶδος Mon. om. 9 Mon. προστίθησι. Par. 1. προτίθεται.
10 Par. 1. προαιρετικῆς.

ρας τῶν νομικῶν προηγόρευσεν· ἐνταῦθα δὲ, ὡς ἤδη τὴν φύσιν τῶν στάσεων παραδοὺς καὶ περὶ τῶν ὑπ᾽ αὐτὰς εἰδῶν τὸν λόγον ποιούμενος τὴν ἔγγραφον ὑλωδεστέραν καὶ παχυτέραν τῆς ἀγράφου προτέθεικεν· ἐπεὶ δὲ καὶ αἱ νομικαὶ ἐξ ἐγγράφων εἰσὶν, ἵνα τὴν πρὸς ἐκείνας δείξῃ διαφορὰν, ἐπήνεγκε· καὶ ἡ μὲν ἔγγραφός [11] ἐστιν ἀπαγωγὴ τῆς εὐθυδικίας κατὰ παραγραφὴν ἀπὸ ῥητοῦ τινος, περὶ οὗ ἡ ζήτησις· ἐκεῖναι, φησὶ, κατ᾽ εὐθὺ χωροῦσι τῆς εὐθυδικίας. καὶ περὶ αὐτῆς αὐτίκα καὶ κατ᾽ ἀρχὰς ἀγωνίζονται· ἡ δὲ ἔγγραφος μετάληψις καὶ παραγραφὴ διωθεῖται τὸν ἀγῶνα, καὶ ἀποκρούεται, καὶ μὴ δεῖν αὐτὸν εἰσαχθῆναι πρότερον ἀγωνίζεται· εἶτα ἐπειδὰν δι᾽ ὅλης στάσεως τῆς ἀπὸ ῥητοῦ κατὰ μίαν τῶν νομικῶν ἐξεταζομένης δείξῃ τὸ κατ᾽ αὐτὸν ὁ κατηγορούμενος μὴ δεῖν τὸν ἀγῶνα εἰσενεχθῆναι, κατὰ περιουσίαν χωρεῖ καὶ ἐπὶ τὴν εὐθυδικίαν αὐτὴν, καθ᾽ ὁποτέραν ἂν ἐμπίπτῃ τῶν στάσεων, ἀγωνιζόμενος κἀνταῦθα ἀνεύθυνον ἑαυτὸν [12] ἀποδεῖξαι καὶ καταδίκης ἀνώτερον· ἀπὸ δὲ τοῦ παραδείγματος σαφέστερον δειχθήσεται τὸ λεγόμενον. Εἴη ἂν [13] ἀκριβῶς διαφορὰ ἀντιλήψεως καὶ μεταλήψεως αὕτη· τὸ ἐν μὲν τῇ ἀντιλήψει τὸ πεπονθὸς πρόσωπον λαμπρὸν εἶναι, τὸ δὲ ἀδικῆσαι εὐτελές· ὥσπερ ἐπὶ τοῦ ζωγράφου τοῦ προτιθέντος ἐπὶ λιμένος [14] τὰ ναυάγια. ἠδίκηται μὲν γὰρ ἡ πόλις· ὁ δὲ ἀδικήσας ζωγράφος· καὶ ὁ ἀνελὼν τὸν τρισαριστέα μοιχὸν εὑρὼν ἀριστέα ἀνεῖλεν εὐεργέτην τῆς πόλεως, λαμπρὸν τὸ πρόσω-

---

11 Sch. min. ἡ ἔγγραφος, φησὶ, καὶ ἡ κυρίως παραγραφὴ περὶ τὸ ῥητὸν ἔχει τὴν ζήτησιν, ἡ δὲ οὔ. οὕτως γὰρ ἰσχύει τῷ ῥητῷ. 12 Mon. ἑαυτά. 13 εἴη ἂν ἀκριβῶς διαφορά, usque ad litt. ς. Par. 1. non habet: in Par. 2. exstant inter scholia minora. Omissa igitur a Par. 1. sine dubio, quia pro spatii his scholiis minoribus concessi angustia nimis longa fuerunt. 14 Mon. λίμνης. Par. 2. λιμένος. Uterque ἐπὶ om.

που καθ' ὑπερβολήν· ἐν δὲ τῇ μεταλήψει οὐχ οὕτως· ἀλλὰ τὸ μὲν πεπονθὸς εὐτελές· καὶ τοῦ ταῦτα παθεῖν, ἅπερ ἔπαθεν, ἄξιον ὡς εἰπεῖν. τὸ δὲ πρᾶξαν λαμπρόν. καὶ αὕτη μὲν ἡ διαφορά· ἔνθα πάθος τι καὶ ἄδικος πρᾶξις ὑπόκειται· ἔνθα δὲ μὴ τοῦτο, ὡς ἐν ἐκείνῃ τῇ ἀντιλήψει· Κλέωνος ἐπαγγελλομένου τὰ περὶ Πύλον, Ἀλκιβιάδης ἐγέλα, καὶ κρίνεται ὕβρεως. ἑτέρα ἐστὶ διαφορὰ ἡ κατὰ Πορφύριον· ἐν μὲν γὰρ τῇ ἀντιλήψει ὅλον τὸ πρᾶγμα συγκεχώρηται, ἐν δὲ τῇ μεταλήψει οὐχ ὅλον, οἷον τὸ γελᾷν Ἀλκιβιάδην κατὰ πάντα συγκεχώρηται καὶ χρόνον καὶ τόπον· τὸ δὲ ἀποκτιννύναι τὸν πένητα κατάκριτον ὄντα οὐ συγκεχώρηται πάντῃ· καὶ ἡ Ἀντιπάτρου δὲ οὐ παραδεχθήσεται, λεγόντων ἡμῶν ὡς κατὰ τὸ πρόβλημα ἔπταισε, μᾶλλον δὲ ἐφ' ἅπασι τοῖς εἰρημένοις. Κατὰ Παῦλον δὲ τὸν ἡμέτερον ἀκριβεστέραν διαφορὰν προσθετέον, ὅτι ἡ μὲν μετάληψις ἀπὸ νόμου τινὸς ἀεὶ λαμβάνεται, ἡ δὲ ἀντίληψις ἢ ἀπὸ ἔθους ἢ ἀπὸ φύσεως ἢ ἀπὸ νόμου. πρὸς μὲν οὖν τὸ ἀπὸ φύσεως καὶ ἔθους οὐδὲ μία ἂν γένοιτο κοινωνία ὅλως, πρὸς δὲ τὸ ἀπὸ νόμου, ἔνθα κοινωνοῦσι μόνον· ἀπόχρη οὖν ἡ Πορφυρίου διαφορὰ, ἐπιστάσεως δὲ ἄξιον, μήποτε ἐπὶ τῶν κατὰ νόμον ἀντιλήψεων [15] πάντως λυπηρὰ ἕπηται ἔκβασις, ἐπὶ δὲ τῶν ἐχόντων πρᾶξιν ἐκβᾶσαν ἡ κατὰ τὰ πεπονθότα πρόσωπα [16] διαφορὰ πάνυ ἔῤῥωται.

Ἄλλαι μὲν παρ' ἄλλων τάξεις τῇ μεταλήψει ἀπεδόθησαν, ὁ δὲ Ἑρμογένης καλῶς ποιῶν πασῶν αὐτὴν ἐν τῇ μεθόδῳ μετατάττει· οὐ τοσοῦτον πρὸς τὴν φύσιν ἀπιδὼν, ὅσον πρὸς τὸ τῆς διδασκαλίας ἀναγκαῖον· ἐπεὶ γὰρ οὐχ οἷόν τε τὴν παραγραφὴν καθ' αὑτὴν εἶναί πο-

---

15 Mon. τὸν κ. ν. ἀντιλήψεως πάντ. λυπηρὰ ἕπεται. Par. 2. ἐπὶ τῶν κ. ν. ἀντιλήψεων π. λ. ἕπεται. 16 Mon. Par. 2. κατὰ πεπονθότα πρόσωπον διαφ. πάνυ εὔρωτο. [Par. 2. ἔῤῥωται.]

τε, ἀλλὰ δεῖ πάντως ἑτέρας ἔχειν στάσεως συμπλοκήν, οἷον παραγραφὴ κατὰ τὸν στοχασμόν, παραγραφὴ κατὰ τὸν ὅρον καὶ κατὰ ῥητὸν καὶ διάνοιαν· ἐπεὶ οὖν δεῖ πάντως ἑτέραν αὐτῇ συνυπάρχειν στάσιν, εὐλόγως ἐκεῖνο προδιεξῆλθεν, ἵν' ὅταν τὴν συμπλεκομένην τῇ παραγραφῇ στάσιν ἀκούωμεν, μηδὲν ταραττώμεθα πρὸς τὴν ἄγνοιαν, οὕτως οὖν ἐν μὲν τῇ μεθόδῳ τάττει αὐτὴν μετὰ πάσας, ἐν δὲ τῇ διαιρέσει μέσην· οὐκέτι γὰρ ὁ προειρημένος λόγος ἐκώλυεν ἤδη τὰς στάσεις ἐπισταμένων ἡμῶν.

Μετάληψις λέγεται, ὅτι μεταλαμβάνει ἀπὸ τοῦ πράγματος ἕτερόν τι τῶν περὶ τὸ πρᾶγμα, τουτέστι τῶν περιστατικῶν, καὶ περὶ αὐτοῦ πυιεῖται τὴν ζήτησιν, καὶ παραγραφὴ ὁμοίως, ὅτι παραγράφει καὶ παραχαράττει τὸ πρᾶγμα ἤ τι τῶν περὶ τὸ πρᾶγμα, φημὶ τῶν περιστατικῶν· μία γοῦν αὕτη τούτου συγγένεια, καθὸ διαγράφει αὐτῶν ἑκάτερον τὸ πρᾶγμα. ὥστε εἰ ἔργον ἀμφοτέρων ἕν, καὶ τὸ πρᾶγμα αὐτῶν διαφόρως ἐφ' ἑκατέρας ταχθήσεται· ἔστι δὲ καὶ ἑτέρα κοινωνία· ἄμφω γὰρ ἀπὸ ῥητοῦ τινος ἄρχεσθαι βούλονται. ἀλλ' ἐπειδὴ κοινωνίας αὐτῶν διεξήλθομεν, καθ' ἃς καὶ τὸ ὄνομα καὶ τὸ πρᾶγμα κοινὸν ἕξουσιν, ἀναγκαῖον καί τινας διαφορὰς προσθεῖναι, ὅπως μὴ παντελῶς ἓν καὶ τὸ αὐτὸ νομισθεῖεν. διαφέρει τοίνυν ἀλλήλων πρῶτον μέν, τῷ τὴν μετάληψιν ἄρχεσθαι ἀπὸ ῥητοῦ, καὶ εὐθέως αὐτοῦ ἀφίστασθαι, τὴν δὲ παραγραφὴν περὶ αὐτῶν καταγίνεσθαι· ἔπειτα ἡ μὲν παραγραφὴ ἔχει πρόδηλον τὴν ἑαυτῆς φύσιν· μόνη γὰρ αὕτη τῶν στάσεων οὐδὲ μίαν περὶ τὴν εὕρεσιν ἔχει τὴν ζήτησιν· ὁ γὰρ λέγων τὸ πρόβλημα προστίθησι [17] καὶ τὸ παραγραφικόν, καὶ δηλοῖ τὴν στάσιν ἅμα τῷ προβλήματι προενέγκασθαι· ἡ δὲ

17 Par. 2. εὐθὺς προτίθησι καὶ τὸ παραγρᾶ. Mon. προστίθησι τὸ καὶ παραγραφή.

μετάληψις οὐχ οὕτως· ὥσπερ οὐδὲ αἱ ἄλλαι τῶν στάσεων· ὁ δὲ [18] χρόνος διαιρεῖται εἰς τὸ μὴ νῦν, εἰς τὸ μηκέτι, εἰς τὸ μήπω· τοῦ μὴ νῦν παράδειγμα· νόμος ἐν ἱερομηνίᾳ μηδένα δικάζεσθαι· κατηγορεῖ τις ἐν ἱερομηνίᾳ τινὸς ὡς ἠσεβηκότος, ὁ δὲ παραγράφει αὐτόν. κατά γε τὸν ἐνεστῶτα χρόνον παραγράφει, οὐκ ἀποσειόμενος παντελῶς τὴν κατηγορίαν, ἀλλὰ πρὸς τὸ παρὸν ἐκβάλλων· τοῦ δὲ μηκέτι παράδειγμα. δύο πλούσιοι πένητι καθεστήκασιν ἐχθροὶ τὰ πολιτικά, ἐπὶ πρεσβείαν ἐξελθόντος τοῦ πένητος εὑρέθη ὁ υἱὸς νεκρὸς ἀσκύλευτος· καὶ ἀντεγκαλοῦσιν ἀλλήλοις οἱ πλούσιοι, ἀπέφυγον ἀμφότεροι, καὶ ἐπανελθὼν ὁ πένης βούλεται κρίνειν αὐτούς· οἱ δὲ παραγράφονται αὐτὸν κατὰ τὸν νόμον τὸν κελεύοντα δὶς περὶ τῶν αὐτῶν μὴ κρίνεσθαι· ἐνταῦθα γὰρ τὴν κατηγορίαν παντελῶς παραγράφονται, μὴ οἷόν τε εἶναι περὶ τούτων κρίνεσθαι τοῦ λοιποῦ, ἐφ' οἷς ἤδη [19] ἐκρίθησαν· τοῦ δὲ μήπω ἐκεῖνο ἔστω ἡμῖν παράδειγμα· νόμος τριάκοντα ὕστερον ἡμερῶν εἰσιέναι τὴν δίκην· δύο πένητες ἐγράψαντο πλούσιον· εὑρέθη ὁ ἕτερος αὐτῶν νεκρὸς ἀσκύλευτος· καὶ ὁ ἕτερος πρὸ τῶν λ' ἡμερῶν τὴν δίκην ἀξιοῖ κρίνεσθαι· τοῦτο γὰρ οὐ παντελῶς, ἀλλὰ κατὰ τὸ μήπω παρεῖναι τὸν καιρὸν τῆς προόδου παραγραφῆς, ἀναμένειν γὰρ αὐτὸν ἀξιώσει τὸν προσήκοντα χρόνον.

ϛ'. Πᾶσα, φησὶ, παραγραφὴ, ἥτις ἐστὶ καὶ [20] ἔγγραφος μετάληψις, μεταλαμβάνεται γάρ, εἴδη ἔχει δύο· ἡ μὲν γάρ ἐστιν ἔγγραφος, ἡ δὲ ἄγραφος ὥσπερ καὶ πραγματική· καὶ ἡ μὲν ἔγγραφος κυρίως παραγραφὴ καλεῖται, καταχρηστικῶς δὲ καὶ ἔγγραφος μετάληψις, ἡ δὲ ἄγραφος λέγεται μὲν κυρίως ὁμωνυμίως τῷ γένει μετάληψις· λέγεται δὲ ὅμως καταχρηστικῶς καὶ παραγραφή.

18 Mon. οὐδὲ, scr. ὁ δέ. 19 Mon. ἔδει. Par. 2. ἤδη. 20 Mon. καί ἐστιν. Parr. ἐστὶ καί. 21 ἡ δὲ ἄγραφος Mon. om.

ἀμφότερα οὖν τὰ εἴδη μετάληψίς ἐστι· μεταλαμβάνει γὰρ ἑκάστη τὴν περίστασιν· καὶ γὰρ ὁ νόμος ἀπὸ περιστατικοῦ τινος· ἀλλὰ μὴν καὶ ἀμφότεραι πάλαι παραγραφαί. παραγράφεται γὰρ ἡ μὲν φανερῶς, ἡ δὲ τὴν ἐξουσίαν τῆς πράξεως, καθάπερ τὴν κατηγορίαν ἐκβάλλουσα, καὶ κατὰ τοῦτο διαφέρει,[22] ὅτι ἡ μὲν παντελῶς ἐκβάλλει τὸν ἀγῶνα, ἡ δὲ δεχομένη τὴν ἐξουσίαν τοῖς περιστατικοῖς κέχρηται καὶ γνωρίζεται· ἡ μὲν ἀπὸ τοῦ φεύγοντος, ἡ ἔγγραφος, ἡ δὲ ἀπὸ τοῦ διώκοντος, ἡ ἄγραφος· γίνεται δὲ αὕτη σπανίως ἀπὸ τοῦ φεύγοντος.

ζ. Ἀπαγωγὴ, τουτέστιν ἐκβολὴ τῆς[23] τοῦ πράγματος κρίσεως· εἰς ἀπολογίαν γὰρ ἑλκόμενος νόμον προβάλλεται, καθ᾽ ὅν φησι δεῖν μὴ ὑποκεῖσθαι κατηγορίᾳ, ἀλλ᾽ ἐπειδὴ ὕποπτοι ἐκ τούτου γινόμεθα πρὸς τοὺς δικαστὰς, ὡς οὐ τοῖς δικαίοις θαῤῥοῦντες,[24] ἐφεῦρεν ἡμῖν ἡ τέχνη τὴν εὐθυδικίαν· ἀλλ᾽ οὐ πανταχοῦ ταύτῃ χρηστέον, ἀλλ᾽ ὅπου ὁ καιρὸς ἐπιτρέπει· εὐθυδικία δέ ἐστι τὸ κατ᾽ εὐθὺ τῆς δίκης ἰέναι, καὶ μὴ μόνον ἀπὸ τοῦ νόμου προβάλλεσθαι ἄδειαν, ἀλλὰ καὶ τὴν ἀπὸ τῶν πραγμάτων ἀπολογίαν ποιεῖσθαι· οἷον ἐφ᾽ οὗ λέγει ὁ τεχνικὸς ὑποδείγματος· ἑλκόμενος γὰρ εἰς ἀπολογίαν τοῦ μὴ πεποιηκέναι τὸν φόνον προβάλλεται μὲν τὸν νόμον τὸν μὴ ἐξεῖναι δὶς περὶ τῶν αὐτῶν διαγορεύοντα ἀγωνίζεσθαι· προσθήσει δὲ καὶ τὴν εὐθυδικίαν λέγων οὕτως, ὅτι εἰ καὶ μὴ νόμος ἐξαιρεῖταί με τοῦ κινδύνου, οὐδ᾽ οὕτως ὑπεύθυνός εἰμι τιμωρίας· οὐ γὰρ ἔδρασα φόνον καὶ ταύτῃ καὶ τὴν πρὶν ἀπέφυγον δίκην.

η. Τοῦ μὲν φεύγοντος ἐνταῦθα προτεινομένου τὸ ῥητὸν, τοῦ δὲ κατηγόρου τὴν διάνοιαν. λέξει γὰρ ἔχειν μὲν οὕτω τὸν νόμον, οὐ μὴν ἐπὶ τούτοις, οὐδὲ ἐπὶ τῶν

22 Mon. κατὰ τοῦ διαφέρον. 23 τῆς Par. 1. om. 24 Mon. θαῤῥοῦντας.

οὕτω μεγάλων καὶ δεινῶν, ἀλλ᾽ ἐπὶ τῶν εὐτελῶν ἅπαξ κρίνεσθαι προστάττει· ἄλλοι δὲ κατὰ ἀμφιβολίαν τὴν πρώτην εἰρήκασι γίνεσθαι· ὁμωνύμως γὰρ τὰς δίκας νοεῖσθαι καὶ τὰς τιμωρίας, οἷον τιμωρεῖσθαι μὲν δεύτερον κωλύει, κρίνεσθαι δὲ δεύτερον οὐ κωλύει·[25] παρατηρητέον δὲ, ὡς διπλῆ τις ἡ τοιαύτη στάσις, τουτέστιν ἡ ζήτησις· δύο γὰρ ἐν ταύτῃ τὰ ζητήματα· καὶ τὸ μὲν πρῶτον, εἰ μὴ δεῖ κρίνεσθαι τὴν ἀρχὴν ἐπὶ τούτοις· τὸ δὲ δεύτερον τουτέστι τὸ τῆς εὐθυδικίας ἐκ τῆς φύσεως τοῦ πράγματος ἀναφυόμενον, καθ᾽ ἣν ἂν ἐμπέσῃ στάσιν, μελετᾶται.

θ΄. Τὸ μὲν οὖν παραδειγματικὸν πρόβλημα τοιοῦτόν ἐστιν, ἐφ᾽ ᾧ καὶ φόνου κρινόμενος ὁ κατηγορούμενος ἐπὶ τὸν νόμον καταφεύγει· καὶ δι᾽ αὐτοῦ τὸν περὶ τοῦ φόνου διωθεῖται ἀγῶνα, μὴ δεῖν περὶ τῶν αὐτῶν αὖθις κρίνεσθαι λέγων· ὁ δὲ κατήγορος τῆς τοῦ ῥητοῦ διανοίας ἀντέχεται, τότε λέγειν τὸν νόμον μὴ παλινδικεῖν ἐνιστάμενος, ὅτε μὴ τὸ θεῖον κατηγορεῖ, ὅτε οὐ χρησμῷ τὰ τῆς μιαιφονίας ἐλέγχεται, ὅτε μὴ αὐτὸς ὁ Πύθιος κατὰ στόμα προσαπαντᾷ τῷ φονεύσαντι· νῦν δὲ διὰ τῶν λοιπῶν τῆς στάσεως κεφαλαίων τῆς ζητήσεως προϊούσης μετὰ τὸν ἀπαρτισμὸν τῆς παραγραφῆς τὰ τῆς εὐθυδικίας εἰσάγεται κατὰ τὸν στοχασμὸν μελετώμενα, ἀντὶ σημείων λαμβανομένων τῶν τοῦ Πυθίου ῥημάτων, εἰρηκότος ὅτι ἀνδροφόνοις οὐ χρῶ. καὶ τούτων στοχαστικῶς ἐξεταζομένων, καὶ τοῦ μὲν ὑπ᾽ εὐθύνην τὸν κατηγορούμενον ἄγοντος, τοῦ δὲ εὐθύνης ἑαυτὸν ὑπεξάγοντος.

ι΄. Τὸ ἕτερον, φησὶ, ζήτημα τὸ τῆς εὐθυδικίας, ὅ ἐστι τοῦ πράγματος ἡ ἐξέτασις, ὅπερ ἐξ ἀρχῆς προεγράψατο.

---

25 Mon. Par. 2. δεύτερον οὐ omisso κωλύει. recepi κωλύει ex Par. 1. qui scribit: τιμωρεῖσθαι μὲν β΄. ut Mon. et Par. 2. et κρίνεσθαι δὲ β΄.

ἐπλανήθησάν τινες ἀφ' ὧν εἶπεν ὁ τεχνικὸς, „εἶτα ἕπεται τὸ στοχαστικόν·“ ὅτι κατὰ μόνον στοχασμὸν ἡ εὐθυδικία μελετᾶται, οὐκ ἔστι δὲ, ἀλλὰ καὶ κατὰ τὰς ἄλλας στάσεις, πλὴν τῆς μεταλήψεως, τῆς ἐγγράφου τε καὶ ἀγράφου· οὐ γὰρ οἷόν τε στάσιν εὑρεθῆναι ἐν τῇ αὐτῇ στάσει. χρὴ οὖν διαιροῦντα ζητεῖν μετὰ τὴν παραγραφὴν, ὑπὸ τίνα τῶν στάσεων ἀνάγεται ἡ εὐθυδικία· καὶ κατὰ ταύτης κεφάλαιον διαιρεῖν τὸ ζήτημα, περὶ οὗ ἡ παραγραφή· οὐ πάντως οὖν ἐπὶ πάσης παραγραφῆς στοχαστικὸν, ἑκάστοτε δὲ πρὸς τὸ προκείμενον· ἐνταῦθα γοῦν ἡ μὲν παραγραφὴ ἐκ τοῦ ῥητοῦ καὶ διανοίας, ἢ ἐξ ἀμφιβολίας, ἡ δὲ εὐθυδικία κατὰ τὸν στοχασμόν· στοχαστικὸν δὲ λέγει οὐ κεφάλαιον, ἀλλὰ ζήτημα. χρὴ δὲ καὶ τοῦτο γινώσκειν, ὡς τῆς παραγραφῆς ἡ μὲν τελεία ἐστὶν, ἡ δὲ ἀτελής. τελεία μὲν, ὅτι τοῦ πράγματός ἐστι παραγραφή· ὡς ἐπὶ τοῦ φεύγοντος φόνου καὶ λέγοντος, ὅτι ἐκρίθην· οὔτε γὰρ τὸν κατηγοροῦντα νῦν, οὔτε ἄλλον τινὰ δέχεται· λέγει γάρ ὅτι οὔτε σοι, οὔτε ἄλλῳ τινὶ [26] δικάζομαι περὶ τούτου· ἀτελὴς δὲ, ὅτε προσώπου μόνου γίνεται παραγραφή· λέγει γὰρ, ὅτι σοι μὲν οὐ δικάζομαι, ἑτέρῳ δὲ τῷ βουλομένῳ.

ιά. Περὶ τῆς ποιότητος τῆς ἐγγράφου μεταλήψεως εἰρηκὼς νῦν καὶ περὶ τῆς ἀγράφου, ὁποία τίς ἐστιν, διαλέγεται· ὅτι ἔστιν ἀπαγωγὴ μὲν τῆς εὐθυδικίας καὶ αὐτὴ κατὰ παραγραφὴν ἀπὸ ῥητοῦ· οὐχ ἵσταται δὲ περὶ τὸ αὐτὸ ῥητόν· ἢ γὰρ ἂν οὐδὲν τῆς [27] ἐγγράφου διέφερε μεταλήψεως, παραγραφὴ καὶ αὐτὴ οὖσα, ἀλλ' ἀφισταμένη τοῦ ῥητοῦ περί τι τῶν περιστατικῶν καταγίνεται καὶ εἰς αὐτὸ περιΐσταται, ἐν ταὐτῷ καὶ τὴν ἔγγραφον ὁμοῦ μετάληψιν καὶ τὰς νομικὰς διαφεύγουσα, τὴν μὲν ὡς μετὰ τοῦ ῥητοῦ καὶ τῆς παραγραφῆς ἀποχωροῦσαν·

καὶ

26 Mon. ἄλλο omisso τινι. 27 τῆς Par. 1. om.

καὶ πρὸς τὴν εὐθυδικίαν μεταχωροῦσαν· εἰ καὶ πρὸς βραχὺ παραγράφει, τὰς δὲ ὡς τοῦ ῥητοῦ μεθισταμένη καὶ πρός τι τῶν περιστατικῶν ἀποκλίνουσα, τόπον ἢ χρόνον, ἢ πρόσωπον καὶ τὰ ἑξῆς καὶ τούτων ἑνὸς μεταλαμβάνουσα καὶ περὶ αὐτὸ τὴν δύναμιν τοῦ ἀγῶνος συνάγουσα.

ιβ΄. Παραδείγματι τὸ πᾶν ἐσαφήνισε· καὶ γὰρ ἐπὶ τοῦ δοθέντος προβλήματος τὸ μὲν πραχθὲν συγχωροῖμεν τὸν νόμον αἰδούμενοι, τὸν μοιχὸν καὶ τὴν μοιχευομένην ἀναιρεῖσθαι κελεύοντα, τὸν [28] τόπον δὲ καὶ τὸν χρόνον μεταλαμβάνοντες αἰτιώμεθα, ὅτι οὐκ ἐξῆν ἐπὶ τοῦ τάφου φονεύειν· οὐδὲ χρόνῳ ὕστερον τῆς γυναικὸς κατατρέχειν· τοσαῦτα καὶ περὶ τῆς μεταλήψεως.

ιγ΄. Ἐν τῇ μεταλήψει, φησὶν, ἥτις ὁμώνυμός ἐστιν τῷ οἰκείῳ γένει, περὶ τοῦ ποῖόν τί ἐστι ζητοῦμεν· λέγομεν πὰρ μεταλαμβάνοντες, ὡς οὐ δικαίως γέγονεν ὁ φόνος ἐνταῦθα, ἢ ἀπὸ τοῦδε τοῦ προσώπου, ἢ ἐν τῷ νῦν χρόνῳ, ἢ ἀπό τινος τῶν περιστατικῶν· ἀπὸ προσώπου μὲν, ὡς ἐπὶ τοῦ τὴν μητέρα μοιχευομένην ἀνελόντος· ἀπὸ προσώπου δὲ καὶ πράγματος, ὡς ἐπὶ τῆς ἱερείας τῆς μυούσης τὸν τύραννον καὶ ἀποκτεινάσης· τὸ πρᾶγμα γὰρ μεταλαμβάνοντες λέγομεν, ὅτι οὐκ ἐχρῆν ἀποκτεῖναι, ἀλλὰ καὶ τὸ πρόσωπον, ὅτι καὶ ἱέρεια, καὶ τὸν χρόνον δέ· παρὰ γὰρ τὸν καιρὸν τῆς μυήσεως καὶ τὸν τόπον, ἐν [29] ἱερῷ γὰρ ἀθέμιτον φονεύειν· ἀπὸ τρόπου δὲ, ὡς ἀπὸ τοῦ καταφλέξαντος σὺν τῷ μοιχῷ τὴν οἰκίαν· ὁ τρόπος γὰρ ἐνταῦθα μέμφεται τῆς τιμωρίας· τόπον δὲ καὶ χρόνον ὡς ἐφ᾽ οὗ ὑποδείγματος εἶπεν ὁ τεχνικός.

ιδ΄. Μέλλων ἤδη περὶ τὴν τῶν κεφαλαίων διαίρεσιν εἰσβαλεῖν, καὶ ἀπὸ τοῦ στοχασμοῦ ἀναγκαίως ἄρξασθαι καὶ ἐνδιατρῖψαι μᾶλλον τοῖς κατ᾽ αὐτὸν τῶν ἄλλων, [30]

28 Par. 1. τόν. Mon. δέ om. 29 Mon. ὡς. 30 Par. 1. μᾶλλον τῶν ἄλλων τοῖς κατ᾽ αὐτόν. Mon. et Par. 2. τοῖς κ. ἀ.

καὶ τὴν αἰτίαν προλέγει καὶ προκαθιστᾷ καὶ παρασκευάζει τὰ ῥηθήσεσθαι μέλλοντα, ὅτι τε ἀπὸ τοῦ στοχασμοῦ ἡ ἀρχὴ αὐτῷ γενήσεται κατὰ πρόφασιν ἀναγκαίαν εὔλογον, καθ' ἣν καὶ τῆς διαιρετικῆς αὐτόθεν μεθόδου ἤρξατο τῶν στάσεων, καὶ ὅτι μακρότερα τὰ περὶ αὐτοῦ ῥηθησόμενα ἔσται, τῷ εἰς ἅπαντα σχεδὸν τὰ μετὰ ταῦτα συντελεῖν καὶ συμβάλλεσθαι.

ιέ. Γίνεται [31] κατὰ δ' μόνας τῶν στάσεων ἡ παραγραφὴ, κατὰ στοχασμὸν, κατὰ ὅρον, κατὰ ῥητὸν καὶ διάνοιαν, κατὰ ἀμφιβολίαν· κατὰ μὲν στοχασμὸν παραγραφῆς ὁ κατὰ Τιμάρχου παράδειγμα· κατὰ δὲ ὅρον, ἱέρειάν τις ἐγράψατο ἀσεβείας ὡς προαγωγεύσασαν· ἡττᾶται τὴν δίκην ὁ κατήγορος, καὶ ὕστερον βούλεται αὐτὴν γράφεσθαι οὐκέτι ἀσεβείας, ἀλλὰ προαγωγείας· [32] ἡ δὲ παραγραφὴ κατὰ τὸν νόμον τὸν κελεύοντα δὶς περὶ τῶν αὐτῶν μὴ κρίνεσθαι· ζητοῦμεν γὰρ ὁρικῶς, ἄρα τὸ πάλαι μὲν ἀσεβείας γεγράφθαι, νῦν δὲ προαγωγείας διαφορὰν ἔχει, καὶ οὐχ ἁρμόττει ὁ νόμος, ἢ ταὐτόν ἐστι καὶ ἁρμόττει· κατὰ ῥητὸν καὶ διάνοιαν παραγραφῆς δέδωκεν ὁ Ἑρμογένης παράδειγμα, δὶς περὶ τῶν αὐτῶν δίκας μὴ εἶναι· [33] φόνου κρινόμενός τις ἀπέφυγεν· ὕστερον χρωμένῳ αὐτῷ ἀνεῖλεν ὁ θεὸς, ἀνδροφόνοις οὐ χρῶ, καὶ πάλιν φεύγει· ἐξετάζει γὰρ ὁ νόμος, πότερον ἐπὶ τῶν ἐλαττόνων ἁμαρτημάτων λέγει μὴ εἶναι δὶς περὶ τῶν αὐτῶν δίκας, ἐπὶ τηλικούτων δὲ οὐκέτι ἢ τὸ ῥητὸν δεῖ ψιλῶς ἐπὶ πάντων ἐκδέχεσθαι· αὐτὸ δὲ τὸ

τῶν ἄλλων. 31 Quae sub litt. ιβ'. continentur usque ad κατὰ πάσας εὑρίσκεται in Par. 1. post litt. ι., in Par. 2. post litt. ιβ'. scripta sunt. 32 Mon. προαγωγίας. 33 Sch. min. ἐνταῦθα ὁ φεύγων οὐκ εὐθὺς ἀπολογήσεται περὶ τοῦ ἐγκλήματος, ἀλλὰ ἀνελεῖν τὴν κρίσιν ἐξ ἀρχῆς πειράσεται· εὐθυδικία ἐστὶ τὸ εὐθὺ τῆς δίκης ἰέναι, καὶ μὴ μόνον τὴν ἐκ τοῦ νόμου προβάλλεσθαι ἄδειαν, ἀλλὰ καὶ τὴν ἀπὸ τῶν πραγμάτων ἀπολογίαν ποιεῖσθαι.

πρόβλημα τοῦτο δύναται κατὰ ἀμφιβολίαν εἶναι, ὥσπερ παρέλαβον αὐτὸ κατὰ ἀμφιβολίαν ἤδη τινές· ἢ ἀμφιβολίας τῆς καθ᾿ ὁμωνυμίαν· πότερον δίκας λέγει ὁ νόμος τιμωρίας ἢ δίκας ἁπλῶς τὰς εὐθύνας· φαίη γὰρ ἂν ὁ διώκων τὸν νόμον μὴ δεδωκέναι δὶς περὶ τῶν αὐτῶν δίκας· δίκας δὲ εἶναι τὰς τιμωρίας, τὸν δὲ φεύγοντα οὔτε τιμωρεῖσθαι ἤδη· ἔχομεν οὖν τὸ αὐτὸ παράδειγμα καὶ τῆς κατὰ ῥητὸν καὶ διάνοιαν παραγραφῆς καὶ τῆς κατὰ ἀμφιβολίαν· ἡ μὲν οὖν παραγραφὴ κατὰ ταύτας τῶν στάσεων γίνεται· ἡ δὲ εὐθυδικία, τουτέστιν ὁ ἐκβαλλόμενος λόγος, κατὰ πάσας· καλεῖται γὰρ ὁ μὲν ἐκβάλλων λόγος παραγραφή, καὶ γίνεται κατὰ τὰς εἰρημένας τῶν στάσεων· ὁ δὲ ἐκβαλλόμενος εὐθυδικία, καὶ κατὰ πάσας εὑρίσκεται.

Γίνεται πάντως ἡ μετάληψις καθ᾿ ἕν τι τῶν περιστατικῶν· ἀπὸ προσώπου, ἀπὸ τόπου, ἀπὸ χρόνου, ἀπὸ τρόπου, ἀπὸ αἰτίας· ἀπὸ μὲν οὖν προσώπου μεταλήψεως παράδειγμα τόδε· πλούσιος τῷ δήμῳ δοὺς χιλίας δραχμὰς πένητα ἑαυτοῦ ἐχθρὸν κατάκριτον ὄντα ἀνεῖλε, καὶ κρίνεται φόνου, τὸ γὰρ πρόσωπον μεταλαμβάνει, ὅτι γε οὐ σοὶ ἐξῆν φονεύειν αὐτόν· ἀπὸ δὲ τόπου, οἷον τύραννόν τις καταφυγόντα εἰς τὸ ἱερὸν ἀνεῖλε καὶ κρίνεται φόνου· λέγει γάρ, ὡς οὐκ ἐν ἱερῷ ἐχρῆν φονεύειν αὐτόν· ἀπὸ δὲ χρόνου· κυβερνήτης ἰδὼν ἀπό τινος τῶν ἐπιβατῶν ἐν τῷ πλῷ μοιχευομένην τὴν ἑαυτοῦ γυναῖκα τέως μὲν ἐπέσχεν· ἐν δὲ τῷ λιμένι γενόμενος ἀνεῖλε τὸν μοιχόν· μεταλαμβάνει γὰρ ὁ διώκων τὸν χρόνον, ὅτι ἔδει σε παρ᾿ αὐτὰ φονεύειν αὐτόν, ἡνίκα κατέλαβες· ἀπὸ δὲ τρόπου, καταλαβών τις ἐπὶ τῇ γυναικὶ μοιχὸν ἐνέπρησε τὸ δωμάτιον καὶ κρίνεται· ὁ γὰρ τρόπος παρέσχε τῷ κατηγόρῳ τοὺς λόγους· ὅτι παρὰ τὸ καθεστηκὸς ἀεὶ καὶ[34] τοῖς νόμοις δοκοῦν ἡ ἀναίρεσις γέγονε· τοῦ δὲ ἀπὸ αἰ-

34 καὶ Mon. om.

τίας ἐκεῖνο παράδειγμα· κατέλαβέ τις ἐπὶ τῇ γυναικὶ μοιχόν· ὁ δὲ ληφθεὶς ἐπηγγείλατο δώσειν χιλίας δραχμὰς, εἰ ἐάσοι αὐτόν· πεισθέντος τοῦ ἀνδρὸς ἐπὶ τούτοις, ἐχθρός τις ὢν τῷ μοιχῷ ἀνθυπέσχετο χιλίας δραχμὰς, εἰ ἀνέλοι αὐτόν· ὁ δὲ ἐπείσθη καὶ ἀνεῖλε, καὶ ἀνελὼν κρίνεται· κρίνεται γὰρ ἐπὶ τῇ αἰτίᾳ, ὅτι τὰς χιλίας λαβὼν ἐφόνευσε καὶ οὐκ ἐπὶ τῇ μοιχείᾳ ἀχθόμενος.

Ἐπειδὴ ἐλέγομεν, τὴν μετάληψιν ἐκ τοῦ κατηγόρου λαμβάνεσθαι, καὶ τοῦτο θαυμαστὸν παρὰ τὰς ἄλλας στάσεις πεπονθέναι αὐτὴν, ὅτι αἱ μὲν ἄλλαι πᾶσαι ἐκ τοῦ φεύγοντος χαρακτηρίζονται, αὕτη δὲ μόνη ἐκ τοῦ κατηγόρου, ὁ Μινουκιανὸς δέ φησι καὶ ἐκ τοῦ φεύγοντος μετάληψιν γίνεσθαι, καὶ δίδωσιν ἡμῖν τοιοῦτο παράδειγμα· [35] *νόμος παρὰ Ἀθηναίοις τὸν φθείραντα κόρην ἐκτιννύναι χιλίας δραχμάς· παρὰ δὲ Λακεδαιμονίοις θάνατος ἐτιμᾶτο τῷ φθείραντι· Λακεδαιμόνιός τις Ἀθήναζε πρεσβευτὴς ἀφικόμενος φθείρει κόρην ἀστὴν, καὶ κατὰ τὸν νόμον ἐξέτισε τὰς χιλίας· μετὰ ταῦτα ἐλθὼν εἰς Λακεδαίμονα τῷ ἐκεῖσε νόμῳ ὑπάγεται· Τὸ δ' αὐτὸ τῷ Μινουκιανῷ πέπονθε καὶ Ἀντίπατρος· ἐοίκασι δ' ἀμφότεροι παρηγμένοις καὶ παρεωρακόσι τὸ ἀληθές· διὰ τοῦτο ἐν τούτῳ τῷ προβλήματι δύο ἐστὶ μεταληπτικὰ, τὸ μὲν τοῦ διώκοντος, οὐκ ἀλλαχόσε χρὴ διδόναι τὴν δίκην, ἀλλ' ἐνθάδε Λακεδαιμόνιόν γε ὄντα, τὸ δὲ τοῦ φεύγοντος, ἀλλ' οὐκ ἐβιασάμην ἐνθάδε, Ἀθήνησι δέ· ὄντων οὖν* [36] *δύο μεταληπτικῶν τὸ πρωταγωνιστοῦν ἐστι τὸ τοῦ διώκοντος, ποτερόν ποτε Ἀθήνησι δεδωκότα τὴν δίκην χρὴ δοῦναι τὰ ἐν Σπάρτῃ, ἢ οὔ· τοῦτο δὲ ἐκ τῆς τοῦ κατηγόρου φωνῆς γίνεται· πρὸς δὲ τὸν τούτου λό-*

---

35 Cfr. T. V. p. 269. 36 Par. 1. δέ. 37 ὑπὸ τὴν Mon. om. Sch. min. λεγομένας στάσεις· λεγομένας διὰ τὸ πολυώνυμον, οἱ μὲν γὰρ στάσεις αὐτὰς λέγουσιν, οἱ δὲ γενικὰ προβλήματα, οἱ δὲ περιέχοντα.

γον, ὅτι ἐνταῦθά σε χρὴ δοῦναι δίκην, ὁ παρὰ τοῦ φεύγοντος ἀντιτίθεται, ἐν ᾧ φησιν· ἀλλ᾽ οὐκ ἐνταῦθα βεβίασμαι, ὥστε εὑρίσκεται καὶ τοῦτο τὸ ζήτημα ὑπὸ τὴν 17
τοῦ κατηγόρου πίπτον φωνήν.

ΠΕΡΙ ΤΗΣ ΔΙΑΙΡΕΣΕΩΣ ΤΩΝ ΣΤΑΣΕΩΝ. 5

Cap. XVII.

Περὶ στοχασμοῦ.[1]

α. Ἀρχόμενοι σὺν θεῷ τῆς διαιρέσεως, φέρε γε πρό γε πάντων ζητήσωμεν, τί ὅλως ἐστὶ διαίρεσις, ἵνα μὴ περὶ ἀγνοουμένων τοὺς λόγους ποιήσωμεν.[2] Ἰστέον τοί-

---

1 Sch. min. ἔγνωμεν, ὅτι τῶν στοχασμῶν οἱ μὲν τέλειοι ἀπὸ προσώπων καὶ πραγμάτων συνιστάμενοι· οἱ δὲ ἀτελεῖς· καὶ τῶν αὐτῶν οἱ μὲν ἀπὸ προσώπου εἰσὶν, οἱ δὲ ἀπὸ πράγματος· ὁ τοίνυν Ἑρμογένης ἀρχόμενος τῆς διαιρέσεως ἀκριβεστάτην καὶ ἐπιστημονικωτέραν ποιεῖται, τὴν τῶν τελείων στοχασμῶν διδασκαλίαν ποιούμενος· ἡ γὰρ τῶν τελείων γνῶσις καὶ τὴν τῶν ἀτελῶν συμπεριλαμβάνει. 2 Pro iis, quae usque ad litt. β΄. ex Par. 1. sumta sequuntur, Mon. et Par. 2. habent haec: Ὁ τοίνυν Ἀλέξανδρος ὁ Πολύϊστωρ ὄνομα ἔχων οὕτως ὁρίζεται· διαίρεσις, φησὶν, ἐστὶ τομὴ τοῦ περιέχοντος ζητήματος εἰς τὰ περιεχόμενα ζητήματα, ἢ τομὴ συνεζευγμένου ζητήματος εἰς τὰ συνεζευγμένα ζητήματα· καὶ πρότερον ἑκάτερος τῶν ὅρων τὸ ἐλλειπὲς ἔχει· ὁ μὲν γὰρ πρότερος τὰ συνεζευγμένα οὐ περιλαμβάνει, ὁ δὲ δεύτερος τὰ περιέχοντα· διαφέρει δὲ τὸ περιέχον τοῦ συνεζευγμένου, ᾗ διαφέρει δύναμις ἐνεργείας· τὸ μὲν περιέχον δυνάμει ἔχει ἕτερα ἐν ἑαυτῷ, τὸ δὲ συνεζευγμένον ἐνεργείᾳ· οἷον, εἰ γαμητέον Σωκράτει, τοῦτο δυνάμει ἔχει περιεχόμενον τῷ γέροντι καὶ τῷ φιλοσόφῳ καὶ Ἀθηναίῳ· τὸ δὲ λελύσθαι τὸν οἰκέτην καὶ εὑρεθῆναι τὸν ἄνδρα ἐσφαγμένον αὐτόθεν ἔχει ἐνεργείᾳ τὰ δύο· καὶ κατὰ τοῦτο οὖν, ὡς ἔφην, ἐπιληπτέον τῶν ὅρων, καθὸ ἑκάτερος αὐτὸς καθ᾽ ἑαυτὸν ἐλλειπής· τὸ

νυν, ὅτι τὴν διαίρεσιν πολλοὶ πολλαχῶς ὡρίσαντο· ὁ δέ γε δόξας ἐν πᾶσι καλῶς ἔχειν ὅρος ἐστὶν οὗτος· διαίρεσις, φασὶν, ἐστὶ τομὴ τοῦ περιέχοντος εἰς τὰ περιεχόμενα· καὶ εὖγε τοῦ προκειμένου ὅρου, περιλαμβάνει γὰρ πᾶσαν κυρίως οὖσαν διαίρεσιν, καὶ τὴν παρὰ φύσιν οὖσαν ἐλέγχει· ἐκβληθήσεται γὰρ τῷ προκειμένῳ ὅρῳ ἡ λεγομένη ἀπὸ συμβεβηκότος εἰς οὐσίαν διαίρεσις, ἐπεὶ μήτε συμβεβηκὸς περιέχεται ἐν οὐσίᾳ, οὔτε μὴν ἡ οὐσία περιέχεται ἐν συμβεβηκότι, οὐκοῦν οὐκ ἂν γένοιτο ἐπ' αὐτῶν τομὴ τοῦ περιέχοντος εἰς τὰ περιεχόμενα. Ὡς οὖν εἴρηται, ὀρθῶς ἔχει οὗτος ὁ τῆς διαιρέσεως ὅρος, ἀλλὰ μαθόντες, τίς ὁ τῆς καθόλου διαιρέσεως ὅρος, φέρε λοιπὸν ἐξετάσωμεν, εἰ καὶ τῇ τῶν κεφαλαίων διαιρέσει οὗτος ἁρμόσει ὁ ὅρος· ἀλλὰ πρὸς ζήτησιν τὸ τοιοῦτο προθέμενοι προλάβωμεν ταῦτα. Ἰστέον τοίνυν, ὅτι διττὸς ὁ στοχασμὸς, διττὸν δὲ καὶ τὸ κεφάλαιον· ὁμώνυμα γὰρ

μὲν γὰρ συνεζευγμένον οὐ περιέχει, τὸ δὲ περιέχον οὐ συνέζευκται· ἐπεὶ δι' ὧν λέγομεν τομὴ τοῦ περιέχοντος ζητήματος εἰς τὰ περιεχόμενα ζητήματα τὰ ἁπλᾶ παρέλιπεν· εἰ γὰρ εἴποιμι οὕτως, εἰ γαμητέον, καὶ μὴ προσθῶ Σωκράτει ἢ Πλάτωνι, τοῦτο ἁπλοῦν ὂν οὐκ ἔχει περιεχόμενα ζητήματα. — Οἱ περὶ Ἀριστοκλέα τοίνυν τὸν Περιπατητικὸν ὀρθῶς ὡρίσαντο, διαίρεσιν εἶναι τομὴν, ἤτοι διάκρισιν ὑποθέσεως εἰς τὰ ἐνόντα ζητήματα· καὶ μηδεὶς λεγέτω, ὡς τῷ [Mon. *τοῦ*] *εἰπεῖν ὑπόθεσιν τὰ θετικὰ ζητήματα οὐ περιέλαβον* [Mon. *περιέλαβεν*] *οἷον τὸ εἰ γαμητέον, εἰ πλευστέον· ἡ γὰρ ὑπόθεσις πολλαχῶς λέγεται· καὶ γὰρ τὸ εἰ γαμητέον ὑπόθεσιν ὀνομάζουσιν οἱ φιλόσοφοι· ἔχει γὰρ τὸ καθόλου πρόσωπον ὑποκείμενον, τὸ γὰρ εἰ γαμητέον, οὐδὲν ἕτερον σημαίνει, ἢ εἰ γαμητέον ἄνωθεν· οἱ δὲ ῥήτορες ὑπόθεσιν καλοῦσι τὴν ἔχουσαν μερικὸν τὸ ὑποκείμενον πρόσωπον· λέγεται δὲ ὑπόθεσις καὶ ὁ ὑποθετικὸς λόγος, οἷον ὑποθώμεθα εἶναι τόδε· ἔτι καλεῖται ὑπόθεσις καὶ ἅπας ὁ ὑποκείμενος τρόπος ἐν τῷδε τῷ λόγῳ, οἷον ὑπόθεσις τοῦ περὶ στεφάνου, καὶ ὑπόθεσις τῆςδε τῆς Ὁμήρου ῥαψῳδίας, καὶ ὑπόθεσις τοῦ συμποσίου Πλάτωνος, ἢ τῶν ἀνατομικῶν Γαληνοῦ, ἢ τῶν Ἱπποκράτους ἀφορισμῶν· οὕτως οὖν καὶ ἐν τῷ ὅρῳ τὴν ὑπόθεσιν νοητέον, τουτέστι τὸ ὑποκείμενον ἐν ἑκάστῳ, οὐ γὰρ πάντα περιληφθήσεται.* Eorum, quae Par. 1. continentur, pars p. 247. v. 2. — p. 248. v. 14. legitur in Georgii Diaeretae prolegomenis ad libr. *περὶ εὑρέσεων* [codd. Vind. 16. Med. 57. 5. Vat. 105.].

ταῦτα· λέγεται γὰρ στοχασμὸς αὐτὴ ἡ στάσις, ἡ χαρακτηρίζουσα τὴν ζήτησιν· λέγεται δὲ [3] στοχασμὸς καὶ τὸ στοχαστικὸν ζήτημα, οἱονεὶ τὸ σύνθετον, τὸ χαρακτηρισθὲν ἐκ τῆς στάσεως· ἔτι κεφάλαιον λέγεται αὐτὴ ἡ ψιλὴ μέθοδος, φημὶ δὲ τὸ ὄργανον· λέγεται πάλιν ὁμωνύμως κεφάλαιον καὶ αὐτὸ τὸ μεθοδευθὲν, οἱονεὶ τὸ ἀποτέλεσμα· ὅτι μὲν οὖν στοχασμὸς λέγεται αὐτὴ ἡ [4] στάσις, παντὶ πρόϋπτον, ὅτι δὲ καὶ τὸ στοχαστικὸν ζήτημα λέγεται στοχασμὸς, ἐδήλωσαν μὲν καὶ ἄλλοι, ἀρκέσει δὲ ὅμως πρὸς πίστιν ἡμῖν Σώπατρος· οὕτως γὰρ ἐν τῷ περὶ διαιρέσεως τοῦ στοχασμοῦ φησι·“ [5] προκατεσκευασμένος στοχασμός· πένης καὶ πλούσιος ἐχθροὶ τὰ πολιτικά· πολέμου καταλαβόντος τὴν πόλιν ὁ πλούσιος κεχειροτόνηται στρατηγὸς, καὶ τοῦ πένητος παῖδες τρεῖς κατελέγησαν στρατεύεσθαι· φήμης γενομένης ἐν τῷ στρατοπέδῳ, ὅτι προδιδόασιν οἱ τοῦ πένητος παῖδες, ὁ στρατηγὸς λαβὼν ἐβασάνισεν· οὐδὲν ἐξειπόντα τὸν πρῶτον ἀπέκτεινεν, ὡσαύτως καὶ τὸν δεύτερον· τὸν τρίτον καὶ πρὸ τῶν βασάνων ἐξειπόντα [6] ἀπέκτεινεν, οὐκ ἐπέξεισιν ὁ πατὴρ, καὶ κρίνεται συνειδότος. „Ἰδοὺ φανερῶς ἐνταῦθα ὁ Σώπατρος στοχασμὸν ἐκάλεσε τὸ στοχαστικὸν ζήτημα· εἰρηκὼς γὰρ προκατασκευαζόμενος στοχασμὸς ἐπήνεγκε πρόβλημα, αὐτὸ καλέσας τὸ πρόβλημα στοχασμόν· φησὶ γὰρ, προκατασκευαζόμενος στοχασμὸς, οὐ προκατασκευαζομένου στοχασμοῦ· καὶ πάλιν ἐν τοῖς ἑξῆς ὁ αὐτὸς ἀνήρ φησιν·“ [7] στοχασμός· γυνὴ καὶ ἀνὴρ κατὰ τὸ αὐτὸ ἐκακώθησαν τῷ αὐτῷ νοσήματι· μετεπέμψαντο [8] ἰατρὸν, φίλον τοῦ ἀνδρὸς, καὶ ὁ μὲν ἀνὴρ ἀπέθανεν, ἡ δὲ γυνὴ ὑγίανε, μετὰ ταῦτα ἔγημεν ὁ ἰατρὸς τὴν γυναῖκα, καὶ κρίνεται φαρμακείας· ἰδοὺ κἀνταῦθα ὁμοίως στοχασμὸν ἐκάλεσε τὸ στοχαστικὸν ζήτημα· οὐκ ἐπὶ τοῦ

---

3 δὲ Diaer. om. 4 Par. 1. ἡ αὐτὴ, Diaer. αὐτὴ ἡ. 5 In διαιρέσει ζητήμ. T. I. p. 299. Ald. 6 Diaer. ὁμολογήσαντα. 7 p. 308. Diaer. στοχασμός om. 8 Vind. μετεπέμψατο.

στοχασμοῦ δὲ μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων στάσεων τὸ αὐτὸ ποιεῖ, ὅρον καλῶν τὸ ὁρικὸν ζήτημα, καὶ ἀντίληψιν τὸ ἀντιληπτικὸν ζήτημα, καὶ ταῦτα μὲν, ὅτι διττὸς ὁ στοχασμὸς, διττὸν δὲ, ὡς προείρηται, καὶ τὸ κεφάλαιον· καὶ ὅτι μὲν ἡ ψιλὴ μέθοδος κεφάλαιον λέγεται οὐδεὶς ἂν ἀμφιβητήσειεν, ὅτι δὲ καὶ αὐτὸ τὸ ἀποτέλεσμα κεφάλαιον λέγεται,[1] μαρτυροῦσιν οἱ περὶ διαιρέσεως διαλαβόντες. Μένανδρος γὰρ [2] διαίρεσιν τῶν λόγων ποιούμενος „ἐπληρώθη," φησὶν, „μέχρι τοῦ ἐνθάδε τὸ δίκαιον κεφάλαιον, ἄρχεται δὲ λοιπὸν τοῦ συμφέροντος." οἶδεν οὖν ὁ Μένανδρος αὐτὸ τὸ ἀποτέλεσμα, φημὶ δὴ τὸ μετὰ τοῦ ζητήματος κεφάλαιον καλούμενον· ἀλλὰ τὸ τοιοῦτο μαθόντες φέρε δὴ κἀκεῖνο ζητήσωμεν, τί ἂν εἴη ἄρα τῶν ζητημάτων ἡ στάσις. Φασὶ τοίνυν τινὲς, ὅτι συμβεβηκός ἐστιν ἡ στάσις, συμβέβηκε γὰρ, φασὶ, τοῖς ζητήμασι στασιάζεσθαι· ἔστι δὲ λίαν οὗτος εὐήθης ὁ λόγος· εἰ γὰρ συμβεβηκὸς ἡ στάσις, ἐχρῆν αὐτὴν ἐν τοῖς ζητήμασι γίνεσθαι, χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς, τοῦτο γὰρ τῶν συμβεβηκότων πέφυκε γνώρισμα, ἀλλ' οὐκ ἂν τὸ τοιοῦτο γένοιτο· ἀφαιρουμένης γὰρ τῆς στάσεως ἀφαιρεῖται αὐτίκα τὸ ζήτημα, καὶ οὐκ ἂν εἴη ὅλως ζήτησις, τῆς γὰρ στάσεως ἀφαιρουμένης, τί ἂν εἴη λοιπὸν τὸ ζητούμενον· οὐκ ἂν οὖν εἴη συμβεβηκὸς ἡ στάσις, ἀλλ' εἶδος μᾶλλον τοῦ ζητήματος· κατ' αὐτὴν εἰδοποιεῖται καὶ χαρακτηρίζεται τὰ ζητήματα· τὰ γὰρ πολιτικὰ πράγματα ἤτοι ζητήματα ὥσπερ ὕλης ἐπέχουσι τρόπον· ἡ δὲ στάσις αὐτοῖς, ὥσπερ εἶδος πρόσεισι, καὶ αὕτη ἐστὶν ἡ μεταμορφοῦσα αὐτὰ καὶ τοιῶσδε μετασχηματίζουσα καθ' αὐτὰ τὰ πράγματα ὥσπερ ἀζήτητα ἦσαν, ἡ δὲ στάσις συνελθοῦσα καὶ εἰδοποιήσασα ἐποίησεν αὐτὰ στασιάζεσθαι· καὶ ταῦτα μὲν περὶ τῆς στάσεως· φέρε δὲ λοιπὸν ἀκολούθως

1 Diaer. λέγ. κεφάλ. 2 Diaer. addit: ὁ διαιρέτης.

ἐπὶ τὸ προκείμενον ἀναδραμόντες τὴν τῶν κεφαλαίων ἐξετάσωμεν διαίρεσιν· Ὡς οὖν εἴρηται, διττὸς ὁ στοχασμός· ἥ τε στάσις καὶ τὸ στοχαστικὸν ζήτημα, διττὸν δὲ καὶ τὸ κεφάλαιον, τό τε ἀποτελοῦν καὶ τὸ ἀποτελούμενον· τεσσάρων δὲ ὄντων τῶν ὅρων ἓξ γίνονται συζυγίαι, οἷον στοχασμὸς εἰς στοχασμὸν καὶ κεφάλαιον εἰς κεφάλαιον· ἔτι στοχασμὸς ἡ στάσις εἰς τὸ κεφάλαιον, φημὶ δὲ τὴν ψιλὴν μέθοδον, καὶ στοχασμὸς τὸ στοχαστικὸν ζήτημα εἰς τὸ μεθοδευθὲν κεφάλαιον, ἔτι στοχασμὸς ἡ στάσις εἰς τὰ κεφάλαια τὰ μεθοδευθέντα, καὶ τὸ στοχαστικὸν ζήτημα εἰς τὰ κεφάλαια τὰς ψιλὰς μεθόδους· τούτων δὲ τῶν εἰρημένων ἓξ δύο μέν εἰσιν ἀζήτητοι, τρεῖς δὲ ἀδιαίρετοι, μία δὲ μόνη διαιρεῖται. Ἀζήτητοι μὲν οὖν εἰσιν αὗται· ἡ ἀπὸ στοχασμοῦ εἰς στοχασμὸν, καὶ ἀπὸ κεφαλαίου εἰς κεφάλαιον· οὐ γὰρ ζητοῦμεν διαίρεσιν στοχασμοῦ εἰς στοχασμὸν, οὐδὲ κεφαλαίου εἰς κεφάλαιον, ἀλλὰ στοχασμοῦ εἰς κεφάλαιον· αὗται μὲν οὖν ἀζήτητοι· αἱ δὲ ἄλλαι τρεῖς ἀδιαίρετοι· ὁ γὰρ στοχασμὸς ἡ στάσις οὐκ ἂν διαιρεθείη εἰς τὰ κεφάλαια, ἤτοι εἰς τὰς ψιλὰς μεθόδους, πῶς γὰρ τὸ εἶδος εἰς ὄργανον διαιρεθήσεται, τὸ θρόνιον εἰς σκέπαρνόν φημι καὶ πρίονα καὶ τὰ λοιπά; ἔστι δὲ τοῦ ζητήματος ἡ μὲν στάσις εἶδος, ἡ δὲ μέθοδος ὄργανον· ἀλλ' οὐδὲ μὲν εἰς τὰ μεθοδευθέντα κεφάλαια ἡ στάσις διαιρεθήσεται, οὐ γὰρ ἂν τὸ εἶδος εἰς τὰ μέρη τοῦ συνθέτου διαιρεθήσεται, εἴγε τὸ εἶδος τοῦ θρόνου οὔ φαμεν εἰς τὰ μέρη διαιρεῖσθαι τοῦ θρόνου· ἔτι τὸ στοχαστικὸν ζήτημα οὐκ ἂν διαιρεθήσεται εἰς κεφάλαια τὰς μεθόδους, ἐπεὶ μὴ διαιρεῖται ὁ θρόνος εἰς τὰ ὄργανα, δι' ὧν κατασκευάζεται. Αἱ γοῦν μέθοδοι κατασκευάζουσι τὰ ζητήματα, ἀλλὰ τὰ ἀδιαίρετα διελέγχοντες σκέλη φέρε λοιπὸν ἐπὶ τὴν κυρίως μετέλθωμεν διαίρεσιν. Διαιρεῖται τοίνυν τὸ στοχαστικὸν ζήτημα εἰς τὰ μεθοδευθέντα κεφάλαια,

καὶ γὰρ τὸ μὲν ζήτημα ὅλον, μέρη δὲ αὐτοῦ τὰ μεθοδευθέντα κεφάλαια, καὶ ἔστιν ἡ διαίρεσις τῶν κεφαλαίων ἀπὸ ὅλου εἰς μέρη, ταύτην γὰρ ὁ τεχνικὸς παραδίδωσι τὴν διαίρεσιν, τὴν τοῦ ζητήματος εἰς τὰ μεθοδευθέντα κεφάλαια, οὐχ ὥς τινες ἐπλανῶντο, οἰόμενοι τὴν στάσιν αὐτῶν εἰς τὰ κεφάλαια διαιρεῖσθαι, φημὶ δὲ τὰς μεθόδους, τοῦτο γὰρ ἤδη καὶ ἀδιαίρετον ὂν διηλέγξαμεν· ὅτι δὲ καὶ ὁ τεχνικὸς τὴν ἀπὸ τοῦ ζητήματος εἰς τὰ μεθοδευθέντα κεφάλαια λέγει διαίρεσιν, δῆλον ἐκ τῶν εἰρημένων αὐτῷ ἐν τῇ μεθόδῳ, οὕτως γὰρ ἐκεῖσε φησίν· „ἀλλ' οὐ περὶ τούτων νῦν, περὶ δὲ τῆς τῶν πολιτικῶν ζητημάτων διαιρέσεως εἰς τὰ λεγόμενα κεφάλαια ὁ λόγος γινέσθω."

β. Ἀρχομένης ἤδη τῆς διαιρέσεως ἀναγκαῖον τοῦ παρὰ τῷ τεχνικῷ ἐπινοηθῆναι παρατηρήματος· εἴωθεν δὴ περὶ ὧν ἂν μέλλῃ λέγειν ταυτὶ πρότερον τὰ τρία ποιεῖν, ὀνόματα φράζειν, ὁρισμοὺς ἀποδιδόναι, ἐκτίθεσθαι μέθοδον, ὅπως εὑρεθείη τὸ περὶ οὗ ὁ λόγος αὐτῷ. ζητητέον τοίνυν κἀνταῦθα ταυτὶ τὰ εἰρημένα. ὅτι μὲν οὖν τὰ ὀνόματα προκαταλέγει τῶν κεφαλαίων, πάρεστιν ἐκ τοῦ βιβλίου μανθάνειν· ὁρισμοὺς δὲ ἤτοι ὑπογραφὰς οὐκ ἀποδίδωσιν αὐτῶν· οὐ γὰρ οἷόν τε τὰ οὕτω μερικώτατα ὑπογράφειν, τὴν δὲ μέθοδον ἑκάστου ἐκτίθησιν.

γ. Ἔστιν αἰτία τοιαύτη, ἡ πρώτην παρέχουσα τῷ στοχασμῷ τάξιν· κατ' οὐσίαν γὰρ ἔχει τὴν ζήτησιν, ἡ δὲ [3] οὐσία πάντων πρωτεύει δικαίως· ἐζήτησαν δέ τινες, πῶς οὐκ ἐνταῦθα, ᾗ καὶ πρῶτον [4] εἶπον, ἀνωτέρω τὸν ὅρον διεξῆλθεν τοῦ στοχασμοῦ καὶ τὴν μέθοδον· ἐχρῆν γὰρ ἐνταῦθα τοῦ σπουδαζομένου καὶ τῆς πραγματείας ἄρχεσθαι μέλλοντα ἐπιμνησθῆναι τῶν εἰρημένων περὶ τοῦ στοχασμοῦ· ἀλλ' ἠγνοήκασιν, ὡς τὸ βιβλίον διαιρεῖται εἰς τὴν μέθοδον καὶ τὴν διαίρεσιν· εἰπὼν οὖν ἐν τῇ

3 Mon. οὐδέ. 4 πρῶτον Mon. Par. 2. om. est in Par. 1. — v. 30. Mon. μέλλοντος. scr. μέλλοντα.

μεθόδῳ τὸν ὁρισμὸν τοῦ στοχασμοῦ ἀρκεῖν ᾠήθην· ἐπεὶ εἰ ἀεὶ τὰ τῆς μεθόδου λέγων περὶ ταῦτα [5] διέτριβεν, οὐκ ἄν ποτε ἤρξατο τῆς διαιρέσεως· τὸν μὲν οὖν ὁρισμὸν ἤδη μεμαθήκαμεν ἑκάστης [6] τῶν στάσεων· ἀναγκαῖον δὲ ἐνταῦθα, τουτέστιν ἐν τῇ διαιρέσει, καὶ τὸ ἴδιον ζητῆσαι ἐφ᾽ ἑκάστης, ἡνίκα γενώμεθα, [7] στάσεως· λεγέσθω οὖν ἤδη τὸ ἴδιον τοῦ στοχασμοῦ.

Καὶ πρῶτόν γε ἐκεῖνο ἰστέον, ὡς τὸ ἴδιον ἢ μόνου ἐστὶν ἴδιον [8] καὶ ἀεὶ, ἢ μόνου [9] μὲν, οὐκ ἀεὶ δέ· οἷον μόνου μὲν καὶ ἀεὶ τὸ γελαστικὸν ἀνθρώπου, εἰ γὰρ μὴ ἀεί τις γελᾷ, ἀλλ᾽ οὖν τῇ γε φύσει αὐτοῦ σύνεστι δυνάμει ἀεὶ τὸ γελᾷν. μόνου δὲ καὶ οὐκ ἀεὶ τὸ κυβερνητικὸν ἀνθρώπου, ἀλλ᾽ οὐκ ἀεί· εἰ γὰρ μὴ τύχοιμεν διδαχῆς, οὐδὲ δυνάμεθα χρῆσθαι αὐτῇ· οὕτως οὖν καὶ ἐπὶ τοῦ στοχασμοῦ τὸ δι᾽ ἑτέρου ἕτερον εὐθύνεσθαι, τουτέστι τὸ ἕτερον μὲν ἔχειν τὸ πεπραγμένον, ἕτερον δὲ τὸ κρινόμενον· οἷον παρίσταταί τις νεοσφαγεῖ σώματι ἐπ᾽ ἐρημίας ξίφος κατέχων καὶ κρίνεται φόνου· [10] τὸ μὲν γὰρ πεπραγμένον ἐστὶ τὸ παρεστάναι καὶ τὸ ξίφος ἔχειν καὶ ἐπ᾽ ἐρημίας, τὸ δὲ κρινόμενον φόνος. ὥστε ἄλλο μὲν πέπρακται, ἄλλο δὲ κρίνεται· τοῦτο γὰρ ἀεὶ καὶ μόνον στοχασμοῦ· οὐ γὰρ ἐν ἄλλῃ στάσει τὸ τοιοῦτον εὑρίσκομεν· ἐν γὰρ ταῖς ἄλλαις αὐτὸ τὸ [11] πεπραγμένον κρίνεται, καὶ ἀεὶ αὐτὸ παραπέπηγε· μόνου δὲ καὶ οὐκ ἀεὶ τὸ ἔχειν τὸ μὲν ἀποδεικτικὸν σημεῖον ἀνεύθυνον, τὸ δὲ ἀποδεικνύμενον ὑπεύθυνον· τοῦτο γὰρ μόνου μὲν στοχασμοῦ. οὐ γὰρ ἐν ἄλλῃ στάσει τὸ ἀποδεικτικὸν τοῦ ζητουμένου ἀνεύθυνον· ἀλλ᾽ ἐρεῖ ὁ διώκων αὐτὸ τό εἶναι τὸ ἔγκλη-

---

5 in Mon. sequitur: τουτέστιν ἐν τῇ δεαιρέσει καὶ τό. quod paullo post suo ordine repetitur. 6 Mon. ἑκάστου. 7 Par. 1. γνώμεθα. 8 ἴδιον Mon. om. 9 ἢ μόνου μὲν οὐκ ἀεὶ δὲ Par. om. 11 per compendium scribendi in Mon. natum κριφός. 11 τὸ Mon. om.

μα, οἷον τὸ εἰληφέναι τὸν Δημοσθένην φοροῦντα τὴν στολὴν κόνδυλον ὑπὸ Μειδίου· οὐ γάρ ἐστι τοῦτο ἀνεύθυνον, ἀλλ' αὐτὸ τοῦτο ἡ ἀσέβεια. μόνου τοίνυν τοῦ στοχασμοῦ τὸ τοιοῦτον, ἀλλ' οὐκ ἀεί. ἐν γὰρ τῷ συγκατασκευαζομένῳ στοχασμῷ καὶ τὸ δεύτερον σημεῖον τὸ ἀποδεικτικὸν ὑπεύθυνόν ἐστιν· οἷον ἀπώλεσας Φωκέας. πίστις τούτου· ἐδωροδόκησας γάρ. οὐ γὰρ ἡ δωροδοκία ἀνεύθυνος, ὥστε λίαν ἀμαθεῖς οἱ ἡγούμενοι τὸν παραπρεσβείας εἶναι ἐμπίπτοντος στοχασμοῦ· εἰ γὰρ ἦν, ἐχρῆν καθεστάναι ἀνεύθυνον τὸ σημεῖον.

δ'. Σαφὴς ἐνταῦθα ἀπόδειξις, ὅτι ὡς εἶδός ἐστιν ὁ στοχασμὸς εἰδικώτατον οὐχ ὑπάλληλον· εἰ καὶ ὑποβέβηκεν αὐτῷ ἕτερον εἶδος, ἅτινα οὐ κυρίως εἴδη ἐστίν, ὡς προείρηται, ἀλλ' ἰδιώμασί [12] τισιν ἀλλήλων διενηνόχασιν· ὡς Αἰθίοψ καὶ Σκύθης, ἢ γένος γιγάντων τε καὶ πιθήκων, ἢ καὶ ἄῤῥεν καὶ θῆλυ ὑπὸ τὸ αὐτὸ τοῦ ἀνθρώπου εἶδος ὄντα καὶ οὐχ ὑφ' ἕτερον. ἐπεὶ εἰ εἴδη κυρίως τὰ τῷ στοχασμῷ [13] ὑποβεβηκότα ἐτύγχανεν, ἢ τοῖς ἄλλοις ὅσοις τοιαῦτα εἴδη ἐμπεριέχεται, οὐκ ἂν ὁ στοχασμὸς εἰς τοσαύτην τῶν κεφαλαίων οἱωνεὶ τινῶν ἀτόμων ἐξεχεῖτο διαίρεσιν, εἰ μήπω εἰς εἶδος κατηνέχθη τὸ εἰδικώτατον· τὰ γὰρ ὑπάλληλα εἴδη· ταὐτὸν δὲ εἰπεῖν γένη· ὡς δὲ καὶ γένη τὰ γενικώτατα κατὰ συζυγίαν διαιρεῖται, μέχρις ἂν εἰς εἶδος κατίῃ τὸ εἰδικώτατον, ὅπερ οὐκέτι κατὰ συζυγίαν ἀλλ' εἰς πολυσχεδῆ διαίρεσιν κατατέμνεται, καθὰ δὴ καὶ ἐπὶ τῆς προκειμένης [14] διαιρετικῆς μεθόδου τῶν στάσεων προτεθεώρηται, κατὰ συζυγίαν προϊούσης τῆς διαιρέσεως μέχρις ἂν εἰς εἶδος κατίῃ τὸ εἰδικώτατον· ἐπειδὰν δὲ εἰς τὸ εἰδικώτατον περισταίη εἶδος ἡ πολυσχεδὴς τῶν κεφαλαίων διαίρεσις διαδέχεται· ἄθρει δὲ τὸ λεγόμενον· πᾶν τὸ κρινόμενον ἢ

---

12 Mon. εἰδιώματι. 13 Mon. τῶν στοχασμῶν. 14 προκειμένης Par. 1. om.

ἀφανὲς ἢ φανερόν· τὸ ἀφανές στοχασμός, τὸ φανερὸν ἢ[15] τέλειον ἢ ἀτελές, τὸ ἀτελὲς[16] ὅρος, τὸ τέλειον ἢ ἐν ῥήμασιν ἢ ἐν πράγμασιν· τὸ ἐν ῥήμασι νομικὸν, τὸ ἐν πράγμασιν ἢ ἐν μέλλοντι χρόνῳ ἢ ἐν παρῳχηκότι· τὸ ἐν μέλλοντι πραγματικὴ, τὸ παρῳχηκὸς ἢ ἀκώλυτον τὸ πρᾶγμα ἔχει, ἢ κατά τι κεκωλυμένον· τὸ ἀκώλυτον ἀντίληψις· τὸ κατά τε κεκωλυμένον ἢ εἰς ἑαυτὸν ὁ πεπραχὼς ἀναδέχεται, ἢ εἴς τι τῶν ἔξωθεν μεθιστᾷ· τὸ εἰς ἑαυτὸν ἀντίστασις, τὸ εἴς τι τῶν ἔξωθεν ἢ εἰς τὸν παθόντα ἢ εἰς ἄλλο τι· τὸ εἰς τὸν παθόντα ἀντέγκλημα· τὸ εἰς ἄλλο τι ἢ εἰς ὑπεύθυνον ἢ εἰς ἀνεύθυνον· τὸ εἰς ὑπεύθυνον μετάστασις, τὸ εἰς ἀνεύθυνον συγγνώμη· πάλιν αἱ νομικαὶ ἢ ἐν ἑνὶ ῥητῷ τὴν ἀμφισβήτησιν ἔχουσιν ἢ ἐν πλείοσιν· τὸ ἐν πλείοσιν ἀντινομία, τὸ ἐν ἑνὶ ἢ μετὰ προσθήκης τινὸς ἢ ἄνευ προσθήκης· τὸ μετὰ προσθήκης συλλογισμός· τὸ ἄνευ προσθήκης ἢ περὶ διάνοιαν ἀμφισβητεῖται ἢ περὶ προσῳδίαν ἢ περὶ διάστασιν συλλαβῶν· τὸ περὶ διάνοιαν ῥητὸν καὶ διάνοια· τὸ περὶ προσῳδίαν ἢ διάστασιν συλλαβῶν ἀμφιβολία, ἐφ' οἷς ἔξωθεν ὡς παραγραφὴ ἡ μετάληψις. Ὁρᾷς ὅπως κατὰ συζυγίαν ἡ πᾶσα κατηνέχθη διαίρεσις, ἀλλ' εἰ τὸν στοχασμὸν ἢ τὸν ὅρον ἤ τι τῶν ἄλλων εἰδῶν ἐφ' ἃ κατέπαυεν ἡ διαίρεσις διελεῖν ἐθελήσαιμεν, οὐκέτι κατὰ συζυγίαν, ἀλλ' εἰς πλῆθος τεμνομένην εὑρήσομεν τὴν διαίρεσιν. ὥστε οὐκ ἂν εἴη ταῦτα ὑπάλληλα εἴδη καὶ γένη, ἀλλὰ μόνον εἶδος κυρίως καὶ εἰδικώτατον· τὰ δ' ὑπ' αὐτὰ οὐ κυρίως, ὥσπερ οὐδ' ὁ Σκύθης καὶ ὁ Αἰθίοψ· τοῦ γὰρ αὐτοῦ εἰσέτι ἔχομαι ὑποδείγματος· οὐκ ἀτελοῦς δὲ ἀλλὰ τελείου στοχασμοῦ ὁ τεχνικὸς ποιεῖται διαίρεσιν, ὡς συνεμφαινομένου τῷ τελείῳ κἀκείνου. διό φησιν, „ὅτε καὶ πρόσωπον ἔχει καὶ πρᾶγμα κρινόμενον,“

15 ἢ Par. 1. om. 16 τὸ ἀτελές Mon. om.

ἵνα μήτε τὰ προσωπικὰ ἐλλείπῃ κεφάλαια, ἅτινά εἰσι βούλησις, δύναμις καὶ κοινὴ ποιότης, μήτε τὰ πραγματικὰ, ἅπερ εἰσὶν ἐλέγχων ἀπαίτησις, τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, μετάθεσις αἰτίας, πιθανὴ ἀπολογία, μήτε μὴν τὰ κοινὰ, ἅ εἰσι παραγραφικὸν, μετάληψις, καὶ ἀντίληψις, ἀλλὰ διὰ πάντων τούτων προχωρῇ τὰ [17] τῆς διαιρέσεως. Χρὴ δὲ εἰδέναι, ὡς αὐτῶν τούτων πάλιν τὰ μέν ἐστι τοῦ διώκοντος, ὡς τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους καὶ ἡ μετάληψις, τὰ δὲ τοῦ φεύγοντος, ὡς τὸ παραγραφικὸν, ἡ τῶν ἐλέγχων ἀπαίτησις, ἡ ἀντίληψις, ἡ μετάθεσις τῆς αἰτίας, καὶ ἡ πιθανὴ ἀπολογία, τὰ δὲ κοινὰ ἀμφοῖν, ὡς ἡ βούλησις καὶ ἡ δύναμις καὶ ἡ κοινὴ ποιότης. ἀλλὰ ταῦτα μὲν καὶ διὰ τῶν ἐφεξῆς διαλευκανθείη σαφέστερον. ἴωμεν λοιπὸν καὶ ἐπὶ τὴν ἑκάστου τούτων ἐξήγησιν τοῖς τοῦ τεχνικοῦ κατακολουθοῦντες καὶ ἑπόμενοι ῥήμασιν.

ε΄. Ἔστι τὴν ἀληθεστάτην αἰτίαν φάναι τὴν κατὰ Ἁρποκρατίωνα περὶ τῆς προταγῆς τοῦ παραγραφικοῦ, εἰ καὶ τὰ μάλιστα ἡ προσθήκη αὐτῷ διημάρτηται. φησὶ γὰρ τὸ παραγραφικὸν τῶν ἄλλων πρωτεύειν κεφάλαιον, καθὸ οὐδεὶς, εἰ ἐξὸν [18] αὐτῷ μηδ᾽ εἰς ἀγῶνα καθίστασθαι τὴν ἀρχὴν, ζητεῖ λόγους τοὺς ἐξαιροῦντας αὐτὸν τοῦ ἐγκλήματος· ἔλαβε δὲ τοῦτο ἐκ τῆς ἱστορίας· λέγει γὰρ διασκεπτομένῳ τῷ Περικλεῖ, [19] ὅπως ἂν δοίη τὸν τῶν χρημάτων λόγον, ἐπιστάντα Ἀλκιβιάδην ἔτι νέον ὄντα φάναι, ὅτι ἐχρῆν, ὦ Περίκλεις, σκέψασθαι μᾶλλον περὶ τοῦ μὴ δοῦναι ἢ περὶ τοῦ εἰς εὐθύνας σεαυτὸν καταστῆναι.

ς΄. Ζητητέον, πῶς ἐπὶ τοῦ παραγραφικοῦ μόνον τὸ ἔστιν ὅτε προσέθηκεν, ὡς τῶν ἄλλων ἁπάντων ἐν πᾶ-

---

17 Mon. προχωρεῖται, scripsi προχωρῇ τά. 18 Mon. ἐξ ὂν, sine εἰ. 19 Par. 1. Ἡρακλεῖ.

σιν εὑρισκομένων καὶ μὴ ἐλλειπόντων ποτέ. φαμὲν δὲ τελείου [20] ἐξετάζειν αὐτὸν στοχασμοῦ κεφάλαιον· τοῦ μὲν οὖν παραγραφικοῦ πολλάκις ἐλλείποντος μένει τέλειος ὁ στοχασμός· τῶν δὲ ἄλλων οὐδὲν ἐλλείπειν δύναται· ἀλλὰ πάντα μὲν εὑρίσκεται, τεχνίτου δὲ διασκοπεῖν ποτέροις χρηστέον· ἐπεὶ δὲ ἀρχόμενος ἔλεγε τὸν στοχασμὸν διαιρεῖσθαι, ὅτε πρόσωπα ἔχοι καὶ πράγματα κρινόμενα, ἐζήτησάν τινες, μᾶλλον δὲ ἄντικρυς ἀπεφήναντο, ἐναντιοῦσθαι τὸν τεχνικὸν ἑαυτῷ· εἰπὼν γάρ, φασίν, ἀνωτέρω ὡς πρᾶγμα οὐ [21] κρίνοιτο κατ᾽ αὐτὸν τὸ [22] ἐξισάζον μόνον, ἐνταῦθα προσέθηκεν, ὡς ἡνίκα πρόσωπα ἔχοι καὶ πράγματα, εἰδὼς δήπουθέν τινας καὶ ἐλλειπῶς ἔχοντας τοῦ πράγματος· ἀλλὰ μάλιστα μὲν δύναταί τις ἐκδέχεσθαι αὐτὸ ἐπὶ μόνου τοῦ προσώπου. ἔπειτα οὐδὲ αὐτὸς ἀπεφήνατο μηδέποτε ἐλλείπειν τὸ πρᾶγμα. τὸ γοῦν ἰσάζον ἐλλείπειν οἴεται, ὥστε πρὸς τοῦτο ἀφορῶν εἶπεν, ὅτε πρόσωπα ἔχοι καὶ πράγματα.

ζ. Χρήσιμον οἶμαι πρὸ τῆς τάξεως αὐτῶν διακρῖναι, ποῖα μέν ἐστι τὰ τοῦ προσώπου κεφάλαια, ποῖα δὲ τοῦ πράγματος, καὶ ποῖα κοινὰ προσώπου καὶ πράγματος, καὶ αὖθις, τίνα μὲν τοῦ κατηγόρου, τίνα δὲ τοῦ φεύγοντος, τίνα δὲ κοινὰ τοῦ φεύγοντος καὶ τοῦ διώκοντος; τοῦτο γὰρ ἡμῖν καὶ εἰς τὴν τάξιν αὐτῶν οὐ μικρὰ συμβαλεῖται. ἐπὶ τοίνυν τοῦ προσώπου κεφάλαια τάδε· βούλησις, δύναμις, ποιότης κοινή. τοῦ δὲ πράγματος ἐλέγχων ἀπαίτησις, ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, μετάθεσις αἰτίας, πιθανὴ ἀπολογία· κοινὰ δὲ ἀμφοῖν τὸ παραγραφικόν, ἡ ἀντίληψις, ἡ μετάληψις· καὶ ἔστι κατὰ τὴν ἑτέραν διαίρεσιν τοῦ μὲν διώκοντος κεφάλαιον τὸ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, τούτου γάρ ἐστι μάλιστα· χρῆται μέντοι καὶ ὁ φεύγων αὐτοῖς, ὥστε εἶναι κοινὸν τὸ κε-

20 Mon. φασὶ μὲν τελείας. 21 Mon. εἰ. 22 τὸ Par. 1. om.

φάλαιον. ἡ γοῦν μετάληψις ἰδία μόνως τοῦ κατηγόρου· τοῦ δὲ φεύγοντος τὸ παραγραφικὸν, ἡ τῶν ἐλέγχων ἀπαίτησις, ἡ ἀντίληψις, ἡ μετάθεσις τῆς αἰτίας, ἡ πιθανὴ ἀπολογία· κοινὰ δὲ τούτων βούλησις, δύναμις, τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, εἰ καὶ τὰ μάλιστα τῷ πλείονι λόγῳ τοῦ κατηγόρου ὄντα φαίνεται· πρὸς δὲ τούτοις ἡ κοινὴ ποιότης. Λεκτέον δὲ ἤδη καὶ περὶ τῆς τάξεως· τέτακται τοίνυν τὸ παραγραφικὸν πρῶτον, δι᾽ ὧν πολλάκις ἔφαμεν λόγων· ἔχει γὰρ ἐκβολὴν τοῦ ἀγῶνος. καὶ ὅσον γε τὸ ἐπὶ τούτῳ οὐδὲ εἰς ἀγῶνα καθίσταται ὁ φεύγων· ἀπὸ γὰ ρτῶν ἰσχυροτάτων ὁ τεχνικὸς ἐπὶ τὰ ἧττον ἰσχυρὰ πρόεισι· δεύτερον κεφάλαιον ἡ τῶν ἐλέγχων ἀπαίτησις, εἰκότως· τοῦ μὲν γὰρ παραγραφικοῦ ἀσθενέστερον, τῶν δὲ ἄλλων ἰσχυρότερον· εἰ γὰρ καὶ προσήκατο[23] τὸν ἀγῶνα, καὶ ἧττον κατὰ τοῦτο γέγονε τοῦ παραγραφικοῦ, ὅμως[24] οὔπω παντελῶς καθῆκεν ἑαυτὸν ὁ φεύγων εἰς τὴν περὶ τοῦ πράγματος ζήτησιν, ἀλλ᾽ ὥσπερ δικαστοῦ τινος τρόπον ἐπέχων ἐλέγχους ἀπαιτεῖ· τρίτον καὶ τέταρτον ἡ βούλησις καὶ ἡ δύναμις. ταῦτα γὰρ συστατικὰ τοῦ προσώπου καθέστηκεν· δεῖ δὲ τὰ τοῦ[25] προσώπου πρὸ τῶν συστατικῶν εἶναι τοῦ πράγματος, ἐπεὶ καὶ πρότερον τὸ πρᾶττον τοῦ πραττομένου· ὅτι δὲ ἡ βούλησις εὐλόγως πρὸ τῆς δυνάμεως τέτακται, παντὶ καταφανές· ἀρχὴ γὰρ ἡμῖν πάντων τῶν πραγμάτων ἡ βούλησις· τέτακται δὲ μετὰ τὴν βούλησιν καὶ τὴν δύναμιν τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, καὶ ζητήσειεν ἄν τις, πῶς οὐ τὴν πρώτην ἔλαβε τάξιν κατ᾽ αὐτὸ δηλαδὴ τὸ ὄνομα; καλεῖται γὰρ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, ὅτι ἄνωθεν καὶ ἐξ ἐκείνου, ἐξ οὗ ἂν ἄρχηται τὰ ζητήματα, λαμβάνεται ἄχρι τῶν τελευταίων, τουτέστιν αὐτῆς τῆς κρίσεως· καὶ δι᾽ αὐτῶν αἱ ἀποδείξεις προΐασιν· ἔδει οὖν τὴν πρώτην ἀπειληφέναι τάξιν

τὸ

---

23 Mon. προσήκοντα. Par. 2. καὶ om. 24 Mon. ὁ μέν.
25 τοῦ Mon. om. inserui ex conj.

τὸ κεφάλαιον· ῥητέον δὲ, ὡς ὁμολογουμενως τοῦ παραγραφικοῦ καὶ τῆς τῶν ἐλέγχων ἀπαιτήσεως ἔλαττον ὁρᾶται, καθὸ τοῦτο μὲν ἀποδεικτικόν ἐστι τοῦ πράγματος, ἐκείνων δὲ τὸ μὲν οὐδὲ προσίεται τὸν ἀγῶνα, τὸ δὲ, [25*] τουτέστιν ἡ τῶν ἐλέγχων ἀπαίτησις, εἰ καὶ παρεδέξατο τὸν ἀγῶνα, οὐχ οὕτω παντελῶς προσήκατο, ὥστε καὶ εἰς ἀπόδειξιν στῆναι, ἀλλὰ δικαστοῦ τρόπον προστάττει τῷ κατηγόρῳ παράγειν ἐλέγχους· τοῦ μὲν οὖν παραγράφικοῦ καὶ τῆς τῶν ἐλέγχων ἀπαιτήσεως οὕτως ἧττον τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους· ἀλλὰ μὴν ὅτι καὶ τῆς βουλήσεως καὶ τῆς δυνάμεως εὐλόγως μετατέτακται σαφές· τὰ μέν γὰρ τοῦ προσώπου ἐστὶ συστατικὰ, τὰ δὲ τοῦ πράγματος· δεῖ δὲ, ὡς ἔφαμεν, πρῶτον εἶναι τὸ ποιοῦν τοῦ πραττομένου· ἕκτον κεφάλαιον ἡ ἀντίληψις, κατὰ τὸν διώκοντα τὴν τῶν κεφαλαίων τάξιν ποιησαμένου τοῦ τεχνικοῦ· ὁ μὲν γὰρ διώκων μετὰ τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους χρῆται τῷ ἀντιληπτικῷ, ἵνα μετὰ τὰς οἰκείας ἀποδείξεις ἐπενεγκὼν τὸ τοῦ φεύγοντος ἀντιληπτικὸν τυραννικόν αὐτοῦ δείξῃ [26] τὸ φρόνημα· ὁ δὲ φεύγων τοῦτο αὐτὸ δὴ, τὸ τυραννικὸν εἶναι δοκεῖν, φυλαττόμενος μετὰ τὴν μετάθεσιν τῆς αἰτίας καὶ τὴν πιθανὴν ἀπολογίαν τάττει τὸ ἀντιληπτικόν· μετὰ δὲ τὸ ἀντιληπτικὸν ἡ μετάληψις· ἀεὶ γὰρ πρὸς τὸ ἀντιληπτικὸν φέρεται τὸ μεταληπτικόν· δι᾽ ἀλλήλων γὰρ λύεται τὰ κεφάλαια· ἐχρήσατο δὲ τοῖς ὀνόμασι τῶν στάσεων ἀντὶ τῶν κεφαλαίων, εἰπὼν ἀντίληψις καὶ μετάληψις· ἡ μὲν γὰρ στάσις καλεῖται ἀντίληψις, ἀντιληπτικὸν δὲ τὸ κεφάλαιον· ὀγδόην ἔχει τάξιν ἡ μετάθεσις τῆς αἰτίας [27] κατὰ τὸν

25* τὸ δὲ τουτέστιν — — παρεδέξατο τὸν ἀγῶνα Mon. om., recepi ex Parr. 26 Par. 1. ἀποδείξῃ αὐτοῦ τὸ φρ. 27 Sch. min. τοῦτο καὶ χρῶμα λέγεται· μετὰ τὴν ἀντίληψιν δὲ, ὅ ἐστι τὴν ἐξουσίαν, τὴν αἰτίαν ἐπήνεγκε τῆς πράξεως, οὐδεὶς γὰρ τῇ ἐξουσίᾳ θαῤῥήσας, ταύτην παρεὶς τὴν αἰτίαν τῆς πράξεως προτάττει τῆς ἐξ-

κατήγορον· καὶ ἡ αἰτία εἴρηται, ἡ μὲν γὰρ ἀντίληψις μετὰ τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους τάττεται, ἵνα τυραννικὸν δείξῃ τὸν φεύγοντα, ἡ δὲ μετάληψις οὐ δύναται χωρισθῆναι ἀπὸ τῆς ἀντιλήψεως· ὀγδόη οὖν εἰκότως ἡ μετάθεσις τῆς αἰτίας· ἔνατον κεφάλαιον πιθανὴ ἀπολογία μετὰ τὴν μετάθεσιν τῆς αἰτίας τεταγμένη· ἡ μὲν γὰρ αἰτίαν ἔχει τοῦ πεπραγμένου, ἡ δὲ ἀναίρεσις τῆς ἀντεισφερομένης αἰτίας ἐκ περιτροπῆς τοὐναντίον εἰσάγει· ἀρνεῖται γὰρ τὸ ὅλως πεπρᾶχθαι· μεῖζον δὲ τὸ πραχθὲν τοῦ μὴ πραχθέντος.

ή. Κοινή ἐστιν αὕτη [28] πασῶν τῶν στάσεων· τῶν ἐπιλόγων γάρ ἐστιν· αὕτη μὲν ἡ τάξις τῶν τοῦ στοχασμοῦ κεφαλαίων· εἰσὶ δ᾽ ὁμοῦ θ΄. ἡ γὰρ ποιότης κοινή· τούτων δὲ τὰ μὲν ἀπὸ τοῦ προσώπου κρίνεται, ὡς βούλησις καὶ δύναμις, τὰ δὲ ἀπὸ τῆς τῶν πραγμάτων ποιότητος, ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, ἀντίληψις εἰ ἐμπίπτοι, μετάληψις, χρῶμα, πιθανὴ ἀπολογία, τὰ δὲ ἔξωθεν ἐμφαίνεται· παραγραφικὸν, καὶ ἐλέγχων ἀπαίτησις, ἅπερ κοινά ἐστι τοῦ τε προσώπου καὶ τοῦ πράγματος· τούτων δὲ πάλιν τοῦ κατηγόρου μέν ἐστι δύο, ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, μετάληψις· τοῦ δὲ φεύγοντος πένητος, παραγραφικὸν, ἐλέγχων ἀπαίτησις, ἀντίληψις, χρᾶμα, πιθανὴ ἀπολογία· κοινὸν δὲ βούλησις καὶ δύναμις· τὸν κατὰ φύσιν δὲ ὁ Ἑρμογένης διαιρεῖ στοχασμόν· τοῦ [29] γὰρ κατὰ τέχνην ἑτέρα διαίρεσις, ὡς πρὸς τὴν ὕλην τὴν ἐμπίπτουσαν· ἡ γὰρ τέχνη διδάσκαλος ὡς πρὸς τὴν ὕλην, τί μὲν λεκτέον, τί δὲ σιωπητέον· καὶ τί μὲν ἐμπίπτει, τί δὲ οὐκ ἐμπίπτει.

θ΄. Τὸ μὲν οὖν κεφάλαιον [30] κοινὸν προσώπου καὶ

ουσίας. 28 sc. ποιότης κοινή. Sch. min. τελευταία τέτακται, οὐ γὰρ ὡμολόγηται, ἀλλὰ πιθανότης ἐστὶν, εἰ καὶ ἀντιστρέφειν δοκεῖ τὸν ἀγῶνα. 29 Mon. τῆς γὰρ κ. τ. ἑτέρας. 30 sc. τὸ παραγραφικόν. Sch. min. τρία ζητεῖται ἐπὶ τοῦ κεφαλαίου· τίς

πράγματος· ὅτε μὲν γάρ τις ἀπὸ τῆς προσωπικῆς ποιότητος παραγράφει, ὡς οἱ δέκα νέοι, ἕκαστος αὐτῶν ἰδίᾳ κρίνεσθαι ἀξιῶν, διὰ τὴν ἐμφαινομένην παρ' ἑκάστῳ ποιότητα, καὶ ὁ τρισαριστεὺς ἀπὸ τοῦ τῶν πολεμίων προσώπου παραγραφόμενος, ὅτε δὲ ἀπὸ τοῦ πράγματος, ὡς ὁ ἄσωτος ἀξιῶν δεικνύναι πρότερον, εἰ ἀνῄρηται ὁ πατὴρ, καὶ ἡ τοῦ δειλοῦ γυνὴ παραγραφομένη διὰ τὸ τοῦ πράγματος μεταχρόνιον· προβάλλεται δὲ ἀπὸ τοῦ φεύγοντος τὸ τοιοῦτον κεφάλαιον, ἐπεὶ καὶ ἴδιον αὐτοῦ ἐστι· διὸ καὶ ἀπορῆσαι ἄξιον, πῶς ἐπὶ τοῦ στοχασμοῦ προέταξεν ὁ τεχνικὸς τὸ τοῦ φεύγοντος κεφάλαιον, οὐκ ἔχοντος ἀνάγκην ἀπολογεῖσθαι, εἰ μὴ ὁ διώκων πρότερος ἐνοχλήσοι, ὥσπερ ἐπὶ τῶν ἄλλων δείκνυται στάσεων πρότερος ὁ διώκων τῇ προβολῇ χρώμενος· καὶ οὕτως ἀκολούθως τὸ ἀπὸ τοῦ διωκομένου κεφάλαιον εἰσαγόμενον, καὶ ἐφεξῆς τὰ λοιπά· ἔστιν οὖν εἰπεῖν, ὅτι ἐπὶ μὲν τῶν ἄλλων στάσεων φανεροῦ ὄντος τοῦ κρινομένου, καὶ μόνης τῆς ποιότητος ἐξεταζομένης, θαῤῥούντως ὁ διώκων τῇ προβολῇ κέχρηται, ἥτις ἐστὶν αὐτὸ τὸ κρινόμενον, ὡς ἐπὶ τοῦ μεμοιχευκότος εὐνούχου τὸ ἁμάρτημα δῆλον· καὶ οὐ βαρὺς δοκεῖ λέγων ὁ διώκων, ὅτι μεμοίχευκας· καὶ ἐπὶ τοῦ τὰ ναυάγια γράψαντος καὶ ὅτι μὴ καταίρουσι τὰ πλοῖα κρινομένου φανερὸν τὸ ἔγκλημα· καὶ οὐ θροήσει λέγων [31] ὁ κατήγορος, ὅτι δημοσίᾳ ἠδίκηκας, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· ἐπὶ δὲ τοῦ στοχασμοῦ, ἐπεὶ τὸ κρινόμενον ἄδηλον, καὶ ἀπὸ μόνων τῶν σημείων ἡ κρίσις γίνεται, οὐ δύναται τὸ ἀφανὲς ὡς φανερὸν προβάλλεσθαι ὁ διώκων, καὶ τὸν νεκρῷ σώματι παριστάμενον λέγειν, ὅτι πεφόνευκας, ἀδήλου τοῦ φόνου τυγχάνοντος, ἀλλὰ τῇ διηγήσει μόνῃ τῶν σημείων ἀρκούμενος, ἀφεὶς τὴν προβολὴν τὴν ὅτι πεφόνευκας·

ἡ φύσις τοῦ ζητουμένου, πῶς αὐτῷ χρηστέον, τίς ἡ τάξις αὐτοῦ.
31 Mon. λέγει.

τοῦτο γὰρ ἐπὶ πάντων ἡ προβολή, τὸ λέγειν αὐτὸ τὸ ἁμάρτημα καὶ ἐπισείειν τῷ κατηγορουμένῳ τὸ ἔγκλημα· ἀφεὶς οὖν τοῦτο ἐπὶ τοῦ στοχασμοῦ ὁ διώκων μετὰ τὴν τῶν σημείων διήγησιν ἐπὶ τὴν λύσιν τῆς παραγραφῆς, εἰ ἐμπίπτοι, χωρεῖ, καὶ τῆς τῶν ἐλέγχων ἀπαιτήσεως· εἶθ' οὕτως ἐπὶ τὰ κοινὰ κεφάλαια, τὴν βούλησιν καὶ τὴν δύναμιν, καὶ ἀκολούθως ἐπὶ τὸ μόνως ἴδιον κεφάλαιον τοῦ κατηγόρου, τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἐν μὲν τῇ διηγήσει πλατύτερον καὶ ὑφειμένως λεγόμενα, ἐν δὲ τῇ προβολῇ ἀθρόον καὶ μετὰ κατασκευῆς εἰσαγόμενα, ἥτις, λέγω δὴ ἡ προβολή, ἐπὶ τοῦ στοχασμοῦ διὰ τὰς εἰρημένας αἰτίας ἐκλέλειπται, μετὰ δὲ τὴν τῶν κεφαλαίων τοῦ ἀναγομένου ἀνάλυσιν τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἀντὶ ταύτης ὑπὸ τοῦ κατηγόρου εἰσάγεται, κατατρέχοντος ἐν αὐτοῖς τοῦ ἀναγομένου σφοδρότερον, ἅτε τὰ ἀντικείμενα λύσαντος καὶ θαῤῥαλεώτερον τούτου καταδιώκοντος. Διὰ δὴ τὰς τοιαύτας αἰτίας ἡ προβολὴ ἐπὶ τοῦ στοχασμοῦ ἐπιλέλοιπε καὶ τὸ τοῦ ἐναγομένου κεφάλαιον τὸ παραγραφικὸν προσάγεται ὑπὸ μὲν τοῦ κατηγόρου λυόμενον, ὑπὸ δὲ τοῦ κατηγορουμένου σθενούμενον καὶ κατασκευαζόμενον· εἰσάγεται δὲ κατὰ τέσσαρας τρόπους, οὓς ὁ τεχνικὸς τοῖς παραδείγμασιν ἐσαφήνισεν, ὧν ἐκλειπόντων [32] καὶ τὸ παραγραφικὸν ἐπιλέλοιπε· διὰ ταῦτα, φησὶν, „παραγραφικῷ ἔστιν ὅτε·“ ὥσπερ ἐκλέλοιπε τούτων τῶν τρόπων [33] ἐπιλελοιπότων, οὕτως ὑπερηύξηται πάλιν, καὶ εἰς τελείαν στάσιν ἐκ κεφαλαίου [34] μετάγεται, εἰ ἀπὸ ῥητοῦ τινος γίνοιτο, ἐπάγει οὖν.

ί. Ἄρχεται ἀπὸ τοῦ παραγραφικοῦ, καὶ εἰπὼν ὡς οὐ τῶν ἀεὶ ἐμπιπτόντων εἴη τὸ [35] κεφάλαιον, οὐ μέχρι

32 Mon. et Parr. ἐκλειπουσῶν. in Par. 2. correctum: ἐκλειπόντων. 33 Mon. τῶν τούτου omisso τρόπων. Par. 2. τῶν τούτου τρόπων. Par. 1. τούτων τῶν τρ. 34 Par. 2. Mon. ἐν κεφαλαίῳ. Par. 1. ἐκ κεφαλαίου. 35 εἴη τὸ κεφάλαιον — — — —

τούτου ἔστη, ἀλλὰ καὶ τελείαν ποιούμενος τὴν διδασκαλίαν προσέθηκε καθολικὰς μεθόδους, δι᾽ ἃς ἐπιγνωσόμεθα, πότε ἐμπίπτει καὶ πότε ἐλλείπει, καὶ παραδίδωσιν ἡμῖν δ´ τρόπους, καθ᾽ οὓς παραλαμβάνεται μόνους· ἢ [36] γὰρ ἀπὸ τοῦ λείποντος, φησὶν, ἐμπίπτει, ὡς ἐπὶ τοῦδε τοῦ παραδείγματος, ἀσώτου πατὴρ ἀφανὴς γέγονε καὶ φόνου φεύγει, κατὰ γὰρ τὸ λεῖπον ἐνταῦθα τὸ παραγραφικὸν ἐγένετο· λείπει δὲ τὸ καθεστάναι ἀφανῆ τὸν ἀνῃρημένον, πρότερον γὰρ ἀξιώσει ὁ φεύγων δειχθῆναι τὸν φόνον, [37] εἶθ᾽ οὕτως κρίνεσθαι, ἢ ἀπὸ τοῦ ὑπερβάλλοντος, ὅταν πλέον τι συνάπτηται τῇ τοῦ κρινομένου ὑποθέσει ἐκ τῆς πράγματος περιστάσεως· οἷον δέκα νέοι συνώμοσαν μὴ γῆμαι, καὶ κρίνονται κακοῦ βίου· τούτων γὰρ ἕκαστος τὸ μὲν ἅμα κριθῆναι παραιτήσεται, ἰδίᾳ δὲ ἀξιώσει εὐθύνεσθαι· ἢ ὅταν ἐφ᾽ οἷς ἕτεροι πεποιήκασι κρινώμεθα· οἷον στρατηγοῦ εἰκόνα ἔστησαν οἱ πολέμιοι, καὶ κρίνεται προδοσίας· ἐνταῦθα γὰρ παραγραφικῷ χρήσεται, φάσκων, μὴ ὀφείλειν ἐφ᾽ οἷς οἱ πολέμιοι ἔπραξαν, κρίνεσθαι· ἢ κατὰ χρόνον, ὅταν πολλοῖς ὕστερον χρόνοις ἐπὶ τὴν κατηγορίαν ἀπηντηκώς τις φαίνηται, οἷον, δειλοῦ παῖς ἠρίστευσε καὶ τὴν γυναῖκα κρίνει μοιχείας· παρ᾽ αὐτὰ γὰρ φαίη ἂν χρῆναι κατηγορῆσαι, μὴ νῦν τοσοῦτον ὕστερον χρόνον.[38]

ἐπιγνωσόμεθα, πότε ἐμπίπτει Mon. om., recepi ex Parr. 36 Mon. εἰ. 37 Sch. min. *Λείπει γὰρ ὁ φόνος, καὶ ἐρεῖ ὁ ἄσωτος, δεῖξον ἡμῖν ἀνῃρημένον τὸν πατέρα, καὶ τότε κρίνομαι φόνου. Ποσαχῶς γίνεται ἡ ἄγνοια; τριχῶς, ἐκ τοῦ μὴ παρεῖναι, ἐκ τοῦ μικρὸν εἶναι, ἐξ ἀπραγμοσύνης. ὅπερ δι᾽ ἑνὸς κώλου ὁ Δημοσθένης κωλύει, ἐν οἷς φησιν* [pro cor. p. 232.] *„ὅτι* [Dem. *ἔστιν ὅπου*] *σὺ παρὼν τηλικαύτην πρᾶξιν ἡλίκην νῦν ἐτραγῴδεις.“ διὰ μὲν τοῦ „ὅπου σὺ παρὼν“ τὸ μὴ παρεῖναι ἀνελὼν, διὰ δὲ τοῦ „τηλικαύτην“ τὸ μὴ μικρὸν εἶναι τὸ εἰργασμένον, διὰ δὲ τοῦ „ἡλίκην νῦν ἐτραγῴδεις“ τὸ μὴ ἀπράγμονα εἶναι.* 38 Mon. Par. 2. το-

ιά. Ὡς μὲν ἁπλῶς εἰπεῖν τὸ παραγραφικὸν γίνεται ἐκ [39] τῶν περιστατικῶν, οἷον προσώπου καὶ πράγματος, χρόνου, τόπου, αἰτίας, τρόπου, ὡς δ' αὐτός φησιν κατὰ τρόπους δ΄. ἀλλ' εἰ καὶ τέσσαρας ἀπαριθμεῖται, τρεῖς εἰσι τῇ ἀληθείᾳ· τὸ τοῦ ἀσώτου γὰρ ἀπὸ τοῦ πράγματός ἐστι· ζητεῖται γὰρ, εἰ ἀνῄρηται ὁ πατήρ· τὸ δέ γε τοῦ [40] τρισαριστέως καὶ τῶν δέκα νέων ἀπὸ τοῦ προσώπου καὶ τοῦ δειλοῦ ἀπὸ τοῦ χρόνου· διὰ τῶν περιστατικῶν δὲ γίνεται τὸ παραγραφικὸν, καὶ ὅτε μὴ ἐκ τούτων ἔχομεν διαβαλεῖν τὴν κατηγορίαν, ἐκλείπει.

ιβ΄. Ἐρεῖ γὰρ ἕκαστος αὐτῶν, ὅτι οὐχ ὁμοῦ πάντας ἔδει κρίνειν, ἀλλ' ἀνὰ μέρος· ἀντέστησαν δέ τινες ἐπὶ τούτῳ, ὡς οὐκ ἔχει τὸ παραγραφικὸν χώραν· εἰ γὰρ καὶ τὰ μάλιστα οἱ δέκα νέοι πλῆθός εἰσιν, ἀλλ' οὖν γε μίαν ἔχουσι [41] ποιότητα τοῦ ἀόριστον εἶναι, καί φασιν, ὅτι τότε τὸ παραγραφικὸν τὸ ἀπὸ τοῦ ὑπερβάλλοντος θέλει ἐμπίπτειν, ὅταν διάφοροι τῶν πολλῶν αἱ γνῶμαι, ὅταν δὲ μία ἡ ποιότης ἢ ῥητόρων ἢ νέων, οὐκ ἔχει χώραν τὸ κεφάλαιον· ἐπὶ γοῦν τούτου διὰ τὸ ἀόριστον εἶναι τὴν ποιότητα οὐ συνίσταται τὸ παραγραφικόν· ἐπὶ δὲ τῶν δέκα στρατηγῶν τῶν μὴ ἀνελομένων τὰ ναυάγια συνίσταται· ἕκαστος γὰρ διαφόρους ἐρεῖ τοῦ μὴ ἀνελέσθαι τὰ ναυάγια τὰς αἰτίας· ὁ μὲν γάρ τις αὐτῶν ἐπὶ τῆς συμβολῆς [42] ἐτέτακτο, ὁ δὲ ἐπὶ τῆς φρουρᾶς, ὁ δὲ ἐπὶ τῆς ἀναιρέσεως τῶν νεκρῶν.

ιγ΄. Οὐκέτι, φησὶ, κεφάλαιον οὐδὲ μέρος τοῦ στοχασμοῦ· ἀλλ' ἀπηρτισμένη στάσις ἐστὶ καὶ παραγραφὴ τελεία· ἣν δὴ καὶ μετάληψιν προσηγόρευσεν, ὁπηνίκα ῥητοῦ τινος ἐπιλάβοιτο· καὶ πολὺ τηνικαῦτα τὸ ἰσχυρὸν ἀποφέρεται.

σούτοις ὕστ. χρόνοις. Par. 1. τοσοῦτον ὕστ. χρόνον. 39 Par. 1. ἀπό. 40 Mon. τὸ δέ γε τρισαριστέα. 41 Par. ἔχει. 42 Par. συμβουλῆς.

ιδ΄. Τὴν διαφορὰν τῆς παραγραφῆς[43] καὶ τοῦ παραγραφικοῦ διὰ τούτου δηλοῖ, ὅτι ἡ μὲν ὅλον ἐκβάλλει τὸν ἀγῶνα, τὸ δὲ μέρος τι τῶν περὶ τὸ πρᾶγμα αἰτιᾶται· καθὸ μὲν γὰρ διαβάλλει τὴν κατηγορίαν, ὠφέλιμόν ἐστι, καθὸ δὲ ὅλως δοκεῖ παραγράφεσθαι, καθαιρετικόν ἐστι τῶν ἀξιωμάτων· κατὰ ταῦτα δὲ διαφέρει τὸ παραγραφικὸν τῆς παραγραφῆς, ὅτι ἡ μὲν στάσις, τὸ δὲ κεφάλαιον· καὶ ἡ μὲν νόμον ἔχει, τὸ δὲ οὔ· καὶ ὁ μὲν ἐκβάλλει τὸν ἀγῶνα, τὸ δὲ διαβάλλει· καὶ τὸ μὲν κατὰ τοὺς εἰρημένους γίνεται τρόπους, ἡ δὲ δι᾽ ἑτέρων γίνεται θεωρημάτων· ἔστι δὲ τὰ παρεπόμενα τῷ παραγραφικῷ τοσαῦτα· πρῶτον, ὅτι τῶν οὐκ ἀεὶ ἐμπιπτόντων ἐστί· δεύτερον, κατὰ πόσους τρόπους ἐπιγινώσκεται· τρίτον, τίνα διαφορὰν πρὸς τὴν παραγραφὴν ἔχει, τέταρτον, τί δύναται ἐν τῷ λόγῳ, ὅτι διαβολὴν μόνην τοῦ ἀγῶνος ἐργάζεται· πέμπτον, ὅτι τῶν ἀξιωμάτων ἐστὶ καθαιρετικὸν, ἅς ἁπτόμενον τῆς τῶν προσώπων ὑπολήψεως, ὡς[44] ἐὰν κρίνηται τυραννίδος ἐπιθέσεως Περικλῆς καὶ παραγράψηται, ἢ Δημοσθένης παραπρεσβείας.

ιέ. Ἤδη μὲν εἴρηται καὶ ἐπὶ τῆς διαιρετικῆς μεθόδου τῶν στάσεων περὶ τοῦ τοιούτου προβλήματος, ὅτι τε παραγραφὴ τελεία ἐστὶ καὶ[45] στάσις ἡ λεγομένη μετάληψις ἔγγραφος· καὶ ἐν τοῖς ἐφεξῆς δὲ ῥηθήσεται, ἡνίκα ἐν τῷ περὶ διαιρέσεως τῶν κεφαλαίων τῆς μεταλήψεως τόπῳ γενώμεθα· νῦν δὲ τοσοῦτον τῷ τεχνικῷ περὶ τούτου διείληπται, ὅσον παραστῆσαι διαφορὰν παραγραφῆς κεφαλαίων καὶ στάσεων, καὶ ὅτι ἡ μὲν στά-

---

43 Sch. min. ἡ γὰρ παραγραφὴ ἀπὸ νόμου τὴν ἰσχὺν ἔχουσα τὴν εὐθυδικίαν ἐκβάλλει· τὸ μέντοι παραγραφικὸν ἐκ τῶν περιστατικῶν λαμβάνεται· εἰ δὲ καὶ ἡ μετάληψις ἐκ τούτων, ἀλλ᾽ ἐκείνη μὲν ἐκ τοῦ κατηγόρου, τοῦτο δὲ ἀεὶ τῷ φεύγοντι συγκεκλήρωται. 44 ὡς Mon. om. Par. 1. post ἐὰν δὲ ponit. 45 Mon. ἐστὶν ἡ στάσις.

σις ἀπὸ ῥητοῦ ἐστι καὶ τελεία ὑπάρχει παραγραφή, τὸ δὲ κεφάλαιον οὐκ ἀπὸ ῥητοῦ ἀλλὰ ψιλῶς εἰσάγεται, ὅσον διηγεῖσθαι τὸν ἀγῶνα, καὶ καθελεῖν ποσῶς τὸ φρόνημα τοῦ ἐνάγοντος· ἡ μὲν οὖν φύσις τῶν κεφαλαίων τοιαύτη· ἐπεξεργάζεται δὲ αὐτό τε τοῦτο καὶ τὰ λοιπὰ τῶν κεφαλαίων, καὶ οὐ τοῦ στοχασμοῦ μόνον, ἀλλὰ καὶ τῶν λοιπῶν στάσεων ἐπιχειρήμασιν, ἐργασίαις, ἐνθυμήμασιν, ἐπενθυμήμασι, πλαστοῖς, περὶ ὧν ἐν τῷ περὶ εὑρέσεων βιβλίῳ ὁ Ἑρμογένης ἡμῖν διαλέγεται· ἐνταυθοῖ δὲ περὶ μόνης ἡμῖν τῆς τούτων διέξεισι φύσεως· εἰ δὲ δεῖ τι καὶ περὶ τῆς ἐξεργασίας αὐτῶν κἀνταῦθα μικρὸν ἀπομνημονεῦσαι, ὅσον πρὸς ἔνδειξιν ἐπὶ τοῦ παραγραφικοῦ, φέρε περὶ αὐτῶν διαλάβωμεν· τὰ μὲν οὖν ἐπιχειρήματα ἀπὸ τῶν ἓξ περιστατικῶν λαμβάνονται, προσώπου, πράγματος, τόπου, τρόπου, χρόνου τε καὶ αἰτίας· ἀπὸ μὲν τοῦ προσώπου, οἷον ὡς ἐπὶ τοῦ τρισαριστέως, οὗ εἰκόνα ἔστησαν οἱ πολέμιοι, καὶ προδοσίας φεύγοντος, ὅτι οὐ δώσω λόγον, ἐφ᾽ οἷς ἕτεροι πεποιήκασιν· οὐ γὰρ δεῖ ἐξ ὧν ἄλλοι πράττουσιν εὐθύνας ὑπέχειν, οὐδ᾽ εἰ προσήκοντες[46] εἶεν γένει, μήτι γε δὴ πολέμιοι καὶ μηδὲν προσήκοντες· ἕκαστος γὰρ ἐκ τῶν οἰκείων, οὐκ ἐξ ὧν ἕτεροί τινες ἐνεδείξαντο, κρίνεται· καὶ ἁπλῶς ὅσα ἐρεῖν δυνατὸν τῇ φύσει χρώμενον ἀπὸ τοῦ πράγματος, ὅτι οὐδὲ[47] ἐπὶ τοῖς τυχοῦσι πράγμασι κατηγορεῖσθαι εἰκός· τοῦτο γὰρ συκοφαντίας ἴδιον, τὸ ἐξ εἰκότων καὶ σημείων καὶ τῶν τυχόντων τεκμηρίων πλάττειν ἀδεῶς τὰς κατηγορίας ἐθέλειν· οὐ γὰρ[48] εἰκόνα ἔστησαν ἐμὴν οἱ πολέμιοι τὴν ἀνδρείαν θαυμάζοντες, τοὺς οἰκείους πρὸς ζῆλον θήγοντες, ἢ καὶ ὑμᾶς[49] εἰς τὸ κατ᾽ ἐμοῦ τι φαῦλον ὑπονοῆσαι διανοούμενοι, οὐ τοῦτο σκοπεῖν δεῖ, ἀλλ᾽ εἰ δώροις ἐμὲ παρέφθειραν· εἰ τὰ ἀνέκφορα αὐτοῖς ἐγὼ τῆς πό-

46 Mon. οὐδέ. 47 Par. 1. οὐ δεῖ. 48 Par. εἰ εἰκόνα.
49 Mon. ἡμᾶς εἰς τὸν κατ᾽ ἐμοῖ τ. φ. ὑ. διανοούμενος.

λεως ἐξεκάλυψα, εἴ τι τοιοῦτον κατηγορεῖν τις ἔχοι, τοῦτο εἰς μέσον κινείτω· εἰ δὲ στήλην ἀνήγειραν τὰς ἀριστείας θαυμάζοντες, καὶ τὴν πόλιν θαυμάζειν, οὐκ ἐγκαλεῖν δεῖ, κροτεῖν, οὐ κατηγορεῖν, ὅτι καὶ παρὰ πολεμίων θαυμαστὸς ὁ ὑμέτερος[50] ἀριστεύς· αἰδεῖσθαι γὰρ ἀνδρὸς ἀρετὴν[51] εἴωθεν καὶ πολέμιος·[52] ἀπὸ δὲ τοῦ τόπου, ὅτι καὶ παρὰ τῇ πόλει μᾶλλον τῶν Ἀθηνῶν οὐ χρὴ προχείρως οὕτω καὶ ἑτοίμως κατηγορεῖν, ἔνθα πολὺ τἀκριβὲς, ἔνθα πολὺ τὸ φιλάληθες καὶ τὸ συκοφαντεῖν ἐκποδών· καὶ τούτοις τὴν πόλιν καὶ τοῖς τοιούτοις ἐγκωμιάσει· ἀπὸ τοῦ τρόπου, εἰ ἐμπίπτοι, οἷον ὅτι οὐ δεῖ οὕτως οὐδὲ τὸν τρόπον τοῦτον κατηγορεῖν· οὐδὲ γὰρ πάντα ἐν πᾶσιν ἐμπίπτειν δύναται, καὶ ὅταν ἐμπίπτῃ, οὐ πᾶσι πάντως χρηστέον, ἀλλὰ τοῖς λυσιτελεῖν δυναμένοις· ἀπὸ τοῦ καιροῦ, ὅτι οὐ νῦν ἐν ἀπράκτοις καὶ ἑορτασίμοις ἡμέραις καὶ τοῖς νόμοις κεκωλυμέναις, ὅτι εἰρήνης καὶ θυμηδίας καὶ εὐφροσύνης καιρὸς, ὅτι φιλοφροσύνης καὶ δεξιώσεως, ἢ ὅτι οὐ νῦν ἐν θέρους καιρῷ καὶ συλλογῆς τῶν καρπῶν, ὅτε περὶ τὰ καίρια καὶ ἀναγκαῖα ἡ σπουδὴ καὶ τὰ τὸν βίον καὶ τὴν ζωὴν τὴν ἀνθρωπίνην συνέχοντα,[53] οὐ δεῖ τηνικαῦτα πρὸς διαβολὰς καὶ συκοφαντίας καὶ κατηγορίας ὁρμᾶν, καὶ ἁπλῶς ὅσα εἰπεῖν ἐγχωρεῖ· ἡ δὲ αἰτία ἐν τούτοις ἅπασιν ἀναφαίνεται, οἷον ὅτι οὐ δεῖ ἀφ' ὧν ἕτεροι, ἵνα μὴ τοῖς πᾶσι πάντες εὐθύνας ὑπέχωσιν· οὐ δεῖ ἀπὸ τοιούτων σημείων, ἵνα μὴ πάντες μάθοιεν ἐκ τῶν τοιούτων κατηγορεῖν· οὐ δεῖ ἐν Ἀθήναις, ἵνα μὴ πονηρὸν ὄνομα φιλοσυκοφαντίας τοιᾷδε πόλει προστριβῇ· οὐ τοιόνδε δεῖ τὸν τρόπον κατηγορεῖν, ἵνα μὴ ἀσχημονῶμεν καὶ ἀναιδεύεσθαι διδαχθῶμεν· καὶ ἐν τῷδε οὐ χρὴ τῷ καιρῷ, ἵνα μὴ ἀσεβεῖν δόξωμεν, ἵνα μὴ ἐν ἐνδείᾳ κα-

50 Par. 1. ἡμέτερος. 51 Mon. ἐγγὸς εἴωθεν ἀρετήν. 52 Par. 1. pergit: ἀληθὲς καὶ τὸ συκοφαντεῖν ἐκ ποδ. omissis interjectis. 53 Par. 1. παρέχοντα.

ταστῇ τὰ ἡμέτερα· καὶ πολλά ἐστι λέγειν, ἃ νῦν παρεῖται, ὅτι μὴ μελέτη ἀλλὰ τεχνολογία ἡμῖν τὸ προκείμενον· ἐπιχειρεῖν μὲν οὖν ἐντεῦθέν ἐστιν· αἱ δὲ ἐργασίαι λαμβάνονται ἀπὸ παραβολῆς, ἀπὸ παραδείγματος, καὶ ταῦτα ἀπὸ μείζονος, ἀπὸ ἐλάττονος, ἀπὸ ἴσου, ἀπὸ τοῦ ἐναντίου· ἀπὸ μὲν μείζονος, ὡς ἐπὶ τοῦ παρόντος προβλήματος οὕτως, ὥσπερ γὰρ βασιλεὺς οὐκ ἂν προδοσίας διαβληθείη, ἀνδριάντος αὐτῷ παρὰ τῶν πολεμίων ἀνισταμένου, οὐ γὰρ ἂν τῶν ἑαυτοῦ προδότης καὶ ἐπίβουλος γένοιτο, οὕτως οὐδὲ τρισαριστεὺς ἀγαθὸς, ὡς ἐγὼ, φιλόπολις δίκαιος ἂν εἴη προδοσίας ὑποπτευθῆναι, οὐδ᾽ εἰ μυρίας αὐτῷ στήλας οἱ πολέμιοι ἀνεγείροιεν. ἀπὸ δὲ ἴσου, οἷον εἰ στρατηγὸν ὁμοίως φιλόπολιν λάβοιμεν τὰ παραπλήσια περὶ αὐτοῦ εἰσηγούμενοι. ἀπὸ δὲ ἐλάττονος, εἰ στρατηγὸν ἤ τινα ἄλλον τῶν τρισαριστέως ὑποδεεστέρων τῷ λόγῳ καθυποθώμεθα. ἀπὸ δὲ τοῦ ἐναντίου, ὥσπερ γὰρ [54] περὶ τοῦ πολλάκις κακὰ τῇ πόλει διαθεμένου οὐκ ἄν τις ἀγαθὸν οὐδέποτε ὑποπτεύσειεν, οὕτως οὐδὲ περὶ τοῦ πλειστάκις ταύτην εὐεργετήσαντος ἐναντίον χρεὼν καὶ δίσνουν διανοεῖσθαι, ὡσαύτως καὶ εἰ ἀπὸ παραδείγματος τὴν ἐργασίαν λάβοιμεν· καὶ περὶ μὲν ἐργασιῶν, ὅσον εἰς ὑποδείγματος λόγον, ἐπὶ τοσοῦτο· τὰ δὲ ἐνθυμήματα ὥρμηται μὲν ἀπὸ τῶν ἐργασιῶν· πλατύνεται δὲ τοῖς ἐξ περιστατικοῖς· ὡς γὰρ τὰ ἐπιχειρήματα ἀπὸ τῶν κεφαλαίων ἔχει τὰς ἀφορμάς, τοῖς δὲ περιστατικοῖς τὸν πλατυσμὸν ἐπιδέχεται, οὕτω δὴ καὶ τὰ ἐνθυμήματα ἐκ τῶν ἐργασιῶν προσφερόμενα τοῖς περιστατικοῖς ἐμπλατύνεται συγκριτικῶς κατὰ αὔξησιν, ὡς ἐπὶ τοῦ προτεθέντος προβλήματος. ἐξ ἐργασίας τῆς [55] ἀπ᾽ ἐλάττονος· ἀπὸ μὲν προσώπων λεγόντων ἡμῶν ἐνθυμηματι-

54 Mon. *ἐκ περί.* 55 Mon. *ἐργα ς ἀπ᾽ ἐ.* et mox *μεταξὺ ἄφορον,* etiam in sqq. sunt lacunae minores.

κῶς οὕτως· καίτοι ἕτερόν τί ἐστι στρατιώτης, καὶ ἕτερον τρισαριστεὺς, καὶ πολὺ τὸ μεταξὺ ἑκατέρων διάφορον, ὅμως οὐκ ἄν τις οὐδὲ στρατιώτου τῇ πόλει εὐγνωμονοῦντος οὕτως ῥαδίως ἐξ εἰκότων καὶ τεκμηρίων παρ' ἐχθροῖς γενομένων, οὐδ' εὐχερῶς καταγνοίη· πολλοῦ γε καὶ δεῖ, τρισαριστέως τοσαῦτα καὶ τηλικαῦτα τῇ ἑαυτοῦ πατρίδι ἐνδειξαμένου τὰ βέλτιστα, καὶ κατὰ τοσοῦτο πρὸς τὴν πόλιν εὐποιεῖν ὑπερφέροντος, καθόσον ὑπερφέρει, καὶ ὑπερανέστηκε τῇ λαμπρότητι· οὕτως καὶ ἐκ τῶν λοιπῶν εἰ ἔχοι περιστατικῶν αὐξητικῶς ὁ κατηγορούμενος τοῖς ἐνθυμήμασι χρήσεται, συνάγων ἑαυτῷ τὸ μεῖζον ἐκ παραθέσεως, τὸ δ' αὐτὸ καὶ ὁ κατήγορος μεθοδεύσει κατὰ τὸ ἔμπαλιν· εἰ δὲ ἀπὸ τοῦ αὐτοῦ περιστατικοῦ καὶ δευτέρου τις αὔξησις δυνηθείη ληφθῆναι ἐπιφερομένη τῇ προτέρᾳ κατὰ περιουσίαν αὐξήσεως, τοῦτ' ἂν εἴη τὸ ἐπενθύμημα, δριμυτέρας τῷ πράγματι προστιθεμένης αὐξήσεως, οἷον· καίτοι ὁ μὲν στρατιώτης καταγνωσθεὶς καὶ εὐθύνῃ καθυπαχθεὶς οὐκ ἂν τοσαύτην τῇ πόλει προξενήσοι ζημίαν. ἀλλ' οὖν καὶ οὕτως ὀκνηροί πως πρὸς τὴν κατάγνωσιν οἱ πολῖται τοῦ κατά τι αὐτοὺς εὐηργετηκότος καθίστανται· οὐ πολλῷ μᾶλλον δεῖ ὀκνηροτέρους αὐτοὺς φανήσεσθαι εἰς τὸ τρισαριστέως οὕτω γενομένου ἐξ εἰκότων τινῶν καὶ σημείων καταιτιάσασθαι· τοσαῦτα καὶ περὶ ἐνθυμημάτων τε καὶ ἐπενθυμημάτων· τὰ δὲ λοιπὰ ῥᾳδίαν ἔχει καὶ εὐχερῆ τὴν διάγνωσιν· εἰ καθ' ὑπόθεσιν προςάγει τις τῷ ἀντικαθισταμένῳ ἐρώτησιν τῇ προκειμένῃ ὑποθέσει συμβαίνουσαν καὶ τὸν ἐρωτώμενον τὰ ὑπὲρ τοῦ ἐρωτῶντος ἀναγκάζουσαν ἀποκρίνεσθαι· οἷον εἰπέ μοι, ὦ βέλτιστε, εἴτινες τῶν ὑπὸ σοῦ πολλάκις εὐεργετηθέντων, καὶ πλειστάκις εὖ πεπονθότων, ἐξ ὧν ἐχθροὶ ἔπραττον, καταψηφιεῖσθαί σου ἐβούλοντο· ἆρα ἂν ἤνεγκας τοιαῦτα παρὰ τῶν εὖ πεπονθότων [56] παροινούμενός

56 Par. παθόντων.

τε καὶ μάτην συκοφαντούμενος· οὐκ ἔγωγε οἶμαι· εἰ δὲ αὐτὸς τοιαῦτα πάσχων οὐκ ἄν ποτε ἤνεγκας, πῶς ἡμῶν τὰ ἴσα καταψηφιζόμενος οὐκ ἐρυθριᾷς; Τοιαύτη καὶ ἡ περὶ τῶν πλαστῶν λεγομένων διάπλασις· ἐν τούτοις ἡ τῶν κεφαλαίων ἁπάντων, ὡς δι' ἑνὸς δυνατὸν [57] ἐνδείξασθαι κεφαλαίου, κατασκευὴ καὶ ὑφάπλωσις καὶ πέρα τούτων [58] οὐκ ἂν εὕροις ἐπεκτεινομένην τὴν τέχνην, ἀλλ' ἐν τούτοις ἐπανακυκλουμένην καὶ ἐμπλατυνομένην, ἐφ' ὅσον τις βούλοιτο, καὶ τὸ δυνατὸν πρόσεστιν.

ιϛ'. Ταῦτα τὰ δύο κεφάλαια, φημὶ δὴ [59] τὸ παραγραφικὸν καὶ τὴν τῶν ἐλέγχων ἀπαίτησιν, ἐξ ἀρχῆς ἡ τέχνη παρέσχε [60] τῷ φεύγοντι· ἐπειδὴ γὰρ ἐκ τῆς τοῦ κατηγόρου καταφορᾶς ἐξασθενεῖν ὁ φεύγων δοκεῖ, ἡ τέχνη ἐπιῤῥωννῦσα [61] αὐτὸν ταῦτα τὰ κεφάλαια πρῶτον αὐτῷ παραδίδωσιν. ἐλέγχων δὲ ἀπαίτησις [62] ὠνόμασται ἀπὸ τοῦ τὸν φεύγοντα ἐλέγχους ἀπαιτεῖν τοῦ πράγματος, περὶ οὗ ἡ κρίσις, καὶ τῷ διώκοντι μὴ συγχωρεῖν ἀμαρτύρους ποιεῖσθαι τὰς κατηγορίας. ἡ δὲ τῶν ἐλέγχων ἀπαίτησις ἐκ τῶν ἀτέχνων πίστεων γίνεται, μαρτύρων, διαθηκῶν, νόμων, ψηφισμάτων, ἐπιστολῶν, βασάνων. ἄτεχνοι δὲ λέγονται πίστεις, ἐπειδὴ ἡ ὕλη τοῦ προβλήματος ἔχει αὐτὰς καὶ τοῦ πράγματος· καὶ οὐκ ἔξωθεν γίνονται ἀπὸ τῆς τοῦ ῥήτορος τέχνης.

ιζ'. Ζητεῖται, πῶς ἄρνησιν οὐσιώδη ἔχοντος τοῦ στοχασμοῦ ἐλέγχων ἀπαίτησις γίνεται; τοῦ γὰρ ἀφανοῦς

57 Par. δυνατὸν δι' ἑνός. 58 Mon. περατούντων. 59 Par. δὴ om. 60 Mon. προσέσχε. 61 Mon. ἐπιρωννῦσα. 62 Sch. min. ζητοῦσι, διατί μᾶλλον ἀπαίτησις ἐλέγχων, καὶ οὐκ ἐκβολὴ ἐκλήθη· καί φαμεν, ὅτι ἐκ τοῦ ἰσχυροτέρου χρῆται αὐτῷ· δῆλον γάρ, ὡς οἰόμενος μὴ ἔχειν αὐτὸν ἐλέγχους, ἀπαιτεῖ· ὅπερ ἐν τῇ τάξει τῶν κεφαλαίων ἐφάσκομεν· δικαστοῦ τάξιν μιμεῖται· οὐ τὴν αὐτὴν δὲ ἰσχὺν καὶ ἐπὶ τῆς ἐκβολῆς ἔχει, ἀπαιτεῖ μὲν γὰρ τοὺς μὴ ὄντας, ἐκβάλλει δὲ τοὺς πραχθέντας, ὅπερ ἐστὶν εὐκολώτερον.

εὔηθές ἐστι μάρτυρας ἀπαιτεῖν· καί τινες[63] μὲν τοῦ σημείου τοὺς μάρτυρας ἀπαιτεῖν κακῶς λέγουσιν, οὐδὲ γάρ[64] περὶ αὐτοῦ ἡ κρίσις ἢ ἡ κατηγορία, ἄλλοι δὲ ἄμεινον ἀπολογούμενοί φασιν, ὡς φύσις[65] ἐστὶ τοῖς φεύγουσιν ἀπαιτεῖν μάρτυρας, ἐν οἷς ἴσασι μὴ ὑφεστῶτας. εἰ γὰρ ᾔδεσαν ὄντας, οὐκ ἂν ἀπῄτουν· τοσοῦτον δὲ εἰδέναι χρὴ, ὅτι ἐν μὲν τοῖς ἀληθέσι τῶν ἀγώνων μάρτυρες προφέρονται, ἐν τοῖς πλασματικοῖς δὲ οὔ. διὸ ἀδιορίστως εἰπὼν, „εἰσὶ μάρτυρες ἢ οὔ“, ἔπταισεν· ἀδύνατον γὰρ ἐν τοῖς πλασματικοῖς μάρτυρας παρενεχθῆναι· ἄλλως τε καὶ ἀσύστατον γίγνεται διὰ τούτων. καὶ δῆλον ὅτι περὶ μόνων τῶν ἀληθῶν ζητημάτων διαλαμβάνει, ὅμως ὁ τεχνογράφος τελείαν αὐτοῦ τὴν ἐργασίαν[66] ποιούμενος διττὸν εἶναί φησι τὸ κεφάλαιον. ἢ γάρ εἰσι μάρτυρες, ἢ οὐκ εἰσὶν, ἔθει γὰρ κεκρατηκότι ἐν τοῖς ζητήμασι καὶ τοῖς πλάσμασιν ἀπαιτεῖν μὲν ὁ φεύγων μάρτυρας, παρενεγκεῖν δὲ ὁ κατήγορος οὐ δύναται.

ιη΄. Ζητοῦσιν,[67] ὡς εἴρηται, τινὲς, τίνος ἂν εἴη τὸ κεφάλαιον τοῦτο· καὶ εἰ μὲν τοῦ σημείου, εὔηθες. φανερὸν γὰρ εἶναι δεῖ τὸ σημεῖον· εἰ δὲ τοῦ ἐγκλήματος, καὶ τοῦτο ἄτοπον. οὐκέτι γὰρ ἀδήλου πράγματος ἔσται ἔλεγχος, ὥστε φασὶ[68] περιττὸν τὸ κεφάλαιον. καὶ φαμὲν, εἰ

63 *καί τινες μὲν τοῦ σημ. τοὺς μάρτ. ἀπαιτεῖν* Par. 1. om. 64 *γὰρ* Par. 1. om., idem habet: *περὶ τοῦ αὐτοῦ ἐστὶν ἡ κρ.* 65 Par. *φύσει.* 66 Mon. *εὐεργεσίαν.* 67 Mon. *ζητεῖται.* 68 Mon. *ὥς φησι.* Sch. min. *ἔπταισε φήσας ἐνταῦθα ὁ τεχνικός· οὐ γὰρ τοῦ σημείου οἱ μάρτυρες, εἴγε τὸ σημεῖον φανερὸν ἐν στοχασμῷ, τοῦ φανεροῦ δὲ κομίζειν ἐλέγχους ἀνόητον· ὅτι δὲ σημεῖον ἡ μοιχεία δῆλον· οὐδὲ γὰρ τῆς μοιχείας τὸ ἔγκλημα, ἀλλὰ τῆς φαρμακείας· πλὴν οὐδὲν ἄτοπον καὶ τοῦ σημείου κομίζεσθαι μάρτυρας, ἐπὰν καὶ αὐτὸ ἀναμφιβόλως ἐπὶ τὸ ζητούμενον χειραγωγῇ, μηδεμίαν πρόφασιν τῷ χρώματι ἐνδιδούς· ἄλλως τε καὶ οὐδὲ ἀνεύθυνον τὸ σημεῖον ἐνταῦθα, ὡς καὶ ἐπὶ τῶν ἄλλων στοχασμῶν· τοῦ σημείου γὰρ δει-*

μὲν εὐθέως πᾶς μαρτυρᾶν καὶ τὴν τοῦ πιστεύεσθαι δύναμιν εἶχεν, εἶχεν ἂν λόγον ἡ ἀπορία· ἐπειδὴ δὲ καὶ μαρτύρων ὄντων ἐπιζητεῖται, εἰ ἀληθὲς ἢ ψευδὲς τὸ ἐκ τῆς μαρτυρίας λεγόμενον, οὐδὲν ἄτοπον καὶ μαρτύρων ἐπιφερομένων ἔτι συνίστασθαι τὸ ζήτημα, ὡς ἔχομεν ἔν τε πλείοσι τῶν Λυσιακῶν λόγων καὶ παρὰ τοῖς ἄλλοις ἀρχαίοις· καὶ ταῦτα μὲν ἐν τοῖς ἀληθέσιν ἰσχύει· ἐν μέντοι τοῖς πλάσμασιν οὐ δύναται μάρτυς εἶναι, ἀλλ᾽ ὁ φεύγων εἰς ἀπορίαν καταστῆσαι τὸν διώκοντα βουλόμενος ἀπαιτήσει τοὺς μάρτυρας κατὰ τὴν προειρημένην μέθοδον. Διὸ καὶ τὸ πλᾶσμα Ἑρμογένης πάνυ τεχνικῶς παρέθετο· ἵνα γὰρ δείξῃ, ὅτι καὶ μάρτυρας ἐνίοτε ὁ στοχασμὸς ἐπιδέχεται, οὕτως αὐτὸ παρήνεγκεν. ἐν τούτῳ γὰρ καὶ μάρτυρές εἰσιν καὶ οὐκ εἰσίν. εἰσὶ μὲν γὰρ τῆς μοιχείας αἱ θεραπαινίδες, οὐκ εἰσὶ δὲ τῆς φαρμακείας.

ιθ΄. Ὅτε εἰσὶ μάρτυρες,[69] ἢ δοῦλοί εἰσιν ἢ ἐλεύθεροι. καὶ δοῦλοι ἢ τῶν ἔξωθεν ἢ αὐτοῦ τοῦ καταμαρτυρομένου, ὡς ἐνταῦθα· ἐνίοτε γὰρ καὶ οἰκέτας κατὰ τῶν οἰκείων δεσποτῶν εἰς μαρτυρίαν παράγουσιν, καὶ τῶν μὲν

κνυμένου οὐδεμία γίνεται ἀπολογία, τῷ μὴ οὐχὶ τὴν μητέρα εἶναι τὴν φαρμακίδα τί γὰρ τὸ κατεπεῖγον συναινέσαι τὸν γάμον τοῦ νεανίσκου τὴν μητέρα, εἰ μὴ ἡ τῆς μοιχείας πρόφασις; ἐπεὶ οὖν καὶ ἡ μοιχεία ἐλέγχεται, ἀναμφιβόλως ἡ μήτηρ ἐστὶν ἡ τὴν θυγατέρα φαρμάξασα. 69 Schol. min. ἀντιτιθέναι τοῖς μάρτυσι τοὺς μάρτυρας· ἂν εὐπορῶσι, φησὶν, ἀμφότεροι μαρτύρων, ὅ τε κατήγορος καὶ ὁ φεύγων, τότε ἀντεξετάσομεν τούς τε ἡμετέρους καὶ τοὺς ἐκείνου, καὶ τὸ πιστὸν ἐκ τῆς ποιότητος ποριούμεθα· καὶ γὰρ προαιρέσεις ἐξεταστέον καὶ τύχην, δεικνύντες, ὡς οὗτοι μᾶλλον ἐκείνων ἄξιοι πιστεύεσθαι· ὁ καθόλου γὰρ περὶ μαρτύρων ἔπαινος οὐκ ἔχει χώραν. λήσει γὰρ ἕκαστος ἐγκωμιάζων τὰ τοῦ ἀντιδίκου, ἀλλὰ μέγιστον ἡ ἀντεξέτασις ἐν τοῖς τοιούτοις δύναται. ἢ διαβάλλειν αὐτούς· ὡς ἐπίπαν ἐπὶ ἐνδόξου προσώπου γίνεται τοῦτο, τότε γὰρ ῥηθήσεται, ὡς ἢ δι᾽ ἔχθραν μαρτυρεῖ ἢ πρὸς χάριν τῶν ἀντιδίκων·

ἔξωθεν διαβαλοῦμεν ἐκ τῆς τύχης τὴν μαρτυρίαν, καὶ εἰ μὲν μετὰ βασάνων μαρτυροῦσι, φήσομεν ὡς οὐδὲν φροντίζουσι τῶν βασάνων. κατεπήγγελται γὰρ αὐτοῖς ἀντὶ τούτου ἐλευθερία. εἰ δὲ βασάνων ἐκτὸς, ἐροῦμεν, ὅτι οὐδὲ μετὰ βασάνων ἀληθὴς ἡ μαρτυρία. πολλοὶ γὰρ ἑάλωσαν τὰ ψευδῆ μαρτυροῦντες, μήτι γε βασάνων ἐκτός. τῶν δὲ οἰκείων καὶ ὥσπερ εἶπεν ὁ τεχνικὸς δεῖ καθόλου διαβάλλειν, καὶ ὅτι πονηροὶ τὸν τρόπον καὶ ἐπὶ τὸ πλεῖστον· καὶ ὅτι ἀκόλαστοι· ἂν δὲ ἐλεύθεροι ὦσιν ἢ ξένοι ἢ πολῖται, τοὺς μὲν οὖν ξένους αὐτὸ τοῦτο διαβαλοῦμεν, ὅτι μὴ γνήσιον ἔχοντες τὸ γένος οὐδὲν θαυμαστὸν, εἰ φόνῳ πολιτῶν ἐφήδονται,[70] εἰ δὲ πολῖται, ἢ πένητες ἢ πλούσιοι. τοὺς μὲν οὖν πένητας ἐκβαλοῦμεν ὡς ῥᾳδίως χρήμασι διεφθάρησαν, εἰ[71] δὲ πλούσιοι, ἢ πονηροὶ ἢ ἐπιεικεῖς· πονηρῶν μὲν τούτων ὄντων ἐκβαλοῦμεν τὴν μαρτυρίαν, καὶ μάλιστα εἰ, ὡς εἰσι φιλόδικοι, διαβάλλοιντο, ἢ εἰ καὶ πρότερον μαρτυροῦντες ψευδομαρτυριῶν ἑάλωσαν, εἰ δὲ ἐπιεικεῖς δοκοῖεν ἐκ τῶν ἐνόντων πρὸς τὴν ὑπόθεσιν, ἐκβαλοῦμεν τὴν μαρτυρίαν ἢ φιλίαν τοῦ κατηγόρου αἰτιώμενοι ἢ οἶκτον, ἢ καὶ τὸν πλοῦτον αἰτιασόμεθα, ὅτι θαῤῥοῦντες δι᾽ αὐτὸν ὡς οὐδὲν πείσονται ἐπὶ τὴν μαρτυρίαν ἀπήντησαν.

κά. Ἐναργῶς ἡμῖν καταλείπει ἐν τῷ κατὰ Κόνωνος αἰκίας[72] παράδειγμα Δημοσθένης, ἀντεξετάσας ἐκεῖ τοὺς μάρτυρας καὶ διαφορὰς ἐξευρὰν γενναιοτάτας, ὁ μὲν γὰρ, φησὶ, τοὺς ἑταίρους καὶ ἡλικιώτας μάρτυρας παρέχεται, πρὸς χάριν μαρτυροῦντας· ἐγὼ δὲ ξένους, οὐδὲν ἐμοὶ προσήκοντας, οὐδὲ δι᾽ ἄλλο τι μαρτυροῦντας, πλὴν τὴν ἀλήθειαν. θαυμάσειε δ᾽ ἄν τις, πῶς στοχασμοῦ ὄντος εἰσὶν οἱ μάρτυρες εἰς αὐτὸ τὸ ἔγκλημα, οὐ γὰρ δύναται,

70 Mon. ἐφήδοντες. 71 Mon. οἱ. 72 Mon. h. l. et p. 272. v. 6. αἰτίας, scr. αἰκίας. — v. 25. Mon. γεννῃ sequente lacuna, quae omnia usque ad litt. κά absorpsit.

ὡς ἔφαμεν, τὸ ἔγκλημα ἄδηλον ὂν, μάρτυρας ἔχειν· καί φαμεν, ὡς ἐν τῷ κατὰ Κόνωνος ἡ ἀλήθεια ἐβιάζετο τὴν τέχνην, ὡς καὶ ἐν τοῖς ἄλλοις ἡ ἀλήθεια τῶν ἀγώνων τὴν τέχνην βιάζεται πολλάκις· καὶ εἰσηγεῖταί τινα ἀναγκαῖα μὴ ὄντα ἐν τῇ τέχνῃ, ἀμέλει ἐν αὐτῷ τούτῳ τῷ κατὰ Κόνωνος αἰκίας τὸ ὁμολογῆσαι τὸν φεύγοντα τυπτῆσαι τὸν κατήγορον ἀδύνατόν ἐστιν ἐν στοχασμῷ· ἄλλως τε ἀμφοτέρων τῶν μερῶν ἐχόντων μάρτυρας, καὶ τὰ ἀλλήλων ἀναιρούντων, εἶτα ἐξισαζόντων, οὐκέτι προσάγονται μάρτυρες, ἀλλ᾽ ἀναιρεθείσης τῆς ἀπὸ τούτων ἀπωλείας ἐπιστώθη ἡ τοῦ στοχασμοῦ φύσις τῷ εἶναι ἄδηλος καὶ ἐξ ἄλλων ἀποδείκνυσθαι.

κά. Τοῖς περιστατικοῖς λέγει, οἷον προσώπῳ, τίς ὁ δούς; τίς ὁ συνειδώς; τὸ δὲ πρόσωπον ἐξετάζεται, ἀπὸ τῶν ἐγκωμιαστικῶν, γένους, ἀγωγῆς καὶ τῶν ἄλλων· ὑποδιαιρέσει οὖν ἐνταῦθα χρήσεται, συγκλείων τὸν κατήγορον, οἷον πολίτης ἢ ξένος, οἰκεῖος ἢ ἀλλότριος, δοῦλος ἢ ἐλεύθερος· ἐν τόπῳ δὲ, οἷον ἐν ἄστει ἢ ἔξω τείχους, ἐν ἐρημίᾳ, ἐν ἀγορᾷ, ἐπ᾽ οἰκίας. τρόπῳ δὲ, τίνα τρόπον, λαθὼν ἢ ἐκ τοῦ προφανοῦς βιασάμενος ἢ ἀπατήσας; χρόνῳ, νύκτωρ ἢ μεθ᾽ ἡμέραν, ἐν πολέμῳ ἢ ἐν εἰρήνῃ; πράγματι, οἷον τί δούς; τί ποιήσας; αἰτίᾳ, διὰ τί, ἆρα, ἵνα κληρονομήσω, ἵνα τῶν αὐτοῦ γένωμαι κύριος, ἵνα ἐχθροῦ ἀπαλλαγῶ; ἢ διὰ φιλίαν ἢ ἔχθραν; καὶ τούτοις ἅπασιν[73] ἐπεξέρχεται, κατὰ διαίρεσιν προϊών. ἐν μέντοι

τῇ

73 Sch. min. εἰ πᾶσι, φησὶν, ἑξῆς χρηστέον τοῖς πᾶσι, δυσχερὲς δὲ πάντα εὑρεθῆναι ἐν προβλήματι. ὁ δὲ κατηγορῶν. ὁ μὲν κατήγορος, εἰ μὲν ἔχοι μάρτυρας, αὐτὸ τοῦτο συστήσει, ὅτι κρεῖττον ἡ μαρτυρία τοῦ τεκμηρίου καὶ τοῦ εἰκότος, παράθεσιν τούτων ποιούμενος· εἰ δὲ ἐκ βασάνων παρέχει τὸν ἔλεγχον, ἐρεῖ πάλιν, ὅτι ὁ τῶν βασάνων ἔλεγχος ἀληθέστερός ἐστι τῶν μαρτύρων, οἱ μὲν γὰρ οὐδὲ πάσχοντες, ἃ βούλονται λέγουσιν, αἱ δὲ βάσανοι τὸ ἀληθὲς ἔχουσιν·

τῇ αἰτίᾳ καὶ ἀκριβέστερον ἐπεξετάσει· τοῦτο γάρ ἐστιν ἐν ταῖς δίκαις· οἷον τί λέγω; εἰ μὲν γὰρ εἴη ὁ τὴν αἰτίαν φεύγων τοῦ φόνου πλούσιος, ὁ δὲ ἀνῃρημένος πένης, ἐρεῖ ὁ τὴν αἰτίαν ἔχων, τίνος ἕνεκα τὸν φόνον εἴργασμαι χρημάτων ἐρῶν; καὶ μὴν εὐπορώτερος ἐγὼ, ὁ δὲ πένης ἐτύγχανεν. εἰ δὲ τοὐναντίον ὁ μὲν ἀνῃρημένος πλούσιος, ὁ δὲ φονεύων πένης, ἐρεῖ, ὅτι τὸν φόνον τί βουλόμενος εἰργασάμην; ἆρα χρημάτων ἐρῶν;[74] καὶ μὴν παῖδες εἶχεν ὁ τεθνηκὼς,[75] ἂν οὕτω τύχοι, ἢ συγγενεῖς· οὐ δεῖ δὲ τὴν μαρτυρίαν ἀπαιτεῖν ὡς ἔτυχεν, ἀλλὰ πρῶτον ἐφορᾷν, εἰ ἐνδέχεται διὰ μαρτύρων συστῆναι τὴν ὑπόθεσιν ἢ μή. καὶ ὅταν εὕρωμεν πανταχοῦ μαρτύρων ἀπορίαν, τότ' ἐπιθησόμεθα ἀπαιτοῦντες τοὺς ἐλέγχους· εἰ γάρ εἰσιν, εἶτα ἡμεῖς ἀπαιτήσομεν αὐτοὺς, ἐκείνων παρεχομένων οὐ χαλεπῶς[76] ἁλισκόμεθα.[77] Δεῖ τοίνυν μὴ ὄντων ἀπαιτεῖν, καὶ ἀπαιτεῖν οὐ τοῖς περιστατικοῖς, ὡς εἶπεν ὁ τεχνικὸς, μόνον ἀλλὰ καὶ πηλικότητι καὶ συγκρίσει καὶ τοῖς πρός τι καὶ ἔθει καὶ νόμοις καὶ δικαστηρίοις· πηλικότητι μὲν, μέγα, ὥς φησιν, ὁμολογουμένως τὸ ἔγκλημα. οὐ χρὴ οὖν περὶ τηλικούτου πράγματος ἀπόντων μαρτύρων ποιεῖσθαι τὴν σύγκρισιν· συγκρίσει δὲ, ὅτι καὶ ἐπὶ πάντων ὁμοίως ἔχει τῶν παραπλησίων, οἷον φόνου, παραπρεσβείας, ἅπερ ἅπασαν ἀνατρέπει τὴν πόλιν. ἀλλ' οὐδ' ἐκείνων τις πώποτε μαρτύρων ἀπόντων ὑπέσχε τὴν κρίσιν. τοῖς πρός τι δὲ, ὅτι ἄτοπον, ἐπὶ μὲν ὕβρεως καὶ κλοπῆς μηδένα ἐξ ὑποψίας κρίνεσθαι, ἐπὶ δὲ τῶν τηλικούτων ἀμαρτύρους ποιεῖν[78] τὰς κατηγορίας. ἡ σύγκρισις δὲ τῶν πρός τι διαφέρει, ὅτι ἡ μὲν ἀπὸ τῶν ἴσων λαμβάνεται, τὰ δὲ ἀπὸ τῶν ἐλαττόνων. ἔθει δὲ, ἔθος γὰρ ἡμῖν ποιεῖν τὰ τοιαῦτα·

ἂν δὲ μαρτύρων ἀπορῇ, συστήσει τὰ τεκμήρια καὶ τὰ εἰκότα, λέγων ὅτι μάρτυρες μὲν πολλάκις ψευδῆ διηλέγχθησαν [Cod. διελ.] λέγοντες, ταῦτα δὲ οὐδαμῶς. 76 Par. 1. οὐχ ἁπλῶς. 77 Mon. ἁλισκόμενοι. 78 Par. 2. Mon. ποιεῖ, in Par. 2. man. rec. addidit ν.

νόμῳ δὲ, καὶ οἱ νόμοι οὕτως κελεύουσι τὰς ἀποδείξεις ἐκ τῶν φανερῶν ἐλέγχων καὶ ἀναμφισβητήτων ποιεῖν. δικαστηρίοις δὲ, οἷον, καὶ γὰρ τούτου χάριν καὶ τὰ δικαστήρια συγκροτεῖται.

κβ'. Λεκτέον ἤδη περί τε τῆς βουλήσεως καὶ τῆς δυνάμεως· ἡ μὲν οὖν τάξις εἴρηται ἡμῖν ἐν τοῖς ἔμπροσθεν. νυνὶ δὲ ζητητέον, τίνος ἕνεκα συνῆπται τὰ δύο κεφάλαια, καὶ μία ἡ τούτων τεχνολογία γίνεται, τῶν ἄλλων ἁπάντων διακεκριμένων [79] ἑκάστου· λυθήσεται οὖν τὸ ἀπορούμενον τούτῳ τῷ λόγῳ· οὐ δύναται θάτερον τούτων ἄνευ τοῦ ἑτέρου ἐξέτασιν ἐπιδέξασθαι, ἀλλὰ θέλει πάντως συμπαρεῖναι ἀλλήλοις ἀμφότερα, εἰ μέλλοι οὕτω συστήσασθαι τὸ λεγόμενον· φέρε γάρ τινα βούλεσθαι μέν τι πράττειν, μὴ δύνασθαι δέ. δῆλον ὅτι καὶ τὸ τῆς βουλήσεως ἀνόνητον, ἀπολειπομένου τοῦ δύνασθαι καὶ πάλιν τοὐναντίον. ἠδύνατο μέν τι πράττειν, ἀπείη δὲ τὸ βούλεσθαι. οὐδεὶς οὐδὲ τῆς δυνάμεως ἐνταῦθα καιρὸς, οὐδὲ ὄνησις· ἂν μέντοι παρῇ συναμφότερον, τηνικαῦτα ἂν πραχθείη τι, καὶ τότε τὸ ὑποκείμενον ἐξέτασιν ἐπιδέξεται. εἰκότως τοίνυν ἀλλήλοις συνῆπται, εἴγε χωριζόμενα χωλεύει καὶ οὐδένα καιρὸν παρέχεται τῷ λαμβάνοντι. καὶ καθ' ἕτερον δὲ λόγον μίαν ἀπείληφε ταῦτα τεχνολογίαν. ὃ γὰρ ἄν τι ἐπὶ τῆς βουλήσεως ἐπιχείρημα λέγοι καὶ ὅπερ ἂν εἰς τεχνολογίαν περὶ ταύτης [80] λαμβάνοι, τοῦτο ἁρμόζον κἀπὶ τῆς δυνάμεως εὑρίσκοιτο, καὶ ὅπερ ἐπὶ τῆς δυνάμεως, τοῦτο καὶ ἐπὶ τῆς βουλήσεως. ἵνα μὴ τοίνυν διελὼν τὰ κεφάλαια ταυτολογεῖν ἀναγκάζηται, εἰκότως ἑνὶ λόγῳ τὴν ἀμφοτέρων ἐποιήσατο τεχνολογίαν.

κγ'. Ἐνταῦθα ἡ τοῦ τεχνογράφου ἀκρίβεια φαίνεται, τί δή ποτε βουλόμενος τὸ πολιτικὸν ζήτημα παραδοῦναι τὴν ὕλην τῶν προσώπων καὶ τῶν πραγμάτων παρέλαβε;

---

79 Mon. διακεκριμένα. 80 Par. 1. ταῦτα omisso περί.

δείκνυται γὰρ ἐνταῦθα, ὅτι καὶ τὰ κεφάλαια τῆς πρὸς ἑκάτερον αὐτῶν ἀναμεμέρισται· ἰδοὺ γὰρ εἰπὼν τὰ κεφάλαια τὰ μήτε ἐκ προσώπου μήτε ἐκ πράγματος παραλαμβανόμενα, ἀλλ᾽ ἔξωθεν ἐπεισαγόμενα, φημὶ δὴ τὸ παραγραφικὸν καὶ τὴν τῶν ἐλέγχων ἀπαίτησιν, νῦν τρέπεται ἐπὶ τὰ κεφάλαια τὰ τοῦ προσώπου καὶ τοῦ πράγματος, καὶ διδάσκει, πόσα μὲν τοῦ προσώπου, πόσα δὲ τοῦ πράγματος· καί φασιν εὐθέως μετὰ τὴν ἐλέγχων ἀπαίτησιν τήν τε βούλησιν καὶ δύναμιν ἐμπίπτειν, ἅπερ μόνου τοῦ προσώπου ἐστί, τοῦ τε κατηγόρου καὶ τοῦ φεύγοντος. Πῶς δὲ χρήσεται αὐτῷ ὁ κατήγορος λεκτέον· βουλόμενος γὰρ κατασκευάσαι καὶ δεῖξαι, ὅτι τὴν κατηγορίαν ὁ κρινόμενος ἔδρασεν, ἐκ τῶν εἰκότων τοῦτο κατασκευάζει λαμβάνων τήν τε βούλησιν καὶ τὴν δύναμιν· ἰστέον γάρ, ὅτι ταῦτα ἀλλήλοις συνέζευκται καὶ τῇ φύσει τῶν πραγμάτων ἀκολουθεῖ· δεῖ γὰρ τὸν ποιεῖν τι βουλόμενον πρότερον ἐθελῆσαι, εἶτα καὶ δυνηθῆναι. ὠνόμασται δὲ ἀπὸ τοῦ τήν τε διάνοιαν καὶ τὴν δύναμιν τοῦ δεδρακότος πανταχόθεν ἐπισκοποῦντας τὸ βούλεσθαί τε καὶ δύνασθαι διὰ τῶν προσηκόντων ἐπιχειρημάτων κατασκευάζειν.

κδ΄. Τὸ γένος [81] τέμνεται εἰς προγόνους καὶ πατρίδα, οἷον φέρε εἰπεῖν, ὅτι οὐκ ἂν Ἀθηναῖος ὢν καὶ ἐν

---

81 Sch. min. πλατύνεται, φησὶ, τὸ κεφάλαιον τοῦτο τοῖς ἐγκωμιαστικοῖς τόποις, οἷον γένει, πατρίδι, ἀγωγῇ καὶ ἑξῆς· οὐκοῦν προσώπου ὄντος καὶ κρινομένου ἀναγκαίως ταῦτα εὑρίσκεται, ὅτε μὲν εἴη πρόσωπον ὡρισμένον. καλῶς· ἀπὸ γὰρ τῆς ἱστορίας τὴν περὶ αὐτοῦ δόξαν ἔχομεν· ἀκριβῶς δὲ καὶ τὸ σχεδὸν προσέθηκεν, οὐ γὰρ ἐν πᾶσι σχεδὸν τοῖς ὡρισμένοις πάντα ἐμπίπτει, ἀλλ᾽ ἐνίοτε καὶ ἐκλείπει διὰ τὸ ἄδοξον τοῦ προσώπου, ἢ καὶ ὅτι οὐ παραχρησόμεθα τοῖς ἐμπίπτουσιν, ἀλλὰ τοῖς ὠφελεῖν ἡμᾶς δυναμένοις. **Εἰ δέ τι τῶν ἄλλων**· ἴσμεν, ὅσα περὶ τῆς τῶν προσώπων διαφορᾶς εἴρηκεν, οὐκοῦν πρὸς τὸ κρινόμενον τοῖς ἐμπίπτουσι χρησόμεθα.

δημοκρατουμένῃ πόλει ἀνατραφεὶς ἠβουλόμην τυραννεῖν· ἀπὸ δὲ τῶν προγόνων, ὅτι Ἡρακλείδης τυχὸν ὢν ἢ [82] Ἀλκμαιωνίδης, οἳ ὑπὲρ τῆς δημοκρατίας ἔφευγον στασιάσαντες πρὸς τοὺς τυράννους.

κέ. Ἀγωγή, [83] οἷον οὐχὶ τοιούτοις ὡμίλησα, Σωκράτει καὶ Περικλεῖ, τοῖς δημοτικωτάτοις τῶν πολιτῶν.

κς′. Δοκεῖ τὸ αὐτὸ τῇ ἀγωγῇ εἶναι παίδευσις, ἀλλὰ λέγομεν, ὅτι οὐκ εἶπε παιδεία ἀλλὰ παίδευσις, οἷον λόγοι, ὅταν ῥήτορα ἔχωμεν κρινόμενον, τὴν παίδευσιν ἐξεταζόμεθα. [84]

κζ′. Οἷον γῆρας, νεότης· μάτην δὲ τὴν ἡλικίαν ἐν τοῖς ἐγκωμιαστικοῖς ἔταξε, κοινὴ γὰρ ποιότης ἐστίν.

κή. Ψυχῆς μὲν, ὅταν εἴπωμεν ὀξὺν εἶναι τὸν κατηγορούμενον ἢ δεινὸν, ἢ ἄλλο τι τῶν εὐχερᾶς τὴν τόλμαν αὐτῷ ποιῆσαι δυναμένων· σώματος δὲ φύσιν ἐξετάσωμεν, λέγοντες ἐῤῥωμένον, εἰ τύχοι, καὶ διὰ τοῦτο πρὸς τὴν πρᾶξιν οὐκ ἀδύνατον, ἔνθα καὶ παράθεσίν τινα ποιησόμεθα, ἐξετάζοντες, τίνα εἰκός ἐστιν ἐπελθεῖν καὶ πατάξαι ἢ ἄλλο τι τοιοῦτον. καὶ μάλιστα εἰ κρίνομέν τινα αἰκίας ἢ τραύματος ἢ ἄλλου τινὸς τοιούτου.

κθ′. Διαβαλοῦμεν καὶ ἐκ τοῦ ἐπιτηδεύματος, οἷον εἰ τύχοι ἰατρὸς ὁ κατηγορούμενος, ἐροῦμεν, ὅτι οὐκ ἀπί-

---

82 Par. 1. ἢ ὅτι. 83 ἀγωγὴ praeposui: abest a Codd. 84 Par. ἐξετάζωμεν. Sch. min.: νέος πλούσιος· παρακολουθεῖ μὲν τῷ πλούτῳ τὸ πλεονεκτικὸν, τὸ βίαιον, τὸ ἀκόρεστον· τῇ νεότητι δὲ τὸ θρασὺ, τὸ εὔτολμον, τὸ ὀξύθυμον, τὸ ὀξύῤῥοπον. Εἰ μὴ γένος καὶ ἀνατροφὴν ἐνταῦθα ἐξετάζειν δυνάμεθα, ἀλλ' ἡ νεότης καὶ ὁ πλοῦτος ἱκανὰ περιουσίαν λόγων ἐμποιῆσαι τῷ κατηγόρῳ. Τὰ παρακολουθοῦντα τούτοις· οἷον τῇ νεότητι σώματος ἰσχὺς, κάλλος, εὐφροσύνη, τὸ κοῦφον καὶ εὐχερὲς τῆς γνώμης, τὸ φιλόδοξον, τὸ καινῶν ἐπιθυμεῖν πραγμάτων. τῇ δὲ τύχῃ πλοῦτος, δύναμις, ὑπερηφανία, κολάκων πλῆθος. Τὰ δὲ ἐγκωμιαστικά· τίνες οἱ ἐγκωμιαστικοὶ τόποι, διεξέρχεται.

θανον τὸν τοιαύτην ἔχοντα τέχνην φάρμακον παρασχεῖν, εἰ φαρμακείας αὐτὸν κρίνομεν. ἔχων γὰρ ἀπὸ τῆς τέχνης τὴν ἄδειαν προσχήματι τῆς ἰατρείας ἐδίδου τὸ φάρμακον. καὶ ἐπὶ ῥητόρων· ῥήτωρ ὢν ἠδύνω πεῖσαι προδοῦναι. καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν παραπλησίως.

λ'. Ἐπιτήδευμα πράξεως φέρε· ἐπιτήδευμα μέν ἐστι βίου αἵρεσις, οἷον ῥητορεύειν, χαλκεύειν, φιλοσοφεῖν, ἰατρεύειν, πολιτεύεσθαι· πρᾶξις δὲ αὐτὰ τὰ ἔργα, τὸ κατορθοῦν, τὸ ἀριστεῦσαι, τὸ ὑγιᾶσαι· συντρέχουσι δὲ ταῦτα ὡς ἐπὶ τὸ πλεῖστον, καὶ τὸ αὐτὸ ἐπιτήδευμα καὶ πρᾶξις· ἐν ὅσῳ μὲν γὰρ φιλοσοφοῦσιν ἤ τι τῶν ἄλλων διδάσκονται, ἐπιτήδευμα ἔχουσι τοῦτο· ἐπειδὰν δὲ καὶ τοῖς ἔργοις χρήσονται, τότε καὶ πρᾶξις γίνεται τὸ πρὶν ἐπιτήδευμα.

λα'. Ἰσχυρότατον διὰ τοῦτο λέγεται· τὸ μὲν γὰρ γένος τύχης ἔργον ἐστίν· οὐ γάρ τις ὁπόθεν βούλεται, τίκτεται, καὶ ὁ πλοῦτος τύχης ἐστὶ δώρημα, καὶ ἡ ἀγωγὴ, εἰ τύχοι, χρηστὴ, οὐ τοῦ ἀχθέντος, ἀλλὰ τοῦ ἀγαγόντος ἐστὶν ἐγκώμιον· καὶ τὸ ἐπιτήδευμα μέχρι τοῦ ἐπαίνου ἕστηκε μόνου· οἷον ὅτι χρηστὸν εἵλετο βίον· ἐν δὲ ταῖς πράξεσι τὸ τέλειον ἐπιγίνεται, καὶ οἱονεὶ βεβαίωσις τοῦ ἐπιτηδεύματος.

λβ'. Καὶ τὴν τύχην μάτην ἐν τοῖς ἐγκωμιαστικοῖς ἔταξεν, ὡς καὶ τὴν ἡλικίαν· κοιναὶ γάρ εἰσι ποιότητες, διὸ οὐκ ἰσχυραὶ, καθ' ἑνὸς ἐκφερόμεναι πρὸς ἀπόδειξιν. ὅταν γὰρ εἴπω, νέος πλούσιος, κοινὴ ποιότης ἐστὶ καὶ οὐκ ἀρκεῖ πρὸς ἀπόδειξιν ὁ πλοῦτος ἢ ἡ νεότης· διὸ δεῖ ἀναμιγνύναι τούτοις τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, κοινῶς καὶ καθολικῶς λέγοντας, ὡς οἱ πλούσιοι ἀλαζόνες καὶ βίαιοι οἱ νέοι πρὸς πᾶν τολμηροί.

λγ'. Ἐπειδὴ ταῦτα, ἃ κατέλεξεν ἀναμὶξ, ἐστὶ πρέποντα τῇ δυνάμει, πρέποντα τῇ βουλήσει, διὰ τοῦτο, φησὶ, ταῦτα ἐπ' ἀμφοῖν, καὶ ἐπὶ τῆς βουλήσεως καὶ ἐπὶ

τῆς δυνάμεως, ἁρμόττει· τὸ δὲ ἐφ᾽ ἑκατέρου μέρους, τοῦ τε διώκοντος [85] καὶ τοῦ φεύγοντος δηλονότι, ἀμφοτέρων γὰρ τὸ κεφάλαιον.

λδ΄. Κοινὰ μὲν ἀμφοτέρων, προσεχέστερα δὲ τῇ βουλήσει ταῦτα, γένος, ἀγωγὴ, ἡλικία. εἶτα τὸ γένος ὑποδιαιρεῖται τριχῇ, εἰς τὸ ἔθνος, εἰς τὴν πατρίδα, εἰς τοὺς οἰκείους. οἱ δὲ οἰκεῖοι εἰς προγόνους καὶ πατέρας· καὶ ἀπὸ μὲν τοῦ ἔθνους ἐπιχειρήσομεν οὕτως· οἷον εἰ περὶ φόνου τις ἐγκαλοῖτο, Θρᾷξ ὢν, ἢ περὶ λῃστείας Αἰτωλὸς, ἐροῦμεν ὡς οὐδὲν θαυμαστὸν οὐδὲ παράδοξον, εἰ ἐφόνευσε Θρᾷξ ὢν, καὶ πάλιν οὐδὲν παράδοξον εἰ ἐλῄστευσεν Αἰτωλὸς ὤν. ἀπὸ δὲ τῆς πατρίδος, εἰ ἔχοιμεν λέγειν, ὡς οὐ μόνον Αἰτωλὸς, ἀλλὰ Καλυδώνιος, παρ᾽ οἷς μάλιστα τὸ λῃστεύειν διὰ σπουδῆς· καὶ οὐ μόνον ὁ Θρᾷξ, ἀλλὰ καὶ Ἀβδηρίτης, εἰ τύχοι· ἀπὸ δὲ τῶν οἰκείων, εἰ μὲν ἔχοιμεν λέγειν, ὅτι καὶ ἐκ πατέρων τοιῶνδε προῆλθεν· οἷον πολλοὺς μὲν πεφονεύκασιν, οὐκ ὀλίγους δὲ σεσυλήκασι· δεῖ γὰρ ἐπὶ τὰ προσεχέστερα ἀεὶ ἡμᾶς χωρεῖν· εἰ δὲ πατέρων τοιούτων [86] γεγενημένων τὴν φύ-

---

85 Par. τοῦ τε φεύγοντος και τοῦ διώκοντος. Sch. min.: ἐπιζητεῖ, ποῖον οἰκειότερόν ἐστι τῶν ἐγκωμιαστικῶν τῆς βουλήσεως καὶ ποῖον οἰκειότερον τῆς δυνάμεως· ἅπαντα γὰρ τὰ ἐγκωμιαστικὰ κοινὰ ἀμφοτέρων, καὶ ἴδιον οὐδέν, οἰκειότερον δὲ μᾶλλον τόδε τοῦδε, αὐτίκα τὸ μὲν τῆς τύχης οἰκειότερον τῆς δυνάμεως, τὸ δὲ τῆς ἡλικίας τῆς βουλήσεως, ἰσχυρότερον μὲν γὰρ ὁ πλοῦτος, ἀφρονέστερον δὲ ἡ νεότης, καὶ γένος μὲν καὶ ἀγωγὴ καὶ πρᾶξις πρὸς τούτοις καὶ τὸ τῆς ἡλικίας τῆς βουλήσεως, ἐπιτηδεύματα δὲ καὶ τύχη τῆς δυνάμεως. Ὁρῶντα οὖν ταῦτα· δεῖ, φησὶν, ἀκριβῶς τοὺς τόπους τούτους ἐπισκοπεῖν, καὶ ἔνθα ἂν οἰκειότεροι τυγχάνωσι, καὶ πλείω τὴν χορηγίαν ἔχοντες, πλεονάζειν ἐπὶ τούτοις· νῦν μὲν γὰρ ἴσως ἀπὸ τοῦ νέου τοῦ πλουσίου τὸ τοιοῦτον ἁρμόσει· ἄλλοτε δὲ ἄλλο πρόσωπον ὑπόκειται, καὶ δεῖ πρὸς τὸν καιρὸν καὶ τὴν ὑπόθεσιν καὶ τὴν περίστασιν ἁρμόζεσθαι. 86 Mon. τοιούτων ἡμῶν.

σιν ἀπορήσομεν, τοὺς προγόνους παραληψόμεθα, ὡς καὶ οἱ πρόγονοι παραπλήσια δεδράκασιν αὐτῷ, μᾶλλον δὲ οὗτος [87] παραπλησίως ἐβίωσεν αὐτοῖς· τὰ μὲν τοῦ γένους οὕτως ἐξετάσομεν· εἰδέναι δὲ [88] χρὴ, ὅτι καὶ ὁ ἀπολογούμενος ἐκ τοῦ ἐναντίου διὰ τῶν αὐτῶν ἐπιχειρήσει. οἷον εἰ ἔχοι λέγειν ὡς οὐκ ἂν ἔδρων τοιαῦτά γε Ἕλλην ὤν, καὶ οὐχ Ἕλλην ἁπλῶς, ἀλλὰ καὶ Ἀθηναῖος. καὶ οὐ μόνον Ἀθηναῖος, ἀλλὰ καὶ παῖς Περικλέους, καὶ ἀπόγονος, εἰ τύχοι, Μιλτιάδου· τὴν δὲ ἀγωγὴν ἐκ τοῦ παρελθόντος βίου ληψόμεθα, ὡς ἔδει τὸν οὕτως ἀνατραφέντα ἐπὶ τοῦτο προελθεῖν, [89] οἷον ἐπὶ μοιχείαν τὸν ἀκοσμίᾳ καὶ ἀκολασίᾳ ἐκ παιδὸς συμβεβιωκότα καὶ ἐκτραφέντα πονηροῖς ἤθεσιν· οὕτως ἐν τῷ ὑπὲρ Κτησιφῶντος ὁ Δημοσθένης ἐκ τῆς ἀγωγῆς διαβάλλει τὸν Αἰσχίνην. [90] „Σοὶ μὲν γὰρ ὑπῆρχεν, Αἰσχίνη, παιδὶ μὲν ὄντι ἅμα τῷ πατρὶ τῷ διδασκαλείῳ προσεδρεύειν, τὸ μέλαν τρίβοντι, καὶ τὰ βάθρα σπογγίζοντι καὶ τὸ παιδαγωγεῖον [91] κοροῦντι.“ εἶτα ἐκ τοῦ ἐναντίου τὰ ἑαυτοῦ παρατίθησιν. „ἐμοὶ δὲ φοιτᾷν εἰς τὰ προσήκοντα διδασκαλεῖα,“ καὶ τὰ ἑξῆς· εἰ δέ τις λέγοι τοῦτο μᾶλλον ἐκ τύχης εἶναι, οὐ τῆς ἀγωγῆς, πλούτου γάρ ἐστι τὰ τοιαῦτα, ἐκεῖνο εἰδέτω, [92] ὡς τὸ ἐκ τοῦ πλούτου ἐπιχείρημα διαιρεῖται, κἂν μὲν κατὰ τὸ παρελθὸν λαμβάνηται, τὴν ἀγωγὴν ποιεῖ· ἐὰν κατὰ τὸ ἐνεστὼς, οἷον ὅτι πλουτεῖ, ἢ οἰκετῶν εὐπορεῖ, τότε τὴν τύχην, ἥτις μᾶλλον τῇ δυνάμει προσήκει, ἐροῦμεν· τρίτον ἐπὶ τῷ γένει καὶ τῇ ἀγωγῇ ἡ ἡλικία, ὅπερ οὐ μόνον ἐπὶ νεότητος παραλαμβάνεται ἐν διαβολῆς μέρει, ἀλλὰ περινενοημένως πως καὶ ἐπὶ γήρως· ἐπὶ μὲν γὰρ τοῦ νέου πρόχειρον

87 Mon. οὕτως π. ἐβίω. 88 δὲ et ὁ ante ἀπολογ. Mon. om. 89 Mon. τὸν ὄντως ἀναγραφέντα ἐπὶ τούτῳ προσελθεῖν. 90 pro cor. p. 313. 91 Mon. παιδαγωγίαν. 92 Mon. εἰ δέ τῳ.

εὐθὺς εἰπεῖν, ὅτι τὸν ἐν ἀκμῇ τῆς ἡλικίας οὐκ ἀπεικὸς μοιχείας ἢ κλοπῆς ἐπιθυμῆσαι ἢ καὶ, νὴ Δία, τυραννίδος,[93] *εἴπερ ἀληθὲς τό·*

Ἀιεὶ δ᾽ ὁπλοτέρων ἀνδρῶν[94] *φρένες ἠερέθονται.*

οὐ μὴν ἀλλὰ καὶ ἐπὶ πρεσβυτέρου ἕξομεν τὴν διαβολὴν ἐκ τοῦ γήρως ποιεῖσθαι, οἷον ὅτι πρεσβῦται ὄντες καὶ προσδοκῶντες ὀλίγῳ ὕστερον τεθνήξεσθαι καινοτέροις[95] *ἐπιχειρεῖν ἐθέλουσι πράγμασι, κέρδος ποιούμενοι τὸ μετὰ ῥᾳστώνης τὸν ὑπόλοιπον τοῦ βίου ὀλίγον ὄντα χρόνον διαζῆσαι, ὡς προληψομένης τῆς τελευτῆς τὴν τιμωρίαν· οἱ δὲ νέοι οὐκ ἂν ὁμοίως τοῦτο πάθοιεν, ἐλπίδα πολλὴν ἔχοντες ἔτι τοῦ βίου καὶ προσδοκῶντές ποτε δίκην ὑποσχεῖν, ἐὰν ἁμαρτάνοντες ἁλῶσι· ταῦτα μὲν ἐπιῤῥεπέστερα πρὸς τὴν βούλησιν. πάλιν δ᾽ αὖ*[96] *πρὸς τὴν δύναμιν ἐπιτηδεύματα, τύχη, πράξεις· ἐπιτηδεύματα μὲν, ὅτι ἠδύνασο συκοφαντεῖν ῥήτωρ γε ὤν, ἢ προδιδόναι στρατηγὸς ὤν· τύχη δὲ, ὅτι χρημάτων εὐπορῶν, οἰκέτας ὑπὲρ τὴν χρείαν ἔχων, φίλων πλῆθος κεκτημένος ἠδύνασο τυραννεῖν· δεῖ δὲ μὴ μεῖζον ποιῆσαι τῆς τύχης τὸ ἔγκλημα, ἐπεί τοι ἀπίθανος ὁ λόγος γίνεται· τρίτον αἱ πράξεις, ὃ καὶ ἰσχυρότατον κεφάλαιον ὁ τεχνικὸς ἐκάλεσε. μέγιστα γὰρ ἐν τῇ δυνάμει ἰσχύει· διχῇ δὲ κατασκευάζεται ἔκ τε τῶν ὁμοίων καὶ τῶν ἀνομοίων,*

---

93 Mon. *τυραννίδος.* — v. 4. Codd. *ἀεί.* — Il. *Γ.* 108. 94 Mon. *ἀνερῶν φρ. ἠερέθοντο.* 95 Mon. *κενοτέροις.* 96 Mon. *ἄν.* Sch. min.: *ἄνω εἰπὼν, ὅτι δεῖ τὴν βούλησιν καὶ τὴν δύναμιν ἐξετάζειν τοῦ φεύγοντος, νῦν τοῦτο θεώρημα καθολικὸν τίθησιν· ὅτι καὶ τῶν ἔξωθεν προσώπων ἐξετάσομεν τὴν δύναμιν καὶ τὴν βούλησιν, κρινομένων δὲ νῦν, λέγω τοῦ κατηγόρου καὶ τοῦ φεύγοντος. Τοὺς ἀποκηρύκτους τρέφοντα· πρόσφορον τὸ παράδειγμα ἐπήγαγε, λέγω δὴ τὸν τοὺς ἀποκηρύκτους τρέφοντα, ἔνθα πολλὰ πρόσωπα τῶν κρινομένων. Διὸ δεῖ σκοπεῖν* etc. *καλῶς εἶπε τοῦτο, εὑρίσκεται γὰρ ἐν τῷ στοχασμῷ ἐκ τοῦ φεύγοντος, καὶ ἐπιδέξασθαι κρίσιν δυνάμενα καὶ μή.*

τουτέστι τῶν μειζόνων ἢ τῶν ἐλαττόνων. λαμβάνεται δὲ κατὰ τὰ προσεχῆ μάλιστα. οἷον εἰ κλοπῆς κρινομένου τινὸς ἔχοιμεν λέγειν, εἰ καὶ ἄλλοτε πολλάκις ἐπὶ τοῖς αὐτοῖς ἑάλω, ὅπερ ἐστὶν ἐκ τοῦ ὁμοίου κατὰ τὸ μεῖζον καὶ ἔλαττον· κατὰ τὸ μεῖζον, ὅτι τὸν ἱερόσυλον οὐδὲν θαυμαστὸν ἰδιωτικῶν χρημάτων μὴ φείσασθαι, τὸν ἀνδροφόνον οὐκ ἀπεικὸς πληγὰς ᾡτινιοῦν προστρίψασθαι· κατὰ δὲ τὸ ἔλαττον, ὅτι τὸν ἐπὶ μικροῖς ἀρξάμενον ἀδικεῖν εἰκὸς καὶ ἐπὶ τὰ μείζω χωρεῖν· ταῦτα κοινὰ μὲν ἀμφοτέρων, θατέρων δὲ μᾶλλον προσεχέστερα· λεκτέον δὲ ἤδη καὶ ἴδιά τινα ἑκατέρου κεφάλαια· ἔστι τοίνυν ἴδια μὲν τῆς βουλήσεως ταῦτα· προκαταρκτικά, τελικά, τὰ κατὰ σχέσιν· προκαταρκτικὰ μέν, οἷον εἰκὸς βουληθῆναι αὐτὸν ἀνελεῖν, ἐχθρὸς γὰρ ἦν καὶ πάλαι πολέμιος. τελικὰ δέ, ἡνίκα τε κέρδος αὐτῷ ἐντεῦθεν ἀποβήσεσθαι φάσκομεν, κληρονομήσειν,[97] εἰ τύχοι, τῆς οὐσίας αὐτοῦ ἢ χρήματα παρ' ἑτέρων λαβεῖν· τὸ δὲ κατὰ σχέσιν, ὅτι φίλῳ χαρίζεσθαι βουλόμενος ἢ λυπεῖν ἐχθρὸν ἐπὶ τὴν τοῦδε ἦλθεν ἀναίρεσιν· τῆς δὲ δυνάμεως ἴδια, τόπος, καιρός, ποιότης τοῦ πράξαντος καὶ παθόντος προσώπου· τόπος μέν, ὅτι ἐπ' ἐρημίας· καιρὸς δέ, ὅτι νυκτός· ποιότης δέ, τοῦ πράξαντος καὶ τοῦ παθόντος προσώπου, ὅταν ἀσθενέστερον μὲν τὸν παθόντα, τὸν δὲ πράξαντα δυνατώτερον ἀποφαίνωμαι· ἔτι ζητητέον περὶ τῆς πράξεως, πότερον χρὴ τὴν βούλησιν ἡγεῖσθαι ἢ τὴν δύναμιν. συνῆπται γὰρ ἀλλήλοις, ὡς ἔφαμεν, τὰ κεφάλαια, καὶ θάτερον θατέρου χρήζει· ῥητέον δέ, ὅτι συμπλέκεται μὲν ἀλλήλοις, ἐπὶ δὲ τῷ ἰσχυροτέρῳ τελευτᾶν χρὴ τὴν ἀπ' αὐτῶν αὔξησιν· οἷον ἐὰν τῇ δυνάμει μᾶλλον ἰσχύωμεν, τὸ συμπέρασμα πρὸς τὴν δύναμιν ποιησόμεθα, καὶ αὖ πάλιν· εἰ ἐν τῇ βουλήσει τὰ ἰσχυρότατα εἴη ἐπιχειρήματα, ἡ βούλησις πέρας τῇ ἐξετάσει γε-

97 Mon. μὴ κληρονομίσειν.

νήσεται, ὥσπερ ἐπὶ τοῦ προκειμένου παραδείγματος ὁ Δημοσθένης· [98] „ἀλλ' ὦ τᾶν οὐχὶ βουλήσεται·“ τῇ γὰρ βουλήσει μάλιστα ἰσχύων ταύτῃ ἐχρήσατο σύμπέρασμα.

λέ. Οὕτως ὠνόμασται, ἐπειδὴ ἀπὸ τῆς ἀρχῆς τοῦ ζητήματος μέχρι τέλους ταῦτά ἐστι τὰ ἐξεταζόμενα, καλεῖται δὲ καὶ εἰκότα, διότι περὶ τὴν τοῦ ἐνδεχομένου φύσιν ἐξετάζεται· ἐνδέχεται γὰρ τὸν παρεστῶτα τῷ νεοσφαγεῖ σώματι καὶ πεφονευκέναι τὸν κείμενον ἢ καὶ δι' οἶκτον παρεστάναι γῇ κρύπτειν ἐπειγόμενον· μετὰ τὴν βούλησιν δὲ καὶ τὴν δύναμιν ἔταξεν αὐτά. δεῖ γὰρ τὸ βούλεσθαι πρῶτον κατασκευάσαι καὶ τὸ δύνασθαι· καὶ οὕτως ἐπενεγκεῖν τὸ πρᾶγμα· εἰ μὴ γὰρ τὸ πράττειν ὑπάρχοι, τὸ πρόσωπον τὸ πεπραγμένον οὐχ ὑπάρχει.

λϛ'. Ἡ τάξις ἡμῖν τᾶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἀνωτέρω σεσαφήνισται, ὅτι εἰκότως μετὰ τὴν βούλησιν καὶ τὴν δύναμιν τέτακται· τὰ μὲν γὰρ τοῦ προσώπου ἐστὶ, τὰ δὲ τοῦ πράγματος συστατικά. Δεῖ δὲ προϋπεῖναι τὸ πρᾶττον τοῦ πραττομένου· ζητοῦμεν [1] δὲ περὶ τοῦ ὀνόματος αὐτῶν· καί τινες ἔφασαν ἀπ' ἀρχῆς ἄχρι τέλους εἰρῆσθαι, ἐπεὶ διὰ παντὸς τοῦ λόγου χρώμεθα αὐτοῖς· καὶ γὰρ ἐν προοιμίοις προκατασπείρομεν, καὶ ἐν τοῖς ἀγῶσι σχεδὸν πανταχοῦ παραλαμβάνομεν. καὶ ἐν τοῖς ἐπιλόγοις πάλιν ἀναλαμβάνομεν· ἀλλὰ τοῦτο ἄτοπον· ἔφαμεν γὰρ, ὡς ἐν τοῖς ἰσχυροῖς τῶν κεφαλαίων ἐνδιατρίψομεν καὶ κατακόρως χρησόμεθα· οὐκοῦν καὶ ὅταν ἰσχύωμεν τῇ τῶν ἐλέγχων ἀπαιτήσει, ληψόμεθα αὐτὴν πανταχοῦ τοῦ λόγου· καὶ οὐ δή που διὰ τοῦτο ἡ τᾶν ἐλέγχων ἀπαίτησις ἄχρι τέλους ὄνομα ἕξει, ἔπειτα εἰ τοῦτο φαίημεν οὕτως ἔχειν, διαφθαρήσεται ἡ τάξις τοῦ κεφαλαίου. πῶς γὰρ ἂν ἔχοι τάξιν ὡρισμένην τὸ πανταχοῦ τοῦ λόγου εὑρισκόμενον; καλεῖται οὖν ἀπ' ἀρχῆς ἄχρι τέλους, ὅτι ἀπ' ἀρχῆς τῆς ἐν τῇ ὑποθέσει

98 Ol. I. p. 16. 1 Par. 1. ζητοῦσι.

περιστάσεως ἔρχεται μέχρι τῶν τελευταίων αὐτῆς, φημὶ τῆς κρίσεως· οἷον ἐπὶ παραδείγματος· ὑπώπτευσέ τις τὸν οἰκέτην ἐπὶ τῇ γυναικὶ, δήσας αὐτὸν ἀπεδήμησε· τῆς τῶν θεσμοφορίων ἐνστάσης ἑορτῆς, νόμου κελεύοντος μηδένα εἶναι τηνικαῦτα δεσμώτην, ἀπέλυσε τὸν οἰκέτην ἡ γυνὴ, ὁ δὲ ἀπολυθεὶς ἀπέδρα· εὑρέθη ὁ ἀνὴρ ἐπ᾽ ἐρημίας νεκρὸς ἀσκύλευτος, καὶ κρίνεται ἡ γυνὴ συνειδότος· ἐξετάζοντες γὰρ τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους οὐ τὴν ἀναίρεσιν μόνην παραλαμβάνομεν, ἀλλ᾽ ἄνωθεν ἀρξάμενοι μέχρι τῶν τελευταίων κάτιμεν, λέγοντες τὸ ὑπωπτευκέναι τὸν ἄνδρα, τὰ δεσμὰ τοῦ οἰκέτου, τὴν τῶν δεσμῶν λύσιν, τὸν δρασμὸν, τὴν ἐπ᾽ ἐρημίας τοῦ ἀνδρὸς ἀναίρεσιν· ὠνόμασται οὖν τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ἐντεῦθεν· ἐπεὶ δὲ ἐφάσκομεν τῶν κεφαλαίων τὰ μὲν εἶναι τοῦ διώκοντος, τὰ δὲ τοῦ φεύγοντος, τὰ δὲ ἀμφοῖν κοινὰ, λεκτέον, τίνος εἴη τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους· καὶ δῆλον, ὡς [2] τοῦ διώκοντος, ἔσθ᾽ ὅτε δὲ κοινὰ τοῦ τε κατηγόρου καὶ τοῦ φεύγοντος, μόνου δὲ τοῦ φεύγοντος οὐδέποτε.

λζ Τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους τὰ μέν ἐστιν ἐν λόγοις, τὰ δὲ ἐν πράξεσι, τὰ δὲ ἐν πάθεσιν· ἐν μὲν λόγοις, ὡς ἐπ᾽ ἐκείνου τοῦ παραδείγματος· νέος πλούσιος, νύκτωρ διὰ τοῦ δεσμωτηρίου βαδίζων, θαῤῥεῖτε, ὦ δεσμῶται, ἔφη, αὖθις λυθήσεσθε· καὶ κρίνεται τυραννίδος ἐπιθέσεως· τὰ γὰρ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ἐκ τοῦ λόγου λαμβάνεται, τοῦ θαῤῥεῖτε, ὦ δεσμῶται, λυθήσεσθε γάρ· ἐν δὲ πράξεσιν, οἷον παρίσταταί τις ἐπ᾽ ἐρημίας νεοσφαγεῖ σώματι, ξίφος ἔχων καὶ κρίνεται φόνου· ἀφ᾽ ὧν γὰρ ἔπραξεν τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους λαμβάνεται· ἐν πάθεσι δὲ, ὡς ἔχει τόδε τὸ παράδειγμα· [3] νέος πλούσιος ἀπιδὼν εἰς τὴν ἀκρόπολιν καὶ δακρύσας κρίνεται τυραννίδος ἐπιθέσεως· τὸ γὰρ δακρῦσαι πάθος.

---

2 Mon. οὐ. 3 Mon. παράγγελμα.

λή. Ἐζητήκασί τινες, εἰ τῆς διηγήσεως διαφέρει τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους· καὶ γὰρ ἐν τῇ διηγήσει πᾶσαν ἄνωθεν διεξερχόμεθα τὴν ἐν τῇ ὑποθέσει περίστασιν· δήλη οὖν ἡ διαφορά· ἐκεῖ μὲν γὰρ ψιλῶς ἐκτίθεμεν, [4] ἐνταῦθα δὲ μετὰ κατασκευῆς καὶ πρὸς τούτῳ ἕτερον ἀπορροῦσιν· εἰ γὰρ ἔφη ὁ τεχνικὸς διὰ τῶν αὐτῶν τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους λαμβάνεσθαι, δι' ὧν καὶ ἡ τῶν ἐλέγχων ἀπαίτησις, τουτέστι διὰ τῶν περιστατικῶν, τίνι διοίσει, φησὶ, τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους τῆς τῶν ἐλέγχων ἀπαιτήσεως; τινὲς μὲν οὖν ἔφασαν, διαφέρει ἀλλήλων τάδε κεφάλαια, καθὸ τριῶν ὄντων, ἐκθέσεως, ἀποδείξεως, αὐξήσεως, ἡ μὲν ἔκθεσις ἐν τῇ διηγήσει ἐστὶν, ἡ δὲ ἀπόδειξις ἐν τῇ τῶν ἐλέγχων ἀπαιτήσει, ἡ δὲ αὔξησις ἐν τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους· ἀπ' αὐτοῦ γὰρ, φασὶ, τοῦ παρὰ τῷ τεχνικῷ ῥητοῦ ἡ διαφορὰ δείκνυται· εἶπε γὰρ, „τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους αὔξεται, δι' ὧνπερ καὶ ἡ τῶν ἐλέγχων ἀπαίτησις, ἡ δὲ τῶν ἐλέγχων ἀπαίτησις οὐκ αὔξεται, ἀλλ' ἀποδείκνυται·" ῥᾴδιον δὲ [5] ἐξ αὐτοῦ ἐλέγχειν αὐτοὺς τοῦ ῥητοῦ ὅπερ προΐσχονται· ὁ γὰρ τεχνικὸς οὐκ ἔφη μόνον τὸ αὔξεται, ἀλλὰ γίνεται καὶ αὔξεται, διὰ τὸ γίνεται τὸ κατασκευάζεται καὶ ἀποδείκνυται δηλῶν· εἰσὶ δὲ [6] ἀκριβεῖς ἕτεραι διαφοραί· πρῶτον γὰρ τὰ μὲν ἀπ' ἀρχῆς ἄχρι τέλους ἢ τοῦ διώκοντός ἐστι μόνως ἢ τοῦ φεύγοντος· μόνου δὲ τοῦ φεύγοντος οὐδέποτε, ὡς ἐδείξαμεν· ἡ δὲ τῶν ἐλέγχων ἀπαίτησις μαρτυρίας ζητεῖ, ὅ ἐστι μέρος τι τῆς πάσης ὑποθέσεως. τὰ δὲ ἀπ' ἀρχῆς ἄχρι τέλους τοῦ παντὸς ποιεῖται πράγματος ἐξέτασιν, ἀμέλει τῆς τῶν ἐλέγχων ἀπαιτήσεως μὴ εὑρισκομένης ἔτι συνίσταται ἡ ζήτησις, τὰ δὲ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἐὰν ἐλλείπῃ, οὐδέποτε ὁ ἀγὼν καταλείπεσθαι δύναται· τρίτη ἡ μὲν τῶν

4 γὰρ ψιλῶς ἐκτίθεμεν Mon. om. 5 Par. 1. γάρ. 6 εἰσὶ δὲ Mon. om.

ἐλέγχων ἀπαίτησις εἰς αὐτὸ τὸ ἔγκλημα φέρεται· ἐπὶ γὰρ τοῦ ζητουμένου αὐτοῦ ἀπαιτεῖ τοὺς μάρτυρας, τὰ δὲ ἀπ' ἀρχῆς ἄχρι τέλους τῶν σημείων ἐστὶ τῶν ἀποδεικτικῶν τοῦ ἐγκλήματος.

λθ'. Ἔστι μὲν, ὡς [7] ὁ τεχνικός φησι, τὸ κεφάλαιον τοῦτο τοῦ κατηγόρου, ὡς ἐπὶ τὸ πλεῖστον κατὰ τοῦ ἀντιδίκου· ἐπεὶ γὰρ ὁ φεύγων ἔχει μὲν τὸ παραγραφικὸν ἐξ ἀρχῆς, ἔχει δὲ καὶ τὴν τῶν ἐλέγχων ἀπαίτησιν, καὶ πρὸς τούτοις κοινὰ πρὸς τὸν κατήγορον τήν τε βούλησιν καὶ τὴν δύναμιν, ἡ τέχνη καὶ τῷ κατηγόρῳ βοηθοῦσα τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους αὐτῷ προσδέδωκεν ἰσχυρότατον κεφάλαιον, δυνάμενον διαλῦσαι [8] τὰ τοῦ φεύγοντος ἰσχυρά· φήσει γὰρ, τί μοι χρόνους προβάλλῃ καὶ διὰ τοῦτο ἀξιοῖς ἀποφεύγειν; ἐξ ὧν ἔπραξας ἑάλως· τί μοι δεῖ μαρτύρων καὶ τεκμηρίων; αὐτὸς σεαυτοῦ διὰ τῶν ἔργων προῆλθες κατήγορος· εὑρίσκεται δέ ποτε καὶ κοινῶς, ὡς ἑξῆς ἐρεῖ.

μ'. Ἀπὸ τῶν περιστατικῶν λέγει· πᾶν γὰρ τὸ πραχθὲν καὶ ὑπό τινος πέπρακται καὶ κατὰ τρόπον τινὰ καὶ ἐν χρόνῳ τινὶ καὶ ἐν τόπῳ καὶ δι' αἰτίαν τινὰ, καὶ [9] ἐκ τῶν αὐτῶν περιστατικῶν γίνεται τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἐξ ὧν καὶ ἡ τῶν ἐλέγχων ἀπαίτησις· καὶ τί διαφέρει; ὅτι ἐκεῖ μὲν κατασκευάζομεν ἐκ τῶν περιστατικῶν, ἐνταῦθα δὲ αὔξομεν, ὡς ἐπὶ τοῦ τρισαριστέως, οὗ εἰκόνα ἔστησαν οἱ πολέμιοι· ἐρεῖ γὰρ ὁ κατήγορος αὔξων τὸ ἔγκλημα, πολέμιοι τὸν ἀριστέα τετιμήκασι, καὶ ταῦτα εἰκόνι, τῇ μεγίστῃ τιμῇ· εἶτα ἐρεῖ καὶ τὸν τόπον αὔξων· παρ' ἑαυτοῖς τὴν εἰκόνα στήσαντες· τρόπον, φιλοτίμως τοῖς χρώμασιν· ὅρα δὲ καὶ, πῶς [10] καὶ τὴν κοινωνίαν

---

7 ὡς Par. 1. om. 8 Mon. Par. 2. λῦσαι. Par. 1. διαλῦσαι. 9 Mon. καὶ εἰ. 10 In Par. 1. ὅρα πῶς τὴν κοινωνίαν δείξας etc. usque ad μετὰ αὐξήσεως in scholiis minoribus manu seriore repetita sunt.

ἔδειξε τῆς τῶν ἐλέγχων ἀπαιτήσεως πρὸς τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους καὶ τὴν διαφορὰν ὑπέφηνε· τῷ μὲν γὰρ εἰπεῖν γίνεται τὴν κοινωνίαν ἐδήλωσεν· ἀμφότερα γὰρ ἐκ τῶν περιστατικῶν γίνονται· τῷ δὲ προσθεῖναι τὸ αὔξεται τὴν διαφορὰν ἐσήμανεν· ἐκεῖ μὲν γὰρ ψιλῶς τὰ περιστατικὰ ἐξετάζεται, ἐν δὲ τοῖς σημείοις μετὰ αὐξήσεως.

μβʹ. Ὡς ὁ Δημοσθένης· τίς ὢν Αἰσχίνης ἠδίκησε τὴν πόλιν, ὅτι πρεσβευτὴς ὤν, τί; οἷον τί ἔπραξεν; οἷον ὅτι τὰ πράγματα προέδωκε· πῶς; ἐν Μακεδονίᾳ γενόμενος· πῶς; ἀπαγγείλας τὰ ψευδῆ· πότε; ὅτε Φίλιππος ἐπὶ Φωκέας ἐστράτευσε· διὰ τί; ἵνα δωροδοκήσῃ· οὐ μόνον δὲ ἀπὸ τούτων γίνεται τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, ἀφ᾽ ὧν καὶ ἡ τῶν ἐλέγχων ἀπαίτησις, ἀλλὰ καὶ ἀπὸ τῶν παρειμένων, οὐ μόνον ἀφ᾽ ὧν ἔπραξεν, οὕτω καὶ ὁ Δημοσθένης ἐν τῷ παραπρεσβείας· κρίνων γὰρ τὸν Αἰσχίνην ἐπήνεγκε τὸ τοῦ Φιλοκράτους ψήφισμα, ἐν ᾧ ἦν, παραδοῦναι τοὺς Φωκεῖς τὰς πόλεις τοῖς Ἀμφικτύοσι· καὶ τοῦτο εἰπὼν οὐκ ἠρκέσθη· ἀλλ᾽ ἐπήνεγκε καὶ τὰ ἀφ᾽ ὧν οὐκ ἐποίησε, καί φησιν, ὅτι οὐκ ἔδει γράψαι, ἀναμεῖναι τοὺς Ἀμφικτίονας, βοηθῆσαι δὲ τὸν Πρόξενον καὶ τὰ λοιπά· οὕτω καὶ Λυσίας ἐν τῷ πρὸς Σμικρίνην [11] καὶ ἐξ ὧν ἐποίησε καὶ ἐξ ὧν οὐκ ἐποίησεν ἀπο-

11 Mon. Σμιρίνην. Par. 1. Μικρίνην. Par. 2. Σμικρίνην. Sch. min.: πλὴν τῆς μεταλήψεως· ἀσφαλῶς ὁ τεχνικὸς ἐσημειώσατο· ἀεὶ γὰρ ἡ μετάληψις τοῦ διώκοντός ἐστι, μετάληψιν δὲ λέγει τοῦ ἐγγράφου, αὕτη γὰρ μεταλαμβάνει, τοῦ κατηγόρου οὖσα, διὰ τὸ μὴ ἰσχύειν τῷ πράγματι καὶ τῷ ἐγκλήματι. Εὑρίσκεται γάρ ποτε· ὑπὸ τῆς προσθήκης τοῦ „ποτὲ“ ἔδειξεν, ὅτι σπανίως εὑρίσκεται τοιοῦτος στοχασμὸς καὶ εἰκότα, εἰ γὰρ τὸ ἰσχυρὸν τοῦ διώκοντός ἐστι κεφάλαιον, τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, ἐὰν καὶ τοῦ φεύγοντος εὑρεθῇ τὸ τοιοῦτον, ἀσθενέστερος ὁ κατήγορος ἔσται· διὰ τοῦτο οὐδὲ εὑρίσκεται μόνου τοῦ φεύγοντος τὸ κεφάλαιον.

δεικνύειν πειρᾶται· φησὶ γάρ, ὅτι „τὴν νύκτα ἐκάθητο ἐν τῷ ἱερῷ τὴν ὄψιν κατακαλυψάμενος“· ἔτι δὲ ἀφ᾽ ὧν οὐκ ἐποίησε λέγων, ὅτι „οἱ μὲν ἄλλοι συγγενεῖς παρεγένοντο, μόνος δ᾽ ἀπελείφθη·“ καὶ ἐν τούτῳ πειρᾶται δεῖξαι πεποιηκότα τὸν φόνον.

μγ΄. Πᾶσι λέγει τοῖς ἐφεξῆς κεφαλαίοις, καλῶς δὲ τὸ εἰ ἐγχωρεῖ· ἐνίοτε γὰρ ἐκλείπει τινὰ τῶν κεφαλαίων, ὥσπερ ἡ ἀντίληψις, ἐν τοῖς ἀφ᾽ ὧν ἕτεροι ἐποίησαν· οἷον τρισαριστέως εἰκόνα ἔστησαν οἱ πολέμιοι, καὶ κρίνεται προδοσίας· ἐνταῦθα γὰρ οὐ δύναται λέγειν, ὅτι ἐξῆν αὐτοῖς· εἰ γὰρ τοῦτο φήσει, ὑπόνοιαν παρέχει τῆς προδοσίας ὡς [12] τὰ παρ᾽ ἐκείνοις ἐπιστάμενος νόμιμα· σιωπήσεται δὲ τοῦτο, ἵνα καὶ δόξῃ τὴν ἐκείνων πολιτείαν καὶ τὰ ἤθη παντάπασιν ἠγνοηκέναι· τὸ γὰρ εἰ ἐγχωρεῖ, οὐ μόνον δι᾽ ἀντίληψιν, ἀλλὰ καὶ διὰ τὴν πιθανὴν ἀπολογίαν· καὶ γὰρ καὶ αὕτη ἐκλείπει, ὅταν τὰ σημεῖα σύμφωνα ᾖ καὶ ἀναγκαῖα τῷ ἐγκλήματι, εἰ καὶ ἐπεισέρχεται ἀντ᾽ αὐτῆς τὸ μὴ ἀντιστρέφον καλούμενον νόημα, ὡς ἐπὶ τοῦ Περικλέους τοῦ κρινομένου ἐπὶ τυραννίδι διὰ τὰς πανοπλίας· οὐ γὰρ ἀντιστρέφει, ὅτι [13] ὁ ἔχων ὅπλα πάντως καὶ τύραννος.

μδ΄. Ὁ μὲν γὰρ κατήγορος τὴν ἀρχὴν προβαλεῖται φάσκων, ὅτι οὕτως ᾔδεις τὸν ἀδελφὸν τυραννήσοντα,

---

12 Mon. καί. 13 ὅτι Par. 1. om. Sch. min.: Καὶ τὰ λοιπὰ κεφάλαια. λοιπὰ κεφάλαια, ὡς εἴπομεν ταῦτα· μετάθεσις αἰτίας, ἀντίληψις, πιθανὴ ἀπολογία· ὅρα δέ, πῶς ἐδήλωσε τῶν κεφαλαίων τὴν μάχην· μάχεται δὲ πρὸς τὰ σημεῖα ταῦτα τὰ κεφάλαια· ἐχόντων οὖν ἀμφοτέρων τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους δηλονότι ἑκάτερος λύσει τὰ τοῦ ἀντιδίκου σημεῖα τοῖς προειρημένοις κεφαλαίοις. Ἀπέκειτο κατά τινος· τὸ παράδειγμα ἐπάγει παράδοξον, ὅπερ εἶπε πιστούμενος· δῆλον ἐνταῦθα, ὡς ἑκάτερος τοῖς συμφέρουσιν ἑαυτῷ χρήσεται, ἔχουσι γὰρ ἀμφότερα τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους.

ὅτι λύσιν αὐτοῦ εἰς τὴν σὴν ᾔτησας δωρεάν· ὁ δὲ φεύγων ἀπὸ τοῦ τέλους τὴν ἀπολογίαν πορίζεται λέγων, ὅτι εἰ συνῄδειν αὐτῷ μέλλοντι τυραννήσειν, οὐκ ἂν αὐτὸν ἀπέκτεινα, ὅτε πρὸς ἔργον ἦλθεν ἡ βούλησις· καὶ ταῦτα μέν ἐστι τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους· μεμέρισται δὲ πρὸς τοῦτο καὶ ἡ τῆς αἰτίας μετάθεσις· ὁ μὲν γὰρ φήσει, ὅτι τὴν λύσιν ᾐτησάμην τοῦ ἀδελφοῦ, τῆς συγγενείας καὶ τῆς φύσεως εἰς τοῦτο παρακαλουμένης, ὁ δὲ κατήγορος λύσει τὰ τοῦ φεύγοντος ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, ὅτι διὰ τοῦτο ἀπέκτεινας τὸν ἀδελφὸν, γνοὺς ὅτι ἀσθενές τι πέφυκεν ἡ τυραννίς· καὶ δέει τοῦ μὴ παθεῖν τὰ παραπλήσια λαβὼν ἀνῄρηκας ἐκεῖνον τὴν ὑποψίαν τοῦ πράγματος ἀποτριβόμενος.

μέ. Ἔδειξεν, ὡς μᾶλλον τῷ κατηγόρῳ πρόσκειται τὸ κεφάλαιον, ποτὲ δὲ καὶ τοῦ φεύγοντος εὑρίσκεται, ὅταν ᾖ κοινὰ, μόνου δὲ τοῦ φεύγοντος οὐδέποτε, μέχρι δὲ τούτου Ἑρμογένης συνῳδὰ καὶ τοῖς πρὸ αὐτοῦ καὶ τοῖς μετ᾽ αὐτὸν ἐφθέγξατο. τούτῳ δὲ ἐναντιοῦνταί τινες λέγοντες, ὅτι εἰσὶ καὶ τοῦ φεύγοντος τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους μόνον· οἷον πατήρ τις τρεῖς ἔχων παῖδας καὶ τοὺς δύο ἀποβαλὼν [14] ἀπάγξασθαι ἤμελλεν, ὁ ὑπολειφθεὶς υἱὸς καταλαβὼν ἔλυσεν ἀπὸ τοῦ βρόχου· ἱεροσυλία γέγονε κατὰ τὴν πόλιν· ὁ πατὴρ ὡμολόγησε τὴν ἱεροσυλίαν αὐτὸς τολμῆσαι, καὶ τοῦ πατρὸς ἀξιοῦντος τεθνάναι ὁ παῖς [15] ἀντιλέγει· ἐνταῦθα φεύγει τρόπον τινὰ ὁ παῖς, καὶ προβάλλει τόν τε τῶν ἀδελφῶν θάνατον καὶ τὴν λύσιν τοῦ βρόχου· ὁ μέντοι πατὴρ οὐδενὶ τοιούτῳ χρήσεται· εἰ γάρ τι φήσει, δείκνυσιν ἑαυτὸν οὐκ ἔνοχον τῇ ἱεροσυλίᾳ· καὶ ἐν μὲν τοῖς κατ᾽ ἀξίωσιν ὡς ἐπὶ τούτου

του

---

14 Par. 1. ὑπαγαγὼν ἄγξεσθαι. 15 Mon. Par. 2. ὁ παῖς. Par. 1. αὐτός.

του ἴσως τοῦτο συμβήσεται, ἐν δὲ τοῖς κατὰ φυγὴν καὶ δίωξιν ἀδύνατον, ὃ καὶ αὐτὸς ἔοικε λέγειν.

μς'. Λεκτέον ἤδη καὶ περὶ τῆς ἀντιλήψεως,[16] πρῶτον μὲν περὶ τῆς τάξεως, εἶτα δὲ εἰ καὶ τῶν μὴ ἀεὶ ἐμπιπτόντων ἐστὶ, καὶ ποτὲ μὲν ἐμπίπτει, ποτὲ δὲ ἐλλείπει, τήν τε δύναμιν ἐπὶ τούτοις ἢ τὴν ἐργασίαν τοῦ κεφαλαίου· περὶ μὲν οὖν τῆς τάξεως ἡμῖν εἴρηται, ἔνθα κοινῇ περὶ τῆς τάξεως τῶν κεφαλαίων στοχασμοῦ διελαμβάνομεν· ἀκόλουθον δὲ εἰπεῖν, εἰ[17] ἐμπίπτει καὶ πότε· ὅτι μὲν οὖν τῶν ἀεὶ ἐμπιπτόντων τὸ κεφάλαιον, σαφῶς δεδήλωται ὑπὸ τοῦ τεχνικοῦ, πότε δὲ ἐμπίπτει καὶ δὴ λεκτέον· ὅτε μὲν γὰρ ἀφ' ὧν ἄλλοι πεπράχασι κρινόμεθα, οὐδέποτε ἐμπίπτει τὸ ἀντιληπτικὸν, ὅτε δὲ ἀφ' ὧν αὐτοὶ[18] ἐπράξαμεν, ἀεὶ ἐμπεσεῖται, πλὴν εἰ μὴ μισούμενον εἴη τὸ πρᾶγμα, ἢ προσφερὲς τῷ ἐπιφερομένῳ ἐγκλήματι· μισούμενον μὲν ὡς ἐπὶ τοῦδε τοῦ παραδείγματος· νέος πλούσιος ἐν δημοκρατίᾳ πολιτευόμενος ἐξ ἀστυγείτονος πόλεως ἠγάγετο τυράννου θυγατέρα, καὶ κρίνεται τυραννίδος ἐπιθέσεως· ἐνταῦθα γὰρ οὐκ ἔχει χώραν τὸ ἀντιληπτικὸν, ὅτι ἐξῆν μοι ἣν ἐβουλόμην γαμεῖν, ἐπειδὴ μισεῖται τὸ τοῦ τυράννου πρόσωπον παρὰ τοῖς δικασταῖς·

---

16 Sch. min. ὠνόμασται μὲν οὖν ἀντίληψις ἀπὸ μεταφορᾶς τῶν ὑπὸ ῥεύματος μὲν μεταφερομένων, ξύλου δὲ ἢ λίθου ἀντιλαμβανομένων, καὶ τὴν σωτηρίαν διὰ τούτων ποριζομένων· καὶ γὰρ ὁ φεύγων, ὥσπερ ἐν κλυδωνίῳ τῷ δικαστηρίῳ κινδυνεύων, λαμβάνεται τῆς ἀντιλήψεως. Εἰκότως μετὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους παραλαμβάνεται, καὶ ἔστιν ἀεὶ τοῦ φεύγοντος· τοῦ γὰρ κατηγόρου χρωμένου τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους, κἀκεῖθεν πειρωμένου δεικνύναι τῇ κατηγορίᾳ ὑπεύθυνον τὸν φεύγοντα, πρὸς τοῦτο ἀπολογούμενος ὁ φεύγων τῇ ἀντιλήψει χρῆται, λέγων ἐξεῖναι αὐτῷ τοῦτο ποιεῖν ἢ ἐκ νόμου, ἢ ἐκ φύσεως, ἢ ἐκ τέχνης, ἢ ἐκ τοῦ μὴ κεκωλύσθαι, ὃ τινες ἔθος ὠνόμασαν· ἔστι δὲ, φησὶ, τῶν ἀεὶ ἐμπιπτόντων τὸ κεφάλαιον. 17 εἰ Mon. om. 18 Mon. αὐτὸ, scr. αὐτοί.

προσφερὲς δὲ τῷ ἐπιφερομένῳ ἐγκλήματι, οἷον τῆς Περικλέους ἐμπρησθείσης οἰκίας εὑρέθησαν χίλιαι πανοπλίαι, καὶ κρίνεται τυραννίδος [18*] ἐπιθέσεως· ἐνταῦθα γὰρ τῷ μὲν ἀντιληπτικῷ οὐ χρήσεται, διὰ τὸ προσεχὲς εἶναι τῷ ἐγκλήματι τὸ πεπραγμένον· χρήσεται δὲ ἀντὶ τούτου τῷ κατὰ ἀντιστροφὴν σχήματι, ὡς οὐκ εἴ τις ὅπλων εὐπορεῖ οὗτος πάντως τυραννήσει, οὐδὲ ὁ λόγον ποιούμενος ὅπλων πάντως ἐπὶ κακῷ ποιεῖται τῆς πόλεως· οὐ γὰρ δύναται τῷ ἀντιληπτικῷ χρῆσθαι, ὅτι ἐξῆν μοι, εἰ ἐβουλόμην, καὶ πλείονα ὅπλα ἔχειν· ἡ γὰρ τῶν ὅπλων ὑπὲρ τὴν χρείαν κτῆσις προσφερής πως εἶναι δοκεῖ τῇ τυραννίδι· τοσαῦτα μὲν περὶ τοῦ πότε ἐμπίπτει τὸ ἀντιληπτικόν· λεκτέον δὲ καὶ περὶ τῆς δυνάμεως αὐτοῦ, τουτέστι τίνα ἡμῖν χρείαν παρέχεται· ἀλλὰ καταφανὲς, οἶμαι, ὡς τὸ ἀντιληπτικὸν βούλεται τὸ σημεῖον τοῦ ἐγκλήματος ἀνεύθυνον δεικνύναι· ἀεὶ γὰρ πρὸς τὰ σημεῖα τοῦ ἐγκλήματος, οὐ πρὸς αὐτὸ τὸ ἔγκλημα φέρεται. ὥστε ὅσον ἡμῖν ἐπάγεται κίνδυνον ὑπεύθυνον ὑπάρχον τὸ ἔγκλημα, τοσαύτην τὸ ἀντιληπτικὸν ὠφέλειαν παρέχεται, ἀνεύθυνον ἀποφαῖνον τὸ σημεῖον τοῦ ἐγκλήματος· ζητητέον δὲ καὶ περὶ τῆς διαφορᾶς τοῦ ἀντιληπτικοῦ, ἣν ἔχει πρὸς τὴν ἀντίληψιν· τὸ μὲν οὖν ἀντιληπτικὸν κεφάλαιον, ὡς ἔφαμεν, οὐ πρὸς τὸ ἔγκλημα, ἀλλὰ πρὸς τὸ σημεῖον τοῦ ἐγκλήματος φέρεται, ἡ δὲ ἀντίληψις αὐτὸ τὸ ἐπιφερόμενον ἔγκλημα ἀνεύθυνον ἀποδείκνυσι· κατασκευάζεται δὲ καὶ τὴν ἐργασίαν λαμβάνει τὸ ἀντιληπτικὸν ἐκ τούτων, ἐξ ὧν καὶ ἡ ἀντίληψις, ἢ ἀπὸ νόμου ἢ ἀπὸ ἔθους ἢ ἀπὸ φύσεως· οἷον ὅτι ἢ νόμος ἐπιτρέπει, ἢ ἔθος, ἢ φύσις ἀναγκάζει, ὡς ὁ ἀπιδὼν εἰς τὴν ἀκρόπολιν καὶ δακρύσας, καὶ ὁ Ἀλκιβιάδης ὁ ἐπὶ ταῖς ὑποσχέσεσι Κλέωνος γελάσας. ἐὰν δὲ μηδὲν τούτων ἐμπέσῃ, καὶ γὰρ δὴ καὶ τὸ

18* Mon. τυραννίδος sine articulo.

τοιοῦτον συμβαίνει ποτὲ, τηνικαῦτα βιαστικώτερόν πως ἑτέρᾳ μεθόδῳ χρηστέον, τῇ ἐξ ἀντιφάσεως τοῦ ἐναντίου, ἔξεστι καὶ οὐκ ἔξεστι, κεκώλυται καὶ οὐ κεκώλυται· ἡνίκα γὰρ τὸ ἔξεστι μὴ ἔχομεν ἀπὸ νόμου, ἢ ἔθους, ἢ ἀπὸ φύσεως κατασκευάζειν, τηνικαῦτα ἐπὶ τὸ οὐκ ἔξεστι, ὅπερ ἐστὶ [19] τοῦ ἐναντίου ἀντίφασις, ἐρχόμεθα, καὶ τούτου τὸν ἀντίδικον ἀπαιτοῦμεν ἀπόδειξιν· οἷον εἰ μὴ ἔχοιμεν τὸ οἰκεῖον μεθιστᾷν νόμῳ, ἢ ἔθει, ἤ τινι τούτων· ὅτι ἐξῆν μοι τόδε τι πρᾶξαι, ἢ γὰρ νόμος, ἢ φύσις, ἢ ἔθος ἐπιτρέπει, ἀπαιτοῦμεν [20] τῶν ἐναντίων τῆς αὐτοῦ ἀντιφάσεως ἀπόδειξιν· οἷον δεῖξον ὅπως οὐκ ἔξεστι τόδε τι ποιεῖν· τίς ἐκώλυσε νόμος; ποῖος νομοθέτης τὴν τοιαύτην ἀπηγόρευσε πρᾶξιν; καθάπερ ἐν τῷ ὑπὲρ Κτησιφῶντος Δημοσθένης· „τίς γὰρ νόμος τοσαύτης ἀδικίας καὶ μισανθρωπίας μεστὸς, ὥστε [21] τὸν δόντα τι τῶν ἰδίων καὶ ποιήσαντα πρᾶγμα φιλάνθρωπον καὶ φιλόδωρον τῆς χάριτος μὲν ἀποστερεῖν, εἰς δὲ τοὺς συκοφάντας ἄγειν, καὶ τούτους ἐπὶ τὰς εὐθύνας ὧν ἔδωκεν ἐφιστάναι; οὐδὲ εἷς δήπου· εἰ δέ φησιν οὗτος, [22] δειξάτω, κἀγὼ στέρξω καὶ σιωπήσομαι·“ τὸ γὰρ οἰκεῖον οὐκ ἔχων αὐτὸς νόμῳ βέβαιον ἀποφῆναι, ἐπὶ τὴν τοῦ κατηγόρου ἦλθεν ἀντίφασιν καὶ τὴν ἀπόδειξιν ἐκεῖνον τοῦ ἐναντίου λόγον ἀπαιτεῖ οὕτω πως· περινενοημένην ταύτην ληψόμεθα, ἀποροῦντες τῆς τῶν οἰκείων κατασκευῆς.

μζ. Τῶν πραγμάτων ὄντων ἢ ἃ αὐτοὶ ἐποιήσαμεν ἢ ἄλλοι ἐποίησαν, καὶ τούτων διχῶς ἐξεταζομένων, καὶ ἢ ἄντικρυς εἰς [23] ἡμᾶς ἀναφερομένων ἢ ἐξ ὑποψίας, ὅταν ᾖ τὰ πράγματα, ἅπερ αὐτοὶ ἐποιήσαμεν, ἢ κατὰ φύσιν ἢ κατὰ νόμον, ἢ κατὰ τέχνην, ἢ κατὰ ἔθος, τότε [24] μό-

19 ὅπερ ἐστὶ Mon. om. 20 Mon. ἀπαιτοῦμεν ἀπόδειξιν, οἷον τῶν ἐν. 21 ὥστε ex Dem. pro cor. p. 264. recepi. 22 Codd. οὕτως. Dem. οὗτος. 23 Par. 1. εἰς αὐτόν. Mon. ἡμᾶς sine εἰς. 24 Mon. ποτέ.

νον ἐμπίπτει. κατὰ νόμον μὲν, ὡς ὁ θάπτων τὸ νεοσφαγὲς σῶμα· ἐρεῖ γὰρ, ὅτι νόμῳ κελεύοντι μὴ περιορᾶν ἀτάφους τοὺς οἰχομένους ἐπειθόμην. κατὰ φύσιν δὲ, ὡς ὁ δακρύων εἰς τὴν ἀκρόπολιν ἀφορῶν· ἐρεῖ γὰρ φύσιν ἀνθρώποις δάκρυα χορηγεῖν· κατὰ τέχνην δὲ, ὡς ὁ γράφων Δημοσθένης ὑπὲρ ἱεροσυλίας λόγον· ἐρεῖ γὰρ, ὡς ἐξουσίαν αὐτῷ δέδωκεν ἡ τέχνη μελετᾷν, ἃ δὴ καὶ βούλοιτο· κατ' ἔθος δὲ, ὡς ὁ τρέφων τοὺς ἀποκηρύκτους πλούσιος· ἐρεῖ γὰρ ἔθος εἶναι τοῖς ἀποροῦσι πολλοὺς ἀεὶ τῶν πενομένων διατρέφειν· καλῶς δὲ σφόδρα προσέθηκεν, ὅτι ἡ ἀντίληψις οὐ γίνεται, εἰ μὴ ἀφ' ὧν αὐτός τις ποιήσας κρίνηται· οὐδεὶς γὰρ ἑτέρῳ ἐξουσίαν κατασκευάζει, ἀλλ' ἑαυτῷ, οὐδὲ ἔξεστιν εἰπεῖν ὅτι [25] ἔξεστιν ἐκείνῳ.

μή. Ὅταν, ἐφ' οἷς ἄλλος πεποίηκε, κρίνηταί τις, [26] οὐκ ἐμπίπτει, φησὶ, τὸ ἀντιληπτικὸν, ἀλλ' ὅταν μόνον ἐν οἷς [27] αὐτός τις ἔπραξεν καί οὐδ' ἐν τούτοις ἀεὶ, ἀλλ' ὅταν [28] τὰ πεπραγμένα μὴ μόνον ὡς [29] σημεῖα τυγχάνῃ, ἀλλὰ καὶ ἐπ' αὐτοῖς δυνατὸν εἴη συστῆσαι [30] τὴν κρίσιν, ἥν τις βούλοιτο κατηγορεῖν. πολλὰ γὰρ καὶ τῶν ὑφ' ἡμῶν πραττομένων ὑπεύθυνά ἐστιν. ὅταν οὖν ᾖ μεμισημένον τὸ πραχθὲν ἢ ἀκόλουθον τῷ ἐγκλήματι, οὐδαμῶς ἐμπεσεῖται· μεμισημένον μὲν, οἷον ὥσπερ ὁ Κύλων ὁ γαμήσας τὴν Θεαγένους θυγατέρα τοῦ Μεγαρέων τυράννου, καὶ κρινόμενος παρ' Ἀθηναίοις τυραννίδος ἐπιθέσεως. οὐ δύναται γὰρ εἰπεῖν, ἐξῆν μοι· οὐ γὰρ ἀνεύθυνον τὸ γῆμαι τυράννου θυγατέρα τὸν ἐν δημοκρατίᾳ πολιτευόμενον· ἀκόλουθον δὲ τῷ ἐγκλήματι, ὡς ἐπὶ Περικλέους, οὗ τῆς οἰκίας κεραυνωθείσης εὕρηνται χίλιαι πανοπλίαι. οὐ δύναται γὰρ εἰπεῖν, [31] ἐξῆν μοι ἔχειν ὅπλα· δῆλον οὖν, ὅτι καὶ τὰ τεκμήρια ἐν πολλοῖς τῶν στοχα-

25 ὅτι Par. 1. om. 26 Par. τις κρίνεται. 27 ἐν οἷς Mon. om. 28 Mon. ὅτῳ. 29 ὡς Mon. om. 30 Mon. συστῆναι. 31 εἰπεῖν. Mon. om.

στικῶν προβλημάτων ὑπεύθυνά ἐστιν, οὐ μέντοι ἐκεῖνα τὰ κρινόμενά ἐστιν, ἀλλ' ἕτερον δι' αὐτῶν.

μθ'. Ἐνταῦθα,[32] ἐπεί φησι νόμον οὐκ ἔχειν τὸν ἐπιτρέποντα τρέφειν τοὺς ἀποκηρύκτους, τὸ μὴ κεκωλύσθαι νόμον ποιεῖται ὁ φεύγων ἐκ τῆς ἐναντίου ἀντιφάσεως, καὶ ἀπαιτήσει τὸν κατήγορον δεῖξαι νόμον τοῦτο κωλύοντα· ἐπεὶ δὲ μήτε ὁμολογούμενόν ἐστι, μήτε πάντη ἀνεύθυνον, δυνήσεται καὶ αὐτὸ τοῦτο κατηγορεῖν, ὅτι ἀδικεῖς εἰς τὴν οἰκίαν ἀναλαμβάνων ἀνθρώπους πονηρούς, περιέργους, ἀνοσίους περὶ τοὺς φύσαντας, ἀχαρίστους· σχεδὸν δὲ ἀπὸ τῶν αὐτῶν λαμβανομένου τοῦ ἀντιληπτικοῦ, ἀφ' ὧν καὶ ἡ ἀντίληψις ἡ στάσις, ζητητέον, τί διαφέρει ἀλλήλων. καὶ λέγομεν, ὅτι ἡ ἀντίληψις πρὸς τὸ ἐπιφερόμενον ἔγκλημα γίνεται· τὸ μέντοι ἀντιληπτικὸν τὸ ἐν τῷ στοχασμῷ πρὸς τὸ σημεῖον λαμβάνεται, ὅθεν ἐλέγομεν τὸν στοχασμὸν ἔλεγχον ἀδήλου πράγματος οὐσιωδῶς ἀπό τινος φανεροῦ σημείου κατασκευαζόμενον, καὶ προσετίθεμεν ἀνευθύνου, καὶ ἔστι τὸ κεφάλαιον οὐ τῶν ἀεὶ ἐμπιπτόντων. ὅτε γάρ ἐστιν ἀτελὴς ἀπὸ τοῦ πράγματος, οὐκ ἐμπεσεῖται· τίνος γὰρ ἔσται ἀντίληψις; καὶ ὅτε ἀφ' ὧν ἕτερος ἐποίησεν, ὡς ἤδη εἴρηται.

μι'. Μετὰ τὴν ἀντίληψιν[33] εἰκότως τέτακται ἡ με-

---

32 Par. 2. Ἐνταῦθα εἰς τὸ φησὶ νόμον οὐκ ἔχει τὸν ἐπιτρέπ. Mon. ἐνταῦθα ὁ τεχνικός φησιν ὅτι οὐκ ἔχει τὰ ἐπιτρέφοντα τρέχειν τ. ἀπ. τοῦ μὴ κεκωλύσθαι ν. π. ὁ. φ. ἐ. τ. ἐναντίου ἀποφάσεως καὶ ἀπαιτήσεως etc. recepta lectio est ex Par. 1. Sch. min.: Τοῦ ἀντιληπτικοῦ τὸ ἴδιον ἡμᾶς ἐδίδαξεν, ἔστι γὰρ ἡ ἐξουσία· τὸ δὲ ἔξεστι κατασκευάσομεν ἢ ἀπὸ νόμου, ἢ ἀπὸ φύσεως, ἢ ἀπὸ ἔθους, ἢ ἀπὸ τέχνης, ἢ ὅταν ἐμπίπτωσι πάντα, ἐκ τοῦ μὴ κεκωλύσθαι νόμῳ τὴν ἐξουσίαν προβαλούμεθα, ὅπερ ἐστὶν ἐκ τῆς τοῦ ἐναντίου ἀντιφάσεως. 33 Sch. min.: ἀντίληψιν προτάξας ἐπήγαγε τὴν μετάληψιν, λυτικὴν οὖσαν τῆς ἀντιλήψεως· ὠνόμασται

τάληψις· ἕπεται γὰρ ἀλλήλοις καὶ δι᾽ ἀλλήλων λύεται ταῦτα τὰ κεφάλαια. ὃν γὰρ τρόπον ἐφάσκομεν συνυπάρχειν ἀεὶ τὴν βούλησιν καὶ τὴν δύναμιν διὰ τὴν συγγένειαν καὶ διὰ τὸ πάντως θάτερον τοῦ ἑτέρου ἀπολειπομένου χωλεύειν, οὕτω διὰ τὴν ἐναντιότητα καὶ τὴν πρὸς ἀλλήλας μάχην ἡ ἀντίληψίς ἐστι καὶ μετάληψις, εἴπερ οἷόν τε εἰπεῖν τὸ συγγενὲς ἐκ τῆς ἐναντιότητος ἔχουσιν· ἀεὶ γὰρ τοῦ φεύγοντος καθεστηκυίας τῆς αἰτιλήψεως ἡ μετάληψις προφερομένη πρὸς τὴν ἀντίληψιν τοῦ κατηγόρου καθέστηκεν.

ν΄. Ζητοῦσι, πῶς εἶπεν ἀεὶ τὴν μετάληψιν ἐναντίαν εἶναι τῆς ἀντιλήψεως, τὸ ἀεὶ[34] προσθείς· εἰ γὰρ ἀεὶ ἐναντία ἡ μετάληψις τῇ ἀντιλήψει, δῆλον ὡς καὶ τῇ ἀντιληπτικῇ στάσει ἀντικείσεται ἡ μετάληψις, καὶ μελετωμένης τῆς ἀντιλήψεως κατὰ τὸ ἐναντίον, οὐκ ἀντίληψις, ἀλλὰ μετάληψις μελετηθήσεται, ὥστε μηδέποτε ἐπ᾽ ἀμφοῖν τοῖν μεροῖν, τοῦ κατηγόρου φημὶ καὶ τοῦ φεύγοντος, εἶναι τὴν ἀντίληψιν, ἀλλὰ τὸν μὲν χρῆσθαι τῇ ἀντιλήψει, τὸν δὲ τῇ μεταλήψει, ὅπερ ἄτοπον, οὐ γάρ ἐστι μονομερὴς οὐδὲ μία στάσις· οὐ γὰρ καθ᾽ ἑτέρου μὲν ὁ διώκων κατηγορήσει, καθ᾽ ἑτέρου δὲ ὁ φεύγων ἀπολογήσεται· ἐχρῆν[35] δὲ ἀναμνησθῆναι δήπου τοὺς ἀποροῦντας τὸν Ἐνδυμίωνος ἀποῤῥίψαντας ὕπνον, ὡς πρόκειται νυνὶ λέγειν τῷ τεχνικῷ περὶ μεταλήψεως καὶ ἀντιλήψεως τῶν κεφαλαίων τῶν ἐν τῷ στοχασμῷ, οὐ τῶν στάσεων αὐτῶν· ἀεὶ οὖν τὸ εἰρημέναι ἐπὶ τῶν κεφαλαίων ἐκδέχεσθαι, περὶ ὧν καὶ τὸν πάντα λόγον ποιεῖται· φησὶ γὰρ τὴν μετάληψιν ἀεὶ ἐναντίαν εἶναι τῇ ἀντιλήψει, κεφάλαιον ἐναντιότητος λέγων καὶ φύσεως, οὐχὶ δὲ τῶν

δὲ καὶ αὕτη ἀπὸ τοῦ τὸν κατήγορον συγχωρεῖν κἄν τι τῆς παρὰ τοῦ φεύγοντος προβαλλομένης ἐξουσίας μεταλαμβάνειν ἕν τι τῶν περιστατικῶν μορίων, τόπον ἢ χρόνον ἢ τι τῶν λοιπῶν. 34 Mon. τὸ ἀεὶ γὰρ πρ. 35 Par. οὐ χρῆν.

στάσεων· ἀεὶ δὲ, φησὶν, ἐναντία ἡ μετάληψις, τῇ ἀντιλήψει, τουτέστιν οὐκ ἐν στοχασμῷ μόνον, ἀλλ' ἐν ἧπερ ἂν εὑρεθείη τῶν στάσεων ἀντιληπτικὸν, πάντως ἔχει τὸ μεταληπτικὸν ἀντικείμενον, καὶ ὅτι δὴ κατὰ φύσιν μάχεται ἀεὶ ἀντιλήψει μετάληψις, ἀναιρεῖ γὰρ αὐτὴν, ὥστε κἂν ἐπὶ τῶν στάσεων λάβοις, τῆς τε ἀντιλήψεώς φημι καὶ τῆς μεταλήψεως, εὑρεθήσεται καὶ ἐν ἐκείναις μαχόμενον τὸ ἀντιληπτικόν τε καὶ μεταληπτικὸν, οὐχ αἱ ὑποθέσεις αὐταὶ, ἀλλὰ τὰ κεφάλαια· χρωμένου γὰρ τοῦ φεύγοντος τῷ ἀντιληπτικῷ πάντως τὸ μεταληπτικὸν ἐν[36] τῇ ὑποθέσει ὡς μέρος ὁ κατήγορος παραλήψεται· τοῦτο μὲν οὕτως ἀπελυσάμεθα· ἔτι δὲ ζητοῦσι καὶ τόδε, πῶς φησιν, ὁποτερῳοῦν τούτων χρήσεται, τῇ ἀντιλήψει λέγω, ἢ τῇ μεταλήψει, τῷ ἑτέρῳ τὸ ἕτερον πάντως χρήσεται. περὶ γὰρ τῶν ὡρισμένων, φησὶν, ἀορίστως εἶπεν· ὥρισται γὰρ, τίνος μὲν ἡ ἀντίληψις, τίνος δὲ ἡ μετάληψις· καὶ δῆλον, ὡς πᾶσα μὲν ἀντίληψις τοῦ φεύγοντος, πᾶσα δὲ μετάληψις τοῦ διώκοντος· τί οὖν; ὁποτέρῳοῦν χρήσεται· τοῦτο γὰρ ἀορίστως ἐστὶν ἀποφήνασθαι, τινὲς μὲν οὖν φασὶν ἐν τῇ μεθόδῳ αὐτὸν ἀκριβέστερον εἰπόντα περὶ τούτων καὶ ὁρισάμενον αὐτὸ δὴ τοῦτο ἐκεῖσε, τὸ μὲν εἶναι τοῦ φεύγοντος, τὴν ἀντίληψιν φημὶ, τὸ δὲ τοῦ διώκοντος, ἐνταῦθα ὡς πρὸς ἐπισταμένους ἤδη διαλέγεται· ἡ οὖν τῶν ἀκουόντων γνῶσις οὐκ ἐᾷ τὸ χωρίον εἶναι ἀόριστον· καὶ ἔστι μὲν οὐδ' ἐν τούτῳ ἀμουσίαν προσάψαι τῷ λόγῳ, ἄμεινον δὲ ἐκείνως εἰπεῖν, ὡς τὴν ἐναντιότητα βουλόμενος ἡμῖν τοῦ τε ἀντιληπτικοῦ καὶ τοῦ μεταληπτικοῦ παραστῆσαι, ἔφη ἀντικεῖσθαι αὐτὰ διηνεκῶς ἀλλήλοις· τουτέστιν οὐκ ἐν μόνῳ στοχασμῷ, ἀλλ' ὅπῃ ἂν τύχῃ παραληφθέντα. καὶ γὰρ ὡς ἐπιχειρήματα λαμβάνεται ἀδιαφόρως, καὶ πολλάκις ἀντιληπτικὸν μὲν εὑρίσκεται παρὰ τῷ διώκοντι, μεταληπτικὸν δὲ παρὰ τῷ φεύγοντι.

36 ἐν Mon. om.

ὡς ἐπιχειρήματα μέντοι οὐχ ὡς κεφάλαιον ἔτι παραδίδωσιν ἐχομένως καὶ τὴν ἐργασίαν τοῦ κεφαλαίου, κατασκευάζεται γάρ, φησί, δι' ἐνστάσεως καὶ ἀντιπαραστάσεως· [37] τῶν γὰρ ἀποδείξεων, ὡς πολλάκις ἔφαμεν, αἱ μέν εἰσι πιστωτικαί, αἱ δὲ ἀντιῤῥητικαί· πᾶσα τοίνυν ἀντιῤῥητικὴ ἀπόδειξις ἢ κατὰ μάχην γίνεται ἢ κατὰ μέθοδον, ὅταν μὴ ἐκ μάχης εὐθὺς καὶ ἀναιρέσεως τοῦ παντὸς ποιώμεθα τὴν ἀνασκευὴν, ἀλλ' ἑτέρως πως μεταχειριζόμενοι· μιμεῖται οὖν τὸ μὲν κατὰ μάχην ἡ ἔνστασις, τὸ δὲ κατὰ μέθοδον ἡ ἀντιπαράστασις· ἀνατρέψομεν γὰρ τῇ ἐνστάσει, ὅτι οὐκ ἐφεῖται ὅλως ἀνδρὶ καλλωπίζεσθαι, γυναικῶν γὰρ οὐκ ἀνδρῶν τὸ τοιοῦτον, εἶτα καὶ τῇ ἀντιπαραστάσει, ὡς εἰ καὶ ἐφεῖτο καλλωπίζεσθαι, οὐχ οὕτως ἐχρῆν ἀναιδῶς, οὐδ' ἐπ' ἀκολασίᾳ τε καὶ φθορᾷ· φύσει μὲν οὖν ἐκ τῆς ἀντιπαραστάσεως ἀρχομένους

37 Sch. min.: διαιρεῖται, φησίν, ἡ μετάληψις εἰς ἔνστασιν καὶ ἀντιπαράστασιν, ὡς εἶναι ταῦτα τὰ δύο εἴδη τῆς μεταλήψεως. *Βίαιον* δέ, φησὶν, ἡ ἔνστασις, ἐρεῖ γάρ, ὅτι οὐδ' ὅλως ἐξῆν σοι τόδε ποιεῖν· ἡ ἀντιπαράστασις δὲ κατασκευάσει, ὅτι εἰ καὶ ἐξῆν, ἀλλ' οὐχὶ τόνδε τὸν τρόπον. *Μειράκιον καλλωπιζόμενον*· ἐνταῦθα ἡ ἔνστασις βίαιος, βιάζεται γάρ, οὐδὲ ἐξεῖναι λέγων καλλωπίζεσθαι, γυναικῶν γάρ, οὐκ ἀνδρῶν τὸ τοιοῦτον· εἶτα ἡ ἀντιπαράστασις εἰ καὶ ἐξῆν, οὐκ ἐπὶ τούτοις, οὐδὲ οὕτως ἀναισχύντως, οὐδὲ ἐπὶ τῷ διαφθείρεσθαι. *Βιάσεται ὁ διώκων*· καλῶς εἶπεν ἐπὶ τῆς ἐνστάσεως τὸ *βιάσεται*· προφανοῦς γὰρ οὔσης τῆς ἐξουσίας, ἀνατρέπειν διὰ τῆς ἐνστάσεως ἐπιχειροῦμεν. *Οὐχ οὕτως*· οὐκ ἐπὶ πορνείᾳ, οὐκ ἐπὶ τῷ πλείους ἐπάγεσθαι τῶν νέων τοὺς καταισχύνειν μέλλοντας. *Πρότερον χρήσεται*· δυσχερῆ τούτων ἀποφαίνεται τὴν αἰτίαν, ἐπειδὴ διάφορος τῶν πραγμάτων ἡ φύσις, καὶ δεῖ τὸν μελετῶντα, ἀκολουθοῦντα ταύτῃ, πρὸς αὐτὴν ποιεῖσθαι τὴν πρᾶξιν, οὐ γὰρ ἡ τέχνη τῶν πραγμάτων τὴν ὕλην ποιεῖ, ἀλλ' ὡς ἂν ἔχῃ φύσεως τὰ πράγματα, οὕτως καὶ ἡ τέχνη μεθοδεύειν καὶ ἀκολουθεῖν ἀναγκάζεται, κυβερνήτου δίκην, πρὸς τὸ πνεῦμα τὴν ναῦν ἰθύνοντος.

ἐπὶ τὴν ἔνστασιν ἰέναι προσήκει, ἀπὸ γὰρ τῶν ἐλαττόνων ἐπὶ τὰ μείζω χωρεῖν εἰώθαμεν, οὐκ ἀπὸ τῶν μειζόνων ἐπὶ τὰ ἐλάττω· μεῖζον δὲ τὸ παντελῶς ἀναιρεῖν τὸ πρᾶγμα τοῦ συγχωρεῖν μὲν αὐτὰ, μέμφεσθαι δὲ τὸν τρόπον, ὡς ἐπὶ φαύλῳ [38] γενόμενον· αὕτη μὲν φυσικὴ ἀκολουθία· ἐπεὶ δὲ πολλάκις ἡ τοῦ πράγματος ἀνάγκη βιάζεται προτάττειν [39] τὴν ἔνστασιν τῆς ἀντιπαραστάσεως, καθὸ δειχθήσεται μικρῷ ὕστερον, ζητητέον οἶμαι, πῶς ἐκφύγοιμεν τὴν ἐκ τῆς μεταθέσεως αὐτῶν βλάβην· ἡ γὰρ φυσικὴ ἀκολουθία μὴ φυλαττομένη βλάπτει πάντως ἡμᾶς, ἢν μὴ κατὰ μέθοδον αἰτῇ τινα χρησώμεθα. ὅταν τοίνυν προτάττωμεν [40] τὴν ἀντιπαράστασιν τῆς ἐνστάσεως, χρὴ τὴν μὲν ἔνστασιν λαμβάνειν ὡς προηγουμένην καὶ ἐκ τῆς τοῦ πράγματος ἀπαιτουμένην περιστάσεως, τὴν δὲ ἀντιπαράστασιν ἐκ τῆς περιουσίας ἔξωθεν. οἷον οὐκ ἔξεστιν ὅλως ἀνδρὶ καλλωπίζεσθαι, τοῦτο γὰρ τοῖς γυναίοις δέδοται, εἶτα ἐκ περιουσίας τὸ κατὰ ἀντιπαράστασιν, ὅτι δέδεικται μὲν ὁ καλλωπισμὸς παντελῶς οὐ προσήκων ἀνδράσιν, ἀλλ᾽ ὡς ἔνι μάλιστα ἀλλότριος καὶ ἀνάρμοστος. ἵνα δὲ καὶ τοῦτο συγχωρῶμεν καὶ τὸ καλλωπίζεσθαι μὴ ποιώμεθα δι᾽ ἐγκλήματος, οὐδὲ οὕτως ἀπολέλυται τῆς κρίσεως. οὐ γὰρ ἐπ᾽ ἀκολασίᾳ καλλωπίζεσθαι οὐδένα προσήκει· λεκτέον δὲ ἤδη, πότε προτάξομεν τὴν ἔνστασιν τῆς ἀντιπαραστάσεως· ὁ μὲν οὖν τεχνικὸς περὶ τούτου διαλαβεῖν παρῃτήσατο, δυσκολίαν προσεῖναι φήσας τῷ λόγῳ· ἡμᾶς δὲ ὑπερδραμεῖν οὐ καλόν· ὅτε τοίνυν βιαία ἡ ἔνστασις καὶ τραχεῖα εὐθὺς φαίνεται τῷ δικαστῇ, τότε προτακτέα ἡ ἀντιπαράστασις πιθανωτέρα οὖσα καὶ μᾶλλον εὐπαράδεκτος τῇ

---

38 Mon. φαῦλον. 39 Mon. πράττειν. id. et Par. 2. τὴν ἔνστασιν τῆς ἀντιπαραστάσεως. Par. 1. τῆς ἐνστάσεως τὴν ἀντιπαράστασιν. 40 Mon. πράττωμεν.

τοῦ δικάζοντας ἀκοῇ· τὸ γὰρ πιθανὸν τοῦ βιαίου προτιμῶσιν οἱ ῥήτορες· ὥσπερ ἔμπαλιν τὸ βίαιον οἱ διαλεκτικοί. ῥητορικώτερον δὲ καὶ τὸ ἐκ τῶν ἰσχυροτέρων ἄρχεσθαι, ἢ καὶ τὰ μάλιστα ἡ φύσις τὴν ἀπὸ τῶν ἐλαττόνων ἀρχὴν ἀπαιτεῖ· εἰ οὖν ἡ ἀντιπαράστασις μὲν πιθανωτέρα, ἡ δὲ ἔνστασις βιαία, τὸ δὲ πιθανὸν ἰσχυρότερόν τε καὶ προτιμότερον παρὰ τὸ βίαιον τοῖς ῥήτορσι, νόμος δὲ ῥητορικὸς ἐκ τῶν ἰσχυροτέρων ποιεῖσθαι τὴν ἀρχὴν, ἀναγκαίως προταχθήσεται ἡ ἀντιπαράστασις τῆς ἐνστάσεως· ὅταν δὲ ἧττον βιαία ἡ ἔνστασις ᾖ, καὶ οἵα μὴ αὐστηροτέρα φαίνεσθαι τῷ δικαστῇ, τηνικαῦτα ἡγήσεται μὲν ἡ ἔνστασις, μεταταχθήσεται δὲ ἡ ἀντιπαράστασις.

να΄. Οὐδέποτε ὁ κατήγορος ἀντιλήψει, οὔτε ὁ φεύγων χρήσεται μεταλήψει· καὶ πῶς ὁ τεχνικὸς ἀποφαίνεται ὡς ὁποτέρῳ αὐτῶν ὁ ἕτερος χρήσεται; ὅτι οὐχ ὡς γινομένης ποτὲ τῆς μεταλήψεως τοῦ φεύγοντος τοῦτο εἶπεν, ἀλλὰ βουλόμενος δεῖξαι τῶν κεφαλαίων τὸν πόλεμον· τοῦτο οὖν λέγει, ὅτι, ἔνθα ἂν ὁ ἕτερος τῶν ἀντιδίκων τῷ οἰκείῳ πρότερον χρήσεται κεφαλαίῳ, ἐνταῦθα ἀνάγκη καὶ τὸν ἕτερον τῷ ἐναντίῳ χρήσασθαι, οἷον ἐὰν πρότερος ὁ κατήγορος τῇ μεταλήψει χρήσηται, ἀντιφεύγει τῇ ἀντιλήψει ὁ φεύγων, καὶ τοὐναντίον, ἐὰν πρῶτον[41] χρήσηται τῇ ἀντιλήψει ὁ φεύγων, ἀντιτάξει τὴν ἀντίληψιν ὁ κατήγορος.

νβ΄. Ἐπειδὴ γὰρ τὸ λέγειν, ὡς ἐπὶ τοῦ δακρύοντος νέου πλουσίου καὶ πρὸς τὴν ἀκρόπολιν ἀφορῶντος, οὐκ ἔξεστί σοι δακρύειν, ἀναιδές πως εἶναι δοκεῖ, παρὰ φύσιν γὰρ τῇ ἀντιπαραστάσει, πρῶτον αὐτὰ μεθοδεύσομεν λέγοντες, ὅτι οὐκ ἐπὶ τυραννίδι σοι δέδωκε τὴν ἐξουσίαν τῶν δακρύων ἡ φύσις, οὐκ ἐπ' ὀλέθρῳ τῶν πολιτῶν, οὐκ

---

41 Mon. πρῶτος.

ἐπὶ δουλείᾳ τῆς πατρίδος καὶ τὰ τοιαῦτα, ἄλλως τε δὲ οὐδὲ δακρύειν ἐξῆν, ὦ χρηστὲ, μάτην. οἱ γὰρ ὁρῶντες ἀπάνθρωπον περὶ τοὺς εὐποροῦντας εἶναι τοῦ δήμου ὑπελάμβανον, καὶ σκαιότητος σαυτῷ προσετρίβου δόξαν· καὶ δακρύων πλῆθος εἰκῇ καταῤῥέον ἠδίκει πολίτας, οὐδ' ὁτιοῦν εἰς πλῆθος παρανομοῦντας.

νγ'. Μετάθεσις καλεῖται, ἐπειδὴ τὰ ἐπιφερόμενα ὑπὸ τοῦ κατηγόρου ἐφ' ἕτερον ἄγειν ἀνεύθυνον ἢ ἐπαίνου ἄξιον πειρώμεθα. τὸ δ' αὐτὸ καὶ χρῶμα καλεῖται διὰ τὸ χρωννύναι τὸν λόγον καὶ οἷον εὐπρόσωπον ποιεῖν, εὐλόγους ἀφορμὰς παρεχόμενον· τὸ δὲ πρὸς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους γίνεται εἰπεῖν,[42] ἀντὶ τοῦ ὡς ἔχει τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους εἴρηται· ὡς γὰρ ἂν ἐκεῖνα ἔχῃ, οὕτω καὶ ταῦτα πρόεισι· ἡ πρὸς πρόθεσις ἀντὶ τοῦ ἐξ κεῖται, ἵν' ᾖ ἀπὸ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ὡς λυτικὴ τούτων οὖσα ἢ ἀντὶ τῆς ἀπὸ, οἷον ἀντὶ τοῦ, ἀπὸ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἔχουσι τὴν γένεσιν, αὐτὰ γὰρ δίδωσι τὸν τόπον τῇ μεταθέσει τῆς αἰτίας.

νδ'. Ἡ μετάθεσις τῆς αἰτίας μετὰ τὴν μετάληψιν τέτακται, ἡ δὲ τάξις κατὰ τὸν διώκοντα· ὁ μὲν γὰρ διώκων λαμβάνων ὡς ἐν τῇ[43] ἀντιθέσει τὴν μετάθεσιν τῆς αἰτίας οὐκ εὐθὺς αὐτὴν[44] μετὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους προτάττει, πρὸς ἃ καὶ φέρεται, ἀλλὰ καὶ μετὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἅπερ ἀποδεικτικὰ καὶ παρασκευαστικὰ τῶν οἰκείων παραλαμβάνει, τάττει τὸ ἀντιληπτικὸν, ὡς ἐν ἀντιθέσει παρὰ τοῦ φεύγοντος· τάττει δὲ οὐχ ἁπλῶς μετὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἀλλ' ἵνα τυραννικὸν τοῦ φεύγοντος ἀποδείξῃ τὸ φρόνημα διὰ τῆς ἀντιλήψεως· ἀντιλαμβάνεται γὰρ ἐξουσίας τινὸς, καὶ θεὶς παράλληλον ταῖς ἀποδείξεσι ταῖς οἰκείαις, αἵπερ ἐκ

---

42 γίνεται εἰπεῖν, ἀντὶ τοῦ — — — ἵν' ᾖ ἀπὸ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους Mon. om. 43 τῇ Par. om. 44 Mon. αὐτῆς.

τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους αὐτῷ γίνονται, τὸ τοῦ φεύγοντος ἀντιληπτικὸν, ὅπερ ἐξουσίαν τινὰ, ὡς ἔφην, μόνον προΐσχεται, περιφανῶς ἐξελέγχει τὸν φεύγοντα, τυραννικῶς μᾶλλον ἢ δικαίως τὰς ἀπολογίας ποιούμενον· εἶτα ἀναγκαίως τῷ ἀντιληπτικῷ τὴν μετάληψιν ἀντιτάξας, τηνικαῦτα ἐπὶ τὴν ἐξέτασιν τῆς μεταθέσεως τῆς αἰτίας ἔρχεται ἤδη τῷ δικαστῇ τὴν κατὰ τοῦ φεύγοντος προκατάγνωσιν ἐγκαταστησάμενος· ὁ δὲ φεύγων αὖ πάλιν ἵνα μὴ τοῦτο πάθοι, ὅπερ ὁ κατήγορος δρᾷ κατ' αὐτοῦ, μηδὲ τυραννικὸς δόξῃ τις εἶναι, τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους τὴν μετάθεσιν τῆς αἰτίας ἐπάγει, μετριωτέραν τε καὶ δικαίαν ἀπολογίαν ποιούμενος· οὕτως μὲν ἑκάτερος πρὸς τὸ συμφέρον διάφορον τάξιν δίδωσι τῇ μεταθέσει τῆς αἰτίας. ἰστέον μέντοι, ὡς τῇ φυσικῇ ἀκολουθίᾳ μᾶλλον ἡ τοῦ κατηγόρου τάξις συμβαίνει· δεῖ γὰρ μετὰ τὰ [45] ἀπ' ἀρχῆς ἄχρι τέλους εἶναι τὴν ἀντίληψιν, καὶ ὅλως συνεζεῦχθαι αὐτὴν ἐκείνῳ, ἐπειδήπερ ἑκάτερον τῶν κεφαλαίων περὶ τὰ πεπραγμένα ἐστί· τὰ γὰρ ἀπ' ἀρχῆς ἄχρι τέλους πέπρακται· καὶ ἡ ἀντίληψις τὰ πεπραγμένα ἐξεῖναι λέγει· ὅτι ἐξῆν μοι παραστῆναι καὶ ἐξῆν διατρίβειν ἐπ' ἐρημίας. ἡ δὲ μετάθεσις οὐχ οὕτως· οὐ γάρ ἐστι τῶν πεπραγμένων, καθάπερ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, καὶ ἡ ἀντίληψις, ἀλλὰ τῶν ὑπονοουμένων, ὥσπερ αὐτὸ τὸ ἔγκλημα· ὃν γὰρ τρόπον τὸ εἰ ἐφόνευσεν ὑπονοεῖται, τοῦτον τὸν τρόπον καὶ τὸ [46] εἰ ἐπὶ τῷ θάψαι παρίστατο· [47] ἔστιν οὖν τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, εἶτα εἰκότως ἡ ἀντίληψις, καὶ, οὐκ ἦν γὰρ μετάληψιν ζευγνύναι τῆς ἀντιλήψεως, ἕπεται τῷ ἀντιληπτικῷ εὐλόγως τὸ μεταληπτικὸν, εἶτα ἡ μετάθεσις τῆς αἰτίας. ἐπειδὴ τοίνυν φυσικὴ μᾶλλον ὑπῆρχεν ἡ τοῦ διώ-

---

45 τά Mon. om. 46 Par. 1. τὸ om. idem ἐπὶ τὸ θάψαι. 47 Mon. παρίσταται. — v. 28. Mon. μετάληψις, scr. μετάληψιν.

κοντος τάξις, διὰ τοῦτο παρέλαβε ταύτην· ἐπεί τοι μᾶλλον τῇ τοῦ φεύγοντος ἔδει χρήσασθαι, εἴ γε καὶ ἡ μετάθεσις τῆς αἰτίας τοῦ φεύγοντος, ἀλλὰ τῇ φύσει ἀναγκαίως ἠκολούθησεν. Ἡ μὲν γὰρ οὖν τάξις αὕτη τοῦ κεφαλαίου· ἀναγκαῖον[47*] *δὲ ὥσπερ ἐπὶ τῶν ἄλλων καὶ περὶ τοῦ ὀνόματος διαλαβεῖν· εἴρηται οὖν μετάθεσις αἰτίας, ὅτι τὸ συναγόμενον ἐκ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους εἰς ἔγκλημα εἰς χρηστοτέραν τινὰ αἰτίαν τε καὶ πρᾶξιν μεθίστησιν, οἷον οὐχ ὅτι ἐφόνευσα παριστάμην, ἀλλ' ὅτι ἠλέησα καὶ ταφῇ δοῦναι τὸν κείμενον ἠβουλήθην· ἐπεὶ δὲ καὶ τὴν μετάθεσιν τῆς αἰτίας ὁρῶμεν οὐδὲν ἕτερον ἢ τῆς γνώμης ἐξέτασιν ὑπάρχουσαν, φαμὲν γάρ, ὡς τόδε τι βουλόμενος παριστάμην καὶ οὐ διὰ τὸ πεφονευκέναι, γνώμης δὲ ἐξέτασιν ἔχει καὶ ἡ βούλησις,*[48] *φημὶ τὸ κεφάλαιον, καὶ ὅλως ἐν ταῖς στοχαστικαῖς ζητήσεσι διττὴ γίνεται ἡ κατὰ γνώμην ἐξέτασις, πῇ μὲν κατὰ τὴν βουλήν, πῇ δὲ κατὰ τὴν μετάθεσιν τῆς αἰτίας, ἀναγκαῖον ἀμφοῖν τῶν κεφαλαίων τὴν διαφορὰν ἐπιζητῆσαι. δοκεῖ γάρ πως ταὐτὸν εἶναι μετάθεσις αἰτίας καὶ βούλησις*[49] *διαφόροις ὀνόμασι χρώμενα. ἔχομεν δὲ πλείονας, οὐ μίαν αὐτῶν διαφορὰν κατειπεῖν. πρῶτον μὲν γὰρ ἡ βούλησις καὶ τοῦ διώκοντός ἐστι καὶ τοῦ φεύγοντος, ἡ δὲ μετάθεσις μόνου τοῦ φεύγοντος· τὸ γὰρ ἐν ἀντιθέσει αὐτὴν λαμβάνεσθαι παρὰ τοῦ διώκοντος, οὐκ ἂν ἡμῖν ἀντικέοιτο. οὐ γὰρ τοῦτο τοῦ διώκοντος αὐτὴν εἶναι ποιεῖ. δῆλον γάρ, ὡς καὶ τὰ τοῦ διώκοντος κεφάλαια παραλήψεται κατὰ ἀντίθεσιν ὁ φεύγων. καὶ οὐκ εὐθὺς ἐκείνου γενήσεται. εἰ δέ ποτε γένοιτο*[50] *κοινῶν ὄντων τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους χρήσασθαι μεταθέσει τῆς αἰτίας καὶ τὸν διώκοντα, τηνικαῦτα οὐχ ὡς κατήγορος*

47* Mon. *ἀναγκαίως*, scr. *ἀναγκαῖον*. 48 Mon. *ἠβουλόμην*. 49 Mon. *βουλήσεως*. 50 Parr. *γένηται*.

κέχρηται, ἀλλ' ὡς φεύγων· καθὸ γὰρ κατηγορεῖται, κατ' ἐκεῖνο λαμβάνει τὴν μετάθεσιν τῆς αἰτίας· ἔπειθ' ἡ μὲν βούλησις καὶ τοῦ προτέρου βίου ποιεῖται ἐξέτασιν, καὶ καθολικωτέραν τινὰ τῆς γνώμης ἔχει βάσανον, ἡ δὲ μετάθεσις τῆς αἰτίας τῶν πρὸς τὸ παρὸν ἀντέχεται· οὐ γὰρ τὰ πάλαι βεβιωμένα ζητεῖ· τρίτον ἐπὶ τούτοις ἀλλήλων διενήνοχε τῷ τὴν μὲν πρὸς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους φέρεσθαι τὴν μετάθεσιν τῆς αἰτίας, τὴν βούλησιν δὲ πρὸς τὸ ἔγκλημα· ἡ μὲν γὰρ βούλησις ὅτι οὐκ ἂν ἐβουλήθην φονεύειν, ἡ δὲ μετάθεσις τῆς αἰτίας, ὅτι καὶ οὐ τοῦδε χάριν παριστάμην, ὅπερ ἐστὶ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους· ἔστι δὲ αὐτῶν [51] καὶ τετάρτη διαφορά· ἡ μὲν γὰρ βούλησις κατὰ διαπόρησιν γίνεται, ἡ δὲ μετάθεσις τῆς αἰτίας διαῤῥήδην ἀποφαίνεται· ἐκεῖ μὲν γὰρ ἀποροῦντες φαμὲν, τίνος ἕνεκα ἦλθον ἂν ἐπὶ τὸν τοῦδε φόνον, δι' ἔχθραν· ἀλλ' οὐδὲ μία ἔχθρας ἐγεγόνει πώποτε πρόφασις, ἀλλ' ἵνα τῶν ἐκείνου κύριος καταστῶ, καὶ μὴν οὐδὲ ἔμελλεν ἐντεῦθέν μοι περιέχεσθαι καὶ οὑτωσὶ διαποροῦντες τὴν βούλησιν ἐξετάζομεν· ἐπὶ δὲ τῆς μεταθέσεως τῆς αἰτίας ἀποφαινόμεθα, [1] ὅτι τοῦ θάψαι [2] χάριν παριστάμην, ὅτι δι' ἔλεόν τινα καὶ οἶκτον. τοσαῦτα καὶ περὶ τῆς [3] διαφορᾶς τῆς πρὸς τὴν βούλησιν. Φησὶ δὲ, ἡ μετάθεσις τῆς αἰτίας πρὸς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους γίνεται· ἐζητήκασί τινες, πῶς ἐπὶ μόνου τοῦδε προσέθηκε τοῦ κεφαλαίου τὸ γίνεσθαι αὐτὰ πρὸς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ὡς οὐδὲ καὶ τῆς πιθανῆς ἀπολογίας τοῦτο ἐχούσης καὶ τῆς ἀντιλήψεως· δῆλον γὰρ, ὡς ταῦτα πάντα πρὸς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους φέρεται· τί δή ποτε οὖν διαφερόντως ἐπὶ τῆς μεταθέσεως τῆς αἰτίας τοῦτο ἔταξε; ῥητέον δὲ,

---

51 Mon. αὐτῷ, scr. αὐτῶν.

1 Par. 1. μεταφαινόμεθα. 2 Mon. τούτου χάριν. Parr. τοῦ θάψαι χάριν. 3 τῆς Par. 1. om., idem habet περὶ τὴν βούλησιν.

ὅτι οὐ πρὸς τὴν φυσικὴν αὐτῶν ἀκολουθίαν ἀπιδὼν ἔφη κομίζεσθαι πρὸς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, κοινὸν γὰρ τοῦτο καὶ τοῖς εἰρημένοις κεφαλαίοις, ἀλλὰ πρὸς τὴν ἐργασίαν. τὴν γὰρ κατασκευὴν καὶ τὴν ἐξεργασίαν ἐκ τῶν ἐξ ἀρχῆς ἄχρι τέλους λαμβάνει, ὥς τε ἐμάθομεν ἐν βραχεῖ· εἶτα κατὰ τὴν διαίρεσιν τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἐργασόμεθα τὸ κεφάλαιον· ἐκτίθησι δὲ αὐτὸς περιφανέστατα τὴν διαίρεσιν· φησὶ γὰρ, κἂν μὲν ἐν λόγοις ᾖ κατὰ ῥητὸν καὶ διάνοιαν ἡ μετάθεσις εἰσάγεται, ἀναμεμερισμένως δηλονότι, τοῦ μὲν ῥητοῦ ὄντος ἐν τοῖς [4] ἀπ' ἀρχῆς ἄχρι τέλους, [5] τῆς διανοίας δὲ ἐν τῇ μεταθέσει τῆς αἰτίας, οὐ γὰρ λέγει τὴν μετάθεσιν αὐτὴν ἐφ' ἑαυτῆς καὶ τὸ ῥητὸν ἔχειν καὶ τὴν διάνοιαν, ἀλλ' ἐξετάζεσθαι καὶ τὸ ῥητὸν καὶ διάνοιαν, τοῦ ῥητοῦ ἐν τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους ὄντος· ἐὰν δὲ ἐν ἔργοις ᾖ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἡ μετάθεσις τῆς αἰτίας θετικῶς ἐξετάζεται, φησίν· ἠπόρησέ τις, μᾶλλον δὲ ἁπλῶς ἐπελάβετο· οὐ γὰρ ἔδει, [6] φησὶ, θετικῶς ἐξετάζεται φάναι, ἀλλὰ θετικῶς αὔξεται· οὐκ ἐξετάζομεν γὰρ αὐτὸ καὶ ἀποδείκνυμεν διὰ τῆς θέσεως, ἀλλ' αὔξησιν ποιούμεθα τῷ θετικῷ χρώμενοι· ἔλαθε δὲ αὐτὸν, ὡς τὰ θετικὰ παραλαμβάνομεν ποικιλώτερον, καὶ ἐπὶ πλεῖστον τὴν μετάθεσιν τῆς αἰτίας ἐκτείνοντες· ἐπεὶ γὰρ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἐν πλείοσιν ἦν, καὶ τὴν κατασκευὴν διὰ συχνῶν εἶχε τῶν λόγων, ἐδέησε καὶ τῇ μεταθέσει τῆς αἰτίας

4 Mon. ἐκ τῆς. Parr. ἐν τοῖς. 5 Sch. min.: τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἢ ἐν ἔργοις, φησὶ, γίνεται, ἢ ἐν λόγοις, ἢ ἐν πάθεσιν· ἐν λόγοις μὲν, ὡς ὁ νέος πλούσιος, ὁ παριὼν τὸ δεσμωτήριον, καὶ ἀναβοήσας, θαῤῥεῖτε ὦ δεσμῶται, αὖθις λυθήσεσθε, καὶ κρινόμενος τυραννίδος· ἐν ἔργοις δὲ, ὡς ὁ θάπτων νεόσφαγὲς σῶμα ἐπ' ἐρημίας· ἐν πάθεσι δὲ, ὡς ἡ δακρύουσα νύκτωρ γυνή. 6 Par. 1. θετικῶς φησι omisso φάναι. idem ἐξετάζεται. Par. 2. Mon. ἐξετάζεσθαι.

πλείονος ἐργασίας· εἰ γὰρ αὐτὴ καθ' ἑαυτὴν ψιλὴ οὖσα ἀπόφασιν πρὸς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους πολλὰ ὄντα ἐπεφέρετο, ἡττᾶττο ἂν ὑπὸ τοῦ πλήθους τῶν τοῦ κατηγόρου λόγων ὁ φεύγων, τοῦ μὲν διάκοντος ἀπ' ἀρχῆς ἄχρι τέλους πολλαχῶς διὰ τῶν περιστατικῶν κατασκευάζοντος, καὶ χρόνον παραλαμβάνοντος καὶ τόπον εἰς σύστασιν τοῦ ἐγκλήματος, καὶ πρὸς ἐπὶ τούτοις αἰτίαν τε καὶ ὕλην καὶ ὅσα ἄλλα τῶν περιστατικῶν. αὐτὸς δὲ ἐν τῇ μεταθέσει τῆς αἰτίας ἁπλῇ χρώμενος ἀποφάσει· οἷον ὅτι οὐ τοῦδε [7] χάριν παριστάμην· καθὸ μὲν οὖν πρὸς τὸ πλῆθος τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἀντιτάξαι βουλόμενοι πλείονας λόγους ἐν τῇ [8] μεταθέσει τῆς αἰτίας θέσιν παραλαμβάνομεν, ὡς ἂν δι' αὐτῆς πλείονα λέγειν δοκῶμεν, καὶ ταύτῃ ὑποκλέπτωμεν [9] τὸν ἀκροατὴν, κατὰ τοῦτο αὐξητικῶς ἡ θέσις παραλαμβάνεται· καθὸ δὲ καὶ σύστασιν ἡμῶν ποιεῖται τῆς γνώμης, ἐνδεικνύμεθα γὰρ ἐκ τῶν πλειόνων λόγων, ὡς οὐ νῦν πρὸς ἀποφυγὴν τοῦ ἐγκλήματος τὴν μετάθεσιν τῆς αἰτίας ἐπὶ τὴν ταφὴν ἐποιησάμεθα, ἀλλὰ πάλαι τὴν γνώμην οὕτω παρεσκευασμένοι πρὸς τὸ δεῖν τοὺς κειμένους θάπτειν, κατὰ τοῦτο ἐξεταστικῶς ἂν εἴη παραλαμβανομένη· ἐκ γὰρ τῆς θέσεως πολλοὺς περὶ τῆς τῶν κειμένων ταφῆς εἰσφέροντες λογισμοὺς ἐννοεῖν τῷ δικαστῇ παρέχομεν, ὅτι γε ὁ τοσαῦτα περὶ τούτων εἰδὼς πάλαι τὴν γνώμην οὕτω παρεσκεύαστο, καὶ οὐ πρὸς τὸ παρὸν τοῦτον προσποιεῖται [10] διακεῖσθαι τὸν τρόπον, εὐλόγως ἄρα ὁ τεχνικὸς εἶπε τὴν μετάθεσιν τῆς αἰτίας θετικῶς ἐξετάζεσθαι, εἰδέναι δὲ δεῖ, ὅτι πάντα μὲν ταῦτα ἐν πᾶσιν εὑρίσκεται, πλεονάζει δὲ ἕκαστον ἐν τῷ οἰκείῳ· πάντα, φησὶν, ἐν πᾶσιν εὑρίσκεται, αὐτίκα τὸ παρίστατό τις ἐπ' ἐρημίας νεοσφα-

7 Mon. ὅτου. Par. 1. οὐ τοῦδε. 8 Mon. αὐτῇ. 9 Mon. ὑποκλέπτοιμεν. 10 Par. 1. διακεῖσθαι ποιεῖται.

σφαγεῖ σώματι καὶ φόνου φεύγει· ἐπειδὴ ἐν πράξεσιν ἔχει τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἀνάγκη τὴν μετάθεσιν τῆς αἰτίας θετικῶς ἐξετασθῆναι· ἀλλ' ἐμπεσεῖται καὶ συγγνωμονικὸν, οἷον συγγνώμην ἔχετέ μοι, ὦ δικασταὶ, ἐλεήσαντι τὴν τῶν ἀνθρώπων φύσιν, οἵας ὑφίστατο συμφορὰς, καὶ τούτου γε ἕνεκα παρισταμένῳ [11] μετ' ἐκπλήξεως· καὶ πάλιν ἐπ' ἐκείνου, νέος πλούσιος κωμάσας εἰς τὸ δεσμωτήριον νύκτωρ ἐβόησε, θαῤῥεῖτε, ὦ δεσμῶται, λυθήσεσθε γὰρ, καὶ κρίνεται τυραννίδος ἐπιθέσεως· τοῦτο γὰρ κατὰ ῥητὸν καὶ διάνοιαν ὀφεῖλον ἐξετάζεσθαι· ἐπεὶ δὲ ἐν λόγῳ ἐστὶ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἔχει ὅμως ἐμπίπτον καὶ συγγνωμονικὸν, ὅτι αὐτοὺς ἐν συμφοραῖς θεασάμενος ἔπαθόν τι ἀνθρώπινον, καὶ παραμυθήσασθαι ἠβουλήθην· ἔτι δὲ καὶ θετικῶς ἐρεῖ χρῆναι τοὺς ἐν κακοῖς ἐλεεῖν· εἰ δ' οὖν πάντα ἐν πᾶσιν εὑρίσκεται, πῶς αὐτὰ διακρινοῦμεν; φησὶν, ὅτι τῷ προσεχεστέρῳ καὶ μᾶλλον οἰκείῳ πλεονάσομεν, τὰ δὲ ἄλλα οὐ προηγουμένως, κατὰ δεύτερον δὲ παραληψόμεθα λόγον· ἐπεὶ δὲ ἡ μετάθεσις τῆς αἰτίας οὐ μόνον τοῦτο καλεῖται τὸ ὄνομα, ἀλλ' ἔτι καὶ χρῶμα καὶ τοῦδε τοῦ ὀνόματος ἐπιμνησθῆναι ἄξιον. Πόθεν μὲν γὰρ μετάθεσις αἰτίας εἴρηται, ἤδη προδιεξήλθομεν· χρῶμα δὲ ὀνομάζεται κατὰ μεταφοράν· ὥσπερ γὰρ τὸ μέλαν χρῶμα ἢ τὸ λευκὸν διὰ παντὸς ἥκει τοῦ ἀνθρώπου, καὶ οὐ τὸ στῆθος μὲν μέλαν, τὰ δὲ νῶτα λευκὰ, ἀλλ' ἐφ' ἅπαν τὸ σῶμα διήκουσα ἡ χρόα χαρακτηρίζει καὶ χρώζει [13] τὸν ἄνθρωπον, τοῦτον τὸν τρόπον καὶ ἡ μετάθεσις τῆς αἰτίας χρώζει τὸν πάντα λόγον, καὶ οἱονεὶ χρόαν καί τι σχῆμα αὐτῷ περιτίθησι· συνεκτικώτατον γὰρ τῷ λόγῳ τόδε τὸ κεφάλαιον· τὸ γὰρ συναγόμενον [14] ἐκ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἔγκλημα μεθίστη-

11 Codd. παρισταμένου. 12 Mon. μήτ' ἐπλήξεως. 13 Par. 1. χωρίζει. 14 Mon. συνάγον.

σιν εἰς ἑτέραν πρᾶξιν ἀνεύθυνον· εἰ τοίνυν χρῶμα ἡ μετάθεσις τῆς αἰτίας τοῦ παντὸς λόγου, οὐκ ἐφ᾽ ἑνὸς μέρους χρησόμεθα αὐτῇ, ἀλλὰ διὰ παντὸς τοῦ λόγου, εἴγε καὶ τὸ χρῶμα ἐν σώματι, ὡς ἔφημεν,[15] οὐχ ἕν τι μέρος[16] χρώζει, διὰ παντὸς δὲ τοῦ σώματος ἔρχεται· καὶ ἄλλως εἰς τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ὁ κατήγορος ἔχων ἐν παντὶ κατασπείρει αὐτὰ τῷ λόγῳ, ὡς ἐν τῇ περὶ αὐτῶν διεξήλθομεν τεχνολογίᾳ· φέρεται δὲ καὶ ἡ μετάθεσις τῆς αἰτίας, ὡς ἔνι μάλιστα, πρὸς τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, ἀνατρεπτικὴ αὐτῶν γινομένη· εἰκότως πανταχοῦ τοῦ λόγου τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους εὑρισκομένων, καὶ ἡ μετάθεσις ὡσαύτως τῆς αἰτίας συνευρεθήσεται,[17] ὥστε καὶ ἐν προοιμίοις πολλάκις παραλαβεῖν· εἰ μὲν γὰρ ὁ κατήγορος χρῷτο τοῖς ἀπ᾽ ἀρχῆς ἄχρι τέλους διὰ παντὸς λόγου συνάγων τὸ ἔγκλημα, ὁ δὲ φεύγων ἀναμένειν μέλλοι τὴν τάξιν τῆς μεταθέσεως τῆς αἰτίας, ἀποκλεισθήσεται ὁ δικαστὴς, οὐδὲν πρὸς τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ἀκούων, ἀλλ᾽ ἕτερα ἔξωθεν, ὥστε οὐκ ἂν φθάνοι ἀφικέσθαι πρὸς τὸ κεφάλαιον, καὶ ἐξοίσει τὴν ψῆφον[18] κατὰ τοῦ φεύγοντος· ὅπερ δὲ ἐπὶ τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ἐλέγομεν, ζητοῦντες εἰ πανταχῇ τοῦ λόγου αὐτοῖς χρώμεθα, πῶς

---

15 Par. 1. *ὡς ἔφημεν ἐν σώματι.* 16 Mon. *ἑνου τι μέτρον.* 17 Par. 1. *ἐνευρεθήσεται.* 18 Par. 1. *κατὰ τοῦ φεύγ. τὴν ψῆφον.* Sch. min.: *ἰστέον, ὅτι ἡ μετάθεσις τῆς αἰτίας ἤγουν τὰ χρώματα λαμβάνεται ἀπὸ τοῦ ὁμοίου, ἀπὸ τοῦ ἐναντίου· ἀπὸ μὲν τοῦ ὁμοίου, ὡς ἐπὶ τοῦ θάπτοντος· ἐρεῖ γὰρ, ὡς θηρίον ἀνελὼν ᾕμαξα τὸ ξίφος, ἡ γοῦν τοῦ αἵματος ὁμοιότης ἐργάζεται τὸ πιθανὸν, ἀπὸ δὲ τοῦ ἐναντίου, ὅτι τις ἐπὶ προδοσίας κρίνεται ἢ τυραννίδος, φιλόπολίν τε καὶ τοῖς κοινοῖς εὔνουν ἑαυτὸν ἀποδεικνύναι πειρῶν· τὸ δὲ τοῦ χρώματος, ὡς ὁ Περικλῆς ὁ τῆς πατρίδος ἕνεκα παρεσκευακέναι τὰς πανοπλίας ὁμολογῶν.*

τάξιν τινὰ ὡρισμένην αὐτοῖς παρέχομεν,[19] πέμπτον κεφάλαιον αὐτὰ φάσκοντες εἶναι, τοῦτο ἄν τις κἀνταῦθα ζητήσειεν· ἔστι τοίνυν ἡ αὐτὴ μία λύσις ἐπ' ἀμφοτέρων· εἰ γὰρ καὶ ὡς συνεκτικὰ τοῦ λόγου πανταχοῦ λαμβάνομεν, ἀλλ' οὖν τὴν προσήκουσαν αὐτοῖς παρεχόμεθα τάξιν, ἔνθα καὶ τὴν ἀκριβῆ αὐτῶν ἐξέτασιν ποιούμεθα, μηδὲν τῶν ἐκ τοῦ κεφαλαίου παραλιπόντες· ἐν γὰρ τοῖς ἄλλοις τόποις σποράδην αὐτοῖς καὶ μερικῶς χρηστέον.

νέ. Ἀναγκαίως· ὁ μὲν γὰρ λόγος ἐν τάξει ἐστὶ τοῦ ῥητοῦ, πᾶν δὲ ῥητὸν διανοίᾳ λύεται· οὐκοῦν τοῦ εἰπόντος τὴν φωνὴν ὡς ῥητόν λαβόντες τούτῳ τὴν διάνοιαν ἀντιτάξομεν· παρατηρητέον δὲ τὴν λέξιν, οὐκ εἶπε γίνεται, ἀλλ' εἰσάγεται,[20] τουτέστιν ἐξετάζεται, πῶς γάρ ἐστι δυνατὸν ἐνταῦθα κατὰ ῥητὸν καὶ διάνοιαν εὑρίσκεσθαι, ἀλλ' ὁ κατήγορος κέχρηται τῇ φωνῇ τοῦ φεύγοντος ὡς ῥητῷ, ὁ δὲ φεύγων αὐτῆς τῆς αὐτοῦ φωνῆς τὴν διάνοιαν ἀξιοῖ σκοπεῖν καὶ τούτῳ διαφέρει τῆς στάσεως, ὅτι ἐκεῖ τὸ ῥητὸν καὶ ἡ διάνοια περὶ ἔγγραφόν τί ἐστιν, ἐνταῦθα δὲ περὶ τὴν φωνὴν τοῦ φεύγοντος.

νϛ'. Τὸ γὰρ εἰρημένον οὐχ οἷός τε ὢν ἀρνεῖσθαι ἐπί τινα εὔλογον χωρεῖ διάνοιαν, ἀφ' ἧς προηνέγκατο τὸν λόγον, ὡς τὸν δῆμον αἰτεῖν ὑπὲρ τῆς λύσεως τῶν δεσμωτῶν[21] ἐβουλόμην· ἐν γὰρ τοῖς λόγοις τὴν αἰτίαν ἐξεταστέον μεθ' ἧς προῆλθον οἱ λόγοι· ὁ γὰρ φεύγων τὴν μετάθεσιν τῆς αἰτίας ποιούμενος ἀξιοῖ μὴ ἀπ' αὐτῶν κριθῆναι, ἀλλ' ἀπὸ τῆς διανοίας, μεθ' ἧς τοὺς λόγους προσηνέγκατο· ἐρεῖ γὰρ ὁ φήσας οὐκ εἰς μακρὰν λυθήσεσθαι, ὅτι οὐ βουλόμενος τυραννεῖν ἀφῆκα τὴν

19 Mon. τάξιν τάξιν ὡρισμένων παρέχοιμεν. 20 ἀλλ' εἰσάγεται — — — — ἀλλ' ὁ κατήγορος Mon. om. 21 Mon. τῶνδε σκωτῶν.

φωνὴν ταύτην, ἀλλὰ τὴν φιλανθρωπίαν τῆς πόλεως εἰδὼς προεμαντευόμην ἐκείνοις τὴν ἄφεσιν, ἢ παραμυθεῖσθαι τοὺς ἀτυχήσαντας θέλων τοῦτο ἔφην, ἵνα τῇ ἐλπίδι τῆς ἀφέσεως τὴν τύχην ἰάσωμαι· ἐρεῖ δὲ, ὅτι καὶ τοῦτο πρὸς εὐεργεσίαν ἐστὶ τῆς πόλεως· εἰ γὰρ μὴ τούτους τοὺς λόγους ἔτυχον εἰπὼν, αὐτοὶ τοῖς δεινοῖς συνελαυνόμενοι καὶ σωτηρίαν οὐδαμόθεν ἐλπίζοντες πάντως ἂν μετ' ἀλλήλων ἔστησαν καὶ συνομοσάμενοι μεταβαλεῖν τὸ καθεστὼς ἐπεχείρουν.

νζ'. Ἐν τούτῳ, φησὶ, τῷ θάπτοντι [22] τὸ νεοσφαγὲς σῶμα θέσιν ὅλην ἐργάσῃ, ὅ ἐστι καθόλου· διὰ τούτου δὲ δηλονότι καὶ ἡ θέσις κατασκευάζεται, λέγω δὴ ἀπὸ τοῦ δικαίου καὶ ἀναγκαίου καὶ συμφέροντος· τὸ γὰρ ἁπλούστερον καὶ ἀκατασκεύως εἰπεῖν, ὅτι ἀτάφους ἰδὼν ἠλέησα, οὐκ ἰσχυρὸν εἶναι δόξει πρὸς τὸ ἔγκλημα· εἰ δὲ θέσιν ὅλην ὁ λέγων ἐργάσεται, ὅτι τὸ τοὺς ἀτάφους θάπτειν καθόλου καλὸν, καὶ τῆς ὁσίας ἀξιοῦν, καὶ τοὐναντίον δεινὸν ἀτάφους κειμένους καὶ γυμνοὺς ἐῤῥιμμένους περιορᾶν, καὶ θηρίων γενομένους βορὰν ἰσχυρὸν ἔσται.

---

22 Sch. min.: ἐὰν δὲ ἐν ἔργοις ᾖ· οἷον ὅτι δεῖ τοὺς νεκροὺς θάπτειν, δεῖ τὴν εὐχὴν ἐλεεῖν· ὅρα δὲ, πῶς οὐκ εἶπε θετικῶς τὸ χρῶμα, ἀλλὰ θετικῶς πάλιν ἐργάζεται, οὐ γὰρ τελεία θέσις ἐστὶν, ἀλλ' ἐν θέσεως τάξει ἐξετάζεται. Ἐὰν δὲ ἐν πάθεσι· πάθος γὰρ προβαλεῖται τῆς ψυχῆς ὁ φεύγων, ὅπερ συγγνώμης οἰκεῖον. Τὴν μετάθεσιν τῆς αἰτίας οἱ Ἑρμαγόρειοι χρῶμα καλοῦσι, λύει δὲ τὴν μετάθεσιν τῆς αἰτίας ὁ κατήγορος ὡς τὰ πολλὰ μεταληπτικῶς· τὸ δὲ μεταληπτικόν ἐστι κατὰ τὸν τρόπον εὑρισκόμενον· ἐρεῖ γὰρ, οὐχ οὕτως ἔδει, ἀλλ' ἑτέρως· οἷον ἔθαπτον ἐλεῶν, ἀλλὰ μηνύειν ἔδει πρὸς τοὺς ἄρχοντας, εἰ σὺ μὴ τὸν φόνον εἰργασμένος ἦσθα. Μετάθεσις γίνεται, ὅταν ὁ φεύγων τὸ σημεῖον εἰς ἕτερον μεταφέρῃ [Cod. μεταφέρει], παρὸ πειρᾶται δεικνύειν ὁ κατήγορος, οἷον ὡς ἐπὶ τοῦ θάπτοντος τὸ νεοσφαγὲς σῶμα· ἐρεῖ γὰρ, ὅτι τύχην ἠλέουν.

νή. Ἠλέησα, φησὶ, τοὺς τυραννουμένους, καὶ διὰ τοῦτό μοι τὰ δάκρυα συνέβη ὑπὲρ τῆς πόλεως, καὶ ἐπὶ τῆς δακρυούσης γυναικὸς ἐρεῖ, ὅτι δεδάκρυκα ἀναμνησθεῖσα τῶν ἀνθρώπων τὰς τύχας· ὡς νῦν μὲν σύνοικον ἔχουσα εὖ πράττειν ἡγοῦμαι καὶ σὺν ἡδονῇ τὸν βίον ποιῶ· ὕστερον δὲ ἐλογιζόμην, ὅπως χωρίζονται ἀλλήλων οἱ ἄνθρωποι.

νθ'. Διδάξας ἡμᾶς ἰδίᾳ τῶν χρημάτων [23] τὴν φύσιν καὶ τὴν μεταχείρισιν, κοινῇ λοιπὸν περὶ αὐτῶν διαλέγεται, κοινὰ πάντων ἀποφαινόμενος εἶναι τὰ χρώματα, καὶ πάντα ἐν πᾶσι λέγων εὑρίσκεσθαι τοῖς ζητήμασι καὶ θετικῶς ἐξετάζεσθαι καὶ κατὰ ῥητὸν καὶ διάνοιαν καὶ συγγνωμονικῶς· οὐ γὰρ ἓν χρῶμα πάντως ἐφ' ἑνὶ τέτακται πράγματι, ἀλλὰ καὶ πλείονα· πολλὰ γὰρ ἀλλήλοις συμφέρεται· καὶ εὕροις ἂν ἐν τῇ τῶν λόγων διανοίᾳ καὶ θετικὸν νόημα παραλαμβανόμενον, ὡς ἐπὶ τοῦ κρινομένου τυραννίδος ἐπιθέσεως· ἐρεῖ γὰρ, ὅτι τὴν φιλανθρωπίαν ἐνηγγυώμην τῆς πόλεως, καὶ ὅτι δεῖ πρὸς τοὺς ἀτυχοῦντας φιλάνθρωπον εἶναι, καὶ μεμνῆσθαι τῆς φύσεως, καὶ ὁ τὸ νεοσφαγὲς σῶμα θάπτων καὶ φόνου κρινόμενος οὐ μόνον τῷ θετικῷ χρήσεται, ὅ ἐστι χρῶμα οἰκεῖον τῶν ἐν πράγμασι σημείων, ἀλλ' ἐμπίπτει καὶ τὸ συγγνωμονικὸν, ὅτι ἠλέησα σῶμα ἄταφον ἰδὼν ἐῤῥιμμένον· καὶ πάλιν ὁ τοῖς δεσμώταις βοήσας οὐ μόνον τῷ οἰκείῳ κέχρηται χρώματι, λέγω δὴ τῷ κατὰ ῥητὸν καὶ διάνοιαν, ἀλλὰ τῷ συγγνωμονικῷ, ὅτι καλὸν, καθόσον τις δύναται, ἐπικουφίζειν τοῖς δυστυχοῦσι τὰς συμφορὰς καὶ παραμυθεῖσθαι· τοῦτο μέντοι φυλακτέον ἐστὶν, ἐὰν ἐν τοῖς τοιούτοις πλείους τὰς αἰτίας ἐπεισφέρωμεν, ὅπως μὴ ἀλλοκότους μηδ' ἀλλήλαις μαχομένας εἰσάγωμεν τὰς αἰτίας· τὸ πλεῖστον γὰρ ἐνδια-

23 Mon. ἰδιωτῶν χρώματα. et paullo post μεταχείρησιν. — v. 18. Mon. ἐνεγγυώμην, scr. ἐνηγγ. — v. 23. ἐλέησα, scr. ἠλ.

τρίβειν τῷ οἰκείῳ τόπῳ προσήκει, εἰ τῆς διανοίας εἴη, τὴν διάνοιαν ἐπαύξοντας, εἶτα τῆς θέσεως τὴν θέσιν, καὶ οὕτως ἐπὶ πάντων ὁμοίως· οἷον ὅταν ἐν λόγοις ᾖ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, τὴν κατὰ ῥητὸν καὶ διάνοιαν χρὴ πλεονάζειν, κἂν ἕτερα εὑρεθῇ πλείονα χρώματα, ἐὰν δὲ ἐν πράγμασι, τὸ θετικῶς ἐξεταζόμενον δεῖ πλεονάζειν χρῶμα· ἐὰν ἐν πάθεσι τὸ συγγνωμονικόν μᾶλλον γὰρ ἰσχύει καὶ πλέον τῶν ἄλλων χρωμάτων τὸ οἰκεῖον κατὰ καιρὸν εἰσαγόμενον· τοῦτο δέ πως καὶ ἐπὶ τῆς βουλήσεως εἶπε καὶ τῆς δυνάμεως, ὅτι κοινὰ μέν ἐστιν ἀμφοτέρων τῶν κεφαλαίων τὰ ἐγκωμιαστικὰ, ἁρμόζει γάρ [24] τινα καὶ οἰκειότερα τῷ ἑτέρῳ καθέστηκεν.

ξ. Θαυμαστὸν τὸ λεγόμενον δόξει, τὸ ποτὲ μὲν πολλὰ καὶ ἐναντία, ποτὲ δὲ πάλιν πολλὰ καὶ συμφωνοῦντα ἀλλήλοις· ἀλλ' εἰ τὸ παράγγελμα κρίνοις, ἀκριβῶς εἰρημένον εὑρήσεις· ὅρα γὰρ τὴν διαφορὰν, ποτὲ μὲν πολλοῖς καὶ ἐναντίοις, ποτὲ δὲ πολλοῖς καὶ ὁμοίοις· καὶ παντὶ, φησὶ, στοχασμῷ τὰ σημεῖα ἢ ἐξ ἂν αὐτός τις πεποίηκεν, ἐστὶν, ἢ ὑφ' ἑτέρου τινὸς πεπραγμένα· ἂν μὲν οὖν, ἀφ' ὧν ἕτεροι, κρίνηταί τις, φησὶν, ἀνάγκη καὶ πολλοῖς καὶ πεπλανημένοις χρήσασθαι τὸν φεύγοντα. Πόθεν δὲ πεπλανημένα, οὐκ ἄδηλος ἡ αἰτία, ἵνα δόξῃ τοῦ πεποιηκότος τῆς γνώμης στοχάζεσθαι· εἰ γὰρ ἑνὶ φανείη χρώματι ἰσχυριζόμενος, ὑποληφθήσεται εἰδὼς τοῦ πεπραχότος τὴν γνώμην, οὐκ εἰκάζων λέγειν, καὶ λαβὴν δάσει [1] καθ' ἑαυτοῦ· οὐκ ἐπὶ τῶν ἀφ' ὧν δὲ ἕτερος πεποίηκε κρινομένων μόνον ἀνακόλουθα χρώματα ἐμπεσεῖται, ἀλλὰ καὶ ἐπὶ τῶν ἐξ ὑπονοίας πραγμάτων διὰ τὴν προειρημένην αἰτίαν, οἷον ὡς ἐπὶ Ἀρχιδάμου τοῦ κρινομένου διὰ Περικλέους προδοσίας· ἐρεῖ γὰρ, ἀλλὰ πολεμίοις ἑτέροις ἐπιέναι μέλλουσι δέδωκε τὰ ν' τάλαντα, ἀλλὰ τοῖς πενομένοις τῶν πολιτῶν ἴσως αὐτὰ διέ-

24 Mon. δέ. 1 λαβεῖν σώσει Mon.

νειμεν, ἀλλὰ τὰ προσόντα βουλόμενος αὔξειν τῆς τῶν χρημάτων [2] δαπάνης ἀπεκρύψατο τὴν αἰτίαν.

ξά. Ἔτι ζητεῖ, εἰ πλείοσί τις χρήσεται χρώμασιν ἢ ἑνί· δεύτερον δὲ, εἰ καὶ πεπλανημένοις, τουτέστι διαφόροις· ἔστι γὰρ εἶναι καὶ πολλὰ καὶ εἰς ταὐτὸν φερόμενα καὶ διάφορα· τρίτον, εἰ καὶ μαχομένοις· δύναται γάρ τις καὶ διάφορα λέγειν καὶ μὴ μαχόμενα· ἐπαναδραμὼν οὖν πρὸς τὴν τῶν πραγμάτων διαίρεσιν τοιόνδε ἡμῖν κανόνα ἐξέθετο· ἡ δὲ τῶν πραγμάτων διαίρεσις τριχῇ λαμβάνενεται, ἢ γὰρ ἀφ᾽ ὧν αὐτοὶ πεποιήκαμεν καὶ κρινόμεθα, ἢ ἀφ᾽ ὧν ἕτεροι, καὶ ἄντικρυς εἰς ἡμᾶς ἀναφέρεται τὸ κρινόμενον, ἢ ἀφ᾽ ὧν ἕτεροι, καὶ οὐκ ἄντικρυς εἰς ἡμᾶς ἀναφέρεται· ἂν μὲν οὖν, φησὶν, ἀφ᾽ ὧν αὐτοὶ ἐπράξαμεν, κρινώμεθα, ἁπλοῦν ἔσται καὶ μονῆρες τὸ χρῶμα· ἑνὶ γὰρ πάντως χρησόμεθα ἢ καὶ πλείοσιν οὐκ ἐναντίοις, ἀλλ᾽ ἑπομένοις τε καὶ ἀκολούθοις πρὸς ἄλληλα· ἐὰν δέ ἀφ᾽ ὧν ἕτεροι πεπράχασιν, οὕτως ἂν ἔχοι, εἴτε [4] ἄντικρυς εἰς ἡμᾶς ἀναφέροιτο, εἴτε καὶ μὴ πάντως καὶ πλείοσι καὶ ἐναντίοις ἀνάγκη χρήσασθαι, ἵνα μὴ δοκῶμεν περὶ τῆς τῶν ἐναντίων γνώμης διαῤῥήδην ἀποφαίνεσθαι, ἀλλ᾽ ἐνδοιάζειν [5] καὶ στοχάζεσθαι· καὶ σαφὲς ἡμῖν ἑκάτερον ἐπὶ τῶν παραδειγμάτων ἐποίησεν. ἀφ᾽ ὧν μὲν οὖν ἕτεροι πεπράχασιν οὕτως· τρισαριστέως εἰκόνα ἔστησαν οἱ πολέμιοι, καὶ προδοσίας φεύγει· ἐνταῦθα γὰρ πλείοσι καὶ ἐναντίοις χρήσεται· φήσει γὰρ ἢ ἕνεκα τοῦ προτρέψασθαι τοὺς παρ᾽ αὐτοῖς νέους τοῦτο πεποιηκέναι, ἢ θαυμάζοντας αὐτοῦ τὴν ἀνδρείαν, ἢ φθόνον αὐτῷ κινῆσαι βουλομένους· [6] δοκεῖ γάρ πως ἐναντίον εἶναι τὸν φθόνον κινεῖν τῷ θαυμάζειν τήν τε ἀρετὴν τοῦ ἀνδρὸς ἀποδέχεσθαι, καὶ ἔστι πεπλανημένα καὶ οὐκ ἀκολου-

---

2 Mon. χρωμάτων διαπάνης. scr. χρημ. δαπάνης. 3 Mon. ἐπαναιραμένων. 4 Par. 1. εἴπως. 5 Par. 2. ἐνδοιάζειν. Mon. ἐνδυάζειν. 6 Mon. αὐτὸν κινῆσαι βουλόμενος.

θοῦντα ἀλλήλοις· ἐὰν δὲ ἀφ᾽ ὧν αὐτοὶ ἐπράξαμεν ἡ κρίσις ὑπάρχοι, ἓν ἔσται, ἢ εἰ καὶ πλείονα περιλάβοιμεν χρώματα, ἑπόμενά τε καὶ ἀκολουθοῦντα ἀλλήλοις ληψόμεθα· οἷον νύκτωρ τις μεταιτῶν [8] *λῃστείας φεύγει. φαίη γὰρ ἂν τούτου ἕνεκα νύκτωρ, ὅτι αἰσχύνεται μεθ᾽ ἡμέραν φαίνεσθαι μεταιτῶν, καὶ ὅτι οὐδὲ τοῖς ἐντυγχάνουσιν ἐν ἡμέραις βούλεται δυσέντευκτος φαίνεσθαι, καὶ ὅλως εἰ λέγοι πλείονα οὐκ ἐναντία ἀλλήλοις, ἀλλ᾽ ἀκόλουθα, ἐρεῖ τοσαῦτα μὲν περὶ τοῦ ἓν ἢ πλείονα εὑρίσκεσθαι χρώματα· ἄξιον δὲ ἐπιστάσεως ἐκεῖνο, πῶς μονομερὲς κατέλιπεν ὁ τεχνικὸς τὸ κεφάλαιον· τὰ γὰρ ἐκ τοῦ φεύγοντος ἡμῖν ἐτεχνολόγησε μόνα, οὐκέτι δὲ καὶ ἐκ τοῦ κατηγόρου δέδωκεν, ὅπως ἂν λύσαιμεν τὴν μετάθεσιν τῆς αἰτίας, ὅταν διώκωμεν· δεῖ δὲ καὶ τοῦτο ἐξ ἀνάγκης προσεῖναι τῷ κεφαλαίῳ· τὸ γὰρ μονομερὲς οὐ ῥητορικόν· τί οὖν ἂν εἴποιμεν, ὡς τῶν κεφαλαίων τὰ μὲν ἐξ ἑτέρων κεφαλαίων λύεται, τὰ δὲ ἐκ λογισμῶν τινων· ὅσα μὲν οὖν ἐξ ἑτέρων κεφαλαίων λύεται, τούτων παρατίθεται καὶ τὰ ἐναντία, τουτέστι τὴν ἐκ τοῦ ἑκατέρου μέρους ἀνασκευήν, οὐ γὰρ ἂν παραλείποι κεφάλαιον ὁ τεχνικός, ὅσα δὲ ἐκ λογισμῶν* [9] *τινων λύεται, ταῦτα*

---

7 Mon. *εἰ καὶ* om., idem disjungit *περιλάβοι μέν.* 8 Mon. *μετὰ τῶν* et mox *μετ᾽ αὐτῶν.* Sch. min.: *ἐλέγομεν, ὅτι πᾶν χρῶμα ἐκ τῆς τοῦ ἀκολούθου ἀπαιτήσεως λύεται, ὡς Δημοσθένης ἐν τῷ παραπρεσβείας· „εἰ ἐξηπατήθη,* [Cod. *ἐξαπ.*] *ἀναγκαῖον ἦν, αὐτὸν μισεῖν τὸν ἐξηπατηκότα, ἀλλὰ μὲν οὐ μισεῖ τὸν Φίλιππον, οὐκ ἄρα ἐξηπατήθη“* [p. 374.]. *Ἐὰν δὲ ἀφ᾽ ὧν αὐτὸς πεποίηκεν. ἐνταῦθα, κἂν διάφορα λέγειν ἔχῃ πράγματα, ἀλλὰ σύμφωνα ἀλλήλοις εἰκότως· ὥσπερ γὰρ ἄτοπον εἰδέναι δοκεῖν ἀκριβῶς τὰ παρὰ τῶν ἄλλων πραχθέντα, οὕτως ἄλογον, τὸ ἐφ᾽ οἷς τις αὐτὸς ἔπραξεν, ἄλλοτε ἄλλως λέγειν, καὶ μὴ διὰ μιᾶς καὶ τῆς αὐτῆς φέρεσθαι γνώμης, κἂν εἴη πολλὰ τὰ λεγόμενα, δόξει γὰρ ψεύδεσθαι διάφορα λέγων καὶ μὴ τοῖς αὐτοῖς κεχρημένος.* 9 *ἐκ λογισμῶν*

ὑμῖν καταλείπειν εἴωθεν ἔξωθεν· ἡ γὰρ νῦν πραγματεία περὶ τῆς τῶν κεφαλαίων διαιρέσεως μόνης αὐτῷ καθέστηκεν, οἷον ἐπὶ παραδείγματος εἴη σαφέστερον τὸ λεγόμενον, ἡ βούλησις ἑτέρῳ κωλύεται τῇ δυνάμει· ἔνθα παρέθετο καὶ τὴν δύναμιν, λυτικὴν οὖσαν τῆς βουλήσεως· αὐτὴ δὲ πάλιν ἡ δύναμις οὐχ ἑτέρῳ κεφαλαίῳ, ἀλλά τισι λύεται λογισμοῖς· τούτων οὐκέτι μνήμην ἐποιήσατο εἰς τὸ κεφάλαιον· οὐ γὰρ ἔμελλεν ἐρεῖν ἄλλα τινὰ ἐπιχειρήματα ἔξωθεν· ὁ μὲν οὖν ὑγιὴς λόγος οὗτος ἔφασαν δέ τινες, ὡς λυτικὰ εἴη τῆς μεταθέσεως τῆς αἰτίας τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους· τούτων δὲ ἤδη προεξητασμένων, πῶς ἂν ἑτέρων ἐδεῖτο πρὸς λύσιν· εἰ γὰρ τῶν ἀεὶ ἐπιφερομένων, φασὶ, λύσεις διδόναι μέλλομεν, [10] εἰς ἀπέραντον ἐκβήσεται ὁ λόγος· ἀλλὰ τοῦτό γε ἠλίθιον· λύεται τοίνυν ἡ μετάθεσις τῆς αἰτίας ἀπαιτήσει τοῦ ἀκολούθου καὶ ἀναιρέσει, καὶ ἔστιν αὕτη τις μεγίστη ὡς ἀληθῶς καὶ θαύματος ἀξία λύσις· πρῶτον μὲν οὖν τὴν ἀπαίτησιν τοῦ ἀκολούθου ποιούμεθα κατὰ θέσιν, εἶτα οὐ μέχρι τοῦδε ἱστάμεθα, ἀλλὰ κατὰ ἀναίρεσιν τοῦ ἀκολούθου τὸν λόγον ἐκφέρομεν, ὡς ἐὰν τὸ λεγόμενον ἐναργέστερον τῷ ἀκούοντι γίνοιτο· καὶ ἔστω τὸ τοιοῦτον ἐν παραδείγμασι· νέος πλούσιος τρέφων τοὺς ἀποκηρύκτους κρίνεται τυραννίδος ἐπιθέσεως· τὸ μὲν γὰρ χρῶμα, ὡς τοῦτο ἔδρων ὑπὲρ τῆς πόλεως, ἵνα μή τινες ἐν ταύτῃ τῶν ἀναγκαίων τροφῶν ἀποστερούμενοι εἰς τὸ ἐπιβουλεύειν ἔλθοιεν· ἡ δὲ τούτου λύσις πρῶτον μὲν κατὰ τὴν ἀπαίτησιν τοῦ ἀκολούθου· καὶ μὴν εἰ τῆς πρὸς τὴν πόλιν φιλοτιμίας ἕνεκα τοῦτο ἔπραττον, ἐχρῆν καὶ ἐν ἄλλοις ποτὲ τὸ τοιοῦτο ἐνδεδεῖχθαι, καὶ χρημάτων μὲν σπανιζούσῃ τῇ πόλει ἀργύριον ἐπιδοῦναι· σίτου δὲ ἀπο-

τινων — — — αὐτῷ καθέστηκεν οἷον Mon. om., qui ita legit: ὅσα δὲ ἐκ παραδείγματος, ἢ εἰ σαφές. 10 Mon. μέλλοιμεν.

ρουμένῃ τὸ ἐντεῦθεν ἐπικουφίσαι δυσχερὲς, καὶ ὅσα ἂν ἕτερα διδῷ ἡμῖν τὸ ὑποκείμενον πρόσωπον· ἔπειτα κατὰ τὴν [11] ἀναίρεσιν· περιφανέστερον γὰρ οὕτως τὸν ἔλεγχον ποιησόμεθα· ἀλλὰ μὴν οὐδέποτε σίτου δεομένῃ πολλάκις ἐπέδωκας, οὐδέποτε χρημάτων εὐπορίαν εἰσήνεγκας· οὐκ ἄρα οὐδὲ τοῦτο τῆς περὶ τὴν πόλιν ὠφελείας ἕνεκα ἔπραττες· οὕτω καὶ Δημοσθένης ἐν τῷ παραπρεσβείας· τοῦ γὰρ Αἰσχίνου φάσκοντος μηδὲν ἑαυτὸν ἡμαρτηκέναι, ἀλλ᾽ ἅπερ Φιλίππου φάσκοντος ἀκήκοε ταῦτα ἀπηγγελκέναι, ὥστε εἴ τι περὶ τὴν πόλιν μηχάνημα γέγονε, τοῦτο Φιλίππου εἶναι οὐκ αὐτοῦ, ἐξέβαλεν ὁ ῥήτωρ τοῦτο ἐκ τῆς τοῦ ἀκολούθου ἀπαιτήσεως καὶ ἔτι τῆς ἀναιρέσεως· „εἰ γὰρ," φησὶ, [12] μὴ δῶρα λαβὼν καὶ συνειδὼς ταῦτα ἔλεγες, ἀλλ᾽ ἐξηπάτησο, κατηγόρεις ἂν τῆς Φιλίππου βδελυρίας, καὶ ὡς ἐχθρὸν ᾐτιῶ παρελθών· ἀλλὰ μὴν οὐ κατηγόρησας, οὐ φαῦλόν τι διελέχθης περὶ αὐτοῦ πώποτε, οὐκ ἄρα ἐξαπατηθεὶς ταῦτα ἀπήγγειλας."

ξβʹ. Τὸ χρῶμα ὠνόμασται μὲν οὕτως ἀπὸ μεταφορᾶς τῶν ἐν τοῖς σώμασιν. ὥσπερ ἐκεῖνα δι᾽ ὅλων διήκει τῶν ὑποκειμένων, διὰ μὲν τῆς χιόνος ἡ λευκότης, διὰ δὲ τοῦ κόρακος [13] ἡ μελανία, οὕτως καὶ τοῦτο τὴν πᾶσαν τοῦ φεύγοντος χρώννυσιν ἀπολογίαν· καὶ ἀτέχνως ὥσπερ αἱ κομμώτριαι [14] τὰ δύσμορφα πρόσωπα κόσμοις ἐπιθέτοις καλύπτουσιν, οὕτως ὁ φεύγων τὸ δυσειδὲς τῶν ὑπὸ τῆς κακίας τετολμημένων ἐπιπλάστῳ καλύπτει χρώ-

11 Par. 1. τὴν om. 12 p. 374. 13 Mon. κεφαλαίου ἡ μελανίου. 14 Mon. κοσμώτριαι. Sch. min.: ταῦτα γὰρ πολλὰ ὄντα· ἰστέον δὲ, ὅτι ἐπὶ τοῦδε ἓν ἐμπίπτει χρῶμα, ἑνὸς ὄντος τοῦ τεκμηρίου τοῦ παρεστῶτος τῷ νεοσφαγεῖ σώματι· ἐνίοτε δὲ καὶ πλείω, ἀκόλουθα μέντοι, ὡς ἐπὶ τοῦ νύκτωρ προσαιτοῦντος καὶ κρινομένου λῃστείας· ἐρεῖ γὰρ, ὡς ᾐδούμην, μεθ᾽ ἡμέραν προσαιτεῖν, καὶ νύκτωρ μᾶλλον οἰκτείρουσιν ἄνθρωποι.

ματι, καθαρόν τε καὶ ἀκηλίδωτον τὸ ἀκάθαρτον καὶ μεμολυσμένον ἐπιδεικνύναι σπουδάζων. καλεῖται δὲ καὶ μετάθεσις αἰτίας, διότι τὸ ἐπιφερόμενον ἔγκλημα ἐπί τι ἀνεύθυνον ἢ ἐπαίνου ἄξιον μετάγειν πειρᾶται ὁ φεύγων διὰ τοῦ κεφαλαίου τούτου.

ξγ'. Φανεροῖ διὰ τοῦ παραδείγματος τὸ λεγόμενον· ἐνταῦθα γὰρ εἰ καὶ πολλὰ τὰ χρώματα, οὐ μὴν ἐναντία. ἰστέον δὲ, ὅτι ὁ μὲν Ἑρμογένης μετὰ τὴν ἀντίληψιν τάττει τὸ κεφάλαιον τοῦτο, τὴν μετάθεσιν λέγω τῆς αἰτίας· ὁ μέντοι Μινουκιανὸς ἀναιδὲς εἶναι δοκεῖ λέγειν, ὅτι ἐξῆν μοι ποιεῖν, ἐφ' οἷς [15] ὡς ἀδικήσας εὐθύνεται· τυραννικὸν γὰρ ἄντικρυς φαίνεται τὸ λέγειν, ὅτι ἐξῆν μοι καὶ τὰ τοιαῦτα· ἀμφότεροι μέντοι καλῶς ὑπὲρ τούτου ἀπεφήναντο, καὶ δεῖ τοῖς ἑκατέρων βουλήμασι χρῆσθαι· εἰ μὲν τὸν κατήγορον μελετῶμεν, τὴν ἀντίληψιν αὐτίκα προσοίσομεν, δεικνύντες αὐτὸν ἐφ' οἷς ἥμαρτε μεγαλόφρονα καὶ τυραννικῶς ἀπολογεῖσθαι πειρώμενον· εἰ δὲ τὸν φεύγοντα, προτέραν προβαλούμεθα τὴν μετάθεσιν.

ξδ'. Ἑκατέρῳ μὲν τῶν ἀγωνιζομένων ἡ τέχνη συμμαχεῖ, πῇ μὲν τῷ κατηγόρῳ, πῇ δὲ τῷ φεύγοντι τὰ κεφάλαια διελομένη· μάλιστα δὲ τοῦ φεύγοντος πολλὴν τίθεται πρόνοιαν. ἐπειδὴ γὰρ ἰσχυρὸς πέφυκεν ὁ κατήγορος ἐκ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἐλέγχων, τὸν φεύγοντα διὰ τοῦτο παρέσχεν ἡ τέχνη, βοηθοῦσα αὐτῷ ἐξῆς τρία κεφάλαια, τὴν ἀντίληψιν, τὴν μετάθεσιν, τὴν πιθανὴν ἀπολογίαν· ταῦτα γὰρ πάντα πρὸς [16] τὰ ἀπ' ἀρχῆς ἀχρὶ τέλους ὁρμᾶται, τρόπον τινὰ πρὸς αὐτὰ ἀγωνιζόμενα· [17] πιθανὴ δὲ ἀπολογία τοῦτο λέγεται μόνον, καί τοι καὶ τῶν ἄλλων κεφαλαίων πιθανῶν ὄντων, διότι

15 Mon. εὐθύς. Par. 1. ἐφ' οἷς. 16 πρὸς Mon. om. 17 Mon. Par. 2. ἀγωνιζόμενα. Par. 1. ἀγωνιζόμεθα.

τοσαύτης μετέχει πειθοῦς, ὥστε τοῖς αὐτοῖς κεχρῆσθαι τεκμηρίοις τὸν φεύγοντα τοῦ μὴ πεποιηκέναι ὅπερ ἐγκαλεῖται ἢ μέλλει ποιήσειν, οἷσπερ ὁ κατήγορος κέχρηται τοὐναντίον ἀποδεικνύων.

ξέ. Τὸ ἀναστρέφουσα[18] τινὲς ἀντὶ τοῦ λύουσα λαμβάνουσι. τοῦτο δὲ εὔηθες· καὶ γὰρ ἡ μετάθεσις τῆς αἰτίας καὶ ἡ ἀντίληψις λυτικά εἰσι τῶν ἀπ᾿ ἀρχῆς ἄχρι τέλους. κρεῖττον δὲ αὐτὸ χωρὶς τῆς προθέσεως προφέρειν· ἀναστρέφουσά ἐστι τὰ ἀπ᾿ ἀρχῆς ἄχρι τέλους. περιττὴ γὰρ ἡ πρὸς πρόθεσις· ἀναστρέφει δὲ οὕτως· τῶν γὰρ ἀπ᾿ ἀρχῆς ἄχρι τέλους ἀπὸ τοῦ σημείου λαμβανομένων, οἷον ἐφόνευσας, παρίστασο γάρ, αὕτη ἀναστρέφει ταῦτα καί φησιν· ὅτι εἰ ἐφόνευσα, οὐκ ἂν παριστάμην, ἢ ἡ ἀνὰ πρόθεσις περιττεύει· οὕτω γὰρ κέκληται παρὰ τὸ στρέφειν τὸ σημεῖον εἰς τὸ ἐναντίον· ἃ γὰρ ὁ κατήγορος ποιεῖται σημεῖα τοῦ ἐγκλήματος, δι᾿ ὧν ὑπεύθυνον τὸν φεύγοντα τῷ ἐγκλήματι καθίστησι, ταῦτα ἐν τῇ πιθανῇ ἀπολογίᾳ ὁ φεύγων ἀντιστρέφει, τοῦ μὴ πεποιηκέναι τὸ ἐγκαλούμενον σημεῖον τιθέμενος.

ξϛ'. Τοῦ γὰρ κατηγόρου τὰ ἀπ᾿ ἀρχῆς ἄχρι τέλους κατασκευάζοντος, ὅτι ὅπου ἐδάκρυες τυραννεῖν ἤθελες, καὶ σημεῖα ποιουμένου τυραννίδος τὰ δάκρυα, ὁ φεύγων σημεῖα ποιεῖται τοῦ μὴ ἐθέλειν τυραννεῖν· ἐρεῖ γάρ, καὶ μὴν εἰ ἤθελον τυραννεῖν, οὐκ ἂν ἐδάκρυον, ἵνα ὕποπτος γένωμαι· ζητητέον δὲ, τί διαφέρει[19] τῆς μεταθέσεως;

---

18 Sch. min.: τινὲς ἐξηγοῦνται τὸ ἀναστρέφουσα ἀντὶ τοῦ λύουσα τὰ ἀπ᾿ ἀρχῆς ἄχρι τέλους. τοῦτο δ᾿ εὔηθες, καὶ γὰρ ἡ μετάθεσις τῆς αἰτίας καὶ ἡ ἀντίληψις λύσις ἐστί· λέγομεν δὲ, ὅτι ἡ πιθανὴ ἀπολογία ἐκ τοῦ πρός τι, ἵνα λέγωμεν, τὰ ἀπ᾿ ἀρχῆς ἄχρι τέλους ἐστὶν, οἷον ἐφόνευσας, παρίστασο γάρ, καὶ ὁ φεύγων φησὶν, ὅτι, εἰ ἐφόνευσα, οὐκ ἂν παριστάμην· τοῦτο δέ ἐστιν ἀναστρέφον.
19 Mon. ζητητέον, τί μεταφέρει — — κἀκεῖνο ὡς τὸ ἀπ᾿ ἀ. ἄ. τ. φέρετε.

καὶ τοῦτο γὰρ κἀκεῖνο πρὸς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους φέρεται· λέγομεν οὖν, ὅτι ἡ μὲν μετάθεσις τὸ παρὰ κατηγόρου ἐπιφερόμενον μετατίθησιν ἐπὶ τὸ ἀνεύθυνον, ἡ δὲ πιθανὴ ἀπολογία τὸ ἐναντίον τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους κατασκευάζει· ὁρμᾶται μὲν γὰρ καὶ αὕτη πρὸς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, οὐ τὸν αὐτὸν δὲ τρόπον λαμβάνεται, ἀλλ' ἀναστρέφει ἀπὸ τοῦ ἐγκλήματος εἰς αὐτά. οἷον ὡς ἐπὶ τοῦ κρινομένου φόνου, ἐρεῖ γὰρ, ὅτι καὶ μὴν αὐτὸν εἴπερ ἀνεῖλον, οὐκ ἂν παριστάμην. καὶ ἔστι τοῦτο ἰσχυρότατον ἄγαν τῷ φεύγοντι· τὰ μὲν γὰρ ἄλλα ἔξωθεν ἦν τοῦ προβλήματος, οἷον τὸ παραγραφικὸν, ἡ τῶν ἐλέγχων ἀπαίτησις, ἡ μετάθεσις τῆς αἰτίας, ἡ ἀντίληψις· τοῦτο δὲ ἐκ τῆς τοῦ κατηγόρου φωνῆς τὸ βέβαιον ἐπιδέχεται, ἀλλ' οὐκ ἔξωθεν· λέγει γὰρ ὅτι εἰ τοῦτο πρὸς κατασκευὴν λαμβάνεις τοῦ φόνου, τὸ παρεστάναι, αὐτὸ τοῦτο τῆς ὑποψίας ἐλευθεροῖ· εἰ γὰρ ἀνεῖλον, οὐκ ἂν παριστάμην, καὶ ἔοικεν ὁδῷ τινι βαδίζειν ταῖς ἀπολογίαις. Τὸ μὲν γὰρ πρῶτον ἀντιλήψει χρήσεται, ὅπερ δοκεῖ προπετέστερον εἶναι καὶ μηδὲν ἔχειν πρὸς ἀπολογίαν λαμπρόν. δεύτερον προβαλεῖται τὴν δικαιολογίαν ἰσχυρὰν ἤδη δοκοῦσαν εἶναι· τρίτον, ὃ πάντων ἐστὶν ἰσχυρότατον, καὶ πιθανὴν ἀπολογίαν ἐποίσει· [20] *διὸ καὶ τῷ κατηγόρῳ πολλὴν παρέχει τὴν ἀπορίαν, καὶ σχεδὸν ἄλυτος εἶναι δοκεῖ, καὶ ὁ λύειν ταύτην βουλόμενος ἐπὶ τὸ θεῖον ἀνατρέχει λέγων, ὅτι ἐχρῆν σε δοῦναι τὴν τιμωρίαν, καὶ διὰ τοῦτο παρίστασο.*

ξζ'. Καὶ ἐπὶ τοῦ ἐν συμποσίῳ τυραννήσειν ὀμόσαντος καὶ κρινομένου· συνιστὰς γὰρ, ὅτι οὐχ ὡς διανοούμενος τυραννεῖν, ἀλλ' ὡς παιδιᾷ χρώμενος, ἰσχυριεῖται, ὅτι εἴπερ ἠβουλόμην ἀληθῶς τυραννεῖν, οὐκ ἂν πρὸς τοὺς συμπότας τοῦτο ἐξέφηνα.

---

20 Mon. ἀποίσει.

ξη΄. Ἐζήτησεν ὁ τεχνικὸς, εἰ τῶν ἀεὶ ἐμπιπτόντων τὸ κεφάλαιον, καὶ εἶδεν ὡς οὐκ ἀεὶ δυνατὸν ἐμπεσεῖν τὴν πιθανὴν ἀπολογίαν, ὅ ἐστιν τὴν ἀντιστροφὴν [21] τὴν εἰς τὸ ἐναντίον, καί [22] φησιν, ὅτι τότε ἐκλείπει, ὅταν τὸ σημεῖον ἀκόλουθον ᾖ τῷ ἐγκλήματι, καὶ ἀναγκαῖον καὶ σύμφωνον. ἐκεῖ γὰρ ἐμπίπτει, ὅτε ἀκόλουθόν [23] ἐστι πρὸς τὸ ἔγκλημα τὸ σημεῖον. καὶ ἐπὶ τοῦ δακρύσαντος πρὸς τὴν ἀκρόπολιν, ἐρεῖ γὰρ, ὅτι καὶ μὴν εἰ ἐβουλόμην τυραννεῖν, οὐκ ἂν ἐδάκρυσα· οὐκ ἐμπίπτει δὲ, ὅτε ὡσανεὶ μέρος ἐστὶ τοῦ ἐγκλήματος καὶ δοκεῖ πως ὑπεύθυνον εἶναι καὶ ἀκολουθίαν σώζει πρὸς τὸ ἔγκλημα, ὡς ἐφ᾽ οὗ παρέθετο παραδείγματος· οὐ δύναται γὰρ εἰπεῖν. καὶ μὴν εἴπερ ἐβουλόμην τυραννεῖν, οὐκ ἂν εἶχον χιλίας πανοπλίας· μάλιστα γὰρ πρέπει τοῖς τυραννεῖν βουλομένοις ὅπλων κτῆσις.

ξθ΄. Τὴν πιθανὴν ἀπολογίαν ἄγουσιν εὐθὺς ἐκ τῆς ὀνομασίας εἰς ζήτησιν. ἢ γὰρ τὰ ἄλλα τῶν κεφαλαίων, ὅσα πρὸς τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους κομίζεται, ἀνάγκη, φησὶ, καθεστάναι ἀπίθανα, ἢ τόδε τὸ κεφάλαιον οὐκ ἔδει μόνον ἐκ πάντων ταύτης τῆς ὀνομασίας τυχεῖν· φαμὲν δὲ, ὡς ἡ ἀντίληψις τὴν ἐξουσίαν προτείνεται· ἡ μετάθεσις τὸ συναγόμενον ἐκ τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ἔγκλημα εἰς χρηστότερόν τι μεθίστησι ψιλῶς ἀποφαινομένη. ἡ δὲ πιθανὴ ἀπολογία οὐ μετατίθησιν εἰς ἕτερον, ἀλλ᾽ ἀναστρέφεται ὅλως πρὸς τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους· καὶ ἀφ᾽ ὧν κατασκευάζει τὸ ἔγκλημα ἐν τοῖς ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ὁ διώκων, ἀπ᾽ αὐτῶν τούτων τὸ μὴ οὕτως ἔχειν δείκνυσιν διὰ τῆς πιθανῆς ἀπολογίας ὁ φεύγων· μέγιστος δὲ οὗτος ἔλεγχος δήπουθεν, ὅταν ἐξ αὐτῶν τῶν παρ᾽ αὐτοῦ τοῦ ἐναντίου λόγων τὰ οἰκεῖά

21 Mon. Par. 2. ἀναστροφήν. Par. 1. ἀντιστροφήν. 22 καὶ Mon. Par. 2. om. 23 Mon. ὅτι ἀνακόλουθον.

τις ἔχοι κατασκευάζειν, ὅταν διὰ τῆς πιθανῆς ἀπολογίας τῷ φεύγοντι περιγίνηται, πῶς οὖν οὐκ εἰκότως τὸ κεφάλαιον τοῦτο διαφερόντως τῶν ἄλλων τῆςδε τῆς ὀνομασίας τετεύξεται; ἴδωμεν δὲ ἐπὶ παραδείγματος, ὅπερ φαμέν· νέος πλούσιος ἐν συμποσίῳ ὤμοσε τυραννήσειν καὶ κρίνεται τυραννίδος ἐπιθέσεως· ὁ μὲν γὰρ κατηγορῶν χρήσεται πρὸς πίστιν τοῦ ἐγκλήματος τῷ [24] ὀμωμοκέναι τὸν νέον, ὁ δὲ φεύγων αὐτῷ τούτῳ τὸ ἔγκλημα διαφεύξεται, τῷ φάσκειν [25] μὴ ἂν προειπεῖν αὐτὸν μηδὲ ἅπασι καταστῆσαι [26] τοῦτο περιφανὲς, εἴπερ τυραννήσειν ἐβούλετο. ζητήσοι δ' ἄν τις τούτων τῇδε ἐχόντων, πῶς εἰ τῶν ἄλλων κεφαλαίων τοῦτο καθέστηκε πιθανώτατον, οὐκ ὀνομάζεται καὶ χρῶμα, καὶ πανταχοῦ τοῦ λόγου παραληφθήσεται, [27] ἀλλὰ ταῦτα μὲν [28] τῇ μεταθέσει τῆς αἰτίας παρέχομεν; πρὸς ὃ ῥητέον ὡς χρῶμα μὲν οὐ καλεῖται, ἐπεὶ οὐ διὰ παντὸς τοῦ λόγου παραλαμβάνεται, διόπερ ἐλέγομεν χρῶμα τὴν μετάθεσιν τῆς αἰτίας εἰρῆσθαι· οὐ παραλαμβάνεται δὲ ἐν παντὶ λόγῳ, ἐπειδὴ ἀναίρεσίς ἐστι καὶ οὐ θέσις· καὶ σαφὲς ὃ λέγω γινέσθω· χρῆται τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους θετικῶς ὁ κατήγορος, τίθεται [29] γὰρ τὸ ἔγκλημα καὶ οὐκ ἀναιρεῖ τι, ἀλλὰ κατασκευάζει τὴν κατηγορίαν τούτῳ τῷ κεφαλαίῳ· τῶν τοίνυν ἀπ' ἀρχῆς ἄχρι τέλους πανταχοῦ τῶν λόγων παραλαμβανομένων κατὰ θέσιν καὶ οὐκ ἀναίρεσιν, ἀνάγκη τὸν φεύγοντα ἀντιτάξαι παραπλήσιον τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους κεφαλαίοις, ὅπερ ἐστὶν ἡ μετάθεσις τῆς αἰτίας· ὁ γὰρ κατήγορος ἔγκλημα ἐκ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἄγει· τοὐθ' ὁ διώκων εἰς ἑτέραν αἰτίαν μεθίστησιν ἐν τῇ μεταθέσει τῆς αἰτίας, καὶ ὅλως

24 Par. τό. 25 Mon. φάσκων, sine τῷ. 26 Mon. καταστῆ. Par. 1. τοῦτο καταστῆσαι καταφανές. 27 Par. ληφθήσεται. 28 μὲν Mon. om. 29 Mon. Par. 2. τίθησι. Par. 1. τίθεται.

μετάθεσις καλούμενον τὸ κεφάλαιον ἐνδείκνυται τὴν φύσιν ἐκ τοῦ ὀνόματος· δηλοῖ γὰρ, ὅτι θέσεως ἑτέρας ἐφ᾽ ἕτερόν τί ἐστι μετάθεσις· τῶν οὖν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους κατὰ θέσιν πανταχοῦ παραλαμβανομένων οὐκ ἄλλα τινὰ τῷ διώκοντι ἀντιθεῖναι κεφάλαια ἔδει, ἢ τὴν μετάθεσιν τῆς αἰτίας θετικῶς καὶ αὐτὴν τὸ ἐξ ἐκείνων ἀποδεικνύμενον ἔγκλημα ἐφ᾽ ἕτερόν τι χρηστότερον μεταφέρουσαν· ἡ γὰρ πιθανὴ ἀπολογία οὐ κατὰ θέσιν, κατὰ δὲ ἀναίρεσιν γίνεται· ἀποστρέφεται γὰρ [30] πρὸς τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, καὶ εἰς τοὐναντίον περιτρέπει αὐτά· δεῖ δὲ τὰ καθηγούμενα συνεχῶς μᾶλλον ἢ τὰ ἀντιθετικά τε καὶ λυτικὰ τῶν ἐναντίων παραλαμβάνειν· τὰ μὲν γὰρ ὠφελεῖ, τὰ δὲ τὸ μὴ βλαβῆναι μόνον παρέχεται· περὶ μὲν οὖν τοῦ μὴ καλεῖσθαι χρῶμα τὴν πιθανὴν ἀπολογίαν ἀρκούντως εἴρηται· κατώρθωται δὲ τῷ αὐτῷ λόγῳ καὶ ἡ τάξις αὐτῶν, ὡς ἔδει τὴν μετάθεσιν τῆς αἰτίας, χρῶμά γε οὖσαν, ἡγεῖσθαι, [31] καὶ ὅλως ὀφείλουσαν τῆς ἀναιρέσεως θέσιν οὖσαν προτάττεσθαι. Δεδειγμένων οὖν τοῦ τε ὀνόματος καὶ τῆς τάξεως τοῦ κεφαλαίου, ὅπερ κἀπὶ τῶν ἄλλων ἐποιησάμεθα, ἰτέον ἐπὶ τὴν ἐργασίαν αὐτοῦ. κατασκευάσει τοίνυν ὁ φεύγων διὰ τῶνδε τῶν ἐπιχειρημάτων τὸ κεφάλαιον. πρῶτον ἐκ τοῦ μηδὲν ὠφελεῖσθαι μηδὲ πλέον τι ἔχειν ἐντεῦθεν· οἷον ὁ εἰς τὴν ἀκρόπολιν ἀπιδὼν καὶ δακρύσας λέγοι ἂν, [32] ὡς οὐδὲν ἔμελλον ἐκ τοῦ δακρύειν πρὸς τὴν ἐπίθεσιν τῆς τυραννίδος ὠφεληθήσεσθαι· ἔπειτα ἐκ τοῦ βλάπτεσθαι, ὡς ἐπὶ τοῦ αὐτοῦ παραδείγματος, ὅτι οὐ μόνον οὐ περιεγένετό μοί τις ἀπὸ τοῦ δακρύειν ὄνησις, ἀλλ᾽ ἔτι καὶ μέγιστον ἐντεῦθεν βλάβος ἐλάμβανον, καθιστὰς φανερὰν

30 γὰρ Mon. om., recepi ex Parr. — Par. 2. ἀναστρέφεται.

οι
31 Par. 1. ἡγεῖσθαι, χρῶμα γε οὖσαν. 32 Mon. λέγει sine ἄν.

ρὰν τὴν ἐμαυτοῦ γνώμην, ὅπερ νῦν πέπονθα, τυραννῆσαι ὑποπτευθείς· τρίτον ἐξ ἀντεισαγωγῆς ἑτέρας ἀνευθύνου, ὃ καὶ μάλιστα γίνεται ἐναργέστερον. οἷον ὅτι τόδε ἂν μᾶλλον ἔπραττον, εἴπερ ἐπὶ τοῦτο ἐλθεῖν ἐγλιχόμην, δι᾽ οὗ συνέβαινεν ἄμφω, τό τε κατορθοῦν καὶ τὸ κινῆσαι μηδ᾽ ἡντινοῦν ὑπόνοιαν· γενέσθω δὲ τοῦτο σαφέστερον ἐπὶ παραδείγματι· κάθοδον ὁ Δημοσθένης ἐψηφίσατο· φεύγοντι πένητι ἀντεῖπεν ὁ πλούσιος, καὶ ἡττήθη, κατιὼν ὁ πένης ἀνῃρέθη καὶ κρίνεται ὁ πλούσιος φόνου· εἶτα ἐκ τῆς τοῦ ἀνευθύνου ἀντεισαγωγῆς, ᾗ καὶ μάλιστα διαφανέστερον χρήσεται, ὡς εἴπερ ἐβουλόμην ἀποκτιννύναι τὸν πένητα, αὐτὸς μὲν ἂν τὴν ἡσυχίαν ἦγον, ἕτερον δὲ τῶν μετριωτέρων ἐπὶ τὴν ἀναίρεσιν παρεκάλουν καὶ συνέβαινεν οὕτω μοι τοῦ τε ἐχθροῦ κεκρατηκέναι καὶ πάντα ἐκπεφευγέναι κίνδυνον. Περὶ μὲν οὖν τῆς ἐργασίας καὶ τῶν ἐπιχειρημάτων τοσαῦτα ἔχομεν λέγειν· ζητεῖ δὲ ὁ τεχνικὸς τὴν κοινὴν ἐπὶ παντὸς κεφαλαίου ζήτησιν εἰπών, εἰ ἀεὶ ἐμπιπτόντων ἐστὶ, καὶ πότε ἐμπίπτει· περιφανέστατα δὲ αὐτὸς ἑκάτερον ἐδίδαξε· πρῶτον μὲν ὡς οὐκ ἀεὶ ἐμπίπτει εἰπών, ἔπειτα καὶ τὴν περὶ τοῦ πότε διδασκαλίαν προσθείς· ἐμπίπτει μὲν γάρ, φησίν, ὅταν μὴ ἑπόμενα μηδὲ συμφωνοῦντα ᾖ τὰ σημεῖα τῷ ἐγκλήματι, οἷον ἀπιδών τις εἰς τὴν ἀκρόπολιν ἐδάκρυσε, καὶ κρίνεται τυραννίδος ἐπιθέσεως· οὐ γὰρ ἕπεται οὐδὲ ἁρμόζει τῇ τυραννίδι τὰ δάκρυα· τοὐναντίον γε μὴν ἐλεεινοῦ τὸ δακρύειν καὶ ταπεινοῦ τὸ φρόνημα, οὐχὶ τυράννου ἢ μέλλοντος τυραννεῖν· οὐκ ἐμπίπτει δὲ, ὅταν ἐκ τοῦ ἐναντίου συμφωνοῦν τε καὶ ἑπόμενον ᾖ τῷ ἐγκλήματι τὸ σημεῖον, ὡς ἐπὶ τοῦ ἀπεκτονότος καὶ τὸ ξίφος κρατοῦντος· ἑπόμενον γὰρ τὸ ξίφος τῷ φόνῳ, καὶ εἴ τῳ τυραννίδος κρινομένῳ σημεῖον γίνεται τοῦ ἐγκλήματος ὅπλων παρασκευὴ, ὡς ἐπ᾽ ἐκείνου τοῦ παραδείγματος· σκηπτοῦ κατενεχθέντος ἐπὶ τὴν Περικλέους

οἰκίαν εὕρηνται χίλιαι πανοπλίαι, καὶ κρίνεται τυραννίδος ἐπιθέσεως, προσφυὲς γὰρ τῇ τυραννίδι ἡ παρασκευὴ τῶν ὅπλων· ἐνταῦθα οὖν ἐλλείπει ἡ πιθανὴ ἀπολογία. οὐ γὰρ οἷόν τε λέγειν, ὡς εἴπερ ἐβουλόμην τυραννεῖν, οὐκ ἂν ὅπλα παρεσκευαζόμην, τοῦτο γὰρ ἠλίθιον· δεῖ γὰρ ὅπλων τῇ τυραννίδι· ἐπεὶ δὲ τὸ μάλιστα πιθανὸν ἐν τούτῳ τῷ κεφαλαίῳ ἔχομεν, [33] εἰ καὶ πιθανὴν αὐτὸ καλοῦμεν ἀπολογίαν, δοκοῦμεν ἀπίθανον ἔχειν τὸν λόγον τούτου ἐλλείποντος· δεῖ δὲ πανταχοῦ τῷ ῥήτορι τοῦ πιθανοῦ· διὰ τοῦτο μέθοδόν τινα διαλεκτικὴν ὁ τεχνικὸς ἡμῖν δίδωσι, δι᾽ ἧς δυνάμεθα ἐν τοῖς τοιούτοις ἀναπληροῦν τὸ τῆς ἀπολογίας, ὥστε μὴ ἐλλείπειν τρόπον τινὰ τὸ κεφάλαιον. Ὀνομάζει [34] δὲ τουτονὶ τὸν [35] διαλεκτικὸν τρόπον Ἀριστοτέλης παρὰ τὸ ἑπόμενον, ὅταν τῇ προτάσει καὶ τῇ κατασκευῇ οὐχ ἑπομένην δῶμεν τὴν ἀναστροφὴν, ἀλλὰ σεσοφισμένην, οἷον ὁ ἀλεκτρυὼν δίπους, ἀλλὰ μὴν καὶ ὁ ἄνθρωπος δίπους, ὁ ἄνθρωπος ἄρα ἀλεκτρυών. τὸ μὲν γὰρ εἶναι δίπουν τὸν ἄνθρωπον καὶ τὸν ἀλεκτρυόνα ἀληθὲς, τὸ δὲ τὸν ἄνθρωπον εἶναι ἀλεκτρυόνα σεσόφισται· οὐ γὰρ, εἴ τι δίπουν, τοῦτο ἀλεκτρυών· καὶ πάλιν ὁ ἵππος ζῶον, καὶ ὁ ἄνθρωπος ζῶον, ὁ ἄνθρωπος ἄρα ἵππος ἐστίν· ἦν δὲ ὁ συλλογισμὸς ἐκεῖνος ἀληθὴς, ὁ ἵππος ἄρα καὶ ὁ ἄνθρωπος ζῶά εἰσιν· ἔῤῥωτο γάρ· ἡ δὲ ἀναστροφὴ σεσόφισται· οὕτω καὶ Δημοσθένης ἐν τῷ περὶ στεφάνου παραλογίζεται τὸν Αἰσχίνην, φησὶ γὰρ οὕτως· [36] „οὐκοῦν ὅτε τούτου μέλλοντος λέγειν ἀπήλασεν αὐτὸν ἡ βουλὴ, καὶ προσέταξεν ἑτέρῳ λέγειν, τότε καὶ προδότην εἶναι καὶ κακόνουν ἡμῖν ἀπεφήνατο.“ τοὺς μὲν γὰρ προδότας ἐκβάλλεσθαι ὁμολογεῖται, τὸ δὲ τοὺς ἐκβαλλομένους πάντως εἶναι προδό-

33 ἔχομεν Mon. om. 34 Mon. ὀνομασίας. 35 Par. 1. τὸν om. 36 p. 272.

τας οὐκ ἀληθές· ὁ μὲν οὖν κατήγορος τούτῳ χρήσεται τῷ σοφίσματι, παραλογιζόμενος ἐν τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους· ὁ δὲ φεύγων ἐπὶ τῆς πιθανῆς ἀπολογίας ἀναστρέψας τὸ σόφισμα ἐλέγχει τὸ ψεῦδος, ὥσπερ ἐπὶ τῶν προκειμένων παραδειγμάτων· σκηπτοῦ κατενεχθέντος εἰς τὴν Περικλέους οἰκίαν εὑρέθησαν χίλιαι πανοπλίαι καὶ κρίνεται τυραννίδος ἐπιθέσεως· ὁ μὲν γὰρ διώκων ἐν τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους παραλογιεῖται, καθ' ὃν ἔφαμεν διαλεκτικὸν τρόπον, τὸν παρὰ τὸ ἑπόμενον, ὅτι ὅπλων δεῖ τοῖς τυράννοις. ὅπλα εὑρέθησαν ἐν τῇ Περικλέους οἰκίᾳ, τυραννήσει ἄρα ὁ Περικλῆς· ὁ δὲ φεύγων ἀναστρέψει, σαφῆ ποιῶν τὸν παραλογισμὸν, ὅτι ὅπλα μὲν παρασκευάζονται οἱ τύραννοι, οὐκ εἴ τις δὲ ὅπλα παρασκευάζεται, οὗτος καὶ τυραννήσει· εἰκὸς γὰρ καὶ ἐπ' ἄλλῳ τὸ ὅπλα παρασκευάζεσθαι, οἷον ἐπὶ τῷ τοῖς πολίταις ἐν χρείᾳ γενομένοις ἐπιδοῦναι, ἢ ὅτι φύσει φιλότιμος περὶ τὴν τῶν ὅπλων κτῆσιν· ὁμοίως καὶ ἐπὶ τοῦ μειρακίου τοῦ καλλωπιζομένου καὶ κρινομένου πορνείας. ὁ γὰρ διώκων ὁρικῶς [37] δεινώσει τὸν καλλωπισμὸν, φάσκων τοὺς πορνεύοντας καλλωπίζεσθαι καὶ σχεδὸν αὐτὸν τὸν καλλωπισμὸν εἶναι πορνείαν. πάλιν δὲ ἀναστρέψει τὸν παραλογισμὸν ὁ φεύγων, ὅτι ὁ μὲν πορνεύων καλ-

---

37 Sch. min.: *ἡ προσθήκη καλῶς, οὐ γὰρ ἀεὶ ὁριστικῶς ἐξετάζεται, ὡς ἐπὶ τοῦ καλλωπιζομένου μειρακίου, ἀλλὰ γνωστέον, ὡς ὅταν τὸ σημεῖον διαβεβλημένον τυγχάνῃ, καὶ βαρῇ τὸν κρινόμενον, τότε ὁριστικῶς ἐξετασθήσεται· τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστιν, οὐ μόνῳ τῷ σημείῳ ἀποδεικνύναι τὸ ἔγκλημα ὁ διώκων ἀρκεσθήσεται, ἀλλὰ καὶ αὐτὸ τὸ σημεῖον καθ' αὑτὸ ὡς ἔγκλημα ὁριεῖται ὁ κατήγορος· τὸ δὲ ἔστιν ὅτε προσέθηκεν ἀσφαλῶς, διὰ τὸ μὴ πάντα ὁμοίως τὰ σημεῖα ἰσχύειν, ἀλλ' ὅταν βαρῇ τὸ κρινόμενον, τότε* (Mon. *τότε ὡς*) *ὁριστικῶς ἐπὶ τῶν τοιούτων τὴν ἐξέτασιν καὶ τὴν κατασκευὴν ποιησόμεθα.* (Mon. *τὴν ἐξέτασιν καὶ* om.) Mon. haec inter scholia majora inseruit ante litt. *ὁ*.

λωπίζεται, οὐ πάντως δὲ ὁ καλλωπιζόμενος πορνεύει· εἰκὸς γὰρ καὶ δι᾽ αὐτὸ τὸ καλὸν καλλωπίζεσθαι· παραλήψεται δὲ τὴν ἀποστροφὴν οὐχ ἁπλῶς, ἀλλὰ τὰ λελεγμένα ἐν τῇ μεταθέσει τῆς αἰτίας ἀναλαμβάνων, ὅτι καλὸν τὸ καλλωπίζεσθαι ἢ καλὸν τὸ ὅπλα κτᾶσθαι· τούς τε γὰρ πολεμίους ἀμύνεταί τις καὶ τοὺς φίλους ὠφελεῖ καὶ περισώζει τὴν πόλιν· εἰ γὰρ ἐπιστάντος πολέμου τηνικαῦτα ζητοίημεν ὅπλα, τάχα ἂν ἐξ ἐπιδρομῆς ἅπαντα λάβοιεν οἱ πολέμιοι πρὸς τὴν τῶν ὅπλων παρασκευὴν τετραμμένων ἡμῶν, καὶ ἕτερα πολλὰ ἐρεῖ καὶ σχεδὸν ὅσα ἐν τῇ μεταθέσει τῆς αἰτίας· χρήσεται δὲ καί τισι παραδείγμασι καὶ οἰκείοις καὶ ξένοις, ὅτι Μιλτιάδης τυχὸν ἢ Παυσανίας ὅπλα παρεσκευάσαντο, καὶ οὐκ ἐπ᾽ ὀλέθρῳ τῆς πόλεως τοῦτο ἐγένετο, ἀλλ᾽ ἐπιόντος τοῦ βαρβάρου ῥᾳδίως ἀντεπεξῆλθον· τοσαῦτα μὲν περὶ τοῦ ἐμπίπτειν καὶ ἐλλεῖπον ἀπαπληροῦν [38] τὸ κεφάλαιον· λεκτέον δὲ ἤδη καὶ τὴν ἐκβολὴν τῆς πιθανῆς ἀπολογίας. οὐ γὰρ δὴ μονομερὲς τῷ φεύγοντι γενήσεται τὸ κεφάλαιον· ἐκβάλλει οὖν τὴν πιθανὴν ἀπολογίαν ὁ διώκων, ἢ κατὰ ἄγνοιαν φάσκων γεγενῆσθαι τὸ συμβάν, ἢ κατὰ μέθην, ἢ κατά τινα δαιμονίαν τύχην· μᾶλλον δὲ ἐπὶ τῷ [39] τρόπῳ τῷ κατ᾽ ἄγνοιαν, ὃς διαιρεῖται εἰς τὸ μήτε ὀρθῶς, ἀλλ᾽ ἐκ τοῦ παρατυχόντος λογίσασθαι, καὶ εἰς μέθην, καὶ εἴς τινα δαιμονίαν τύχην· ἔστω δὲ αὐτῶν παραδείγματα· νέος πλούσιος κωμάζων ἐπὶ τὸ δεσμωτήριον ἀνεβόησε, „θαρσεῖτε, ὦ δεσμῶται, αὖθις λυθήσεσθε,“ καὶ κρίνεται τυραννίδος ἐπιθέσεως. χρωμένου γὰρ τῇ πιθανῇ ἀπολογίᾳ τοῦ φεύγοντος, ὅτι οὐκ ἄν, εἴπερ ἐβουλόμην τυραννεῖν, διεκελευόμην τοιαῦτα τοῖς δεσμώταις, ὥσπερ τὶς φανερὸν ἑαυτὸν ἐπὶ τῇ τυραννίδι καταστῆσαι βουλόμενος, ἐκβάλλει τοῦτο τοῖς προ-

38 Mon. ἀναπληροῖ. 39 τῷ Mon. om.

κειμένοις ὁ διώκων, ὡς μάλιστα μὲν οὐκ ᾤετό τινας ἐπακούσεσθαι[40] αὐτοῦ νυκτὸς οὔσης· ὅπερ ἐστὶ κατ᾽ ἄγνοιαν· ἔπειτα εἰκὸς καὶ ὑπὸ μέθης αὐτὸν ἐξαχθέντα ἐκφῆναι τὸ βούλευμα, οἷον κωμάζοντα· τρίτον ὅτι κατά τινα δαιμονίαν ἴσως τύχην ἀνέκραγεν, ἵνα φυλαξώμεθα ἐπιβουλὴν καὶ λαβόντες αὐτὸν ἀνέλωμεν· περιφανέστατα δὲ ὁ Δημοσθένης ἐχρήσατο τῷ κατ᾽ ἄγνοιαν τρόπῳ ἐν τῷ περὶ παραπρεσβείας· κρίνων γὰρ τὸν Αἰσχίνην, ὡς δῶρα λαβόντα ἐπὶ φθορᾷ τῆς πόλεως, δι᾽ ὧν ἐπὶ τῇ Φωκέων ἀπωλείᾳ καὶ τῇ πάντων καταστροφῇ καὶ τῷ προσδοκωμένῳ κινδύνῳ τῆς πόλεως αὐτὸς ἐθάῤῥει πρὸς Φίλιππον διὰ μέσου πορεύεσθαι τοῦ τῶν Θηβαίων[41] στρατεύματος, ἣν παρέλαβεν ἐκεῖνος πιθανὴν ἀπολογίαν ἀναστρεφόμενος πρὸς τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, ὡς εἴπερ δῶρα εἰλήφειν καὶ ἐπεπράκειν Φιλίππῳ τὰ πράγματα, οὐκ ἂν φανερῶς πρὸς αὐτὸν ᾠχόμην, ἵνα μὴ[42] καταστήσω περιφανῆ τὴν δωροδοκίαν ταύτην, ὁ ῥήτωρ προανεῖλεν εἰπών·[43] „ἐπειδὴ ταῦτα ἦν καὶ τοιαύτη ταραχὴ καὶ τοιοῦτος θόρυβος περιειστήκει τὴν πόλιν, τηνικαῦτα ὁ σοφὸς καὶ δεινὸς οὗτος καὶ ἄφωνος οὔτε βουλῆς οὔτε δήμου χειροτονήσαντος αὐτόν, ᾤχετο πρεσβεύων ὡς τὸν ταῦτα πεποιηκότα, οὔτε τὴν ἀῤῥωστίαν, ἐφ᾽ ᾗ τότε ἐξωμόσατο λογισάμενος, οὔτε ὅτι ἄλλος πρεσβευτὴς εὕρηται ἀντὶ τούτου, οὔτε ὅτι τῶν τοιούτων ὁ νόμος θάνατον τὴν ζημίαν εἶναι κελεύει, οὔτε ὅτι πάνδεινόν ἐστιν ἀπηγγελκότων ὡς ἐπικεκήρυκται χρήματα αὐτῷ ἐν Θήβαις, ἐπειδὴ Θηβαῖοι πρὸς τῷ[44] τὴν Βοιωτίαν ἅπασαν ἔχειν καὶ τῶν Φωκέων ἐγκρατεῖς γεγόνασι, τὸ τηνικαῦτα εἰς μέσας τὰς Θήβας καὶ τὸ τῶν Θηβαίων στρατόπεδον βαδίζειν. ἀλλ᾽ οὕτως ἔκφρων ἦν καὶ ὅλος πρὸς τῷ λήμ-

40 Mon. οὐ κάετό τινας ἐπανύσεσθαι. 41 Mon. Θηβαίων. Par. 1. Ἀθηναίων. 42 Par. 1. ἵνα μή. Mon. μία. 43 p. 380. 44 τῷ Mon. om.

ματι καὶ τῷ δωροδοκήματι, ὥστε ἅπαντα ταῦτα ἀφελὼν καὶ παριδὼν ᾤχετο·“ ἀπὸ γὰρ τῆς ἀγνοίας ἀφεῖλεν αὐτοῦ τὴν πιθανὴν ἀπολογίαν, ὅτι ἀγνοῶν καὶ νενευκὼς ὅλως πρὸς τὴν δωροδοκίαν, καὶ ὥσπερ ἐκστὰς τῶν φρενῶν οὐκ ἐλογίσατο τὰ δέοντα, οὐδὲ ὅ τι δεῖ πράττειν· χρήσαιτο δ' ἄν τις καὶ τῷ κατὰ τύχην ὡς ἀπεδείξαμεν, ὅτι θεῶν προνοίᾳ ταῦτ' ἐπράττετο, καὶ τῷ κατὰ μέθην ἐνταῦθα μὲν οὔ, ἐν ἑτέροις δέ, ἐν οἷς ἂν ἡ ὑποκειμένη [45] διδοίη τοιοῦτόν τι λέγειν ὑπόθεσις.

ό. Ἐν τούτῳ γὰρ ὁ κατήγορος πολλὴν ἔχων τὴν ἰσχὺν τῶν σημείων οὐ μόνον εἶναι σημεῖα τοῦ πορνεύεσθαι [1] λέγει, ἀλλὰ καὶ αὐτὸ καθ' αὑτὸ ὁριεῖται πορνεύειν εἶναι τὸ καλλωπίζεσθαι, νέον ὄντα καὶ τὰ γυναικῶν ἐπιτηδεύοντα· ἀκριβῶς οὖν τὸ βιαίως προσέθηκεν, οὐ γὰρ ἀληθής, ἀλλὰ βίαιος ἡ κατασκευὴ καὶ ὑπερβολῆς τινος ἕνεκα· οὐ γὰρ ὄντως ταὐτὸν τὸ καλλωπίζεσθαι τῷ πορνεύειν ἐπιδεῖξαι πρόκειται, ἀλλ' ἐκ περιουσίας καὶ ὑπερβολῆς, ὡς ἔφαμεν, παραλαμβάνεται· φύσει γὰρ μέρος ἀδικήματος καὶ ὑπαίτιον τὸ [2] γενόμενον, οὐκ αὐτὸ δὲ καθ' ἑαυτὸ ἔγκλημα· ἢ γὰρ ἂν ὅρος ἦν, οὐκέτι στοχασμός.

οά. Ἑωρακὼς ὁ τεχνικός, ὡς ἀδύνατον ἐν τοῖς τοιούτοις ζητήμασιν εὑρεθῆναι τὴν πιθανὴν ἀπολογίαν, ἐσκόπησεν, ἀλλ' ὅτι κεφάλαιον ἐν τοῖς τοιούτοις ζητήμασι τὸ καλούμενον μὴ ἀντιστρέφον· δῆλον δὲ τὸ λεγόμενον, οὐ γὰρ ἐξ ἀμφοτέρων τῶν μερῶν ἁρμόζει συνιστάμενον [3] ἀλλ' ἐξ ἑνός· διὰ τοῦτο γὰρ καὶ μὴ ἀντιστρέφον καλεῖται τὸ κεφάλαιον, ὅτι ἐξ ἑνὸς συνίσταται μέρους· καὶ ἀναγκαῖόν ἐστιν, οὐ μὴν ἀναστρέφει πρὸς τὸ ἕτερον· ἐρεῖ γάρ, ὅτι τοῖς μὲν τυραννεῖν βουλομένοις

---

45 Mon. ἐν οἷς ὑποκειμένους.

1 Mon. πορεύεσθαι. Par. τοῦ πορν. σημεῖα. 2 τὸ Par. 1. om. 3 Mon. ἐπιστάμενον.

χρεία πάντως καὶ ὅπλων, οὐ μὴν ὁ κεκτημένος ὅπλα τυραννεῖν ἐθελήσει· ἔνθα χρήσεται τῇ μεταθέσει τῆς αἰτίας, τοῖς αὐτοῖς κεφαλαίοις ἐπεξιὼν, ὅτι πρὸς εὐεργεσίαν τῆς πόλεως, ἵνα τῷ δήμῳ δεομένῳ χορηγήσω καὶ τὰ παραπλήσια.

οβ. Μέχρι μὲν τούτων τὴν διαίρεσιν τῶν κεφαλαίων Ἑρμογένης ἡμῖν ἀκριβῶς παραδέδωκε, νυνὶ δὲ καὶ κοινὴν βούλεται τεχνολογῆσαι ποιότητα, τουτέστι τοὺς ἐπιλόγους, οἱ καὶ μέρος τοῦ λόγου τυγχάνουσιν· ὡς γὰρ πολλάκις ἀκηκόαμεν, ὁ λόγος ἅπας διῄρηται προοιμίῳ, προκαταστάσει, καταστάσει, ἀγῶσι, παρεκβάσει, ἐπιλόγοις· οἱ αὐτοὶ δὲ οὗτοι καὶ ὡς ἓν κεφάλαιον λαμβάνονται τῆς ὅλης στάσεως· καὶ δεῖ οὕτω νοῆσαι τὸ [4] „ἡ κοινὴ ποιότης οἱ ἐπίλογοί εἰσιν,“ ὡσανεὶ ἔλεγεν, ἡ κοινὴ ποιότης, ἡ ἐν τοῖς ἐπιλόγοις συμβαίνουσα γίνεσθαι τὸν κοινὸν ἔχει τόπον, καὶ ἔστι κοινὸς τόπος· μετὰ γὰρ τὸ ἀγωνίσασθαι καὶ δεῖξαι ὑπεύθυνον τῷ ἐγκλήματι τὸν κατηγορούμενον [5] τότε καὶ τὸν κοινὸν τόπον παραληψόμεθα, καταφορὰν ἐμποιοῦντα τῷ λόγῳ· καινοπρεπῶς δὲ αὐτὸ εἶπεν· οὐ γὰρ ἡ ποιότης οἱ ἐπίλογοί εἰσιν, ἀλλ' ἡ ποιότης τῶν ἐπιλόγων ἐστί· τὸ περιεχόμενον οὖν εἶπεν ἀντὶ τοῦ περιέχοντος, αὐτὴν δὲ τὴν ποιότητα ἐπίλογον ἐκάλεσεν ἴσως διὰ τὴν αὔξησιν, κοινὴν δὲ τὴν μὴ τῶν ὡρισμένων καὶ κυρίων προσώπων, οἷον Ἀλκιβιάδου, Περικλέους, ἀλλ' ὡς ἐπὶ τοῦ κοινοῦ τόπου ἀορίστως αὐξόντων ἡμῶν τὸ προκείμενον κατὰ τυράννου παντὸς ἢ ἀνδροφόνου· ἢ ὃ τὸ πρόβλημα βούλεται· κοινὴ γὰρ ποιότης λέγεται, ἐπειδὴ ταύτην ἀεὶ καθολικῷ προάγοντες λόγῳ οὐ τὸν κατηγορούμενον μόνον ὑποβάλλομεν τοῖς λεγομένοις, ἀλλὰ καὶ ὅσοις τὰ παραπλήσια δέδρασται· ἢ διότι κοινόν ἐστιν ἀμφοτέρων τῶν μερῶν τὸ κεφάλαιον, ἑκα-

---

4 τὸ Mon. om. 5 Par. 1. τὸν κατηγ. τῷ ἐγκλήματι.

τέρου [6] τῶν ἀγωνιζομένων τὴν οἰκείαν ποιότητα πρὸς τῷ πέρατι τοῦ λόγου συνιστῶντος, καὶ τῶν πλατέως δι᾿ ὅλου τοῦ λόγου κατασκευασθέντων σύντομον ὑπόμνησιν ποιουμένων· κατεχρήσατο δὲ εἰπὼν δευτερολογίαν, [7] δευτερολογίαν δὲ καλοῦσιν οἱ παλαιοὶ [8] τοὺς δευτέρους λόγους, ἑτέρων προειπόντων τὰς πρωτολογίας· δόξει οὖν παράδοξον εἶναι τὸ λεγόμενον· εἶδος γὰρ ὑποθέσεώς ἐστιν ὁ λόγος οὗτος, ὥσπερ ὁ κατ᾿ Ἀνδροτίωνος καὶ ὁ πρὸς Λεπτίνην, ἀλλὰ λέγομεν, ὅτι τὴν ἀνακεφαλαίωσιν οὕτως ὠνόμασε περὶ τὰ αὐτὰ λόγον δεύτερον, ἐπειδὴ καὶ αἱ δευτερολογίαι λόγοι εἰσὶν ἐπιλογικώτεροι.

ογ΄. Ἐπειδὴ πάντων ἐστὶ τῶν λόγων ἡ κοινὴ ποιότης, οὐ μόνον τῶν στοχαστικῶν, εἰκότως ἐν τῷ στοχασμῷ πάσης αὐτῆς ποιεῖται τὴν διδασκαλίαν, ἵνα κἂν ταῖς λοιπαῖς ἀγνωμονῶμεν· τοπικῶς δὲ λέγει κατὰ κοινὸν τόπον καταφορὰν ποιουμένων τῶν λεγόντων καὶ καταδρομῇ κεχρημένων πρὸς τὸ ὑποκείμενον, εἴτε κατὰ τυράννου, εἴτε κατὰ ἀνδροφόνου, ἢ ὅπερ ἂν ᾖ τὸ προκείμενον.

---

6 Mon. ἑκατέρων. 7 Mon. δευτερολόγους. 8 Par. ποιηταί. Sch. min.: καὶ ἐρεῖ δηλαδή· οἷον ἢ μεγαλοπρεπέστερος φανῆναι βουλόμενος, ἢ τὴν ἀπὸ τῆς φύσεως ἀμορφίαν τῷ ἐπιθέτῳ κάλλει κάμψαι βουλόμενος καὶ τῷ καλλωπισμῷ· ταῦτα γὰρ τοῦ χρώματός ἐστι· Ὠνόμασται δὲ κοινὴ ποιότης, διότι κοινή ἐστι τῶν μερῶν ἀμφοτέρων, ἑκατέρου τῶν ἀγωνιζομένων τὴν οἰκείαν ποιότητα πρὸς τῷ πέρατι τοῦ λόγου συνιστῶντος, καὶ τῶν πλατέως δι᾿ ὅλου τοῦ λόγου κατασκευασθέντων, ὡς καλῶν ἢ δικαίων ἢ συμφερόντων σύντομον ὑπόμνησιν ποιούμενος. κατεχρήσατο δὲ εἰπὼν δευτερολογίαν· ἥ γε δευτερολογία λέγεται, ὅταν τις ἐπὶ ἤδη λελεγμένοις λόγοις ἕτερον ἐπεισφέρῃ λόγον· ὁ δὲ δευτερολογίαν ἐκάλεσε τὴν τῶν αὐτῶν καθ᾿ ἕνα λόγον παρέχουσαν. γίνονται δὲ ἐν παντὶ ζητ. καλῶς προσέλαβε τὸ ἀντιπίπτον· κοινὸν γὰρ τοῦτο τὸ μέρος, λέγω δὴ οἱ ἐπίλογοι πάσης στάσεως· πρῶτον μὲν οὖν εἶπε, τί ἐστι ποιότης, ὅτι ἐπίλογοι, δεύτερον, ὅτι κοινόν ἐστι πασῶν τῶν στάσεων· τρίτον, πῶς ἂν αὐτὰ μεθοδεύσειεν, ὑποτίθεται.

οδ'. Κοινὴ ποιότης ὠνόμασται κατά τινας, ὅτι τὸν καλούμενον κοινὸν τόπον ἔχει, καὶ ὅλως οὐδέν φασι διαφέρειν τὴν κοινὴν ποιότητα τοῦ κοινοῦ τόπου· αὔξησιν γὰρ ἔχει ἡ κοινὴ ποιότης· τὰ δὲ αὐξητικὰ ἐκ τῶν καθόλου λαμβάνονται· καὶ ὁ κοινὸς δὲ τόπος ταύτην εἴληχε τὴν προσηγορίαν, ὅτι κοινὴν κατὰ παντὸς ἀνδροφόνου ποιεῖται καταδρομὴν, καὶ κοινὴν κατὰ ἱεροσύλου παντός· ἀλλὰ πρός γε τοῦτο ῥητέον, ὡς διαφέρει ὁ κοινὸς τόπος τῆς κοινῆς ποιότητος τῷ τὸν μὲν ἀεὶ ἐπὶ τῶν καθόλου ἑστάναι, τὴν δὲ φέρεσθαι ἀπὸ τῶν καθόλου ἀεὶ ἐπὶ τὸ μερικόν· παραλαμβάνοντες γὰρ ἐν τῇ κοινῇ ποιότητι τὰ καθολικώτερα, οὐχ ἁπλῶς μέχρι τούτων ἱστάμεθα, ἀλλὰ τοῖς ἑκάστοτε ἡμῖν ὑποκειμένοις προσώποις ἐφαρμόζομεν, ὥστε τελευτᾷν τὸ καθολικὸν ἀεὶ πρὸς τὸ μερικώτερον· τοῦτο μὲν οὖν πρὸς τοὺς φάσκοντας ταὐτὸν εἶναι κοινὴν ποιότητα καὶ τόπον κοινόν· ἕτεροι δὲ κοινὴν ποιότητα ἔφασαν ὠνομάσθαι τοὺς ἐπιλόγους, ὅτι κοινοί εἰσι τῷ φεύγοντι καὶ τῷ διώκοντι· καὶ τοῦτο μὲν οὐ πόῤῥω σκοποῦ, ἀλλ' ἔχοιτο ἄν τινος ὑγιοῦς· χρὴ μέντοι τὴν ὑπὸ τοῦ τεχνικοῦ παραδεδομένην αἰτίαν ἡμᾶς παραδέχεσθαι καθεστηκυῖαν ἀμείνονα· αἱ γὰρ δευτερολογίαι, φησὶ, γίνονται ἐν παντὶ ζητήματι, ἀλλ' οὐκ ἐν στοχασμῷ μόνον· δευτερολογίαν [9] μὲν οὖν τὴν κοινὴν ποιότητα ὀνομάζει, καὶ μικρὸν ὕστερον περὶ τούτου διαλεχθήσομαι· φησὶ δὲ ὡς οἱ ἐπίλογοι τουτέστιν ἡ κοινὴ ποιότης κοινή ἐστι πάσης στάσεως, κατὰ τοῦτο ἂν εἰκότως ῥηθείη κοινὴ ποιότης· ἐντεῦθεν δὲ πρὸς ἑτέραν ἀπορίαν ὡρμήθησαν· εἰ γὰρ ἁπασῶν καθεστάναι τῶν στάσεων ἔφη τὴν κοινὴν ποιότητα, τί μᾶλλον ἐπὶ τοῦ στοχασμοῦ μνήμην αὐτῆς ἐποιήσατο, καὶ οὐκ ἀπ' ἄλλης τινὸς, οἷον ἐπὶ τῆς συγγνώμης ἢ τῆς μεταλήψεως, καὶ πρόχειρος ἡ πρὸς τοῦτο ἀπάντησις· πρῶτον μὲν γὰρ, καθὸ προτιμότερος

---

9 Mon. δευτερολία sine sq. μέν.

τῶν ἄλλων στάσεων ὁ στοχασμὸς, εἴγε καὶ ἡγεῖται πασῶν, κατὰ τοῦτο ἐχρῆν κατὰ τὸν στοχασμὸν ἤπερ ἐπί τινος ἄλλης ῥηθῆναι τῶν στάσεων· ἔπειτα καὶ ἀναγκαῖον, εἰ μὲν γὰρ ἐν ἄλλῃ τινὶ διέλαβε στάσει περὶ τῆς κοινῆς ποιότητος, οὐκ ἂν αὐτὴν ἐπὶ τοῦ στοχασμοῦ ἐπιστάμεθα, ἀλλ' ἐζητοῦμεν [10] καὶ ἀνεμένομεν, ἕως ἐπ' αὐτὴν ἀφιξόμεθα· ἐπὶ δὲ τοῦ στοχασμοῦ ῥηθείσης αὐτῆς οὐκέτι ζητοῦμεν ἐπὶ τῶν ἄλλων, ἤδη μαθόντες αὐτὴν ἐν τῇ πρώτῃ τῶν στάσεων· τοσαῦτα περί τε [11] τοῦ ὀνόματος καὶ τῆς τάξεως ἔνεστι λέγειν· ἐπιλαμβάνονταί τινες τοῦ τεχνικοῦ φάσκοντες ἡμαρτηκέναι αὐτὸν, ὠνομακότα δευτερολογίαν τοὺς ἐπιλόγους· πῶς γὰρ, φησὶ, δευτερολογίαι οἱ ἐπίλογοι, ὅπου καὶ ἐν πρωτολογίᾳ εὑρίσκονται; ἀλλ' οἵ γε τοιοῦτοι τὴν δευτερολογίαν, ποσαχῶς λέγεται, τὸ πάμπαν [12] ἠγνοήκασιν· λαμβάνεται γὰρ ἡ δευτερολογία τριχῶς, ἤτοι μένοντος καὶ τοῦ αὐτοῦ πράγματος καὶ τοῦ αὐτοῦ προσώπου· ἔστωσαν δὲ ἐν παραδείγματι οἱ φονικοὶ Ἀντιφῶντος· προῆλθε γὰρ ἐν αὐτοῖς κατηγορῶν, εἶτα ἀπολογούμενος, εἶτα αὖθις κατηγορῶν καὶ πάλιν ἀπολογούμενος· ἢ τοῦ αὐτοῦ μὲν πράγματος μένοντος ἀμειβομένου τοῦ προσώπου, ὡς ἔστιν ὁ κατὰ Ἀνδροτίωνος· περὶ γὰρ τοῦ αὐτοῦ πράγματος ἔφη πρότερον μὲν Εὐκτήμων, δεύτερον δὲ ὁ Διόδωρος· ἐν τοῖς κατὰ Ἀριστογείτονος ὁμοίως Λυκοῦργος πρότερος, ἐπ' ἐκείνῳ Δημοσθένης· ἢ τοῦ αὐτοῦ μὲν προσώπου μένοντος, οὐ τοῦ αὐτοῦ δὲ πράγματος, ὅταν ὁ μὲν πρότερος λόγος περὶ τοῦ πράγματος γίνοιτο, ὁ δὲ δεύτερος περὶ τοῦ προστιμήματος, ὡς ἔχομεν ἐν τῷ κατὰ Τιμοκράτους· ἔξεστι δὲ εἰπόντα τὸν πρότερον λόγον μεταστῆναι· πολλαχῶς οὖν λεγομένη ἡ δευτερολογία ἔλαθεν αὐτούς· οὐ γὰρ ἂν ὡς [13] μονοσχιδοῦς καθεστηκυί-

---

10 Mon. ἐξητοῦμεν. 11 pro περί τε Mon. πάρεστιν. 12 Parr. παράπαν. 13 Par. 1. ὡς om.

ας αὐτῆς ἐπιλαμβάνονται [14] τοῦ τεχνικοῦ, οἷα μὴ καλῶς εἰπόντος δευτερολογίαν τοὺς ἐπιλόγους, εἴγε καὶ ἐν πρωτολογίᾳ εὑρίσκονται· τούτους μὲν οὖν αὖ ληρεῖν ἐατέον· ὥσπερ δὲ ἐλέγομεν πολλαχῶς λέγεσθαι τὴν δευτερολογίαν, οὕτω σημαίνειν ἐν τῇ συνηθείᾳ τὴν διττολολογίαν· καὶ γὰρ δευτερολογεῖν φαμεν τὸ διττολογεῖν· κατὰ τοῦτο οὖν εἶπεν δευτερολογίαν τοὺς ἐπιλόγους, ἐν γὰρ αὐτοῖς ἀνακεφαλαιούμεθα· ἡ δὲ ἀνακεφαλαίωσις οὐδὲν ἕτερόν ἐστιν ἢ διττολογία· τὰ γὰρ ἤδη ἡμῖν ἐν τοῖς ἀγῶσιν εἰρημένα αὖθις ἀναλαμβάνομεν· διαιροῦνται δὲ οἱ ἐπίλογοι διχῇ, εἴς τε τὸ πραγματικὸν καὶ [15] εἰς τὸ παθητικόν, τὸ μὲν οὖν πραγματικὸν ἀνακεφαλαίωσιν ἔχει καὶ ἀνάμνησιν τῶν ἐν τοῖς ἀγῶσιν εἰρημένων· τὸ δὲ παθητικὸν ἐλέου θήραν, ἐλέου ἐκβολήν· [16] τὸ μὲν τοῦ φεύγοντος τὸ δὲ τοῦ κατηγόρου· ἔχει δὲ φθόνου ἐκβολήν· ἰστέον δὲ ὡς τὸ μὲν παθητικὸν μέρος τῶν ἐπιλόγων τῷ δικανικῷ εἴδει μόνῳ προσήκει· τὸ δὲ πραγματικὸν τουτέστιν ἡ ἀνακεφαλαίωσις πᾶσι τοῖς εἴδεσι τῆς ῥητορικῆς· οὐ γὰρ ἐν δικανικῷ μόνῳ παραληφθήσεται, ἀλλ᾽ ἔτι κἀν τῷ συμβουλευτικῷ καὶ τῷ πανηγυρικῷ· οὐ μόνον δὲ, ἀλλὰ καὶ ἐν ἐπιστολαῖς, εἰ μακρότεραι εἶεν· καὶ πανταχοῦ σχεδὸν τὰς ἀνακεφαλαιώσεις παραλαμβάνομεν· εἰς δύω τοίνυν ταῦτα διαιρουμένων τῶν ἐπιλόγων, τὸ μὲν πραγματικὸν κοινόν ἐστι τῷ κατηγορουμένῳ καὶ τῷ διώκοντι, ὁμοίως γὰρ ἑκάτερον ἀναμιμνήσκει τῶν ἑαυτοῦ ἰσχυρῶν τοὺς ἀκούοντας· τὸ δὲ παθητικὸν οὐ κοινὸν, κατά γε τὴν ἐργασίαν, οὐδὲ τὸν αὐτὸν τρόπον ὑφ᾽ ἑκάτερον παραλαμβάνεται· ἀλλ᾽ ὁ μὲν κατήγορος αὐξητικῶς προσφέρει τὰ παθητικὰ, ἐξαίρων πρὸς ὀργὴν τοὺς δικαστὰς, καὶ προκαλούμενος ἐπὶ μεγίστην τιμωρίαν κατὰ τοῦ φεύγοντος· τοῦτο γάρ ἐστιν, ὅ φησιν ὁ

---

14 Par. 1. ἐπελαμβάνοντο. 15 καὶ εἰς τὸ παθητ. τὸ Mon, om. 16 Mon. ἐκβουλήν.

τεχνικὸς τοπικῶς, οἱονεὶ αὐξητικῶς, ἔνθεν καὶ κοινὸς τόπος, ὥσπερ εἰ λέγει τις κοινὴ αὔξησις· ὁ δὲ φεύγων κατὰ μείωσίν τινα καὶ ὕφεσιν τὰ πάθη λαμβάνει, καταφέρων πρὸς οἶκτον τοὺς δικαστάς· ἐλεεινῷ τε γὰρ χρῆται[16*] καὶ ὑφειμένῃ τῇ φωνῇ, γυναίου χηρείαν λέγων, παιδίων, ὀρφανίαν, καὶ συγχέων τοὺς δικαστὰς οὐ μιᾷ μόνῃ τῇ διὰ τῶν ὤτων αἰσθήσει, ἀλλ᾽ ἔτι καὶ τῇ θέᾳ τὰς τούτων διανοίας ταράττων· οὐ γὰρ μόνον ἐλεεινοῖς κέχρηται λόγοις, ἀλλ᾽ ἔτι καὶ θεάματα οἰκτρότατα παραδείκνυσιν· ἐπὶ ταπεινοῦ σχήματος εἰσφέρων πατέρας, καὶ ῥάκια περιβάλλων τῇ γυναικὶ καὶ τοῖς παισί· τοιαῦτα παραλαμβάνει ὁ φεύγων τὰ παθητικά· ἐκεῖνο δὲ ἄξιον ἐπιστάσεως·[17] ἐν γὰρ τοῖς σεμνοτάτοις τῶν λόγων ταῦτα λαμβάνειν χώραν οὐ δύναται· βλάπτοι γὰρ ἂν μᾶλλον, καταφέροντα τὸ ἀξίωμα τοῦ προσώπου· οἷον εἰ Περικλῆς κρίνοιτο προδοσίας, οὐκ ἂν δακρύοις ἐθέλοι διαφεύγειν τὸ ἔγκλημα, οὐδ᾽ ἂν γύναια καὶ παιδία ἕλοιτο παραλαβεῖν κλαίοντα, εὐτελὲς γὰρ καὶ ταπεινὸν εἶναι δείξας τὸ φρόνημα τοῖς δικασταῖς καταφρονηθήσεται· τί οὖν ἐν τοῖς τοιούτοις ἡμᾶς προσήκει ποιεῖν, ἐδίδαξεν ὁ σοφώτατος Πλάτων,[18] ὡς δεῖ μὲν ἀποφεύγειν τὰ τοιάδε, μὴ ψιλῶς δὲ οὕτως παρατρέχειν ὑπερβαίνοντας, ἀλλὰ κατὰ παραίτησιν αὐτὰ καὶ κατὰ παράλειψιν λέγειν τὴν αἰτίαν τῆς ἀποφυγῆς, φράζοντας πρὸς τοὺς δικαστάς· αἰτίαι δὲ ἡμῖν γίνονται οἱ τῶν κατηγόρων λόγοι, ἃ γὰρ καθ᾽ ἡμῶν ἐπὶ ταῖς ἐλεεινολογίαις λέγοι ἂν ὁ κατήγορος, οἷον ὡς οὐ πρέπει τῷ δημαγωγῷ Περικλεῖ εἰς δάκρυα καταφεύγειν καὶ τούτοις ἡμᾶς παρακρούεσθαι, οὐδὲ Σωκράτει φιλοσόφῳ γε ὄντι προσήκει δακρύειν, εἰ τεθνήξεται, ἢ γύναια παράγειν ὀλοφυρόμενα, ἀλλ᾽ ἀποδεικνύειν, εἰ περὶ ψευδῶν κατηγορεῖται, αὐτὰ ταῦτα, ὡς ἔφην,

16* addendum videtur σχήματι. 17 Mon. ἐκεῖνοι δὲ ἄξιον εἶναι στάσεως. 18 Apol. Socr. c. 23. p. 34. D.

τὰ ὑπὸ κατηγόρου λεγόμενα ἡμεῖς ἐροῦμεν, ἀποφυγόντες [19] τὰ παθητικά· οἷον ὅτι εἰώθασι μὲν ταῦτα ποιεῖν ἅπαντα, παίδων ἀναμιμνήσκειν ἡμᾶς [20] ὀρφανίας, καὶ γυναικῶν χηρείας, καὶ τῶν πατέρων λέγειν ἐρημίαν· ἐγὼ δὲ οὐκ ἂν εἰς ταῦτα καταφευξαίμην· αἰδεσθήσομαι γὰρ ἐμαυτὸν, φαίη ἂν ὁ Σωκράτης, μή τι σκώμματος [21] ἐντεῦθεν τῇ φιλοσοφίᾳ προσβάλοιμι, [22] δόξας διὰ τῶν τοιούτων ἐκκλίνειν τὸν ἔλεγχον· ὃ γοῦν ὁ σοφὸς Πλάτων ἐν τῇ Σωκράτους ἡμᾶς ἀπολογίᾳ διδάσκει, λεκτέον· κρινόμενον γὰρ ἀσεβείας τὸν Σωκράτην εἰ παρήγαγεν ἐπὶ τῷ θανάτῳ δακρύοντα, οὐδὲ ἑαυτὸν ἐδείκνυ Θεαρίωνος ἢ Σαράμβου [23] καλλίονα, ἀλλὰ κατέλυσεν ἐντεῦθεν τοῦ φιλοσόφου τὸ φρόνημα· καὶ οὐδ᾽ ἂν εἷς προσέσχεν Ἀθηναίων αὐτῷ· οὕτως ἡμῖν ὁ Πλάτων θαυμάσιον οἷον παράδειγμα τῆς ἐπὶ τῶν ἀξιωμάτων ἐλεεινολογίας παρέσχετο· καὶ ταῦτα μὲν περί τε διαιρέσεως τῶν ἐπιλόγων εἰρήσθω καὶ εὑρέσεως· ἔφαμεν γὰρ μὴ ἀεὶ εὑρίσκεσθαι τὸ ἀπὸ τοῦ φεύγοντος παθητικὸν μέρος τῶν ἐπιλόγων, καὶ πῶς ἂν αὐτὸ μὴ εὑρισκόμενον θεραπεύσοιμι; λέξομεν δὲ ἤδη περὶ τῆς ἐργασίας αὐτῶν ἐπαναδραμόντες εἰς τὴν διαίρεσιν· τῶν γὰρ ἐπιλόγων διχῇ τεμνομένων εἴς τε τὰ ἀνακεφαλαιωτικὰ καὶ τὰ παθητικὰ, τὴν μὲν ἀνακεφαλαίωσιν διὰ τῶν ἐπικαίρων, φησὶν, ἑκάτερος ποιεῖται, τουτέστι τῶν ἰσχυρῶν, οὐ γὰρ πάντα ἀνακεφαλαιούμεθα, ἀλλ᾽ ἐκεῖνα μόνα, οἷς ἰσχύομεν μάλιστα· τὰ δὲ παθητικὰ τούτοις ἐπισυμπλέκεσθαι δεῖ· εἰ μὲν τὴν τοῦ κατηγόρου τάξιν ἔχοιμεν, αὐξητικῶς καὶ πρὸς ὀργὴν κινούντων ἡμῶν τοὺς δικαστάς· εἰ δὲ φεύγομεν ἐλεεινολογουμένων καὶ πάθη κινούντων. καὶ πρῶτόν γε ῥητέον, πῶς ἂν χρησαίμεθα τῇ ἀνακεφαλαιώσει, δεῖ γὰρ πολλάκις ταῦτα λέ-

19 Mon. ἡμᾶς ἐροῦμεν ἀποφεύγοντες. 20 Par. ὑμᾶς. 21 Mon. σκώμματα. 22 Par. 2. προβάλοιμι. 23 Par. 1. Σαράμμου.

γειν· ἀναλαμβάνοντες, [24] εἴγε ἀνακεφαλαιούμεθα μὲν τὰ ἰσχυρὰ, ταῦτα δὲ πανταχοῦ λεγόμενα [25] κόρον ἔχει, σκοπεῖν οὖν ἐνταῖθα χρὴ, πῶς ἂν ἐλεεινολογοῦντες τὸ προσκορὲς διαφύγοιμεν; τοῦτο δὲ ἡμῖν ἡ τῶν σχημάτων ποικιλία παρέξεται· ἐὰν ἄλλοτε ἄλλως αὐτὰ σχηματίζοντες εἰςφέρωμεν, πῆ μὲν τῷ κατ᾽ ἐπαγγελίαν χρώμενοι σχήματι, ὡς ἔχει τὸ παρὰ τῷ Δημοσθένει [26] „συλλογίσασθαι δὴ βούλομαι τὰ κατηγορούμενα, ἀπέδειξα μηδὲν ἀληθὲς ἐπηγγελκότα“ καὶ τὰ ἑξῆς· πῆ δὲ τῷ κατ᾽ ἐρώτησιν, ὡς ἐν τῷ περὶ στεφάνου· [27] „εἶτά με ἐρωτᾷς, ἀντὶ ποίας ἀρετῆς ἀξιῶ στεφανοῦσθαι;“ ἢ τῷ κατὰ σύγκρισιν, ὡς ἐν τῷ παραπρεσβείας [28] ὁ Δημοσθένης· πρὸς γὰρ τὴν Ἐπικράτους καὶ Λέοντος πρεσβείαν ἀντεξετάζων τὴν Αἰσχίνου πρεσβείαν, εὐκαίρως εἰσφέρει καὶ ἀνακεφαλαιοῦται πάντα, ὅσα τὴν πόλιν ἠδίκησε· τοσαῦτα μὲν οὖν περὶ τῆς ἀνακεφαλαιώσεως. Τὰ δὲ παθητικὰ, ὡς ἔφαμεν, ἢ τὰ αὐξητικὰ τούτου ἐπισυμπλέκεσθαι δεῖ· καὶ ὁ μὲν διώκων τοῖς αὐξητικοῖς χρώμενος, καθά φησιν ὁ τεχνικὸς, πρὸς ὀργὴν κινήσει τὸν δικαστὴν, καὶ δεινότατα παραστήσει τὸ κατηγορούμενον· ὁ δὲ φεύγων ἐκ τοῦ ἐναντίου ἐλεεινολογήσεται, καταφέρων διὰ τῶν παθητικῶν τὰ φρονήματα τῶν δικαστῶν· ἐνταῦθα δὲ, φησὶ, καὶ αἱ τῶν γυναίων ἐπαγωγαὶ χρήσιμοι, καὶ αἱ τῶν παίδων καὶ πατέρων, εἰ τύχοι, καὶ συγγενῶν, ὅπερ ἐλέγομεν ἀνωτέρω· οὐ μόνη ἀκοὴ τὸν ἔλεον ἐργάσεται, ἀλλὰ καὶ

---

24 Mon. ἀναλαμβάνονται. 25 Par. 1. λεγόμενα πανταχοῦ. Sch. min.: τῶν ἐπικαίρων, τῶν κρειττόνων, τῶν καιρίων, τῶν ἰσχυροτέρων, ἀπέδειξα μηδὲν ἀληθὲς ἀπηγγελκότα ἀλλὰ φενακίσαντα ὑμᾶς, μάρτυσι τοῖς γεγενημένοις αὐτοῖς οὐ λόγοις χρώμενος. ἀπέδειξα αἴτιον γεγενημένον τοῦ μὴ θέλειν ὑμᾶς ἐμοῦ ἀκοῦσαι τἀληθὲς, ταῖς ὑποσχέσεσι, καὶ τοῖς ἐπαγγέλμασι τοῖς τούτου καταληφθέντας, καὶ πάντα τὰ ἐναντία συμβουλεύσαντα, ἢ ἔδει. 26 de fals. leg. p. 396. 27 p. 325. 28 p. 430.

τῇ ὁρατικῇ αἰσθήσει τὸν νοῦν ἐπιταράξει τῶν δικαζόντων· οὐ γὰρ οὕτως ἡμᾶς ἐκπλήττει τὰ λεγόμενα, ὅσον ἐπ' αὐτῶν τῶν σχημάτων φαινόμενα· τὸν γοῦν Ὑπερίδην φασὶν οὕτω τὸν ὑπὲρ Φρύνης νικῆσαι λόγον, ὡς γὰρ ἡττᾶτο, [29] φησὶν, εἰσήγαγε τὴν ἑταίραν ἐπί τινος ἐλεεινοῦ σχήματος, παιομένην τὰ στήθη γυμνὰ, καὶ τὸν χιτῶνα περιῤῥήξασαν, καὶ οἱ δικασταὶ πρὸς οἶκτον ἰδόντες ἀπεψηφίσαντο· τούτου οὖν ἰσχυροῦ τοῦ κεφαλαίου καθεστῶτος δεῖ τὸν κατήγορον ἐκλῦσαι τὸ πάθος διὰ τῶν τελικῶν ἀντεισφέροντα τὸ δίκαιον αὐτῷ, τὸ πρέπον, τὸ δυνατὸν, τὸ νόμιμον· τὸ μὲν οὖν νόμιμον, ὡς οὐ δίκαιον ἥττονας ἀποφαίνειν τοὺς νόμους τῶν τούτου δακρύων, δι' οὓς ἐν ἅπασι καλοῖς καθέστηκε τὰ ἀνθρώπινα, καὶ ᾧ μόνῳ τῶν θηρίων διενηνόχαμεν, καὶ τό γε μεῖζον ἡμῖν, ὅτι διὰ τοὺς νόμους εἰσὶ δικασταὶ καὶ τῶν ψήφων ὑμεῖς οὐ δι' ἄλλο τι καθεστήκατε κύριοι· ἐνθυμήθητε οὖν, ὅτι δικασταὶ ὀνομάζεσθε, καὶ ὅτιπερ ὁ δικαστὴς τῆς τῶν νόμων φυλακῆς ἐστιν ὄνομα· ἔχομεν δὲ τούτου ἐν τῷ κατὰ Μειδίου παράδειγμα· ἀλλ' ὅταν οὗτος ἔχων τὰ παιδία τούτοις ὑμᾶς ἀξιοῖ δοῦναι τὴν ψῆφον, τότε ὑμεῖς τοὺς νόμους ἔχοντά με πλησίον ἡγεῖσθε [30] παρεστάναι καὶ τὸν ὅρκον, ὃν ὀμωμόκατε καὶ τὰ ἑξῆς· τό τε δίκαιον λαμβάνεται πολλαχῶς ἢ γὰρ ἐκ τοῦ ὁμοιοτρόπου λαμβάνομεν, ὅτι δίκαιον τούς τε ἀγαθοὺς τῶν ἀνδρῶν ταῖς ἴσαις ἀμείβεσθαι τιμαῖς καὶ δωρεαῖς, καὶ τοὺς φαύλους ὁμοίως τιμωρίαις τε καὶ κολάσεσι καὶ πᾶσι δεινοῖς ἢ ἐξ αὐτῶν τῶν δικαστηρίων· καὶ αὐτοὶ οἱ τὰ δικαστήρια δειμάμενοι οὐ διὰ τοῦτο κατασκευάζονται, ἵνα ἐν τούτοις εἰσελθόντες δακρύσωμεν, ἢ γύναιον ὀλοφυρόμενον τῷ βήματι παραστήσωμεν, ἀλλ' ἵνα πάντα τρόπον τοῦ δικαίου τὸν ἐξετασμὸν ἐνταυθοῖ

---

29 Mon. ἡττᾶται. — Athen. XIII. p. 590. 30 Mon. ἡγεῖσθαι. scr. ἡγεῖσθε. mox Par. 1. ὠμωμόκειτε. Mon. Par. 2. ὠμωμόκατε.

ποιώμεθα· κἂν μέν τις ἀδικῶν ληφθῇ δίκην ὑπέχοι· εἰ δέ τις τὸ δίκαιον ἔχοι μεθ' ἑαυτοῦ, μηδὲν πάθοι τῶν δυσχερῶν· ἔνεστι δὲ ἐν τῷ κατὰ Μειδίου καὶ τούτου παράδειγμα· [31] „παιδία γὰρ παραστήσεται καὶ κλαύσει, καὶ τούτοις αὐτὸν ἐξαιτήσεται· τοῦτο γὰρ ὑπόλοιπον, ἀλλ' ἴστε δήπου τοῦτο, ὅτι τοὺς ἀδίκως τι [32] πάσχοντας, ὃ μὴ δύναιντο φέρειν, προσήκει ἐλεεῖν, οὐ τοὺς [33] ἂν πεποιήκασι δεινῶν [34] δίκην διδόντας· καὶ τίς ἂν ταῦτα ἐλεήσειε δικαίως ὁρῶν τὰ τοῦδε [35] οὐκ ἐλεηθέντα ἂν τῇ τοῦ πατρὸς συμφορᾷ χωρὶς τῶν ἄλλων,“ ἑξῆς· οὕτω τῷ δικαίῳ τὴν τοῦ ἐλέου ἐκβολὴν ποιεῖται· χρησόμεθα δὲ καὶ τῷ συμφέροντι, οἷον εἰ ἐπὶ τούτοις ἁλοὺς διαφύγῃ τὴν τιμωρίαν, ἐπὶ τὰ μείζω τρέψεται καὶ συμφορῶν ἐμπλήσει τὴν πόλιν· καὶ ὅτι συμφέρει τοὺς ἀδικοῦντας κολάζειν, καὶ διὰ τούτων τοῖς ἄλλοις ἐπιδεικνύναι, ὡς οὐκ ἔνεστιν ἀδικοῦντα τὴν τιμωρίαν δακρύοις διαφυγεῖν· ἔχομεν ἐν τῷ κατὰ Μειδίου καὶ τοῦτο τὸ παράδειγμα· τὸ δὲ πρέπον, ὅτι πρὸς ἀδοξίας ἐστὶ τῇ πόλει τοὺς πονηροὺς ἀθῴους ἐᾶν· δόξαιμεν γὰρ ἀποδέχεσθαι τὰ τούτων ἀδικήματα ἢ ἄλλως παρὰ τὸ δίκαιον μαλακίζεσθαι, καὶ τὸ δυνατὸν δὲ παραληψόμεθα, ὅτι εἰ μὲν οὐχ ὑπήρχετε κύριοι τῶν ψήφων ἢ ἄλλως τῳ τρόπῳ κολάζειν τοὺς ἁμαρτάνοντας οὐκ ἠδύνασθε, πολλὴ ἂν ὑμῖν ἐδίδοτο συγγνώμη· νυνὶ δὲ τί ἂν εἴποτε πρὸς τοὺς πολλούς· τίνα λόγον εὐπρόσωπον μὴ τοὺς φαύλους τιμωρούμενοι προβαλεῖσθε; τούτοις ὁ διώκων ποιήσεται τὴν ἐκβολὴν τοῦ ἐλέους.

οέ. Διδάσκει ὅπως μεταχειριστέον τοὺς ἐπιλόγους· τὴν γὰρ κοινὴν ποιότητα διαιρεῖ εἴς τε πράγματα καὶ πά-

---

31 p. 546. 32 τι Par. 1. om. 33 Mon. προσήκει αὐτοὺς omisso ἐλεεῖν. 34 Mon. et Parr. δεῖν, scr. δεινῶν. 35 Mon. ὁρῶντα τοῦ δὲ οὐκ ἐλεηθέντος.

πάθη· καὶ τὰ μὲν πράγματα ἔχειν λέγει τὴν ἀνακεφαλαίωσιν, τὰ πάθη δὲ τὰς ἐλεεινολογίας· χρῶνται μὲν οὖν τῷ πρακτικῷ τῶν ἐπιλόγων ἀμφότεροι, ὅ τε διώκων καὶ ὁ φεύγων· ὁ μὲν γὰρ εἰς ὀργὴν ἐκκαλεῖται, ὁ δὲ πειρᾶται τῆς ὀργῆς παραλῦσαι τοὺς δικαστὰς διὰ τῶν πράξεων ὁμοίως ἢ τῶν βεβιωμένων· τὸ δὲ πρὸς ἔλεον παθητικόν ἐστι τοῦ φεύγοντος· ἄλλοι δὲ τὸ πρακτικὸν διαιροῦσιν εἰς ἀνακεφαλαιώσεις καὶ δευτερολογίας καὶ καταδρομὰς, τὸ δὲ παθητικὸν εἰς οἴκτους καὶ γυναίων καὶ παίδων παραγωγὰς, καὶ ἐλέου ἐκβολήν. Ταῖς μὲν οὖν ἀνακεφαλαιώσεσιν ἀμφότεροι χρῶνται ὑπομιμνήσκοντες τῶν ἐπικαίρων οὐ πάντων ἀδιακρίτως, ἀλλὰ τῶν ἰσχυροτέρων, ταῖς δὲ ἐλεεινολογίαις ὁ φεύγων· οὐχ ὡς ἔτυχε δὲ λέγει τῇ ἀνακεφαλαιώσει χρῆσθαι, οὐδὲ πάντων ὁμοῦ τῶν ἐν τοῖς ἀγῶσιν, ἀλλὰ τῶν ἐπικαίρων καὶ ἐξ ὧν ἰσχύομεν, ὥσπερ ὁ Δημοσθένης πανταχοῦ ἐν μὲν τῷ κατ' Ἀριστοκράτους, ἐπειδὴ τῷ νομίμῳ ἴσχυεν, ἐξ αὐτοῦ μάλιστα τὴν ἀνακεφαλαίωσιν ἐποιήσατο· ἐν δὲ τῷ περὶ τοῦ στεφάνου τοῦ μὲν νομίμου ἐπίτηδες ἐπιλαθόμενος, σαθρότερον γὰρ ἦν αὐτῷ, τῷ δὲ δικαίῳ διὰ παντὸς τοῦ λόγου χρησάμενος καὶ συνεχῶς ὑπομιμνήσκων τοὺς δικάζοντας, τούτῳ γὰρ ἔῤῥωτο· μάλιστα γὰρ ἐπιστήμονος ἔργον τοῦτο, τοῖς ἰσχυροτέροις ἐμμεῖναι· ἐν μὲν γὰρ τοῖς ἀγῶσιν ἀνάγκη πολλάκις, καὶ οἷς οὐ λίαν ἰσχυριζόμεθα, εἰς τὸν λόγον παραλαμβάνειν, ἵνα μή τι τούτων παροραθὲν, εἶτα τὴν διάνοιαν τῶν δικαζόντων καταλαβὸν ὕποπτον τὸν λόγον ἐργάσηται καὶ διὰ τοῦτο ἧττον ἰσχυρόν. ἐν δὲ τοῖς ἐπιλόγοις, ἐπειδὴ τῶν πραγμάτων ἐστὶν ἀνακεφαλαίωσις, οὐ δεῖ τῶν ἀσθενεστέρων μεμνῆσθαι.

οζ. Χρήσονται, φησὶ, ταῖς ἀνακεφαλαιώσεσιν ἀμφότεροι ὑπομιμνήσκοντες τῶν ἐπικαίρων, οὐ μὴν τὸν αὐτὸν τρόπον ἀμφότεροι ἀνακεφαλαιώσονται, ἀλλ' ὁ μὲν κατήγορος αὐξητικῶς καὶ τοπικῶς δραμεῖται μετὰ τὰς

ἀποδείξεις· ἀκόλουθον γὰρ καὶ τεχνικὸν μετὰ τὰς ἀποδείξεις κατατρέχειν, ὅτι καιρὸν ἔχουσιν αἱ διαβολαί· τὸ μὲν γὰρ πρὸ τῶν ἐλέγχων καὶ τῶν ἀποδείξεων κατατρέχειν ψιλὴν εἴποι τις εἶναι διαβολὴν, τὸ δὲ μετὰ τοὺς ἐλέγχους διαβαλεῖν πιστὸν εἶναι δοκεῖ καὶ εὔλογον καὶ τὸν δικαστὴν πρὸς ὀργὴν ἐκκαλούμενον· καταδραμεῖται δὲ οὐ μόνον, εἰ τύχοι, Ἀλκιβιάδου φεύγοντος ἢ Θεμιστοκλέους, ἢ ὅπερ ἂν ᾖ τὸ πρόσωπον, ἀλλὰ κοινῶς πρὸς τὸ ἔγκλημα ἢ κατὰ τυράννου παντὸς ἢ κατὰ προδότου, ἢ εἴ τι ἂν ᾖ τὸ ὑποκείμενον· ὁ μὲν οὖν κατήγορος, φησὶν, οὕτως ἀνακεφαλαιώσεται· ὁ δὲ φεύγων ὑπομνήσει μὲν καὶ αὐτὸς τῶν ἐπικαίρων, ὡς προείρηται· ὑφειμένῳ δὲ τῷ ἤθει τὸν λόγον ποιήσεται τὸν τόνον ἐκβαλὼν καὶ ἐλεεινολογησάμενος καὶ πρὸς οἶκτον τὸν δικαστὴν ἐκκαλούμενος καὶ πρὸς τὸ λυσιτελοῦν αὐτῷ τὸ κεφάλαιον ἐργαζόμενος, ἔνθα λοιπὸν καὶ τὸν ἔλεον ἐπεισάγει, τουτέστι τὰ πάθη. τοῦ γὰρ κατηγόρου πολλῇ χρησαμένου καταφορᾷ κατὰ τὸν κοινὸν τόπον, ὁ φεύγων ἀντεισάγει τὸ πάθος, εἰς οἶκτον τοὺς δικαστὰς ἐκκαλούμενος·[36] χρήσιμοι, φησὶν, ἐνταῦθα αἱ τῶν παίδων παραγωγαὶ καὶ τὰ τῶν γυναικῶν δάκρυα καὶ ὅλως ὅσα πρὸς ἐλεεινολογίαν ἐπιτήδεια, χηρεῖαι γυναικῶν καὶ παίδων ὀρφανίαι καὶ ἀνατυπώσεις. ταῦτα γὰρ ἱκανὰ τὴν γνώμην ἐκκαλέσασθαι καὶ φιλανθρωπότερον κατασκευάσαι τὸν ἀκροατήν· πολλοὶ γοῦν ἡττώμενοι ταῖς δικαιολογίαις τοσοῦτον ἐν τῇ τοῦ ἐλέου διεξόδῳ κεκινήκασι πάθος τοῖς ἀκροωμένοις, ὡς τὴν νικῶσαν ἀπενέγκασθαι· καὶ τούτου μαρτύριον Ὑπερίδης ἐν τῷ ὑπὲρ Φρύνης τῆς ἑταίρας λόγῳ[37] ἐλεεινολογίας τε πλήθει καὶ τῇ περιῤῥήξει τῆς ἐσθῆτος διασώσας ἐκ τῆς Εὐθύνου[38] κατηγορίας τὴν ἄνθρωπον.

36 Mon. καλούμενος. 37 Mon. λόγῳ om. 38 Mon. εὐθίας κατ. τὸν ἄνθρωπον. Par. 2. εὐθείας κ. τόν. Par. 1. εὐθύνου κ. τήν.

οη'. Ἐνταῦθα περὶ ὅλων τῶν ἐπιλόγων ὁ τεχνικὸς διαλαμβάνει καί φησιν, ὡς τὰ τελικὰ κεφάλαια [1] τῶν ἐπιλόγων εἰσὶν, ἅπερ οὕτως ὠνόμασται, ἐπειδὴ ἕκαστον αὐτῶν τέλος ἐπιθεῖναι δύναται τῷ λόγῳ, ὅθεν οὐδὲ ἀναγκαίως ἐν πᾶσι πάντα ἐμπίπτει. κοινὰ δὲ ἐπὶ τῷ παθητικῷ τοῦ τε κατηγόρου καὶ φεύγοντος τὰ τελικὰ κεφάλαια· ἀλλ' ὁ μὲν κατήγορος εἰς τὴν ἐκβολὴν τοῦ ἐλέου χρήσεται τούτοις, καὶ τῷ μὲν νομίμῳ χρήσεται ἐκβαλὼν τὸν ἔλεον ὁ κατήγορος, ὅταν τοὺς νόμους ἀντιτάττῃ πρὸς τὰ τοῦ φεύγοντος δάκρυα, ὡς ἐν τῷ κατὰ Μειδίου Δημοσθένης· μέλλοντος γὰρ ἐκείνου τοὺς παῖδας ἀναβιβάζειν καὶ παριστᾶν τοῖς δικαστοῖς ἀντέταξε τοὺς νόμους τοῖς παισὶν εἰπών· [2] „ὅταν δ' οὗτος κλαύσεται καὶ τοὺς παῖδας παράξῃ, ἐμὲ νομίζετε τὸν νόμον ἔχοντα παρεστάναι τῷ βήματι.“ τῷ δὲ δικαίῳ, ὅταν μὴ ἄξιον εἶναι λέγῃ τὸν οὕτω πονηρὸν τῆς φιλανθρωπίας, ὡς πάλιν ὁ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου· [3] „καὶ τίς ἂν ταῦτα ἐλεήσειε δικαίως ὁρῶν τὰ τοῦδε οὐκ ἐλεηθέντα.“ τῷ δὲ συμφέροντι ὅταν συμφέρουσαν τοῦ φεύγοντος τὴν τιμωρίαν ἐπιδείξωμεν, ὅταν ἔχωμεν λέγειν, ὅτι συμφέρει τῇ πόλει ἢ τῷ δικάζοντι καταψηφίσασθαι τοῦ κρινομένου ἐξ ἀμφοτέρων κα-

---

1 Sch. min.: ἃ ὁ κατήγορος ἀναιρήσει· οὐκ ἀπορήσει, φησὶ, πρὸς τοῦτο ὁ κατήγορος λόγων· δίδωσι γὰρ αὐτῷ εἰς τὴν ἐκβολὴν τοῦ ἐλέου τὰ τελικὰ κεφάλαια ἡ τέχνη. Τελικὰ λέγεται, ἐπειδὴ ἕκαστον αὐτῶν τέλος ἐπιθεῖναι δύναται τῷ λόγῳ, καὶ καθ' ἑαυτὸ λεγόμενον. Ἰστέον, ὅτι κατὰ τὴν ἰδίαν ἐπαγγελίαν ὁ τεχνικὸς γράφων διέξεισι· προειρήκει γὰρ εὐθέως ἀρχόμενος, ὅτι τῶν στοχασμῶν οἱ μὲν εἰσιν ἁπλοῖ, οἱ δὲ διπλοῖ, καὶ τῶν ἁπλῶν οἱ μὲν ἀτελεῖς, οἱ δὲ τέλειοι. καὶ πάλιν τῶν διπλῶν πρότερον εἰπὼν ἐπὶ τοῦ τελείου στοχασμοῦ καὶ διδάξας αὐτοῦ διαίρεσιν νῦν ἔρχεται καὶ ἐπὶ τὴν τοῦ ἀτελοῦς διαίρεσιν· οὕτω γὰρ ῥᾷστα μαθησόμεθα, πῶς τὸν αὐτοτελῆ μεθοδευτέον, ἤδη προεγνωκότες τὴν τοῦ τελείου διαίρεσιν.
2 p. 575. 3 p. 546.

τασκευάζοντες, τίνα μὲν ἔσται δεινὰ ἀφεθέντος τούτου καὶ οἷα τολμήσει διασωθεὶς, τοὐναντίον δὲ πόσα ἀγαθὰ κολασθέντος αὐτοῦ· ὅτι παράδειγμα καὶ τοῖς ἄλλοις πρὸς σωφροσύνην ἔσται ἡ τούτου τιμωρία. τοὺς γὰρ ἄλλους, φησὶ, κωλύσει καὶ ἐπισχήσει τοῦ πονηρεύεσθαι· μὴ ἁλόντος δὲ τούτου τοὐναντίον συμβήσεται· πλείους μὲν οἱ πονηροὶ, τὰ δὲ δικαστήρια μάταια, τὰ τῶν νόμων ἄκυρα· καὶ Δημοσθένης οὕτω τὸ συμφέρον ἐξέβαλεν, εἰπὼν, ὅτι εἰ τούτου καταψηφίσεσθε, οὐδεὶς ἕτερος προδώσει τὴν πόλιν, ἀλλ' οὐδὲ Φίλιππος ἀνέξεται τοῦ λοιποῦ χρήματα[4] δοῦναι, ἐφ' οἷς σύνοιδεν οὐδὲν ὠφελούμενος· τῷ δὲ ἐνδόξῳ πάλιν ἐπ' ἀμφότερα· ὅτι ἀγαθὴν δόξαν περιποιήσει τῇ πόλει τιμωρηθεὶς, τὴν δὲ ἐναντίαν, ἐὰν ἀποψηφίσησθε, ἔχομεν ὁμοίως παρὰ τῷ ῥήτορι τὴν χρῆσιν· ἐν τῷ παραπρεσβείας γὰρ εἰσῆξεν ἠθοποιΐαν, ἐν ᾗ πεποίηκε λογιζομένους τοὺς Ἕλληνας Φιλοκράτην, Αἰσχίνην καὶ ἑαυτὸν, τί[5] μὲν Αἰσχίνης καὶ Φιλοκράτης ἐπρέσβευσαν, τί δὲ Δημοσθένης, καὶ τὴν πόλιν τῶν Ἀθηναίων ἐπὶ τούτοις κρίνουσαν, καὶ διὰ πάντων ἁπλῶς δείκνυσιν, ὅτι δόξαν φέρει τῇ πόλει τὸ καταψηφίσασθαι τῶν πρέσβεων. τοῦ δὲ πρέποντος, ὅτι πρέπει τοῦ τηλικαῦτα τετολμηκότος καταψηφίσασθαι, τῶν δόξαν γὰρ φερόντων τὸ πονηρίαν μισεῖν· καὶ ἀπὸ τοῦ ὁμοίου συστήσομεν, ὅτι καὶ ἄλλοι ἐπὶ τῷ αὐτῷ ἐγκλήματι τὴν τιμωρίαν ἔδωσαν. κοινὸς γὰρ πάντων κεφαλαίων ὁ παραδειγματικὸς τόπος· καὶ οὕτως μὲν τοῖς τελικοῖς χρῆται κεφαλαίοις ὁ κατήγορος ἐπὶ τῇ τοῦ ἐλέου ἐκβολῇ· χρήσεται δὲ τούτοις ὁ φεύγων, ὥσπερ γὰρ διὰ τούτων ἡ τοῦ ἐλέου ἐκβολὴ γίνεται, οὕτως δι' αὐτῶν τούτων πολλάκις καὶ ἡ τοῦ ἐλέου εἰσαγωγή· οἷον δίκαιον τοὺς ἀτυχοῦντας οἰκτείρειν· καὶ Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους[6]

---

4 Mon. χρήματος. 5 Mon. ὅτι. 6 contr. Aristocr. p. 643.

οὐκ ἐπέθετο τοῖς ἀτυχήμασιν, ἀλλ' ἐπεκούφισεν, εἰς ὅσον εἶχε καλῶς, τὰς συμφοράς· „ὁ νόμος," φησὶ, „φιλάνθρωπος ὢν οὐκ ἐπετίθετο τοῖς ἀτυχήμασι τῶν πολιτῶν, ἀλλὰ καθ' ὅσον οἷόν τε τὰς συμφορὰς αὐτοῖς ἐπικουφίζει·" καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως ἂν [7] εὕροις.

οθ'. Οὐ γὰρ ἔσται, φησὶ, μόνου τοῦ κατηγόρου, ἀλλ' ὥσπερ ἐκεῖνον ἐπεδείξαμεν αὐτοῖς χρώμενον, τὸν αὐτὸν τρόπον καὶ ὁ φεύγων ὑπὲρ ἑαυτοῦ χρήσεται· τῷ μὲν νομίμῳ, ὅτι πανταχοῦ τὴν φιλανθρωπίαν προσοῦσαν τοῖς νόμοις εὑρίσκομεν, οὐκοῦν χρὴ καὶ τοὺς δικαστὰς πρὸς τὸ πρᾳότερον βλέπειν· ὥσπερ ὁ Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους φησί· „τί δή ποτε, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτα οὕτως ἔχει; ὅτι οἱ ταῦτα ἐξ ἀρχῆς τὰ νομικὰ διελόντες, οἵ τινές ποτε ἦσαν, εἴθ' ἥρωες εἴτε θεοὶ, οὐκ ἴωντο [8] τοῖς ἀτυχήμασιν, ἀλλ' ἀνθρωπίνως ἐπεκούφισαν, εἰς ὅσον καλῶς [9] ἔχει, τὰς συμφοράς·" τῷ δικαίῳ, ὅτι δίκαιον ἀνθρωπίνως τοῖς ἡμαρτηκόσι προσφέρεσθαι καὶ συγγνώμης μᾶλλον ἀξιοῦν· τί γὰρ εἰ τοῖς ἁμαρτήμασιν ἐγνώκατε ἀκριβῶς ἐπιτίθεσθαι, οὐ πάντα ἤδη ἂν ἐκολάζετε· οὐ γὰρ οἷόν τε, οἶμαι, τόν γε ἄνθρωπον ὄντα μὴ ἁμαρτεῖν· παραλήψεται δὲ καὶ τὸ πρέπον, ὅτι δεινὸν καὶ τῆς ἐσχάτης ἀδοξίας ἀνάπλεων, εἰ δόξαν ἀπανθρωπίας ἀπενεγκοίμεθα, βουλομένων ἁπάντων ἐπὶ φιλανθρωπίᾳ θαυμάζεσθαι. Τὸ δὲ συμφέρον, ὅτι καὶ συνοίσει τῇ πόλει· ἣν γὰρ ἂν ἐπὶ τῶν ἄλλων σχοίητε γνώμην, τὴν αὐτὴν καὶ ἕτεροι ἐφ' ὑμᾶς ἕξουσιν, ὁμοίως δὲ καὶ [10] τὸ δυνατὸν, ὅτι κύριοι τῆς ὑμῶν αὐτῶν γνώμης καθεστήκατε· καὶ εἰ μέν τις ἠνάγκαζεν ὑμᾶς ἀπάνθρωπον θέσθαι ψῆφον, ἐχρῆν μὲν οὐδὲ τηνικαῦτα ἑλέσθαι· εἴχετε δὲ ἄν τινα ἐκ τῆς ἀνάγκης ἀπο-

---

7 Par. 1. ἂν om. 8 Parr. εἴωντο. Dem. c. Aristocr. p. 643. ἐπέθεντο. 9 καλῶς Mon. om. 10 καὶ Par. om.

φυγήν. νῦν δὲ οὐδεμιᾶς ἐπηρτημένης ἀνάγκης τίς ὑμῖν σκῆψις τοῦ μὴ φιλανθρωπίαν ὁρᾷν καταλείπεται;

π΄. Εὑρὼν ὁ τεχνικὸς καιρὸν ἐπιτηδειότατον ἐντελῆ καταστῆσαι βούλεται τὴν ἑαυτοῦ πραγματείαν, περὶ παντὸς ἡμῖν τοῦ ῥητορικοῦ λόγου διαλεχθείς· ἐφάσκομεν γὰρ ἐν ἀρχῇ τοῦ βιβλίου προκεῖσθαι αὐτῷ περὶ διαιρέσεως τῶν κεφαλαίων εἰπεῖν· ἡ δὲ εἰς τὰ κεφάλαια διαίρεσις μόνοις ἐπιβάλλει τοῖς ἀγῶσι· τριχῇ τοίνυν μεριζομένου τοῦ ῥητορικοῦ λόγου εἰς προοίμιά τε καὶ ἀγῶνας καὶ ἐπιλόγους, ἡ πραγματεία τοῦ τεχνικοῦ τὸ τρίτον ἡμῖν τοῦ λόγου κατορθοῖ μέρος, εἴγε τὴν εἰς τὰ κεφάλαια ποιεῖσθαι διαίρεσιν αὐτῷ προὔκειτο. ταῦτα δὲ τοὺς ἀγῶνας ἀναπληροῖ· τί οὖν εὑρὼν ἓν κεφάλαιον, δι' οὗ ὅλον μέρος κατορθοῦται τοῦ λόγου, φημὶ τὴν κοινὴν ποιότητα, ἥτις τῶν ἐπιλόγων γίνεται κατασκευαστική, μάλα εὐκαίρως καὶ ἕτερον μέρος τῆς πραγματείας προσέθηκε [11] πρὸς τοῖς ἀγῶσι καὶ τοὺς ἐπιλόγους διεξελθὼν ἐντελέστατα; [12] ἐπεὶ δὲ τὸ τρίτον αὐτῷ ὑπελείπετο μέρος, λέγω δὴ τὰ προοίμια, πάλιν δὴ κἀνταῦθα εὑρὼν τοῖς ἐπιλόγοις κοινότητά τινα οὖσαν πρὸς τὰ προοίμια, καὶ τοῦτο εὐκαιρίαν ἑαυτοῦ ποιησάμενος, καὶ τὸν περὶ τῶν προοιμίων λόγον εἰσήνεγκεν· οἵ τε γὰρ ἐπίλογοι, φησὶ, καὶ τὰ προοίμια ἕνεκα πάθους παραλαμβάνονται ψυχικοῦ. καὶ προΐασιν οἱ ἐπίλογοι ἀπὸ τῶν αὐτῶν, ἀφ' ὧν καὶ τὰ προοίμια· τριχῇ γὰρ ταῦτα λαμβάνεται, ἢ ἐκ διαβολῆς τοῦ ἐναντίου, ἢ ἐκ συστάσεως τοῦ οἰκείου προσώπου, ἢ ἐκ προσοχῆς τοῦ δικαστοῦ· τὴν δὲ προσοχὴν ποιοῦμεν, ὅταν μέγιστον, [13] ὅταν εὐσεβὲς ἀποδεικνύωμεν τὸ πρᾶγμα, ὅταν δίκαιον καὶ τὰ τοιαῦτα· τὰ δὲ αὐτὰ κἀν τοῖς ἐπιλόγοις· ἢ γὰρ διαβάλλομεν τοὺς ἐναν-

---

11 Par. 1. προστέθεικε. 12 Par. 1. ἄριστα. 13 Mon. ὅτι μέγιστον. Par. ὅτ' ἂν μεγίστην.

τίους, ἢ συνιστῶμεν τὸ οἰκεῖον, ἢ τὸ πρᾶγμα αὔξοντες προσεχέστερον ποιοῦμεν [14] τὸν δικαστήν· τοῦτο δὲ τὸ χωρίον λίαν τινὲς ἡμαρτημένως μὴ ἐπιβαλλούσης τῆς δεούσης ἀγωγῆς ἐπηβόλως [15] οὐκ ἐν τῷ καθόλου, καθάπερ ὁ τεχνικὸς ἔφη, ἀλλὰ μερικώτερον ἐφ᾽ ἑκάστου λόγου δεξάμενοι εἰς ἠλιθιώτατον παντάπασιν ἐμπεπτώκασι λόγον· ᾠήθησαν γὰρ εἰρηκέναι αὐτὸν, ὡς εἴπερ τὰ προοίμια ἀπὸ συστάσεως [16] εἴη τοῦ οἰκείου προσώπου, πᾶσα ἀνάγκη καὶ τοὺς ἐπιλόγους εἶναι συστατικοὺς, κἂν ἀπὸ διαβολῆς ληφθείη τὸ προοίμιον, καὶ τὸν ἐπίλογον ἐνταῦθα λαμβάνεσθαι· καὶ δείκνυται, φασὶν, ἐντεῦθεν, ὁ κατ᾽ Ἀνδροτίωνος λόγος οὐκ ἔχων προοίμια· οἱ μὲν γὰρ ἐπίλογοι ἐν αὐτῷ διαβληματικοὶ γεγόνασιν, ὁ δὲ λόγος ἀπὸ συστατικῶν τινων ἐπιχειρημάτων ἄρχεται· καὶ γὰρ τὸ διαβλητικὸν καὶ αὐτὸ ἕνεκα συστάσεως εἴληπται, οὐκ ἂν δὲ, φησὶ, τοῦτο ἐγίνετο κατὰ λόγον ἐκφερομένου τοῦ προοιμίου· ἐξηνέχθησαν τοίνυν εἰς ἄτοπον οὕτω λόγον αὐτοὶ τὸ χωρίον οὐ καταγνόντες τοῦ [17] τεχνικοῦ, ὡς εἴη καθολικώτερόν πως προενηνεγμένον, ὥσπερ γὰρ τὰ προοίμια, φησὶν, ἢ σύστασιν ἔχει ἢ διαβολὴν ἢ προσοχήν· ἔστι δὲ ὅτε καὶ ὁμοῦ ἅπαντα, οὕτως καὶ οἱ ἐπίλογοι· οὐ μὴν ἀνάγκη, εἰ μὴ διαβληματικὸν εἴη τὸ προοίμιον, πάντως εἶναι καὶ τὸν ἐπίλογον παραπλήσιον, ἀλλ᾽ οἷόν τε τὸ μὲν προοίμιον ἐκ διαβολῆς, εἰ τύχοι, εἰλῆφθαι, τὸν δὲ ἐπίλογον ἀπὸ συστάσεως ἢ τοὐναντίον.

πά. Ἐπειδὴ ἀπὸ τῶν αὐτῶν τοὺς ἐπιλόγους λαμβάνεσθαί φησιν, ἀφ᾽ ὧνπερ καὶ τὰ προοίμια, δεῖ προαναδραμόντας εἰπεῖν, δι᾽ ἣν αἰτίαν τὰ προοίμια καὶ τοὺς ἐπιλόγους λαμβάνομεν· τὸ μὲν οὖν προοίμιον λαμβάνεται ἀπὸ τοῦ κατηγόρου, παρασκευάζον τοὺς δικαστὰς,

---

14 ποιοῦμεν Mon. om. 15 Mon. ἐπιβόλως. 16 Mon. συστήματος. 17 Mon. τοῦ om.

τὸν κατὰ τοῦ φεύγοντος θυμὸν παραδέξασθαι· εἶτα μετὰ τοῦτο τὴν πίστιν ἐπιθεὶς τοῦ θυμοῦ διὰ τῶν ἀγώνων προέρχεται, δεικνύων τὸ εὔλογον τῆς ὀργῆς, εἶτα ἐπὶ πᾶσιν ἐστὶν ὁ ἐπίλογος, ἀνανέωσιν καὶ μνήμην καὶ ἔτι αὔξησιν παρέχων τῶν ἐν τῷ προοιμίῳ, ὥστε τούτῳ διενηνόχασιν οἱ ἐπίλογοι καὶ τὰ προοίμια, ὅτι ἐν μὲν τοῖς προοιμίοις εἰς ὀργὴν προκαλούμεθα, ἢ τι τοιοῦτον, ἐν δὲ τοῖς ἐπιλόγοις μετὰ αὐξήσεως ἀναμιμνήσκομεν· καὶ οὕτω μὲν ὁ κατήγορος· ὁ δὲ φεύγων ἐκ τῶν ἐναντίων δηλονότι χρήσεται· ἐκεῖνος γὰρ ἐμποιεῖν σπουδάζει τὸ πάθος, ὁ δὲ φεύγων καταστέλλειν· δόξειε δὲ ἀκαίρως ὁ τεχνικὸς ἐνταῦθα προοιμίου μεμνῆσθαι, ἀλλὰ φαμέν, ὅτι περὶ ἐπιλόγων διαλεγόμενος, ἐπειδὴ πολλὴν οἶδε [18] συγγένειαν ἐπιλόγων καὶ προοιμίων, ἀπὸ γὰρ τῶν αὐτῶν ἀμφότερα κατασκευάζεται, καὶ πρὸς τὸ αὐτὸ ἑκάτερον ἐπείγεται, ἀναγκαίως μέμνηται διὰ τοῦτο διαφορᾶς, χωρίσαι [19] τῆς κοινωνίας βουλόμενος· ἀμφότερα γὰρ ἢ ἔλεον, ἢ φθόνον, ἢ πάθος κινεῖ· [20] ἀμέλει Δημοσθένης ὀργὴν ἐν ἀρχῇ τοῦ προοιμίου κινεῖ ἐν τῷ κατὰ Μειδίου κατηγορῶν ἀσέλγειαν Μειδίου, τοῦτο δὲ κἂν τοῖς ἐπιλόγοις ποιεῖ καταδρομὰς τοπικὰς ἐργαζόμενος· διαφέρουσι δὲ ἀλλήλων τῇ τε τάξει καὶ τῇ ἐννοίᾳ καὶ τῇ φράσει· τὰ μὲν γὰρ τὴν πρώτην τοῦ λόγου κατέχει τάξιν καὶ σπερματικωτέραις χρῶνται ταῖς [21] ἐννοίαις, τοῖς δὲ σχοινοτενέσι καλουμένοις χαίρουσι τῶν κώλων καὶ τοῖς βεβηκόσι τῶν ῥυθμῶν· [22] ἔχει δὲ καὶ τῆς λέξεως συστροφήν· οἱ δὲ ἐπίλογοι τῷ τε λόγῳ παντὶ ἐπάγονται, ὡς καὶ τὸ ὄνομα δηλοῖ, καὶ τὰς ἐννοίας, ἐφ' ὅσον ἂν ἐθέλωσι πλατύνοντες τοῖς ἀσυνδέτοις καὶ κομματικωτέροις χαίρουσι τῶν κώλων, καὶ τοῖς λελυμένοις τῶν ῥυ-

18 Mon. εἶδε. 19 Mon. χωρῆσαι. 20 Mon. κοινωνεῖ. 21 ταῖς Mon. om. 22 Mon. τὸν ῥυθμόν.

θμῶν, καὶ τὸ μὲν προοίμιον πάθος κινεῖ, αὔξει δὲ ὁ ἐπίλογος.

πβ'. Τὴν κοινωνίαν εἰπὼν καὶ τὰς διαφορὰς ἀναγκαίως ἐπάγει· διενηνόχασι δὲ πρῶτον μὲν τῇ τάξει· τὸ μὲν γὰρ ἀρχὴ, ὁ δὲ ἐπίλογος τέλος ἐστὶ τοῦ λόγου· ἐπεί γε ἐν μὲν τοῖς προοιμίοις παρασκευάζομεν τὸν ἀκροατὴν εἰς τὸ δέξασθαι τὰ πάθη ἢ ἀπώσασθαι, ἐν δὲ τοῖς ἐπιλόγοις αὐτὰ τὰ πάθη προσφέρομεν, ἢ παντελῶς ἐκβάλλομεν· ἂν μὲν οὖν διὰ τῶν προοιμίων τὸν ἀκροατὴν εὖ καταστήσωμεν πρὸς τὸ δέξασθαι τὰ πάθη, ἐν τοῖς ἐπιλόγοις αὐτὰ ἐκεῖνα εἰσάγομεν μετ' αὐξήσεως· ἂν δ' αὖ πάλιν ἐν τοῖς προοιμίοις ὁ ἀκροατὴς ἡμῖν πρὸς τὸ ἀπώσασθαι παρασκευασθῇ, διὰ τῶν ἐπιλόγων παντελῶς ἐξαιροῦμεν αὐτὰ καὶ ἐκβάλλομεν· καὶ ὅλως ἐπιτατικώτεροι πανταχοῦ οἱ ἐπίλογοι· ἔχει οὖν τοιαύτην τινὰ διαφορὰν τὸ προοίμιον πρὸς τὸν ἐπίλογον, ὡς εἴ καί τι βιβλίον [23] πρότερον εὐπρεπὲς πρὸς ὑποδοχὴν γραμμάτων ποιοῦμεν, ἀποξέοντες αὐτὸ ἢ κολλῶντες ἢ ἄλλῳ τῳ τρόπῳ διατυποῦντες, εἶτα ὕστερον αὐτὸ τῶν γραμμάτων ἀναπληροῦμεν. καὶ ἔοικεν ἡ μὲν πρὸς τὸ ὑποδέξασθαι παρασκευὴ τοῖς προοιμίοις, αὕτη δὲ ἡ γραφὴ τοῖς ἐπιλόγοις· τρίτη διαφορὰ κατὰ τὴν χρῆσιν· ἡ δὲ χρῆσις λαμβάνεται διχῶς, πῇ μὲν κατὰ τὴν ἀπαγγελίαν, πῇ δὲ κατὰ τὴν ἔννοιαν· κατὰ μὲν τὴν ἀπαγγελίαν διενηνόχασιν, ὅτι ἐν τοῖς προοιμίοις στρογγύλῃ καὶ συνεστραμμένῃ χρώμεθα τῇ φράσει, ἐν δὲ τοῖς ἐπιλόγοις ὑφειμένῃ καὶ πρὸς τὸ λελυμένον ὁρώσῃ μᾶλλον· τηνικαῦτα δ' οὖν καὶ τοῖς κομματικοῖς καταχρώμεθα, οὐκ ἀποτείνοντες τοὺς λόγους, ἀλλὰ διὰ τῶν κομμάτων τὸν ἀκροατὴν ἀναπαύοντες. Ἡ δὲ αἰτία δήλη τοῦ τὰ μὲν προοίμια συνεστραμμένῃ, τοὺς

---

23 Mon. τι βισιν. Par. 1. 2. τι β'. in Par. 2. supra lin. manus rec. plenis litteris exscripsit.

δ᾽ ἐπιλόγους λελυμένῃ χρῆσθαι τῇ φράσει· εὐθὺς γὰρ ὁ ἀκροατὴς παρελθὼν εἰς τὸ δικαστήριον παρεσκεύασται πρὸς τὸ προθύμως καὶ ἀκριβῶς ἀκροᾶσθαι τῶν λόγων· καὶ διὰ τοῦτο συνεστραμμένην μᾶλλον αὐτῷ καὶ τὴν φράσιν προσφέροιμεν· εἰ γὰρ ἐσπουδακότα αὐτὸν πρὸς τὴν τῶν λεγομένων ἀκρόασιν καὶ τὴν ἀκοὴν ἕτοιμον ἔχοντα πρὸς τό τι γενναῖον ἀκοῦσαι διὰ τῆς φράσεως εὐθὺς ἀνήσομεν, διαλύσαιμεν ἂν τὴν προθυμίαν αὐτοῦ, καὶ οὐ προσέξει τοῖς λεγομένοις τὸν νοῦν· ἐν δὲ τοῖς ἐπιλόγοις ὡς ἤδη κεκμηκυῖαν αὐτοῦ τὴν αἴσθησιν ἐκ τῶν ἀγώνων δεῖ τῇ φράσει λελυμένῃ καὶ ὑφειμένῃ, μᾶλλον γὰρ οὕτω χρωμένους ἀνεῖναι καὶ ἀναπαῦσαι, ἵν᾽ οὕτω δύνηται μέχρι τέλους παραδέχεσθαι τοὺς λόγους· κατὰ μὲν ἀπαγγελίαν οὕτως, κατὰ δὲ τὴν ἔννοιαν, ὅτι τὰ προοίμια ἐνθυμηματικώτερον προφέρομεν, [24] συναλλαττομένης ἑκάστης ἐννοίας, τοὺς δὲ ἐπιλόγους ἐπιχειρηματικῶς καὶ ἐπεξεργαστικώτερον· τὸ γὰρ ἐπιχείρημα ἐπὶ πλέον ἐστὶ τοῦ ἐπενθυμήματος, εἴγε τὸ μὲν ἐνθύμημα ἐπὶ τῆς ἑαυτοῦ ἐννοίας ἵσταται μόνης, τὸ δὲ ἐπιχείρημα πάντα, ὅσα συντελεῖ πρὸς κατασκευὴν τοῦ προκειμένου ἐνθυμήματος, παραλαμβάνει καὶ ἐνθυμήματα καὶ παραδείγματα· καὶ ἔστιν ἁπλῶς περιεκτικὸν ἐνθυμημάτων τε καὶ παραδειγμάτων τὸ ἐπιχείρημα· πάλιν δὲ σαφὴς ἡ αἰτία κἀνταῦθα, τί δήποτε τοὺς ἐπιλόγους μετὰ πλείονος ἐξεργασίας ποιούμεθα, δῆλον γάρ, ὡς τὸν ἀκροατὴν ταύτῃ μᾶλλον ἀναπαύομεν, οὐδὲν ἀφ᾽ ἑαυτοῦ ποιοῦντες αὐτὸν ἐκλογίζεσθαι, ἀλλὰ πάντα ἡμεῖς διεξιόντες· τοσαῦτα περὶ προοιμίων τε καὶ λόγων ἔχομεν λέγειν.

πδ΄. Οἱ ἐπίλογοι, φησίν, ἀπολελυμένον ἔχουσι τὸν ῥυθμόν, διὰ τὸ προκεκοπωμένους τοὺς δικαστὰς δεῖσθαι ἀνέσεώς τινος καὶ μαλακίας λόγων· τὸ δὲ προοίμιον τοὐ-

---

24 Mon. ἐνθυμηματικώτερα προσφέρομεν.

ναντίον· ὅ τε γὰρ ῥυθμὸς συνεστραμμένος, καὶ ἡ σύνθεσις τῆς λέξεως σύντομος· ἐπειδὴ γὰρ ἐν ἀρχῇ νήφουσι μᾶλλον οἱ ἀκροαταὶ, καὶ οὔπω ἀνακεκίνηται αὐτῶν τὸ πάθος, ὁμοιοπαθεῖν δεῖ τοῖς ἀκούουσι καὶ ἠρέμα προσβιβάζειν τό τε ἑαυτῶν καὶ τὸ ἀκροατῶν πάθος· ἔσται δὲ τοῦτο, ἐὰν τοῖς τε σχήμασι μετρίοις καὶ ταῖς λέξεσι καὶ ταῖς συνθέσεσιν, ἔτι δὲ καὶ ταῖς ὑποκρίσεσι μετρίως χρώμεθα· ὁ δὲ ἐπίλογος τοὐναντίον κεκινῆσθαι τοῖς σχήμασιν ὀφείλει καὶ πολλὰς μὲν ἐκβοήσεις ἔχειν, πολλοὺς δὲ σχετλιασμούς· καὶ τὰ μὲν προοίμια συστροφὴν ἔχει τῆς λέξεως, ὁ δὲ ἐπίλογος λελυμένην τὴν φράσιν.

Cap. XVIII.

Περὶ τῶν εἰδῶν τοῦ στοχασμοῦ.[1]

α´ Μετὰ τὸν περὶ διαιρέσεως τοῦ στοχασμοῦ λόγον ἐπὶ τὰς ἐν αὐτῷ διαφορὰς ἀναγκαίως ἐλήλυθεν· οὐ γὰρ ἁπλοῦς τίς ἐστι καὶ μονοειδὴς, ἀλλὰ πολυσχιδὴς ἐν ταῖς κατὰ εἶδος διαφοραῖς, ἃς παραδραμεῖν τὸν τεχνικὸν οὐκ

---

1 Sch. min.: *Πληρώσας τὸν περὶ ἁπλοῦ τελείου στοχασμὸν ἐπὶ τὰ εἴδη λοιπὸν τοῦ στοχασμοῦ πορεύεται. Διατί δὲ περὶ διαιρέσεως εἰπεῖν προθέμενος τῶν κεφαλαίων, νῦν καὶ περὶ τῶν εἰδῶν τοῦ στοχασμοῦ διαλέγεται; ἐπειδὴ πρὸς τὰ εἴδη καὶ ἡ διαίρεσις διάφορος γίνεται, ἠναγκάσθη καὶ περὶ τῶν εἰδῶν τεχνολογῆσαι. Ἐν οἷς διπλῇ καὶ τῇ διαιρέσει· συντόμως τὴν τοῦ ἁπλοῦ στοχασμοῦ πρὸς τοὺς διπλοῦς διαφορὰν ἡμῖν ἐδήλωσεν, ὅτι ἐν τούτοις διπλῆ καὶ ἡ διαίρεσις, δυοῖν δὲ ὄντων, ἐξ ὧν καὶ τὸ πολιτικὸν ζήτημα πληροῦται, προσώπου λέγω καὶ πράγματος, ἐὰν μὲν ἐξέτασιν ἐπιδεχόμενα ἀμφότερα εὑρεθῇ, τέλειος οὗτος στοχασμὸς, καὶ πάντα ἕξει τὰ κεφάλαια, ὅταν δέ τι τῶν δύο ἐπιλίπῃ, καὶ τὰ κεφάλαια τοῦ μέρους ἐκείνου ἐκλείψει.*

ἕνι· πανταχόθεν τό γε ἐντελὲς τῇ πραγματείᾳ παρασκευαζόμενον· ποιεῖται δὲ τῶν εἰδῶν τὴν διαίρεσιν πρῶτον μὲν εἰς τὸ ἁπλοῦν τε καὶ διπλοῦν· τῶν γὰρ στοχασμῶν οἱ μέν εἰσιν ἁπλοῖ, οἱ δὲ διπλοῖ· ἔπειτα ὑποδιελών φησι τῶν ἁπλῶν τοὺς μὲν εἶναι τελείους, τοὺς δὲ ἀτελεῖς· ὁμοίως δὲ καὶ τῶν διπλῶν καὶ τοὺς μὲν εἶναι τελείους, τοὺς δὲ ἀτελεῖς· τὸ δὲ ἀτελὲς γίνεται, καθά φησιν, ἐπὶ μὲν ἁπλῶν, ὅτε ἐλλείπῃ τὸ πρόσωπον, ἐπὶ δὲ τῶν διπλῶν, ὅταν πρόσωπον ᾖ, τὸ δὲ πρᾶγμα ἐλλείπῃ· πρᾶγμα γὰρ ἐνδεῖν ἐν ἁπλῷ στοχασμῷ παράπαν ὁ τεχνογράφος οὐ καταδέχεται·[2] περὶ μὲν οὖν τούτου μικρὸν ὕστερον ἐντελῶς διαλεχθήσομαι· ἔστι δὲ μεταξὺ πεπτωκὸς τοῦ τε ἁπλοῦ καὶ τοῦ διπλοῦ καὶ ἕτερον εἶδος στοχασμοῦ· καλεῖται δὲ συνεζευγμένον, ὅπερ οὔτε ἁπλοῦν δυνάμεθα λέγειν, ἐκ δυοῖν γὰρ συνέστηκεν, οὔτε μὴν διπλοῦν· οὐ γὰρ ὥσπερ ὁ διπλοῦς προηγουμένως ἔχει τὰ δύο, ἀλλὰ τὸ ἕτερον γίνεται τοῦ ἑτέρου κατασκευή, τρία δέ ἐστιν εἴδη συνεζευγμένα, στοχασμὸς, προκατασκευαζόμενος, συγκατασκευαζόμενος ἐμπίπτων.

β΄. Εἰς τὸ ἀτελὲς προσυπακουστέον τὸ ἐκ προσώπων· ἀπορήσει δέ τις, πῶς οἷόν τ' ἐστι κρίσιν ἐν δικαστηρίῳ γίνεσθαι προσώπου ἢ πράγματος ἐκλείποντος· φαμὲν οὖν, ὅτι τὸ μὲν πρόσωπον πάντῃ ἐκλείπειν ἀδύνατον· τοῦ γὰρ δράσαντος μὴ εἰπόντος, κατὰ τίνος ἐξοίσει τὴν ψῆφον ὁ δικαστὴς, ἀλλ' ἐπειδὴ τὰ ἐκ τῶν προσώπων κρινόμενα κεφάλαια ἐκλείπει, ὅταν ἀόριστον πρόσωπον πάντῃ ἐν στοχασμῷ παραλάβωμεν, διὰ τοῦτο ἀτελεῖς ἐκ προσώπων τοὺς τοιούτους καλοῦμεν στοχασμούς· πάλιν τὸ πρᾶγμα διχῶς, τὸ τεκμήριον καὶ τὸ κρινόμενον· τὸ τεκμήριον οὖν ἐκλείπει πολλάκις,[3] τὸ δὲ ἐπιφερόμενον ἔγ-

---

2 Par. 1. παραδέχεται. 3 Par. 1. πολλάκις ἐλλείπει. Sch. min.: ἑνὸς ὄντος τοῦ πράγματος· τοῦτο διὰ τοὺς διπλοῦς εἶπε· διπλοῖ γάρ εἰσιν οἱ ἓν μὲν ἔχοντες πρόσωπον, δύο δὲ πρά-

κλημα οὐδέποτε· διὰ τοίνυν τὴν τοῦ τεκμηρίου ἔκλειψιν ἀτελεῖς ἐκ πραγμάτων καλοῦνται στοχασμοί.

γ΄. Τοῦτο καὶ ἐν τῇ μεθόδῳ σαφῶς ἡμῖν προαπεφήνατο λέγων ὡδί· πρᾶγμα δὲ οὐ κρίνεται κατά γε ἐμὲ τὸ ἐξισάζον μόνον· ἐνταῦθα δὲ ἐπαγωνίζεται φανερῶς ἤδη τῷ λόγῳ· καὶ συλλογίζεται τοὺς ἐναντιουμένους· πάντες δὲ σχεδὸν οἵ τε πρὸ αὐτοῦ τεχνογράφοι καὶ οἱ μετ᾽ αὐτὸν γενόμενοι τὴν ἐναντίαν ἀπεφήναντο περὶ τούτου γνώμην [4] τῷ τεχνικῷ, οἰόμενοι καὶ τὸ πρᾶγμα ἐλλείπειν ποτὲ ἐν ἁπλῷ στοχασμῷ, συλλογίζεται δ᾽ οὖν οὕτως· ἐν παντὶ, φησὶ, στοχασμῷ δεῖ πάντως ὑπεῖναι σημειά τινα· πῶς γὰρ ἂν ἑτέρως ὁ στοχασμὸς δέξαιτο κρίσιν; εἰ δὲ σημεῖα, δῆλον ὅτι καὶ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους· τὰ γὰρ σημεῖα ἐν τοῖς ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ἐστίν· εἰ δὲ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, μετάθεσιν αἰτίας καὶ πιθανὴν ἀπολογίαν ἀνάγκη δήπου συνευρεθῆναι· ἀντιστρέφεται γὰρ ἀεὶ πρὸς τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ταυτὶ τὰ κεφάλαια πραγματικὰ ὄντα· πῶς δὲ οἷόν [5] τε, φησὶ, πράγματος ἐλλείποντος πραγματικὰ ὑπεῖναι κεφάλαια· εἴπερ οὖν ἀποδέδεικται ταυτὶ τὰ κεφάλαια πραγματικὰ ὄντα καὶ ἐξ ἀνάγκης παντὶ ἐμπίπτοντα [6] στοχασμῷ, οὐχ οἷόν τε πραγματικὰ ὑπεῖναι κεφάλαια μὴ κρινομένου τοῦ πράγματος, οὐκ ἂν εἴη δῆλον, ὅτι οὐδὲ στοχασμός τις ἐλλείπων κατὰ τὸ πρᾶγμα. Ἀντιλέγουσι δὲ αὐτῷ πρὸς τοῦτο, καὶ μάλιστά γε Ἁρποκρατίων, εὐθὺς ἐναντία φάσκοντες εἰρηκέναι τὸν τεχνικὸν ἑαυτῷ· ἔφη γὰρ μήποτε

γματα, ὥσπερ ὁ συγκατασκευαζόμενος. Πράγματος· συνυπακουστέον τοῦ κρινομένου, ἵν᾽ ᾖ ἑνὸς εὑρισκομένου μόνον τοῦ πράγματος. Οὗτος βούλησιν μὲν καὶ δύν. οὐκ ἔχει· τὰ πρόσωπα κρινόμενα μὴ ἔχων τοῖς τοῦ προσώπου κεφαλαίοις οὐ διαιρεῖται, τοῖς δὲ τοῦ πράγματος διαιρεῖται. 4 Mon. γνῶσιν. 5 πῶς δὲ οἷόν τε, φησὶ — — — ταυτὶ τὰ κεφάλαια πραγματικὰ Par. 1. om. 6 Mon. ἐμπίπτοντι.

δύνασθαι ἐλλείπειν τὸ πρᾶγμα ἐν στοχασμῷ· αὐτὸς δὲ ἐν τοῖς λοιποῖς στοχασμοῖς δέδωκέ ποτε καὶ ἐλλείπειν αὐτό· εἰ δέ ἐν τοῖς διπλοῖς, φασὶν, ἐλλείπει, τί κωλύει ταὐτὸ κἀπὶ τῶν διπλῶν συμβαίνειν; ὁ γὰρ διπλοῦς στοχασμὸς οὐδὲν ἕτερόν ἐστιν, ἢ δύο ἁπλοῖ, ἀλλὰ πρὸς τοῦτο κάλλιστά γε ὁ Μητροφάνης ἀπηντηκὼς φαίνεται· ἔστι γὰρ, φησὶ, [7] καθόλου ἐν παντὶ στοχασμῷ τὸ πρᾶγμα τῇ φύσει ὑποκείμενον· ἀλλὰ τοῦτο πῇ μὲν ὠφελεῖ τι πρὸς ἀπόδειξιν, πῇ δὲ [8] ἀνόνητον ἔκ τινος περιστάσεως γίνεται· ἡ δὲ περίστασις, καθ' ἣν τοῦτο γίνεται, μία τίς ἐστιν ἡ κατὰ τὸ ἰσάζον, ὥστε ἔνθα [9] ἂν μὴ συμβαίνῃ τὸ ἰσάζον, οὐ μόνον τῇ φύσει, ἀλλὰ καὶ τῇ χρήσει πάντως εὑρίσκεται· σκοπῶμεν οὖν, εἴπερ [10] ἐπὶ τῶν ἁπλῶν ἡ τοιάδε περίστασις γενέσθαι, πῶς οὖν ἂν γένοιτο, φησὶ, παντελῶς γὰρ ἀδύνατον τοῦτό γε· τὸ γὰρ ἰσάζον ἐπὶ δύ οτινῶν ἢ καὶ πλειόνων λέγεται, εἴγε [11] τῇ πρὸς ἕτερον σχέσει τὸ ἰσάζον λαμβάνεται· ὥσπερ ἴσους φαμὲν δύο τινὰς εἶναι ἀλλήλοις, ἕνα δέ τινα καθ' αὑτὸν οὐκ ἂν φαίη τις ἴσον· τὸ οὖν ἁπλοῦν ἐν τῷ στοχασμῷ οὐκ ἂν ἐπιδέχοιτο ἁπλοῦν γε ὂν τὴν τοιαύτην [12] περίστασιν· ἐξ ἀνάγκης οὖν ἐν παντὶ μὲν ἁπλῷ οὐ μόνον τῇ φύσει, ἀλλὰ καὶ τῇ χρήσει τὸ πρᾶγμα πάντως εὑρίσκεται, ἐν δὲ τοῖς διπλοῖς καὶ ἐλλείπει· τὸ γὰρ ἐξισάζον ἐπὶ τοῦ διπλοῦ χώραν ἔχει, ὅπερ μόνον ἐστὶ τῆς ἐλλείψεως τοῦ πράγματος αἴτιον· ἐλλείψεως δέ φημι τῆς κατὰ τὴν χρῆσιν, τῇ γὰρ φύσει δεῖ πάντως ὑφεστάναι τὰ πράγματα· οὐ καλῶς ἄρα τὰ τῶν διπλῶν, φησὶ, μεταφέρειν ἐπὶ τοὺς ἁπλοῦς ἀξιοῦσι· ταύτην μὲν [13] οὖν σαφῶς ἀνέστρεψεν ὁ Μητροφάνης τῶν τε ἄλλων καὶ τὴν τοῦ Ἁρποκρατίωνος ἀν-

---

7 Mon. φασί. 8 Mon. γε. 9 Mon. ἐνταῦθα. 10 Mon. ἅπερ. 11 Par. 1. εἴπερ. sq. τῇ Mon. om. 12 Par. 1. τὴν περίστ. ταύτην. 13 μὲν Mon. om. Sch. min.: ἀτελὴς δὲ ἐκ μόνων προσώπων. Τῶν στοχασμῶν οἱ μὲν ἁπλοῖ, οἱ δὲ δι-

τίθεσιν· παρεισφέρειν δὲ καὶ ἀπόδειξιν πειρῶνταί τινα τοῦ ἐλλείπειν τὸ πρᾶγμα, οὕτω γὰρ, φασὶν, ἐπὶ τούτων μόνων ἐστὶ τὸ πρόσωπον τὸ κρινόμενον, ὥστε ἄν τις ἀμείψῃ τὸ πρόσωπον, οὐκέτι οὐδὲ συνεστάναι δύναται ἡ κρίσις, ἀλλ' εὐθὺς τὸ ὅλον διαλύεται· οἷον ἔγραψεν ὁ Περικλῆς εἰς δέον ἀνηλωκέναι πεντήκοντα τάλαντα, καὶ κρίνεται Ἀρχίδαμος δώρων ἐὰν γὰρ, φασὶν, ἀμείψωμεν τὸ πρόσωπον τοῦ Περικλέους καὶ τοῦ Ἀρχιδάμου, οὐκέτι ἐμμένει ἡ ζήτησις· ὁμοίως καὶ ἐπὶ τοῦ ἀσώτου κρινομένου, ἐφ' οἷς ὁ πατὴρ ἀφανὴς ἐγένετο· κἀνταῦθα γάρ, φασὶ, τὸ σύμπαν τῆς κρίσεως περὶ τὸ πρόσωπον ἕστηκεν, ὅτι ὁ ἄσωτος· εἰ γοῦν μεταθείημεν αὐτὸ, συνδιαφθαρήσεται καὶ ἡ κρίσις· ὁ δὲ λόγος οὐκ ἰσχυρὸς, ἀντιπαραστήσεται [14] γὰρ αὐτοῖς τὸ εἰρημένον· δύναται γάρ τις καὶ τὸ πρᾶγμα ἀμείβων διαλύειν τὴν ζήτησιν· οἷον εἰ φαίημεν ἀσώτου πατέρα ἐπ' ἐμπορίᾳ ἐκδεδημηκέναι πολλῶν εἰδότων, καὶ κρίνεσθαι τὸν ἄσωτον φόνου, γελοιότατον ἂν φανείη τὸ λεγόμενον, μήτιγε δὴ καὶ ἐμπίπτον εἰς ζήτησιν· ἔτι δὲ καὶ πρὸς κατασκευὴν τοῦ ἐλλείπειν τὸ πρᾶγμα καὶ τῷδε ὡς ἀῤῥήτῳ συλλογισμῷ ἐπανέχουσι· πρᾶγμά ἐστι, φασὶ, τὸ πραχθέν· τὸ μηδὲ πεπραγμένον οὐκ ἂν οὐδὲ πρᾶγμα λέγοιτο· ὁ

πλοῖ· καὶ τῶν ἁπλῶν οἱ μὲν τέλειοι, οἱ δὲ ἀτελεῖς· καὶ περὶ μὲν τῶν ἁπλῶν καὶ τελείων εἴρηκε, περὶ δὲ ἁπλῶν καὶ ἀτελῶν ἐμνημόνευσεν, ὅτι οἱ μὲν ἔχοντες τὸ πρᾶγμα κρινόμενον κρίνονται, οἱ δὲ τὸ πρόσωπον μόνον οὐ κρίνονται· καὶ τοῦ Μινουκιανοῦ λέγοντος, ὅτι καὶ ὑπὸ προσώπου μόνου κρίνονται, οὗτος ἐναντιοῦται, φιλονεικῶν. Τοῖς γε ἐπεσκεμμένοις· τάχα τὸν συλλογισμὸν βούλεται ἡμῖν ἀναμιμνήσκεσθαι, ὃν παραλογιζόμενος ἐν τῷ περὶ τῶν πραγμάτων λόγῳ ἔταξεν, ἐν οἷς, φησὶ, θαυμάζω δὲ, εἰ μὴ κρινομένου τοῦ πράγματος αἰτίαν τις ἀποδώσει. Εἴρηται ἐν τῇ ἀρχῇ, ἐν τῇ τῶν ζητημάτων ἐξετάσει, ὅπως ὁ Ἑρμογένης ἵστησι τὸ δόγμα αὐτοῦ. **14** Mon. ἀντιπεριστήσεται.

δὲ ἄσωτος, φησὶν, οὐδὲν πεπραχὼς κρίνεται φόνου, οὐδὲν αὐτὸς διαπεπραχώς· πῶς οὖν, φασὶ, μηδενὸς πραχθέντος πρᾶγμα ἂν ὑποκείμενον εἴη; ἀλλὰ ῥάδιον αὐτοὺς ἐκ τῶν σαφεστέρων λόγων ἐλέγχειν· τὴν γὰρ δευτέραν τάξιν τῶν πραγμάτων ἀναμφιλέκτως ἅπαντες καταδέχονται· καίτοι οὐδὲ ἐπὶ ταύτης, ἀφ' ὧν αὐτός τις ἔπραξεν, ἡ κρίσις γίνεται, ἀλλ' ἀφ' ὧν ἕτεροι, οἷον τρισαριστέως εἰκόνα ἔστησαν οἱ πολέμιοι, καὶ κρίνεται προδοσίας· ἐνταῦθα γὰρ οὐδὲν τῷ τρισαριστεῖ πέπρακται· καὶ τὸ πρᾶγμα ὅλως ἐλλείπειν οὔ φασι· τὸ γοῦν αὐτὸ κἀπὶ τῆς τρίτης καταδεξάσθωσαν τάξεως· ἀλλ' ἐροῦσιν, ὡς ἐκεῖ μὲν ἄντικρυς εἰς τὸ κρινόμενον ἀναφέρεται τὸ πρᾶγμα, ἐνταῦθα δὲ οὐκ ἄντικρυς· προσλεκτέον, ὡς οὐδὲ ἡμεῖς ἀμφισβητοῦμεν, ὡς οὐκ ἐλάττονα ἔχει δύναμιν ἐνταῦθα τὸ πρᾶγμα, καταφαίνεται γὰρ παντὶ, ὡς ἔστιν ἔλαττον τὸ οὐκ ἄντικρυς ἀναφερόμενον τοῦ γε ἀναφερομένου ἄντικρυς· διὰ γάρ τοι τοῦτο τὴν μὲν δευτέραν ἐκεῖνα, ταῦτα δὲ τὴν τρίτην ἀπέλαβε τάξιν· οὐ μὴν ἐπειδήπερ ἀσθενεστέρα, διὰ τοῦτο καὶ παντελῶς ἐλλείπειν νομισθήσεται· τοῦτο δὲ καλῶς ἔοικε θεωρήσας ὁ τεχνικὸς προανελεῖν τὴν ἀντίθεσιν· ἔφη γὰρ ὧδε· ἀλλ' ἧττον ἰσχύει τὸ πρᾶγμα ἐνταῦθα, ἢ ἐν τῷ θάπτοντι τὸ νεοσφαγὲς σῶμα· καὶ γὰρ ἐν πᾶσι στοχασμοῖς ἧττον ἰσχύει τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους· ὅταν ἀφ' ὧν ἄλλοι πεποιήκασι, κρίνηταί τις, ἄλλως τε καὶ ὅταν μὴ εἰς αὐτὸν ἄντικρυς ἀναφέρηται· φαίνεται ἄρα διὰ τοῦτο ἀκριβέστερον κατανοήσας τὴν φύσιν τοῦ πράγματος, ὅτι βραχέα μὲν ἐνταῦθα συντελεῖ, οὐ μὴν διὰ τοῦτο παντελῶς ἀνόνητον γίνεται· πῶς οὖν οὐκ ἄν τις τῶν οὕτω προχείρως ἐπιλαμβανομένων τοῦ τεχνικοῦ καταγνοίη;

δ΄. Καταδρομὴν εὐθὺς ἐντεῦθεν ποιοῦνται τοῦ τεχνικοῦ, ὡς διηπορηκότος περιφανῶς· οὐ γὰρ ἔσχε, φασὶ, μετά-

τάθεσιν αἰτίας εἰπεῖν οὐδὲ πιθανὴν ἀπολογίαν, ὅπερ ἐστὶ κεφάλαια τοῦ πράγματος· ἀλλὰ τὸ χωρίον παρέδραμεν· τοῦτο δὲ κομιδῇ [15] καθέστηκεν εὔηθες· ὁ γὰρ τεχνικὸς διεξελθὼν τὰ κεφάλαια καὶ τὴν προσήκουσαν ἀποδοὺς ἑκάστῳ τεχνολογίαν ᾤετο πρὸς ἐπισταμένους ἤδη ποιεῖσθαι τὸν λόγον, ἐπεί τοι πρόχειρον ἦν τὴν μετάθεσιν τῆς αἰτίας εἰπεῖν, ὅτι λῃσταῖς που περιτυχὼν ἀνῃρέθη, ἢ ὅτι λυπῆσαι βουλόμενος υἱὸν ἄσωτον ὄντα ἀπέκρυψεν ἑαυτὸν, ἢ καὶ ἐπ᾽ ἐμπορίαν ἐξέπλευσε πορρωτέρω, καὶ πιθανὴν δὲ ἀπολογίαν ἐρεῖ, ὅτι καὶ μὴν οὐκ ἂν ἀφανῆ καθιστῶν αὐτὸν, ἵνα μὴ ἄσωτός γε ὢν ὑπόνοιαν δῶ κατ᾽ ἐμαυτοῦ· εἰ γὰρ φανερὸς ἦν ὁ φόνος, ἐνομίσθη ἂν ὑπὸ λῃστῶν ἀνῃρῆσθαι ἢ ὑφ᾽ ὁτουοῦν ὡς εἰκὸς ἑτέρου, ὥστε οὐκ ἂν ἀπορῶν ὁ τεχνικὸς αὐτὰ παρῆλθεν, ἀλλὰ κατάδηλα οἰόμενος εἶναι τοῖς γε ἐπεσκεμμένοις ἀνωτέρω καὶ τὴν φύσιν ἐπισταμένοις τῶν κεφαλαίων.

έ. Ἔστιν ἐκ προσώπου ἀτελὴς στοχασμὸς, οἷον δύο ῥήτορες ἥκοντες ἀπὸ τῆς Φιλίππου πρεσβείας, εὕρηται ὁ μὲν χρυσίον κατορύττων, ὁ δὲ ἀπολογίαν παραπρεσβείας γεγραφὼς, καὶ κρίνονται προδοσίας· εὕρηται δὲ ὁ καλούμενος μονομερὴς, ὅταν δύο μὲν ἔχῃ τοὺς φεύγοντας,

15 Mon. κομηδοῦ. Sch. min.: Φασὶν οἱ Μινουκιανῷ συνασπίζοντες, ἀλλ᾽ οὐ πάντως μετάθεσιν αἰτίας παραλήψεται· τοῦτο γὰρ ἐὰν εἴπῃ, ἐκ περιουσίας ἐρεῖ· δύναται γὰρ μόνον τὸ παραγραφικὸν ἐνθεὶς πρὸς τὴν ἀπολογίαν ἀρκεσθῆναι· δεῖξον πρῶτον, ὅτι ἀνῄρηκα τὸν πατέρα, καὶ τότε κρίνομαι. Ἀλλὰ καὶ τοῦτο· φασὶν οἱ συνηγοροῦντες Μινουκιανῷ, ὅτι ἀπὸ τῶν προσωπικῶν κεφαλαίων ἦν ἀπολογία τῷ ἀσώτῳ· τί οὖν περικλείει τὰ τῆς ἀπολογίας εἰς τὴν μετάθεσιν τῆς αἰτίας; Φαμὲν δὲ, ὅτι εὐλόγως ὁ τεχνικὸς οὕτως εἶπεν· ἀφορῶν γὰρ εἰς τὸ πιθανὸν τῆς ἀπολογίας, ὅπερ ἐστὶν ἐν τῷ χρώματι· ἔφαμεν δὲ ἤδη, ὅτι ἰσχυρόν ἐστι κεφάλαιον τῷ φεύγοντι ἡ μετάθεσις τῆς αἰτίας· αὕτη γάρ ἐστιν ἡ χρωννύουσα τὴν ἀπολογίαν, ὥστε καλῶς εἶπεν ὁ τεχνικὸς, ὅτι εἰ μὴ ἐμπίπτει μετάθεσις αἰτίας, ποία περιλείπεται δικαιολογία τῷ φεύγοντι;

ἕνα δὲ τὸν κατήγορον, οἷον Αἰσχίνης καὶ Δημοσθένης ἥκοντες ἀπὸ τῆς παρὰ τὸν Φίλιππον πρεσβείας, εὕρηται ὁ μὲν χρυσίον κατορύττων, ὁ δὲ παραπρεσβείας ἀπολογίαν γεγραφὼς, καὶ κρίνει αὐτοὺς Ὑπερίδης προδοσίας· [16] εὕρηται καὶ ἄλλος, ὅταν πρόσωπον ἐπὶ δύο πράγμασι κρίνηται ὁμοίοις καὶ διαφόροις. τοῖς διαφόροις μὲν, ὡς τοῦτο· ἀνὴρ καὶ γυνὴ τὴν [17] αὐτὴν νόσον ἐνόσουν, δέδωκέ τις ἰατρὸς τοῖς δύο τὸ αὐτὸ φάρμακον, τοῦ ἀνδρὸς τελευτήσαντος τὴν γυναῖκα ἔγημε, καὶ κρίνεται μοιχείας καὶ φόνου. ἐφ᾽ ὁμοίοις δὲ, οἷον πένητος δολοφονηθέντος ἐκήρυξεν ὁ δῆμος τῷ μηνύσαντι χιλίας δώσειν, ἀντεκήρυξεν ὁ πλούσιος δώσειν δισχιλίας. εἰσῆλθέ τις αὐτὸν μηνύσων, ὁ δὲ αὐτὸν εἰς τὴν ὑστεραίαν ἀνεβάλετο, [18] εὕρηται καὶ αὐτὸς δολοφονηθεὶς, καὶ κρίνεται ὁ πλούσιος ἐπ᾽ ἀμφοτέροις φόνου. Εὕρηται καὶ ἄλλο σπάνιον εἶδος τοῦ κατ᾽ ἀμφισβήτησιν· οἷον ὅπερ οὐκ ἔχει γεγονός τι ὑπὲρ τῶν προσώπων, ἀλλ᾽ ἔξωθέν τι συμβεβηκὸς, ἀφ᾽ ὧν τὸ πρόσωπον προφέρουσιν, οἷον ἀτελὴς παῖς ἀπεδήμησεν· φήμη ἐγένετο, ὡς τετελεύτηκε, καὶ ἀμφισβητοῦσι περὶ τοῦ κλήρου οἵ τε ἐπίτροποι καὶ οἱ κληρονόμοι· ἐνταῦθα σημεῖον οὐδὲν προφέρονται παρ᾽ αὐτῶν, ἀλλὰ τὴν φήμην διϊσχυρίζονται· τούτων δὲ τῶν στοχασμῶν τοὺς μὲν ἀντεγκληματικοὺς εἶπε, τοὺς δὲ λοιποὺς παρῆκεν· εἰσὶ δὲ καὶ ἄλλοι, συμπεπληγμένοι δὲ καλοῦνται, διότι ἑτέραις στάσεσιν ἐπιμίγνυνται, ὧν ἐστι καὶ οὗτος πρῶτος· οἷον μειράκιον ἔφη ἐντὸς [19] τριάκοντα ἡμερῶν εὐπορήσειν, ἢ πορνεύσειν μεταξὺ τῶν ἡμερῶν τούτων· κατέλι-

---

16 Par. 1. προδοσίας αὐτοὺς Ὑπερίδης. Sch. min.: ἁπλοῦς μὲν οὖν στοχασμός· ἐν τούτοις ἐστὶν ἡ τῶν ἁπλῶν στοχασμῶν διδασκαλία, ἐν οἷς δέδεικται, ὡς ἀδύνατόν ποτε στοχασμὸν εἶναι ἀτελῆ ἀπὸ πραγμάτων· τουτέστι μόνα ἔχοντα πρόσωπα ἐξεταζόμενα. 17 τὴν Mon. om. 18 Par. 1. ἀνεβάλετο. Mon. ἀναβάλλετο. 19 Mon. ἔφην ἐνός.

πεν αὐτὸν κληρονόμον τις καὶ οὐκ ἐπόρνευσε, καὶ κρίνεται πορνείας· ἐνταῦθα γὰρ ὁ στοχασμὸς, ὅτι ἄρνησις· φησὶ γὰρ μὴ πεπορνευκέναι, τοῦ κατηγόρου χρωμένου τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους, ὅτι ἐκήρυξας καὶ ἐκ τούτου ἐπόρνευσας· ὁ δὲ φεύγων τῷ ὅρῳ ἀπολογήσεται, λέγων, οὐ τὸ κηρῦξαι πορνεῦσαί ἐστιν· ὅρος μὲν οὖν κατὰ τοῦτό ἐστιν, ὅτι πέπρακται τὸ ἐκήρυξε, λείπει δὲ τὸ ἐπόρνευσεν· οὕτω δὲ δεῖ τὸν ὁρικὸν στοχασμὸν μελετᾶσθαι, ὅταν παρέλθῃ τοῦ στοχασμοῦ τὰ κεφάλαια ἕως τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους, καὶ ἐντεῦθεν τὰ τοῦ ὅρου κεφάλαια μελετήσεις· ἐπανελθεῖν δὲ δεῖ πάλιν ἐπὶ τὴν πιθανὴν ἀπολογίαν τὸν τρόπον, ὅτι, εἰ ἐβουλόμην πορνεῦσαι, οὐκ ἐκήρυττον· δεύτερος δὲ [20] ὁ συγγνωμονικὸς, οἷον ὡραίαν μειρακίου μητέρα λησταὶ ἔλαβον, καὶ ἀπελθόντος τοῦ μειρακίου ἐπὶ τῷ λυτρώσασθαι, ἀφῆκαν τὴν μητέρα οἱ λησταὶ ἄνευ λύτρων, καὶ κρίνεται ἑταιρίας τὸ μειράκιον. ἐνταῦθα ἐν τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους προβαλλομένου [21] τοῦ κατηγόρου, καὶ λέγοντος, ὅτι διὰ τί ἄνευ λύτρων σε ἀφῆκαν, ὁ φεύγων [22] ἐρεῖ, ἐλεήσαντες τὴν ἡλικίαν καὶ τὸ φιλόστοργον καὶ τὴν μητέρα, καὶ εὐθέως εἰς τὴν συγγνώμην ἐμπεσεῖται λέγων, „οὐ δεῖ τὰ παρὰ ληστῶν γινόμενα ἐξετάζεσθαι, πάντα γὰρ τὰ τοιαῦτα κατ' ἀνάγκην γίνεται·" ὁ τρίτος πάλιν ὁ δημοκόπιος, οἷον πρεσβευτὴς εἰσῆλθεν εἰς τὸν δῆμον μελανειμονῶν, καὶ ἐρωτηθεὶς ὑπὸ τοῦ δήμου, δι' ἣν αἰτίαν οὕτως ἔχει, ἔδειξέ τινα ὡς τὴν γυναῖκα αὐτοῦ μοιχεύοντα, καὶ κατέλευσεν ὁ δῆμος τὸν δειχθέντα· καὶ μετὰ ταῦτα εὕρηται τῇ γυναικὶ συνοικῶν, καὶ κρίνεται δημοκοπίας· διαφέρει δὲ τοῦτο τῶν ἄλλων, ὅτι μεμιγμένα τὰ κεφάλαια, οἷον βουλήσεις δύο ὑφ' ἓν ἐξεταζόμεναι· [23]

---

20 Mon. δεύτερον, εἰ ὁ. 21 Mon. προβαλλομένας τοῦ κατ. καὶ λέγει. 22 ὁ φεύγων Par. 1. om. 23 Mon. ἐξεταζομέναι. Par. 1. ἐξεταζομένας.

ἔστι δὲ καὶ[24] ἄλλος στοχασμὸς ὁ ἐξ ἀπάτης δικαστῶν·[25] οἷον ἐγράψατό τις τὴν γυναῖκα μοιχείας, καὶ εἷλε· τελευταῖον ἔφη πρὸς τὴν γυναῖκα, ὡς οὐχ εἷλον, καὶ κρίνεται ἐξ ἀπάτης δικαστῶν· [26] διαφέρει δὲ οὗτος τοῦ δημοκοπίου, ὅτι ὧδε μετὰ λόγου καὶ κρίσεως· ἡ ἀπάτη γὰρ τῶν δικαστῶν, ἐκεῖ δὲ ἀπὸ κρίσεως μόνης ἢ ἀποφάσεως ἑνὸς λόγου.

ς΄. Ἰστέον, ὡς τῶν διπλῶν οἱ μέν εἰσιν ὁμωνύμως καλούμενοι, οἱ δὲ συνεζευγμένοι, οἱ δὲ συμπεπλεγμένοι· τῶν δ᾽ αὖ διπλῶν οἱ μέν εἰσιν ἀντεγκληματικοὶ, ὡς Αἰσχίνης καὶ Δημοσθένης, ὁ μὲν εὕρηται χρυσίον κατορύττων, ὁ δὲ ἀπολογίαν παραπρεσβείας γεγραφὼς, καὶ ἀντεγκαλοῦσιν ἀλλήλοις· οἱ δὲ κατὰ ἀμφισβήτησιν ἀπὸ δύο προσώπων διαφόρων καὶ δύο πραγμάτων, οἷον τύραννος ἐνόσει, ὑποπτεύσας τὸν ἴδιον ἰατρὸν μετεκαλέσατο ξένον, ἀνελθὼν δέδωκε φάρμακον ὡς ἀλεξιφάρμακον, καὶ κατελθὼν ἔφη „τεθνήξεται·“ τέθνηκε, καὶ ἀμφισβητοῦσι περὶ τῆς δωρεᾶς.

ζ΄. Εἰ γὰρ ἁπλοῦς τέλειός ἐστιν ὁ πρᾶγμα ἓν[27] ἔχων καὶ πρόσωπον κρινόμενον, φανερὸν, ὅτι ὁ διπλοῦς τέλειος δύο πράγματα ἔχει κρινόμενα καὶ δύο πρόσωπα ἐκ διαφόρου ποιότητος, διπλοῦν δὲ τέλειον [28] ἐκάλεσε τοῦτον, ὡς δύο ζητήματα ἁπλᾶ στοχαστικὰ ἔχοντα τέλεια ὑφ᾽ ἑνὶ ἐγκλήματι· ὁ μὲν γὰρ ἥλω χρυσίον κατορύττων, ὁ δὲ ἀπολογίαν παραπρεσβείας γεγραφώς· τὸ δὲ [29] ἔγκλημα, ὃ ἀντεγκαλοῦσιν ἀλλήλοις ἓν, τὸ τῆς δωροδοκίας.

η΄. Ἀναγκαίως ἐκλείπει αὕτη διὰ τὸ ἐξισάζον· φύσει μὲν γὰρ ἔχει τὸ κεφάλαιον, ἐκλείπει δὲ διὰ τὸ ἐξ-

---

24 καὶ Mon. om. 25 Mon. δικαστής. 26 Mon. ἐξ ἀπάσης δικαστής· διαφέρει δὲ τούτου δημοκοπίας, ὅτι ὧδε μετὰ λόγον καὶ κρίνεται. 27 ἓν Mon. om. 28 Mon. τέλος. 29 Par. 1. γάρ.

ισάζειν· ὥσπερ γὰρ οὗτος ἀπαιτεῖ, κἀκεῖνος ἀπαιτήσει· παρατήρησαι δὲ τὸ ἐνταῦθα, ὅτι οὐκ ἐν παντὶ στοχασμῷ ἐγκληματικῷ λέγει, ἀλλ' ἐν τῷ ζητήματι τούτων· ἴσως γὰρ ἐν ἄλλῳ ἀντεγκληματικῷ εὑρεθήσεται ἐλέγχων ἀπαίτησις, ἐν οἷς οὐκ ἰσάζει· οἷον ὅτε τὰ πρόσωπα διάφορα τυγχάνει ὄντα, τότε ἐμπίπτει ἡ τῶν ἐλέγχων ἀπαίτησις· οἷον εἰ ἰατρὸς καὶ ἰδιώτης ἐπὶ φαρμακείᾳ ἀλλήλοις ἀντεγκαλοῦσιν· ἐνταῦθα γὰρ ὁ μὲν ἰδιώτης ἀπαιτήσει τὴν τῶν ἐλέγχων παράστασιν·[30] λέξει γὰρ, τίς μοι τὸ φάρμακον δέδωκε; παρὰ τίνος ὠνησάμην; εἰπὲ τὸν κομίσαντα· ὁ δὲ ἰατρὸς οὐκέτι, οἴκοθεν γὰρ ἔχων τὴν τέχνην δι' ἄλλου τινὸς οὐκ ἐδεῖτο τοῦτο ποιεῖν ὥσπερ ὁ ἰδιώτης.

ϑ'. Ἴση γὰρ αὐτοῖς γίνεται ἡ τῶν ἐλέγχων ἀπαίτησις· εἰ γὰρ ὁ ἕτερος αὐτῶν ἐλέγχους ἀπαιτηθείη, καὶ ἀνταπαιτήσει πάντως· διὰ τοῦτο ἐκλέλοιπε φύσει τουτὶ τὸ κεφάλαιον· τοῖς δὲ ἄλλοις ἑξῆς ἅπασι χρήσεται διττῶς, τουτέστι καὶ τοῦ ἐναντίου κατηγορῶν καὶ ὑπὲρ ἑαυτοῦ ἀπολογούμενος διὰ πάντων τῶν κεφαλαίων· οἷον[31] ὅτι σὲ μὲν εἰκὸς ἦν διὰ τὸ παραπρεσβεῦσαι, καὶ τοῖς ἄλλοις δὲ κεφαλαίοις τοῦτον τὸν τρόπον ἑκάτερος χρήσεται.

ι. Διπλᾶ τὰ λοιπὰ ἐμπεσεῖται, εἰ μή τι αὐτῶν κατὰ τὰς ἰδίας ἐκλείποι[32] μεθόδους· διπλῆ γοῦν ἐμπίπτει βούλησις καὶ διπλῆ δύναμις, καὶ τὰ ἑξῆς κεφάλαια ὁμοίως· ἰστέον δὲ, ὅτι καλλίστην ἡμῖν παραδίδωσιν ἐνταῦθα σημείωσιν ὁ Τύραννος, φάσκων, ὅτι τὸ εἰρημένον ἐνταῦθα, „ἡ μὲν τῶν ἐλέγχων ἀπαίτησις, ἐπειδὴ ἐξισάζει, οὐκ ἐμπίπτει,“ ἐπὶ τοῦ προκειμένου δεῖ καὶ μόνου ἐκλαμβάνειν προβλήματος· οὐ γὰρ ἐν παντὶ τῷ εἴδει τῶν τελείων διπλῶν στοχασμῶν τὸ τοιοῦτον γίνεται· εἰ γὰρ

30 Par. 1. ἀπαίτησιν. 31 Par. 1. οἷον om. 32 Mon. ἐκλείπει.

τις εὑρεθείη διάφορος ποιότης [33] τῶν προσώπων, ἥτις ἐμποιεῖ τὸ διάφορον, καὶ οὐκέτι λοιπὸν ἐξισάζει, τὸ λοιπὸν [34] ἐξετασθήσεται ἡ τῶν ἐλέγχων ἀπαίτησις, ὡς ἐπὶ τούτου. [35] συνδιῃτᾶτό τις ἰδιώτῃ καὶ ἰατρῷ, τέθνηκεν ἐπὶ σημείοις φαρμάκων καὶ ἀντεγκαλοῦσιν ἀλλήλοις τὸν φόνον, ὅ τε ἰδιώτης καὶ ἰατρός· ἐνταῦθα ὁ μὲν ἰδιώτης εὐλόγως ἀπαιτήσει ἐλέγχους, φάσκων, τίς μου καταμαρτυρεῖ; τίς ὁ σκευάσας μοι τὸ φάρμακον; τίς ὁ πωλήσας; τίς ὁ διακονήσας; ὁ μέντοι ἰατρὸς οὐχ ἕξει [36] χώραν ἀπαιτεῖν ἐλέγχους, ἰατρὸς γὰρ ὢν οὐκ ἂν εἴποι· τίς ὁ σκευάσας μοι τὸ φάρμακον; ἢ τίς ὁ διακονήσας; ταῦτα γὰρ αὐτὸς ποιήσει πάντα ὁ ἰατρὸς, μηδὲν ἑτέρου πρὸς ὑπουργίαν δεόμενος· ἀπαιτήσει τοίνυν ὁ ἰδιώτης ἐλέγχους, καὶ εἰκός τινα εἰπεῖν· ἑτεροῤῥεπὲς εὑρεθήσεται τὸ πρόβλημα κατὰ τοῦτο, εἴγε ὁ μὲν ἐλέγχους ἀπαιτεῖ, ὁ δὲ οὔ· καί φαμεν, ὅτι εἰ μὲν μὴ εὐπόρει τοῦτο λῦσαι, τότε ἂν ἑτεροῤῥεπὲς εὑρίσκετο, νῦν [37] δὲ λύσει, τοῦτο λέγων· αὐτὰ τὰ πράγματά σου καταμαρτυροῦσιν, ὥστε οὐκέτι ἐστὶν ἑτεροῤῥεπές· ἴσως δέ τις ἐρεῖ, ὅτι ὡς κἀπὶ τῶν ἄλλων κεφαλαίων ἐξισάζουσιν αἱ δικαιολογίαι, οἷον ὅτι ἐβούλετο, καὶ ὁ ἕτερος ἐρεῖ, ὅτι σὺ ἐβούλου· ἔτι ἠδύνω, ἀλλὰ καὶ ὁ ἕτερός φησιν, ὅτι ἠδύνω· καί φαμεν, ὅτι οὐκ ἐξισάζει ταῦτα· παρὰ γὰρ τὴν διάφορον ποιότητα τῶν κρινομένων προσώπων ἐμπίπτει ἡ τῶν κεφαλαίων ἐξέτασις, οἷον ἐβούλου, Αἰσχίνη, ὢν καὶ τραφεὶς ἐν ἐνδείᾳ, προδοῦναι, [38] ἵνα λάβῃς χρήματα, καὶ ὁ ἕτερος

---

33 Par. 1. ποιότης διάφορος. 34 Mon. τὸ πάντως. 35 Mon. τοῦδε. 36 οὐχ ἕξει χώραν ἀπαιτεῖν — — — — αὐτὸς ποιήσει πάντα ὁ ἰατρὸς Mon. om. 37 Par. 1. νυνὶ δὲ τοῦτο λύσει. 38 Sch. min.: λέγει γὰρ, ὅτι τίς μου καταμαρτυρεῖ, ὅτι προὔδωκα· ὁ δὲ τὸ αὐτὸ, τίς μου καταμαρτυρεῖ, ὅτι τόδε ἢ τόδε; τοῖς λοιποῖς κεφαλαίοις· τοῖς ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, ἀντιλήψει, μεταλήψει καὶ τοῖς λοιποῖς. χρηστέον διττῶς· τί πο-

πάλιν ἐρεῖ· ἐβούλου, Δημοσθένης, ὢν καὶ ἀεὶ γεγονὼς ἄπληστος, προδοῦναι, ἵνα λήψῃ χρήματα. Ἰστέον δὲ, ὅτι οὐκ εἰκῇ, ἀλλὰ μετά τινος λογισμοῦ ὁ τεχνικὸς τὸν Δημοσθένη εἶπε κατορύττειν χρυσίον, τὸν δὲ Αἰσχίνην λόγον παραπρεσβείας γεγραφέναι· ἄλλως γὰρ μετατιθέμενα οὐκέτι εἶχον τὸ πιθανὸν, οἷον εἰ τὸν Αἰσχίνην εἶπε κατορύττειν χρυσίον, τὸν δὲ Δημοσθένη λόγον παραπρεσβείας γεγραφέναι· πῶς γὰρ ἂν ἔτι χρώμεθα τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους ἐπὶ Δημοσθένους; τὸ γὰρ κρίνειν αὐτὸν ἐκ τοῦ γεγραφέναι παραπρεσβείας λόγου λίαν ἠλίθιον ἐδόκει καὶ ἀβέβαιον, ἄνδρα ἀεὶ πρὸς τὸ συγγράφεσθαι λόγους παντοίους ἀπησχολημένον, καὶ ἔτι ἐπὶ Αἰσχίνου ἄπορον εὑρίσκετο ἡ τῆς αἰτίας μετάθεσις· τί γὰρ, εἰ ἔλεγεν Αἰσχίνης φωραθεὶς χρυσίον κατορύττων, ἄνθρωπος ἐν ἐνδείᾳ τραφεὶς καὶ ἀεὶ πενόμενος; εἰς ἀπορίαν οὖν αὐτὸ περιΐστατο τὸ σημεῖον καὶ αἰτίαν οὐκ ἂν εὐπόρει πιθανὴν εἰπεῖν· εὐλόγως οὖν ὁ τεχνικὸς τὸν μὲν Δημοσθένην εἶπε κατορύττειν χρυσίον, τὸν δὲ Αἰσχίνην λόγον παραπρεσβείας γεγραφέναι, οὕτως γὰρ λόγον αὐτοῖς ἔχει τὰ ἐγκλήματα. ἀκόλουθον λοιπὸν καὶ τὴν ἐργασίαν εἰπεῖν τοῦ διπλοῦ, καὶ ἐπειδὴ ἐν τοῖς ἀντεγκληματικοῖς ἑκάτερος αὐτῶν καὶ κατηγορεῖ καὶ ἀπολογεῖται, χρὴ ζητεῖν, πότερον πᾶσαν πρότερον ἐρεῖ τὴν κατηγορίαν, καὶ εἶθ' οὕτως ἐν δευτέρῳ πᾶσαν ἐπάγει τὴν ἀπολογίαν ἢ τοὔμπαλιν πρῶτον ἐρεῖ τὴν ἀπολογίαν, καὶ ἐν δευτέρῳ ἐπάγει τὴν κατηγορίαν· φαμὲν τοίνυν, ὅτι οὐδέτερον τούτων

τέ ἐστι τὸ διττῶς· τὸ μὴ ζητῆσαι αὐτὸς ἡμῖν ἐτεχνολόγησε, κεφάλαιον ἀντιτιθέντας κεφαλαίῳ. Οἷον ἐγὼ μέν· εἰρηκὼς, ὅτι ἐκλείπει ἡ τῶν ἐλέγχων ἀπαίτησις, εὐθὺς ἐπάγει περὶ βουλήσεως· ἔχει δὲ ὁ μὲν Δημοσθένης λέγειν, ὡς χρυσίον ἴδιον κατώρυττον· ὁ δὲ Αἰσχίνης, ἔγραφον μελέτης ἕνεκα καὶ γυμνασίας· ὁ μὲν τὰς χορηγίας ἐρεῖ, τὰς εἰσφορὰς, τῶν αἰχμαλώτων τὰς λύσεις, ὁ δὲ ἐκ τῶν ἑαυτῷ προσόντων ἰσχυρῶν τὴν βούλησιν κατασκευάσει.

ἀληθὲς, πάνυ γὰρ ὕπτιον τοῦτο καὶ οὐχ οὕτω φανερῶς συστῆναι δυνάμενον, οὔτε τὰ ἑαυτῷ οὔτε τὰ τοῖς ἀντιδίκοις προσόντα· ἄλλως τε καὶ ὥσπερ δύο ἐδόκουν εἶναι λόγοι, τῆς τε κατηγορίας ἰδίᾳ [39] καὶ τῆς ἀπολογίας τιθεμένης· χρὴ οὖν συνάπτειν καὶ ἀντεξετάζειν παράλληλα κεφαλαίων ἀντιθέντας, καὶ σύγκρισιν ποιουμένους τῶν ἑαυτοῖς καὶ τῶν τοῖς ἀντιδίκοις προσόντων δικαιωμάτων· καὶ γὰρ ἀγωνιστικὸν τὸ τοιοῦτο καὶ γοργὸν καὶ ἐναργῶς τὰς ἀποδείξεις παρεχόμενον, ὡς παρὰ Δημοσθένει ἐν τῷ περὶ στεφάνου· ἀντεξετάζων γὰρ τὰς αὐτοῦ καὶ τὰς Αἰσχίνου πράξεις ἐκ παραλλήλων ἔθηκε. καὶ σκόπει ἐπ' αὐτῆς τῆς λέξεως· „ἐπειδὴ τοίνυν ἐποιήσατο τὴν εἰρήνην ἡ πόλις, ἐνταῦθα πάλιν σκέψασθε, τί ὑμῶν ἑκάτερος προείλετο πράττειν, καὶ τίς οὖν ὁ Φιλίππῳ πάντα συναγωνιζόμενος, καὶ τίς ὁ πράττων ὑπὲρ ὑμῶν καὶ τὸ τῇ πόλει συμφέρον ζητῶν· ἐγὼ μὲν τοίνυν ἔγραψα βουλεύων ἀποπλεῖν τὴν ταχίστην τοὺς πρέσβεις ἐπὶ τοὺς τόπους, ἐν οἷς ἂν ὄντα Φίλιππον πυνθάνωνται, [40] οὗτοι δὲ οὐδὲ γράψαντος ἐμοῦ τοῦτο ποιεῖν ἠθέλησαν·“ οὕτως οὖν χρὴ κατασκευάζειν κεφάλαιον πρὸς κεφάλαιον ἀντεξεταστικῶς προφέροντας τὴν ἀπόδειξιν. ἔτι κἀκεῖνο χρὴ ζητῆσαι, ποῖον προτακτέον κεφάλαιον, ἆρα τὸ κατηγορικὸν ἢ τὸ ἀπολογητικόν· καὶ λέγομεν, ὅτι κατηγορεῖν πρότερον δεῖ· εἰ γὰρ πρὸς ἀπολογίαν πρότερον τραπῶμεν, δόξομεν ὥσπερ συνειδέναι ἑαυτοῖς τὸ ἔγκλημα, καὶ ὥσπερ δεδιότες πρὸς ἀπολογίαν τραπῆναι πρότερον· μᾶλλον οὖν κατηγορητέον πρότερον, ἵνα δόξωμεν περιφρονεῖν τὰ τῆς ἀπολογίας ὡς θαῤῥοῦντες ἑαυτοῖς, ἐφ' οἷς οὐδὲν πεπράχαμεν δεινόν. ἔτι δὲ καὶ τοῦτο χρὴ γινώσκειν, ὅτι πιθανώτερα δόξουσιν εἶναι τὰ λεγόμενα, εἴπερ ἀπὸ τῶν κα-

39 Mon. ἰδίας. Sqq. usque ad καὶ σύγκρισιν ποιουμένους τῶν ἑαυτοῖς Par. om. 40 Mon. πυνθάνονται. Dem. pro cor. p. 233. πυνθάνωνται.

θόλου ἐπιχειρήσομεν· χρὴ γὰρ ἐν ταῖς ἐργασίαις τὰς ἐξετάσεις ἀπὸ τῶν καθόλου ποιεῖσθαι, πράττοντας μὲν τοῦτο, προσάγοντας δὲ τὰ ὑποκείμενα τῷ καθολικῶς ἐξετασθέντι· χρὴ γὰρ μὴ τελείως ἐνδιατρίβειν τοῖς καθόλου, ἀλλὰ μετέρχεσθαι λοιπὸν καὶ ἐπὶ τὰ προκείμενα μερικὰ, περὶ ἃν καὶ τὴν ἐξέτασιν ποιούμεθα. Οὕτως οὖν καὶ Ἰσοκράτης ἐν τῷ ἀμαρτύρῳ πεποίηκε· ζητουμένου γὰρ, ὁπότερος δεινότερος εἴη λέγειν, Νικίας ἢ Εὔθυνος, πρότερον καθόλου ἐξετάσας τοῦτο, οὕτως προσήγαγε τὸ ζητούμενον εἰπών· „οἶμαι δὴ πάντας εἰδέναι, ὅτι συκοφαντεῖν ἐπιχειροῦσι μάλιστα οἱ λέγειν μὲν δεινοὶ, ὀλίγα δὲ κεκτημένοι, τοὺς ἀδυνάτους μὲν εἰπεῖν, ἱκανοὺς δὲ χρήματα τελεῖν. Νικίας τοίνυν Εὐθύνου πλείονα μὲν ἔχει, ἧττω δὲ δύναται λέγειν· ὥστε οὐκ ἔστι, διότι ἂν ἐπήρθη ἐπ᾽ Εὐθύνουν[41] ἐλθεῖν·" πάνυ δὲ χρήσιμον τὸ τοιοῦτο, καὶ πολλὴν ἰσχὺν ἔχον πρὸς τὸ πεῖσαι τοὺς δικάζοντας, καὶ μέντοι καὶ συναρπάσαι· τῷ γὰρ καθόλου ὡς ἐπὶ τὸ ἀληθὲς ἐξεταζομένῳ συντρέχουσι· συντιθέμενοι δὲ τῷ[42] καθόλου ἐξ ἀνάγκης καὶ τῷ μερικῷ πείθονται· ἐν γὰρ τῷ ὅλῳ καὶ τὸ μέρος περιέχεται. Χρηστέον δὲ τῷ καθόλου, ὡς εἴρηται, οὐκ ἐπὶ πολὺ, ἐπεὶ ὕπτιον ἐργάζεται τὸν λόγον· ἄλλως τε δὲ καὶ εἴπερ ἐνδιατρίψομεν τῷ καθόλου, δόξομεν ὡς ἀποροῦντες ἐπὶ τοῦ προκειμένου δεῖξαι τοῦτο ποιεῖν· οὐ μὴν ἀλλὰ καὶ φιλοσοφίας μᾶλλον τὸ τοιοῦτο τὸ ἐξετάζειν τὰ καθόλου, οἱ δὲ ῥήτορες κἂν μνησθῶσι τῶν καθόλου, οὐ σκοπὸν ἔχοντες περὶ αὐτῶν τὴν ζήτησιν ποιεῖσθαι, ἀλλ᾽ ἵνα ἐξ αὐτῶν μᾶλλον τὰ μερικὰ πιστώσωνται· ἐν τούτοις ἡ ἐργασία τῶν διπλῶν στοχασμῶν· τούτων δὲ τῶν διπλῶν ἃ μέν ἐστιν ἀτελῆ ἀπὸ προσώπων, ἃ δὲ ἀτελῆ ἀπὸ πραγμάτων· ἀτελὴς μὲν οὖν

41 Mon. Εὔθυνον. correxi ex Isocr. in ἀμαρτύρῳ πρὸς Εὐθύνουν p. 478. Bekk. 42 Mon. το καθόλου et paullo post: χρηστέον δὲ τὸ καθόλου.

διπλοῦς ἀπὸ προσώπου γίνεται, ὅταν μόνα τὰ πράγματα κρίνηται, οἷον δύο ῥήτορες πρεσβεύσαντες παρὰ τύραννον καὶ ἐπανήκοντες ἀλλήλοις ἀντεγκαλοῦσι δώρων, ἐπειδὴ ὁ μὲν χρυσίων εὕρηται κατορύττων, ὁ δὲ ἀπολογίαν παραπρεσβείας γεγραφώς· ἐνταῦθα γὰρ τὰ μὲν πρόσωπα ἰσάζοντα οὐκ ἐπιδέχεται ἐξέτασιν, τὰ δὲ πράγματα διαφέροντα ἐξετασθήσεται· ὥστε πάλιν ἡ βούλησις καὶ δύναμις ἐκλέλοιπε· τοῖς δὲ ἄλλοις ὁμοίως ἐξετασθήσεται κεφαλαίοις, ὥσπερ ὁ τέλειος διπλοῦς· καὶ ἐνταῦθα δὲ χρὴ ἀντεξεταστικῶς τὰς ἐξετάσεις ποιεῖσθαι. γίνεται δὲ ἐκ πραγμάτων ἀτελὴς στοχασμὸς, πρόσωπα μόνα ἔχων ἐξεταζόμενα· οἷον ἐπὶ σημείοις φαρμάκων ἀριστεὺς ἐτελεύτα, μητρυιὰν ἔχων καὶ αἰχμάλωτον παλλακίδα, καὶ ἀντεγκαλοῦσιν ἀλλήλοις τὸν φόνον. ἐνταῦθα γὰρ μόνη ἡ βούλησις ἐξετάζεται, ἅπερ φύσει τοῦ προσώπου ἐστὶν ἴδια, τὰ δὲ λοιπὰ πάντα ἰσάζει, καὶ διὰ τοῦτο ἐκλέλοιπεν αὐτῶν ἡ ἐξέτασις· ὃ γὰρ ἡ μία αὐτῶν ἐρεῖ κρίνουσα τὴν ἑτέραν, τὸ αὐτὸ ἀκούσεται. Ἀποροῦσι δέ τινες λέγοντες, πῶς ἐπὶ μὲν τῶν ἁπλῶν στοχασμῶν ἔφαμεν μὴ εἶναι ἀτελῆ ἀπὸ τῶν πραγμάτων, ἐπὶ δὲ τῶν διπλῶν εὑρίσκεται ἀτελὴς ἐκ πραγμάτων στοχασμός· καὶ λέγομεν, ὅτι, ὡς καὶ πρότερον ἔφημεν, οὐκ ἐνδέχεται πράγματος χωρὶς εἶναι στοχασμόν. καὶ ἐν τοῖς οὖν ἀτελέσι διπλοῖς ἔστι πάντως τὸ πρᾶγμα, ἀλλὰ διά τινα περίστασιν οὐκ ἐξετάζεται, τουτέστι διὰ τὸ ἐξισάζειν τὰ πράγματα· ἄλλως τε [43] ἐν τοῖς διπλοῖς δύο ὄντων προσώπων γίνεταί τις ἐξέτασις, ἀντεγκαλούντων ἀλλήλοις τὸ ἔγκλημα· ἐν δὲ τοῖς ἁπλοῖς ἓν εὑρίσκεται πρόσωπον, ὅπερ ἀδυνατήσει μόνον ὑπάρχον συστήσασθαι ζήτησιν· οὐκοῦν ἀναγκαῖον πάντως ἐν τοῖς ἁπλοῖς τὸ πρᾶγμα ἐξετάζεσθαι, καὶ ἐν τούτοις ἡ τῶν ἀντεγκληματικῶν στοχασμῶν διδασκαλία.

43 Mon. ἀλλ' ὥστε.

ια΄. Εἰπὼν, ὡς διὰ πάντων τῶν κεφαλαίων οὐ μόνον ὑπὲρ ἑαυτῶν ἀπολογησόμεθα, ἀλλὰ καὶ τῶν ἀναγκαίων κατηγορήσομεν, ἀναγκαίως ἐζήτησε, πότερον δεῖ τὴν κατηγορίαν χωρὶς πᾶσαν ἀποτεταμένως εἰπεῖν, καὶ αὖθις ἰδίᾳ τὴν ἀπολογίαν, ἢ κατὰ συμπλοκὴν ἑκάστου κεφαλαίου τά τε κατηγορικὰ καὶ τὰ πρὸς ἀπολογίαν ἐκφέρειν κατὰ ἀντιπαράθεσιν, ᾧ δὴ καὶ συγκατατίθεται, φημὶ τῷ κατὰ ἀντιπαράθεσιν. γένοιτο γὰρ ἂν, φησὶν, οὕτω μᾶλλον ἐσφιγμένος τε καὶ συγκεκροτημένος ὁ λόγος· τὸ μὲν γὰρ τὴν κατηγορίαν ἀποτείνειν ἰδίᾳ καὶ τὴν ἀπολογίαν ἰδίᾳ ἔκλυτον καὶ ὥσπερ εἰς ὕπνον καθέλκον τοὺς δικαστάς· τὸ δὲ ἀντιτιθέναι κεφάλαιον τῇ κατηγορίᾳ τοὺς ὑπὲρ ἡμῶν[1] λόγους συνημμένον καὶ σφριγῶντα δείκνυσι τὸν λόγον, ἄλλως τε καὶ τῷ παράλληλον κεῖσθαι σαφῆ ποιεῖ τὴν κρίσιν τῷ δικαστῇ. ἔτι δὲ κἀκεῖνο λεκτέον, ὡς τὰ κατηγορικὰ πρότερον δεῖ φράζειν, εἶθ᾽ οὕτως ἐπάγειν τοὺς ὑπὲρ ἡμῶν λόγους καθ᾽ ἕκαστον κεφάλαιον· καὶ σαφὲς τὸ αἴτιον· τῇ τε γὰρ φύσει πᾶσα κατηγορία τῆς ἀπολογίας ἡγεῖσθαι βούλεται, καὶ τοὺς δικαστὰς μᾶλλον προσεχεστέρους ἕξομεν· εἰ μὲν γὰρ εὐθὺς ἐπὶ τὴν ἀπολογίαν χωροῖμεν, δεδοικέναι νομισθησόμεθα, καὶ τὰ ἠπατημένα βούλεσθαι λόγων ἀπάταις περικαλύπτειν· εἰ δὲ πρὸς τὴν ἐκείνου κατηγορίαν τραπέντες τὴν ὑπὲρ ἡμῶν ἀπολογίαν ἐν δευτέρῳ τάττομεν, ὥσπερ καταφρονοῦντες τῶν ἐπιφερομένων ἡμῖν κατηγορημάτων, θαῤῥεῖν τε τοῖς δικασταῖς δόξαιμεν ἂν, καὶ μεθ᾽ ἡμῶν καθεστάναι νομιοῦσι τὸ δίκαιον. λεκτέον δὲ ἤδη καὶ τὴν ἐργασίαν, καθ᾽ ἣν μάλιστά τε τῶν ἐναντίων κατηγορίαν καὶ τὴν ὑπὲρ ἡμᾶν αὐτῶν ἀπολογίαν ποιησόμεθα· δεῖ τοίνυν ἀπὸ τῶν καθολικῶν λαμβάνοντα τὰ ἐπιχειρήματα προσάγειν ἀεὶ τῷ ὑποκειμένῳ προσώπῳ ἢ πράγματι· τὰ μὲν γὰρ καθολικὰ πιθανώτερα, καὶ πλέον τὸν δικα-

1 Mon. ὑμῶν.

στὴν ἐπαγόμενα. ὑπὸ γὰρ τῶν κοινῶν καὶ καθόλου μᾶλλον ἄγεται πρὸς πειθώ, τὸ δὲ προσάγειν ἡμᾶς καὶ ἁρμόζειν τοῖς μερικοῖς, ῥητορικὸν ποιεῖ τὸν λόγον, καὶ οὐκ ἐᾷ κεχηνέναι τε καὶ διαλελύσθαι ἐπὶ τῶν καθόλου ἱστάμενον· ὥσπερ Ἰσοκράτης ἐν τῷ ἀμαρτύρῳ ποιεῖ. ὁρμηθεὶς γὰρ ἐκ τῶν καθόλου, τοιοῦτό φησιν ἐπιχείρημα· „τίνα δὴ μᾶλλον εἰκὸς θέλειν συκοφαντεῖν; πότερον τὸν ἀποροίμενον χρημάτων καὶ δυνατὸν εἰπεῖν, ἢ τὸν εὐπορίαν μὲν ἔχοντα χρημάτων, εἰπεῖν δὲ ἀδύνατον; δῆλον," φησὶ, „καὶ τὸν δεινὸν μὲν λέγειν, χρημάτων δὲ ἀπορούμενον." εἶτα τὸ καθολικὸν τοῦτο προσάγει τῷ μερικῷ· „ἐκ τῆς κοινῆς ἐννοίας ἔχω πεπεισμένους τοὺς δικαστάς." οὕτω γάρ φησι καὶ τὸν Εὐθύνουν [2] μᾶλλον Νικίου συκοφαντεῖν, ὅσγε χρήμασι μὲν ἡττᾶται [3] Νικίου, τῷ δὲ εἰπεῖν περιγίνεται. ταῦτα γοῦν ἐπ' αὐτῆς τῆς λέξεως διεξέρχεται· „οἶμαι δὴ πάντας εἰδέναι, ὅτι μάλιστα συκοφαντεῖν ἐπιχειροῦσιν οἱ λέγειν μὲν δεινοὶ, ἔχοντες δὲ μηδὲν τοὺς ἀδυνάτους εἰπεῖν, ἱκανοὺς δὲ χρήματα τελεῖν. Νικίας τοίνυν Εὐθύνου πλεῖον ἔχει, ἧττον δὲ δύναται λέγειν· ὥστε οὐκ ἔστι, διότι ἂν ἐπήρθη ἀδίκως ἐπ' Εὐθύνουν ἐλθεῖν." ὁμοίως καὶ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου ἔδειξεν ἡμῖν τὴν ἰσχὺν τῆς τῶν μερικῶν [4] συμπλοκῆς. ἐπειδὴ γὰρ ἐκ τοῦ ἐπὶ πλέον τῷ καθολικῷ ἐνδιατρῖψαι ἄτονον ᾔσθετο τὸν λόγον αὐτῷ γεγενημένον καὶ τοῦ ἀγωνιστικοῦ ἐκπεπτωκότα, [5] εὐθὺς τοῦ ὑποκειμένου ἀντελάβετο τὸν λόγον ἀναῤῥωννὺς καὶ ἄγων ἐπὶ τὸ ἐναγώνιον. οὕτως οὖν ἐπ' αὐτῆς φησι τῆς λέξεως· [6] „πέρας μὲν γάρ ἐστιν ἀνθρώποις ἅπασι τοῦ βίου θάνατος, κἂν ἐν οἰκίσκῳ τις ἑαυτὸν καθείρξας τηρήσῃ," καὶ μέχρις „ὅ τι ἂν ὁ θεὸς διδῷ·" εἶτα εὐθὺς

---

2 Mon. Εὔθυνον, h. l. et inferius v. 3 Mon. ἡττῶνται.
4 Mon. μετοικῶν. 5 Mon. ἐμπεπτωκότα. 6 p. 258.

ἐπὶ τὸ μερικὸν ἔδραμεν αἰσθόμενοι τῆς περὶ τὰ καθολικὰ διατριβῆς· „ταῦτα ἐποίουν οἱ ὑμέτεροι πρόγονοι, ταῦτα ὑμῶν οἱ πρεσβύτεροι.“ εἰ δὲ πολλὰ ἡμῖν ἀπὸ τῶν καθόλου ἐμπίπτοι ἐπιχειρήματα, χρὴ συμπλέκοντα ἑκάστῳ τὸ μερικὸν μετιέναι ἐφ᾽ ἕτερον. οὕτω γὰρ πιστωσαίμεθά τε τὸν λόγον ἱκανῶς ἐκ τῶν καθολικῶν καὶ κοινῶν ἐννοιῶν, καὶ ὁ ἀκροατὴς ἀνθέξεται τοῦ προκειμένου τῷ συγκεκροτῆσθαι[7] τὸν λόγον καὶ ἀναπεπλέχθαι τοῖς καθόλου τὰ μερικά, καὶ οὐ μαλακισθήσεται περὶ τὰ καθολικὰ ἐπὶ πλέον στρεφόμενα. τοῦτον οὖν τὸν τρόπον καὶ ὁ Δημοσθένης καὶ ἐν ἄλλοις μὲν πανταχοῦ, ἐπὶ δὲ τοῖς Φιλιππικοῖς περιφανέστατα φαίνεται χρησάμενος·[8] „ἀλλ᾽ οἶμαι παρόμοιόν ἐστιν, ὅπερ καὶ περὶ τῆς τῶν κτημάτων κτήσεως· ἂν μὲν γάρ, ὅσα ἄν τις λάβῃ καὶ σώσῃ, μεγάλην ἔχει τὴν χάριν, ἂν δ᾽ ἀναλώσας λάθῃ, συνανάλωσε καὶ τὸ μεμνῆσθαι τῇ τύχῃ τὴν[9] χάριν.“ εὐθὺς γὰρ προάγει τὸν λόγον ἐπὶ τὸ μερικόν, „καὶ περὶ τῶν πραγμάτων οὕτως.“ καὶ πάλιν ἐπὶ τὸ καθόλου ἀνατρέχει, οἷον· „οἱ μὴ χρησάμενοι τοῖς καιροῖς ὀρθῶς, οὐδέ, εἰ συνέβη τι παρὰ τῶν θεῶν χρηστόν, μνημονεύουσι· πρὸς γὰρ τὸ τελευταῖον ἐκβὰν ἕκαστον τῶν προϋπαρξάντων κρίνεται.“ εἶτα, εἰ συνάπτει τὸ μερικόν· „διὸ καὶ σφόδρα δεῖ, ὦ ἄνδρες Ἀθηναῖοι, φροντίσαι, ἵνα ταῦτα ἐπανορθωσάμενοι τὴν ἐπὶ τοῖς πεπραγμένοις ἀδοξίαν ἀποτριψώμεθα.“ ὁ μὲν οὖν Δημοσθένης οὕτως ἐπὶ τὰ ὑποκείμενα εὐθὺς εἴωθε τρέπεσθαι καὶ συντείνειν τοὺς λόγους· ὁ δὲ Ἰσοκράτης ἐνδιατρίβων τοῖς καθόλου, ὡς φιλοτιμότερος περὶ ταῦτα φαινόμενος, ὕπτιος μᾶλλον εἶναι δοκεῖ καὶ ἧττον ἀγωνιστικός.

ιβ΄. Ἐν τοῖς τοιούτοις, φησίν, τῶν ζητημάτων, ἐπειδὴ ἑκάτερος φεύγων ἐστὶν καὶ κατήγορος, δεῖ τὸν μελε-

---

7 Mon. τὸ συγκεκροτεῖσθαι. 8 Ol. I. p. 12. 9 τὴν Par. 1. om.

τῶντα μὴ κατηγορεῖν πρῶτον, εἶτα ἀπολογεῖσθαι, ἀλλὰ τὴν ἀπολογίαν προτάττοντα καὶ δεικνύντα ἑαυτὸν ἐλεύθερον, οὕτω μεθιστᾷν τὸ ἔγκλημα ἐπὶ τὸ ἐναντίον καὶ κατηγορεῖν. δεῖ δὲ σκοπεῖν καὶ τοῦτο, ὅπως μὴ πᾶσαν μὲν ἐκτιθέμεθα τὴν ἀπολογίαν, ἀνατρέχομεν [10] δὲ πάλιν ἐπὶ τὴν κατηγορίαν ὅλην ὅλῃ ἀντιτιθέντες (ἄτεχνον γάρ), ἀλλὰ κεφάλαιον κεφαλαίῳ ἀντιτιθέναι, ὥσπερ ἐν συγκρίσει· οὐ γὰρ οὕτος ὁ λόγος δραστικὸς καὶ ἐναγώνιος φαίνοιτο.

ιγ'. Τὸ γὰρ πρόσωπον ἴσον καθεστὼς; ἐπὶ τοῦ παραδείγματος οὗ δέδωκεν οὐκ ἐπιδέχεται κρίσιν, ἄμφω [11] γὰρ ῥήτορες, τὸ δὲ πρᾶγμα διάφορον ὃν κρίνεται· ὁ μὲν γὰρ χρυσίον κατώρυττεν, ὁ δὲ ἀπολογίαν παραπρεσβείας ἔγραφεν· ἐὰν δέ τις δῷ καὶ διάφορα πρόσωπα, τέλειος ἑκατέρωθεν εὑρίσκεται· ἀντὶ τοῦ εἰπεῖν δύο ῥήτορας εἴ τις εἴποι, [12] Δημοσθένη καὶ Λυκοῦργον πρεσβεῦσαι, καὶ τὸν μὲν εὑρεθῆναι χρυσίον κατορύττον-

10 Par. 1. ἀνατρέχωμεν. Sch. min.: σφόδρα ὕπτιον· οὐχ ὕπτιος μόνον ὁ λόγος γίνεται, εἰ ἕκαστος τὰ οἰκεῖα πάντα εἴπῃ κατ' ἰδίαν, ἀλλὰ καὶ οἱ δικασταὶ ἀμνημονοῦσι τῶν ὑφ' ἑκατέρου λεγομένων. 11 Par. 1. ἀμφότεροι. Sch. min.: διπλοῦς δὲ ἀτελής· ὥσπερ ἐν τοῖς ἁπλοῖς στοχασμοῖς πρῶτον τοὺς τελείους ἐτεχνολόγησεν, ἐκεῖθεν ἡμῖν εὐμαρῆ τὸν περὶ τῶν ἀτελῶν λόγον κατασκευάζων, εἶτα καὶ ἐπὶ τοὺς ἀτελεῖς μετελήλυθεν, οὕτως καὶ ἐν τοῖς διπλοῖς ποιεῖ· πρότερον γὰρ τοὺς τελείους διπλοῦς εἰπὼν, οὕτω καὶ ἐπὶ τοὺς ἀτελεῖς παραγίνεται. Οἷον δύο ῥήτορες· ἄδηλος τῶν προσώπων ἡ ποιότης, ἐσχάτην γὰρ αὐτῶν ἔχομεν τάξιν ἐν τῇ διαφορᾷ τῶν προσώπων. Πρόσωπα ἐξισάζοντα· ἐξισάζει τὰ πρόσωπα, διὸ οὐκ ἔχει ποιότητα· τὸ τοίνυν τοιοῦτο ζήτημα εἰς μόνην τὴν τῶν πραγμάτων ζήτησιν παραστήσεται, τῶν προσώπων οὐδὲν συμβαλλομένων πρὸς τὴν κατασκευήν. Πάλιν οὖν ἡ μὲν βούλησις· τὰ τοῦ προσώπου, φησὶ, κεφάλαια ἀναγκαίως ἐκλείπει, λειπόντων τῶν προσώπων, τὰ δὲ τοῦ πράγματος εὑρεθήσεται. 12 Par. 1. εἴπῃ.

τα, τὸν δὲ ἀπολογίαν παραπρεσβείας γράφοντα· ἐνταῦθα γὰρ καὶ τὸ πρᾶγμα καὶ τὸ πρόσωπον διάφορον ὂν καὶ τὴν κρίσιν καθ' ἑκάτερον συνεστάναι ποιεῖ.

ιδ'. Βούλεται λέγειν οἱονεὶ κατὰ ἀντιπαράθεσιν, ὃ ἐλέγομεν ἀνωτέρω διττῶς, ὅτι ἐγὼ μὲν οὐκ ἂν ἠβουλήθην παραπρεσβεῦσαι διὰ τόδε· οὐ μέντοι ἠβουλήθης ἂν διὰ τόδε.

ιε'. Πάλιν[13] ἐνταῦθα τῷ ἐξισάζειν τὸ πρᾶγμα τὴν ἐξ αὐτοῦ κρίσιν ἠφάνισεν· ἵσταται δὲ ἡ ἐξέτασις πᾶσα περὶ τὸ πρόσωπον, ὅτι ἡ μὲν μητρυιά, ἡ δὲ αἰχμάλωτος παλλακή.

ις'. Βούλησις καὶ δύναμις ἐξετάζεται οὕτως· φήσει γὰρ ἡ αἰχμάλωτος, ἐγὼ μὲν οὐκ ἂν ἐβουλήθην τὸν κοινωνόν μοι τοῦ βίου, τὸν κηδεμόνα τὸν φίλτατον ἀνελεῖν· σὺ δὲ ὡς ἐχθρὸν τὸν πρόγονον ὁρῶσα καὶ ἅμα τὴν πρός με ζηλοτυπίαν ἠβουλήθης, ἀλλὰ καὶ ἠδυνήθης, οὐδὲν γὰρ ἐμποδὼν τῇ ἐπιβολῇ, τῷ οἰκείως δοκεῖν πρὸς τὸν πρόγονον ἔχειν, καὶ διὰ τοῦτο ἀφυλάκτως πρὸς σὲ διακειμένου· ὡσαύτως καὶ ἡ μητρυιὰ πλέον ἰσχύουσα τῇ δυνάμει ἐρεῖ, ὡς ἐγὼ μέν, εἰ ἐβουλήθην, ἀλλ' οὐχὶ καὶ ἠδυνήθην, ὑπόπτως ἀεὶ τῶν προγόνων ταῖς μητρυιαῖς διακειμένων, ἄλλως τε δὲ ἐβουλήθην εἰκόνα μοι τοῦτον μόνον τοῦ ἀνδρὸς ζῶσαν περιλειφθέντα ἀφανίσαι, σὺ μέντοι, καὶ ὅτι μὲν τὸ δυνατὸν ὑπῆν σοι, οὐδεὶς ἂν ἀντερεῖ λόγος, ἐν προσποιήσει γαμετῆς πᾶν ὁτιοῦν καὶ πράττειν σοι καὶ πείθειν ἐκεῖνον, εἴκειν σου[14] τῷ βουλήματι· εἵπετο δέ σου καὶ τῇ δυνάμει τὸ βούλεσθαι διὰ τὴν πρὸς τὸ οἰκεῖον[15] καὶ συγγενὲς ἐπανάζευξιν.

ιζ'. Κυρίως διπλοῦς στοχασμοὺς τοὺς προκατειλημμένους ἠρίθμησε. φησὶ δ', ἕτερα εἴδη εἶναι τρία, τὸ ἐμπίπτον,

13 Mon. πάλιν γάρ. 14 Mon. ἥκειν σοι. 15 Mon. ἐκεῖνον.

τὸ προκατασκευαζόμενον καὶ συγκατασκευαζόμενον, καὶ δείκνυσιν ἐνταῦθα, ὅτι τὸ διπλοῦν γένος ἐστὶ καὶ οὐκ αὐτὸ εἶδος· εἶπε δὲ τῶν διπλῶν τοὺς ἀντεγκληματικοὺς καὶ τοὺς κατὰ ἀμφισβήτησιν. λοιποὶ δέ εἰσιν οἱ καλούμενοι συνεζευγμένοι, οὓς διαιρεῖ εἰς τρεῖς τόπους, εἴς τε ἐμπίπτοντας, καὶ προκατασκευαζομένους καὶ ἑξῆς. ταῦτα μέντοι τὰ τρία διπλᾶ καλεῖ ὁ Ἑρμογένης· κοινὸν δὲ αὐτῶν ὄνομα τὸ τῶν συνεζευγμένων· ἔχει δὲ καὶ ἴδιον ἕκαστον ὄνομα·[16] καλῶς δὲ ταῦτα τὰ εἴδη ἐχώρισεν εἰπὼν ὁ τεχνικός. ἔστι δὲ παρὰ ταῦτα ἕτερα εἴδη, ὡς πρὸς διαφορὰν τοῦ κυρίως διπλοῦ· ἐκεῖ γὰρ, εἰ καὶ ἓν τὸ ζητούμενον, ἀλλὰ δύο πρόσωπα ἔχομεν τὰ κρινόμενα, διὸ καὶ κυρίως ἐκεῖνος εἴρηται διπλοῦς· διὰ τοῦτο διπλᾶ καὶ τὰ κεφάλαια δέχεται. Ἑκατέρου[17] τοίνυν τῶν κρινομένων πρὸς τὸ οἰκεῖον συμφέρον χρωμένου τῇ ἐργασίᾳ καὶ τῇ μεταχειρίσει τοῦ λόγου· ἐν δὲ τῷ συνεζευγμένῳ διπλῆ μὲν κἀνταῦθα ἡ διαίρεσις, ἀλλ' ἰδίᾳ τῶν ζητημάτων καὶ ἕκαστον ἐν μέρει κατασκευαζόμενον· συνεζευγμένοι δὲ εἴρηνται κοινῷ ὀνόματι παρὰ τὸ ἔχειν δύο ζητήματα συμπεπλεγμένα, καὶ ἓν μὲν εἶναι τὸ ζητούμενον, τὸ δὲ ἕτερον εἰς σύστασιν αὐτοῦ παραλαμβάνεσθαι.

ιη'.

---

16 ἕκαστον ὄνομα — — — παρὰ ταῦτα ἕτερα εἴδη Mon. om.

17 Mon. ἑκατέρων, omisso τοίνυν. Sch. min.: ὁ μὲν ἐμπίπτων· ἐμπίπτων εἴρηται, ὅτι εἰς τὴν μετάθεσιν τῆς αἰτίας ἐμπίπτει ἕτερον ζήτημα· ὅρα δὲ, πῶς ἐμφαίνει τὸ ἀπὸ τοῦ χρώματος, ὅτι ἐκ τούτου ἀνακύπτει τὸ δεύτερον ζήτημα. αὐτὸ γὰρ τὸ χρῶμα γίνεται ἀρχὴ τοῦ δευτέρου, διὰ τὸ μὴ ὁμολογουμένην εἶναι τὴν ἑτέραν αἰτίαν, τουτέστιν αὐτὸ τὸ χρῶμα, ὅπερ ὁ φεύγων προβάλλεται, ἀλλ' ἀμφίβολον καὶ ζητούμενον. Καὶ ἀναγκαῖον· ἀναγκαῖον φύσει εἰς ἐξέτασιν τὸ ἐν τῇ μεταθέσει τῆς αἰτίας ὑπὸ τοῦ φεύγοντος εἰσαγόμενον ζήτημα· εἰ μὴ γὰρ ἐξετασθήσεται, οὐδὲ τὸ πρότερον στῆναι δυνήσεται.

ιη'. Ἄξιον ζητῆσαι, τίνι διαφέρουσιν οἱ συνεζευγμένοι τῶν διπλῶν· καὶ γὰρ ἐν τοῖς συνεζευγμένοις διττὴν ὁρῶμεν γινομένην τὴν ζήτησιν, ὥσπερ ἐν τοῖς διπλοῖς· ἔστιν οὖν σαφεστάτη τις αὐτῶν αὕτη διαφορά, ὅτι τὸν μὲν διπλοῦν ἔνεστιν εἰς δύο ἁπλοῦς διαλῦσαι καὶ ποιῆσαι δύο ζητήσεις· οἷον Δημοσθένης καὶ Αἰσχίνης πρεσβεύσαντες ἀντεγκαλοῦσιν ἀλλήλοις δώρων, ἐπειδὴ ὁ μὲν εὕρηται ἀπολογίαν παραπρεσβείας γράφων, ὁ δὲ χρυσίον κατορύττων· τοῦτο γὰρ δυνάμεθα διελόντες δύο ποιῆσαι ἁπλοῦς, οἷον Δημοσθένης πρεσβεύσας, εἶτα φωραθεὶς, ἀπολογίαν παραπρεσβείας γράφων κρίνεται δώρων· καὶ πάλιν ἕτερον πρόβλημα· ἐκ πρεσβείας ἐπανελθὼν Αἰσχίνης εὕρηται κατορύττων χρυσίον καὶ δώρων κρίνεται. τὸν μέντοι συγκατασκευαζόμενον διαλύοντες οὐ ποιοῦμεν ἁπλᾶ ἐξ αὐτοῦ προβλήματα, ἀλλὰ τὴν ὑπόθεσιν ἅπασαν διαφθείρομεν.

ιθ'. Τριῶν ὄντων εἰδῶν τοῦ συνεζευγμένου στοχασμοῦ, λεκτέον πρῶτον περὶ τοῦ ἐμπίπτοντος, ἐπειδὴ καὶ πρῶτος ὑπὸ τοῦ τεχνικοῦ τέτακται· ὥσπερ γὰρ ἐπὶ τῶν ἁπλῶν λόγων πρότερον ἐποιήσατο τοῦ περὶ τῶν διπλῶν, ἐπειδὴ φυσικώτερα τὰ ἁπλᾶ, καὶ ταῦτα ὡς εἰπεῖν ἀρχαὶ τῶν διπλῶν, οὕτω κἀνταῦθα τὸν ἐμπίπτοντα πρὸ τῶν ἄλλων ἔταξεν, ἐπειδὴ ὡς πρὸς ἐκείνους ἁπλούστερα ἦν. γίνεται δὲ ὁ ἐμπίπτων στοχασμὸς, ὅταν ἐν τῇ μεταθέσει τῆς αἰτίας ἐμπέσῃ ἡμῖν ἕτερον ζήτημα, ὃ κατασκευάσαντα ἐπὶ τὴν προκειμένην ἐπανακάμψαι δεῖ ζήτησιν· οἷον πλούσιος καὶ πένης ἐχθροὶ τὰ πολιτικά· εὑρέθη ὁ πένης ἡμιθνὴς, καὶ περὶ τοῦ πεφονευκότος σαφὲς μὲν οὐδὲν ἔσχεν εἰπεῖν· μόνον δὲ τοῦτο, ὅτι σημεῖα πυρὸς ἐπὶ τῆς ὄψεως φέρει· συνέβη τῆς αὐτῆς νυκτὸς ἐμπρησθῆναι τὴν τοῦ πλουσίου οἰκίαν, εἶτα φανέντων ἐπὶ τῆς ὄψεως αὐτοῦ σημείων πυρὸς κρίνεται· προσερχόμεθα γὰρ ἄχρι τῆς μεταθέσεως τῆς αἰτίας, χρώμενοι τῇ τῶν ἐλέγχων

ἀπαιτήσει, τῇ βουλήσει, τῇ δυνάμει, τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους, ὅτι ἐφόνευσας, εὑρέθη γὰρ ἡμιθνὴς ἀσκύλευτος, σὺ δὲ ἐχθρὸς ἦσθα, καὶ σημεῖα φέρει πυρός· ὁ δὲ πένης τοιοῦτον ὑπέγραψε τὸν ἑαυτοῦ φονέα· εἶτα τοῦ φεύγοντος πρὸς ταῦτα χρωμένου τῇ μεταθέσει τῆς αἰτίας, νῦν μοι τῆς οἰκίας ἐμπρησθείσης ταυτὶ προσεγένετο· εὐθὺς ἕτερον ἐμπίπτει ζήτημα, πότερον τὰ σημεῖα τοῦ πυρὸς ἐκ τῆς δᾳδὸς ἢ ἐκ τοῦ ἐμπρησμοῦ προσγέγονεν αὐτῷ· φαίη γὰρ ἂν ὁ κατήγορος, ἑκόντα αὐτὸν τὴν οἰκίαν ἐμπεπρηκέναι ταύτην ἑαυτῷ τῶν ἐλέγχων ἀποφυγὴν μνηστευόμενον, καὶ δεῖ τοῦτο κατασκευάσαντας ἡμᾶς οὕτως ἐπὶ τὸ προκείμενον ἐλθεῖν ζήτημα. κατασκευάσομεν [18] δὲ αὐτὸ κατὰ τὴν τοῦ τεχνικοῦ διδασκαλίαν πᾶσιν ἐντελῶς τοῖς μέχρι [19] τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους κεφαλαίων· καὶ τοῦτον τὸν τρόπον διὰ πάντων ἀποδειχθείσης τῆς μεταθέσεως τῆς αἰτίας ἤτοι τοῦ ἐν αὐτῇ ἐμπεσόντος ζητήματος ἐπὶ τὴν πιθανὴν ἀπολογίαν ἐπαναστρέψομεν [20] τοῦ προτέρου ζητήματος, καὶ τοῖς ἐφεξῆς ἀκολούθως [21] χρησάμενοι κεφαλαίοις ἅπαντα συμπερανοῦμεν τὸν λόγον· τινὲς δὲ ἔφασαν τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους μὴ ἔχειν ἡμᾶς ἐπὶ τοῦ ἐμπίπτοντος ζητήματος χρήσασθαι· ἡ γὰρ πᾶσα ζήτησις, φασὶ, περὶ γνώμην ἐστὶ, πότερον ἑκὼν τὴν οἰκίαν ἢ ἄκων ἐνέπρησε· τὰ δὲ ἀπ' ἀρχῆς ἄχρι τέλους ἐν πράγματι βούλεται εἶναι· πῶς οὖν, φασὶν, ἐνταῦθα ἀπ' ἀρχῆς ἄχρι τέλους εὑρεθείη ἂν, εἴγε τὰ σημεῖα πάντως πεπρᾶχθαι δεῖ; ἐνταῦθα δὲ ἡ ζήτησις παρὰ γνώμην ἵστατο μόνην· ἔπειτα, φασὶ, τὰ σημεῖα πάντως ὁμολογούμενα δεῖ καθεστάναι· εἰ γὰρ μὴ τοῦτο, τὰ τῆς ζητήσεως οὐδέποτε οὐδαμοῦ προβήσεται· εἰ γὰρ τὸ ζητούμενον ἀφανὲς καὶ ἀμ-

18 Mon. κατασκευάζομεν. 19 Mon. πᾶσαν ἐντελῶς omisso τοῖς μέχρι. 20 Mon. ἐπανατρέψομεν. 21 Mon. ἀκολούθοις.

φιβαλλόμενον, δώσωμεν δὲ καὶ τὰ σημεῖα τούτου πιστωτικὰ, καὶ αὐτὰ ἄδηλά τε καὶ ἀμφιβαλλόμενα τὰ τῆς ζητήσεως μενεῖ πάντως ἀναπόδεικτα· εἰ οὖν τὰ σημεῖα ὁμολογούμενα καθεστάναι δεῖ, ἐνταῦθα οὐκ ἂν εὑρεθείη σημεῖα· τί γὰρ ἂν εὕροιμεν, φασὶν, ὁμολογούμενον εἰς ἀπόδειξιν τοῦ πότερον ἑκὼν ἢ ἄκων τὴν οἰκίαν ἐμπεπρηκὼς εἴη; εἰ οὖν ὁ τεχνικὸς, φασὶν, εἰπὼν, ὅτι ἐμπίπτων γίνεται, ὅταν ἐν τῇ μεταθέσει τῆς αἰτίας ὁλόκληρον ζήτημα ἐμπέσῃ καὶ ἀναγκαῖον γένηται καὶ αὐτὸ διελεῖν τελείως, τὸ τελείως ἐπὶ τῶν τοῦ προσώπου κεφαλαίων, φασὶν, ἔφη, ὅτι τοῖς ἀπὸ τοῦ προσώπου κεφαλαίοις ἅπασι χρηστέον, οἷον τῇ βουλήσει, τῇ δυνάμει· ἀλλὰ ταῦτά γε ἅπαντα λῆρος πλατύς. Λεκτέον δὲ πρὸς [22] μὲν τὸν πρότερον λόγον τὸν βουλόμενον πᾶσαν τὴν ζήτησιν εἶναι περὶ τὴν γνῶσιν, καὶ διὰ τοῦτο ἐξ ἀνάγκης ἐλλείπειν τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, ὡς, εἰ μὲν ἡ γνῶσις πραγμάτων χωρὶς ἐξητάζετο, καιρὸν ἂν εἶχεν ὁ λόγος· νῦν δὲ τοῦτο γενέσθαι πῶς οἷόν τε; ἀνάγκη γὰρ τὴν γνώμην συμπεπλεγμένην πράγματι ἐξετάζεσθαι· οὐ γὰρ ζητοῦμεν οὐδὲ ἐνταῦθα ψιλῶς τὸ ἑκὼν ἢ μὴ ἑκὼν, ἀλλ᾽ εἰ ἑκὼν ἐνέπρησεν, ἵνα διαφύγῃ τὸν ἔλεγχον· τὸ δὲ ἐμπρῆσαι τί ἄλλο ἢ πρᾶγμά ἐστιν; οὐκοῦν καὶ σημεῖα ἔσται, δηλονότι τα πεπραγμένα περὶ τὸν ἐμπρησμόν· πρὸς δὲ τὸν δεύτερον λόγον ὅτι τὰ σημεῖα ἐνταυθοῖ ἀμφιβαλλόμενα πάντα φανήσεται, τὴν ἀπάντησιν ποιησόμεθα· ὁμολογούμενα σημεῖα τοῦ πράγματος ἐπιδείξαντες τὰ περιστατικὰ, οἷον τὸν χρόνον, εἰ περὶ μέσας νύκτας ἐνεπρήσθη ἡ οἰκία, εἰ μετ᾽ ἀλεκτρυόνων ᾠδὴν, ὅτε πάντες βαδίζουσι, καὶ λαθεῖν οὐκ ἔνι, εἴπερ ἑκὼν ἔδρα ταῦτα· δῆλος γὰρ ἂν εἴη μᾶλλον, εἰ ἀνεῤῥίπιζε τὸ πῦρ καὶ ἐνεδίδου τοσοῦτον γενέσθαι, ὥστε πιστευθῆναι καὶ αὐτὸν εἰς ἀνάγκην καταστάντα [23] παρακινδυνεῦσαι

22 πρὸς Par. 1. om. 23 Mon. κατὰ πάντα.

κἀντεῦθεν καταφλεγῆναι τὸ πρόσωπον· ταῦτα γὰρ δῆλον, ὅτι ὁμολογούμενα ὁ καιρὸς ὁ τοῦ ἐμπρησμοῦ, ἡ περὶ τὸ πρᾶγμα σπουδὴ, καὶ ἄλλα δὲ πάμπολλα, ὅσα καθόλου περὶ ἐμπρησμὸν εἴωθε γίνεσθαι. σαφὲς οὖν, ὡς καὶ ἀπ' ἀρχῆς ἄχρι τέλους παραληψόμεθα, εἶτα τὴν μετάθεσιν τῆς αἰτίας τοῦ προηγουμένου ζητήματος ἐκ τούτων ἀποδεδειγμένην ἔχοντες, ἀκολούθως ἐπὶ τὴν πιθανὴν ἀπολογίαν χωρῶμεν. καὶ γὰρ τοῦ τόπου φησὶν ὁ τεχνικὸς λέγων ὡδί· καὶ μετὰ τὴν τούτου διαίρεσιν πάλιν ἐπὶ τὴν τοῦ προτέρου στοχασμοῦ πιθανὴν ἀπολογίαν ὁ φεύγων ἥξει· εἰ δέ τις ζητοίη, πῶς λέγει πᾶσαν (οὐ γὰρ πάσῃ χρώμεθα τῇ διαιρέσει τοῦ ἐμπίπτοντος, ἀλλὰ μετὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους εὐθὺς ἐπὶ τὸ πρότερον ζήτημα μέτιμεν), ἐροῦμεν, ὡς ἅπασαν λέγει οὐχ ἁπλῶς, ἀλλὰ τὴν ἁρμόζουσαν, καὶ ἣν ἀπαιτεῖ ὁ τεχνικὸς λόγος· οὕτω γὰρ καὶ ἀνωτέρω ἔφη· ἀναγκαῖον[24] γένηται καὶ αὐτὸ διελεῖν τελείως· τὸ γὰρ τελέως κἀκεῖσε οὐκ ἔστιν ἐπὶ τοῦ διὰ πάντων τῶν ἀπὸ τοῦ στοχασμοῦ κεφαλαίων, ἀλλὰ τῶν κατὰ νόμον τῆς τέχνης εὑρισκομένων, ὅτι τούτοις τελείως χρὴ χρῆσθαι, καὶ οὐκ ἐλλιπῶς· αὕτη μὲν οὖν καθολικὴ τοῦ ἐμπίπτοντος στοχασμοῦ μέθοδος· εἰδέναι δὲ χρὴ τοὺς ἐπιστήμονας, ὡς οὐχ ἁπλῶς ταύτῃ μόνῃ διὰ παντὸς τῇ μεθόδῳ χρηστέον. ἐπὶ γὰρ τῆς κατὰ ῥητὸν μεταθέσεως τῆς αἰτίας πρότερον κατὰ ῥητὸν καὶ διάνοιαν ποιησάμενοι τὴν ἐξέτασιν κατὰ περιουσίαν τοῖς τοῦ ἐμπίπτοντος στοχασμοῦ κεφαλαίοις χρησόμεθα· ἐκεῖνο γὰρ καθολικὸν ἡμῖν παρατηρείσθω θεώρημα, ὡς πᾶν ῥητὸν διανοίᾳ λύεται, οἷον ἐπὶ τοῦ παραδείγματος τοῦ παρὰ[25] τῷ τεχνικῷ σαφὲς ἅπαν, ὃ λέγω, γινέσθω· ἔδει

24 Par. 1. αὐτὸ γένηται καὶ αὐτὸ (Mon. αὐτός.) 25 Mon. περί. Sch. min.: θαυμάσαι ἄξιον τῆς πλάσεως τὸ πρόβλημα· πρῶτον τὸν νόμον τὸν κελεύοντα δεδέσθαι, εἶτα τὴν διάνοιαν, εἰκὸς γὰρ εἶναι τοὺς συνειδότας· μετὰ ταῦτα, ὅτι ὁ ἀνελὼν ὕποπτος εἶναι

τὸν ἁλόντα προδοσίας δεδέσθαι, μέχρις ἂν εἴπῃ τοὺς συνομότας· ἁλοὺς στρατηγὸς προδοσίας ἐδέθη παρὰ τῷ συστρατηγῷ, ὁ δὲ ἀπέκτεινεν αὐτὸν ὡς ἐπὶ τῇ γυναικὶ εὑρὼν, καὶ συνειδότος φεύγει, ἐνταῦθα ἡ μετάθεσις τῆς αἰτίας κατὰ ῥητὸν ἔσται, ὅτι μοιχὸς ἦν· δίδωσι δὲ ὁ νόμος ἀναιρεῖν τὸν μοιχόν· τί οὖν; πότερον[26] κατὰ ῥητὸν καὶ διάνοιαν τὴν ἀντίῤῥησιν ἐξ ἀνάγκης ποιησόμεθα; ὅτι ἀλλ᾽ οὐ τοὺς προκατειλημμένους ἑτέρᾳ μείζονι τιμωρίᾳ δίδωσιν ὁ νόμος ἀναιρεῖν ἐπὶ τῇ μοιχείᾳ. δεινὸν γὰρ ἂν ἦν, εἰ τὸν τὰ μείζω προεξαμαρτόντα ἐπὶ τοῖς ἐλάττοσιν ἐκολάζομεν. νῦν μὲν γὰρ οἱ προδόται λανθάνοντες τάχα ἄν τι βλάψαιεν τὴν πόλιν, τηνικαῦτα δὲ[27] οἵ τε προδόται καταφανεῖς ἂν ἐγίνοντο, καὶ οὐ τὴν μείζω τιμωρίαν παρ᾽ αὐτοῦ ἐλάμβανες. εἶτα ἐκ περιουσίας ἐπὶ τὸν ἐμπίπτοντα μεταβάντες στοχασμὸν καὶ τοῖς τούτου κεφαλαίοις κατὰ τὸν τρόπον, ὡς εἴρηται, χρώμεθα. ὅτι μὲν οὖν, εἰ καὶ μοιχὸς ὢν ἐξελήλεγκτο, οὐκ ἔδει τοῦτον ἀναιρεθῆναι, περιφανές· ὡς δὲ οὐδὲ μοιχὸς ἦν, ἀλλὰ ψευδῆ ταύτην ἡμῖν[28] εἰσήνεγκε παρατήρησιν, ἐπιγνῶναι ῥᾴδιον ἅπασι, καὶ ἀρχόμεθα πρῶτον ἐκ τῆς τῶν ἐλέγχων ἀπαιτήσεως· εἶτα τὴν βούλησιν παραλαμβάνομεν, εἰ εἰκὸς ἦν τὸν πεδήτην εἰς ἔρωτα ἔκτοπον οὕτως ἐλθεῖν· εἶτα τὴν δύναμιν, εἰ καὶ ἠδύνατο τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους· πάλιν ἐκ τῶν περιστατικῶν, ὡς οὐκ εἰκὸς ἦν ἐν τοιούτῳ καιρῷ τοῦτο δρᾶσαι, ὅ τε κίνδυνος ὁ τῆς ἐσχάτης αὐτῷ ζημίας ἐπῆρτο, καὶ ἐκ τῆς ἐκείνου περὶ τὸ

δοκεῖ φόβῳ τοῦ μέλλοντος ἀνῃρηκέναι, καὶ οὐ μοιχείας ἕνεκα· εἶτα τὸ μηδὲ χάριν αἰτίας πιθανῆς ἀνῃρηκέναι, ἄντικρυς γὰρ ἂν ὁ στρατηγὸς ἑαλώκει, μηδὲ μίαν ἔχων τοῦ φόβου τὴν πρόφασιν. Ὡς ἐπὶ τῇ γυναικί· καλῶς ὡς ἐπὶ τῇ γυναικί· εἰ γὰρ ἦν ὡμολογημένον, ὅτι κατέλαβεν, οὐκ ἂν συνέστη, ἀλλ᾽ ὡς ἐπὶ τῇ γυναικὶ, ἵν᾽ ᾖ ὡς πεπλασμένον καὶ μέσον τὸ ἔγκλημα. 26 Mon. πρότερον. 27 δὲ Mon. om. 28 Mon. ταῦτα omisso ἡμῖν.

πρᾶγμα διαθέσεως, εἰ ἐδεδίει σφόδρα ἐφ' οἷς ἑάλω, εἰ καταφρονητικῶς εἶχε πρὸς τὸν κίνδυνον· ταῦτα γὰρ ἐξ ἀνάγκης περὶ τὸ πρᾶγμα εὑρίσκεται ὁμολογούμενα· εἶτα τῆς μεταθέσεως τῆς αἰτίας οὕτω καθαιρεθείσης καὶ τοῦ ἐν αὐτῇ ζητήματος ἀποδεδειγμένου καὶ οὐκέτι ἐνοχλοῦντος τῷ δικαστῇ ἀκολούθως ἐπὶ τὴν πιθανὴν ἀπολογίαν μέτιμεν· ἡ μὲν οὖν φύσις τε καὶ ἡ μέθοδος τοῦ ἐμπίπτοντος στοχασμοῖ ἐντελῶς ἡμῖν διὰ τούτων δεδήλωται· ἀναγκαῖον δὲ καὶ τὸ ἴδιον εἰπεῖν τοῦ ἐμπίπτοντος· ἡ γὰρ ἄγνοια τούτου πολλοὺς ἐπιεικῶς ἔσφηλεν, οὐ μόνον[29] τῶν ἀγελαίων τουτωνὶ κατὰ τὸν Ἰσοκράτην σοφιστῶν, ἀλλὰ καὶ τῶν ἐγχειρισάντων συγγράμματα, ὅπου γε καὶ Μένανδρος ἐν ὑπομνήματι τοῦ ῥήτορος τὸν παραπρεσβείας λόγον ἐμπίπτοντα στοχασμὸν ἐτόλμησεν ἀποφήνασθαι. ἴδιόν ἐστι τοίνυν τοῦ ἐμπίπτοντος τὸ ἀνεύθυνον πάντως καθεστάναι τὸ ἐμπῖπτον ζήτημα, ὥσπερ ἐπὶ τῶν προκειμένων ἡ τοῦ μοιχοῦ ἀναίρεσις αὐτὴ καθ' αὑτὴν ἀνεύθυνος· καὶ πάλιν ὁ τῆς οἰκίας ἐμπρησμός· τί γάρ, εἰ τὴν ἑαυτοῦ οἰκίαν ἐμπρῆσαι βεβούληται; ἴδιον οὖν τοῦτο αὐτῷ μόνῳ πρόσεστι τῶν συνεζευγμένων. ἐν γὰρ τοῖς ἄλλοις ἑκάτερον τῶν ζητημάτων ὑπεύθυνον, ὡς προϊόντες εὑρήσομεν. πῶς ὁ παραπρεσβείας λόγος ἐμπίπτοντος ἔσται, ζητουμένης ἐν αὐτῷ τῆς δωροδοκίας καὶ τῆς τῶν Φωκέων ἀπωλείας; ἑκάτερον γὰρ ὑπεύθυνον. ἔστι τοίνυν συγκατασκευαζομένου στοχασμοῦ· δι' ἀλλήλων γὰρ τὰ δύο κατασκευάζεται, οἷον ἐδωροδόκησας, ἀπώλεσας γὰρ Φωκέας· καὶ ἐκ τοῦ ἐναντίου· ἀπώλεσας Φωκέας, ἐδωροδόκησας γάρ· τοσαῦτα περὶ τοῦ ἐμπίπτοντος.

κ'. Τοῦ κατηγόρου λέγοντος, ὡς συνῄδεις τῇ προδοσίᾳ, τὸν γὰρ ἔλεγχον δεδιὼς ἀπέκτεινας, καὶ σημεῖον

29 οὐ μόνον τῶν ἀγελαίων — — καὶ Μένανδρος Mon. om.

τοῦ συνειδέναι κατασκευάζοντος τὸ ἀπέκτεινας ἀντιτίθησι, φησὶ, τὸ χρῶμα ὁ φεύγων, ὅτι μοιχὸν ἀπέκτεινα τοῦ νόμου κελεύοντος, καὶ τὸ ἀντιληπτικὸν ὁμοῦ καὶ τὸ ἀντεγκληματικὸν προβαλλόμενος.

κά. Κατὰ μέσην, φησὶ, τὴν διαίρεσιν ὁλόκληρον ἐμπίπτει ζήτημα, εἰ ὄντως μοιχὸς ἐκεῖνος ὁ δεόμενος· ἐξετάσεις γοῦν ἐνταῦθα καὶ τοῦ δεδομένου καὶ τῆς γυναικὸς τὴν προαίρεσιν, τὸν μὲν, εἴγε εἰκὸς ἦν, ἐν τοιαύταις συμφοραῖς ὄντα τοιούτων ἐπιθυμεῖν, τὴν δὲ, εἰ πιθανὸν στρατηγοῦ γυναῖκα οὖσαν δεσμώτῃ ἑαυτὴν ἐκδοῦναι· ἔστιν οὖν ἡ τοῦ πρώτου διαίρεσις αὕτη· βούλησις καὶ δύναμις τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, εἶτα ἐν τῇ μεταθέσει τῆς αἰτίας ἐμπίπτει τὸ ζήτημα καὶ πάλιν ἐλέγχων ἀπαίτησις, καὶ βούλησις καὶ δύναμις καὶ ἑξῆς καὶ μετὰ τὴν τούτου διαίρεσιν πάλιν ἐπὶ τὴν τοῦ προτέρου πιθανὴν ἀπολογίαν· οὐκ ὀρθῶς δὲ εἶπε, φασὶν, ἐμπεσεῖσθαι πιθανὴν ἀπολογίαν ἐνταῦθα· ἀκολουθεῖ γὰρ τὸ σημεῖον καὶ οὐ δύναται λέγειν· καὶ μὴν εἰ συνῄδειν οὐκ ἐφόνευον, ἀλλὰ νοητέον ἐνταῦθα τὴν πιθανὴν ἀπολογίαν ἀντὶ τοῦ μὴ ἀποστρέφοντος, ὅτι συνειδὼς ἀπέκτεινεν ἄν· οὐ μὴν πᾶς ἀπεκτονὼς ἤδη καὶ σύνοιδεν.

κβ΄. Ἀκολούθως ἐπὶ τὸν προκατασκευαζόμενον μέτεισιν, ὃς δεύτερός [1] ἐστιν εἰκότως τοῦ ἐμπίπτοντος, καθὸ αὐτόθεν ἔχει ζητήματα τέλεια διὰ πάντων τῶν κεφαλαίων κατασκευαζόμενα, ὥστε διπλοῦν αὐτὸ [2] σχεδὸν καθεστάναι, τοῦ ἐμπίπτοντος οὐχ ὧδε ἔχοντος, ἀλλὰ μᾶλλον εἰς ἁπλᾶ ῥέποντος· μέχρι γοῦν τῆς μεταθέσεως τῆς αἰτίας, ὅπερ ἐστὶν ἕκτον μὲν κεφάλαιον [3] κατὰ τὸν φεύγοντα, κατὰ δὲ τὸν διώκοντα ὄγδοον, ὡς ἁπλοῦν καθαρὸν πρόεισιν. ὅνπερ οὖν τρόπον τὰ ἁπλᾶ τῶν διπλῶν προηγεῖται, τοῦτον καὶ ὁ ἐμπίπτων τοῦ προκατασκευαζομένου

1 Mon. ὡς δευτέρα. 2 αὐτὸ Mon. om. 3 κεφάλαιον Par. 1. om. Mon. καὶ τὸν φεύγ.

ἡγήσεται· τέτακται δὲ κατὰ λόγον πρὸ τοῦ κατασκευαζομένου, πολλὴ γὰρ ἦν περὶ τοῦ συγκατασκευαζομένου ἡ ζήτησις, εἰ τὴν ἀρχὴν ὅλως συστήσεται· τῶν γὰρ ἀσυστάτων αὐτὸν ἀποφαίνειν ἐπειρῶντό τινες, ὡς ἐπ᾽ αὐτοῦ γενόμενοι· πλατύτερον ἄρα ἀποδείξομεν· πῶς οὖν ἂν τοῦ προκατασκευαζομένου ἡγήσατο, ὅπου γε οὐδὲ συνεστάναι παρὰ πολλῶν ἐνομίζετο· ἔπειτα καὶ κοινωνίαν εἶχεν ἰδιωτέραν τινὰ πρὸς τὸν ἐμπίπτοντα ὁ προκατασκευαζόμενος, ἐπ᾽ ἀμφοτέρων γὰρ δύναται καὶ ἐλλείπειν ἡ ἀπὸ τοῦ προσώπου ζήτησις· ἐπὶ δὲ τοῦ συγκατασκευαζομένου ἀνάγκη πᾶσα καὶ τὸ πρόσωπον καὶ τὸ πρᾶγμα ἐπιδέχεσθαι κρίσιν· εἰ γὰρ θάτερον ἐλλείποι, οὐκ ἂν γένοιτο συγκατασκευαζόμενος· εἰκότως οὖν ἀλλήλων οὐκ ἐχωρίσθησαν ὅ τε προκατασκευαζόμενος καὶ ὁ ἐμπίπτων, ταύτην ἀμφότεροι συγγένειαν ἔχοντες· ῥητέον οὖν καὶ περὶ διαφορᾶς αὐτῶν. Διαφέρει τοίνυν ὁ προκατασκευαζόμενος τοῦ ἐμπίπτοντος, καθὰ ἐν μὲν τῷ ἐμπίπτοντι τὸ δεύτερον ζήτημα ὕστερον ἐν [4] τῇ μεταθέσει τῆς αἰτίας ἐμπίπτει, ὥστε ἄρχεσθαι μὲν ἡμᾶς ἐκ τοῦ προηγουμένου ζητήματος, προβαίνοντας δὲ ἐμπίπτειν εἰς τὸ ἔξωθεν προσιὸν ζήτημα· ἐπὶ δὲ τοῦ προκατασκευαζομένου τοὐναντίον γίγνεται· τοῦ γὰρ προηγουμένου ζητήματος τὸ

---

4 Mon. ἐν om. Sch. min.: τὸ προηγούμενον ζήτημά ἐστι τὸ συνειδέναι τὸν πατέρα τοῖς παισί· τὸ πάρεργον τὸ τοὺς παῖδας εἶναι προδότας· δείκνυσιν οὖν τὸ πάρεργον πρότερον ὁ πατὴρ, τὸ μὴ εἶναι προδότας τοὺς παῖδας, εἶθ᾽ οὕτως τὸ μὴ συνειδέναι, καὶ διὰ τοῦτο λέγει προκατασκευαζόμενος. Ὡς ὂν ἢ οὐκ ὄν· ὂν μὲν ὡς ἀπὸ τοῦ κατηγόρου, οὐκ ὂν δέ, ὡς ἀπὸ τοῦ φεύγοντος· ὃ γὰρ ὁ κατήγορος κατασκευάζει ὡς ὄν, τοῦτο ὁ φεύγων ἀνασκευάζει, καὶ εἰς τὸ μὴ γεγονέναι ὅλως παρατρέπει ὡς οὐκ ὄν· διὰ δὲ τοῦ ὡς ὂν ἢ οὐκ ὂν οὐσιώδη τὴν ζήτησιν παρίστησι, τουτέστι περὶ ὑπάρξεως, εἰ ἔστιν ἢ οὔ, καὶ εἰ γέγονεν ἢ οὐ γέγονεν. Καλὸν τὸ ὡς προδιδόντας· ἵνα περίστασιν ἔχῃ ὁ λόγος καὶ τὸ πρόβλημα· εἰ γὰρ μὴ δοίημεν, ὅτι προδόται, μονομερὲς ἔσται.

δευτεραγωνιστοῦν πρωτεύει τῇ τάξει, καὶ πρότερον ἐξετάζεται ὡς ἐπὶ τοῦ παραδείγματος τοῦ παρὰ τῷ τεχνικῷ· πλούσιος στρατηγῶν πένητος ἐχθροῦ παῖδας ὡς προδιδόντας συνέλαβε, καὶ τοὺς μὲν δύο μηδὲν ὁμολογοῦντας ἐν ταῖς βασάνοις ἀπέκτεινε, τὸν δὲ τρίτον ὁμολογήσαντα πρὸ τῶν βασάνων προδοῦναι καὶ μὴ ἐπεξιόντα τὸν πατέρα κρίνει συνειδότος· ἔστι γὰρ τὸ μὲν προηγουμένως ζητούμενον, εἰ σύνοιδεν ὁ πατὴρ, τὸ δὲ ἔξωθεν κατὰ ἀνάγκην παραλαμβανόμενον ἕνεκα τοῦδε, εἰ προδεδώκασιν [5] οἱ παῖδες· καὶ δεῖ πρῶτον τοῦτο κατασκευάσαι, εἶθ᾽ οὕτως ἐπὶ τὸ προηγουμένως ζητούμενον ἐλθεῖν, ὅτι σύνοιδε· μὴ γὰρ πρότερον ἀποδείξας, ὅτι προδεδώκασιν οἱ παῖδες, οὐ δύναται λέγειν συνειδέναι τῇ προδοσίᾳ τὸν πατέρα. σαφὴς οὖν ἐντεῦθεν ἡ τούτων διαφορά.

κγ΄. Προκατασκευαζόμενός [6] ἐστιν, ὅταν πρὸ τοῦ κρινομένου πράγματος ἀναγκαίως ἕτερόν τι ζήτημα προκατασκευασθῇ ὑπ᾽ ἀμφοτέρων, τοῦ τε κατηγόρου καὶ τοῦ φεύγοντος, ὃς καὶ οὕτως ὠνόμασται ἀπὸ τοῦ ἕτερόν τι πρὸ τοῦ κρινομένου [7] πράγματος ἐξετάζεσθαι, εἶθ᾽ οὕτως ἐκεῖνο, περὶ οὗ ἡ κρίσις.

κδ΄. Στοχαστικῶς εἶπε· χρὴ γὰρ καθάπαξ ἐπὶ τῶν συνεζευγμένων ἑκάτερον τῶν ζητουμένων εἶναι στοχαστικόν· καὶ γὰρ ἐν τῷ ἐμπίπτοντι στοχαστικὴ ἔσται ἐμπίπτουσα ζήτησις, καὶ ἐν τῷ προκατεσκευασμένῳ τὸ προκατασκευαζόμενον οὐκ ἄλλο τι καθεστάναι δεῖ, ἢ στοχαστικὸν, κἂν τῷ συγκατασκευαζομένῳ ὁμολογουμένως· εἰ γὰρ θάτερον γίγνεται θατέρου σημεῖον, σαφὲς, ὡς ἑκάτερον στοχαστικὸν καταστήσεται.

---

5 εἰ προδεδώκασιν οἱ παῖδες usque ad λέγειν συνειδέναι τῇ Mon. om. 6 Mon. προκατασκευαζομένη. Sch. min.: ζητήματος ἐνταῦθα ἰδίως εἶπε τοῦ ἐγκλήματος, ἐφ᾽ ᾧ ἡ γραφή. Ἀναγκαῖον ἢ προκατασκευασθῆναί ποτε πράγματι στοχαστικῷ ὡς ὂν ἢ οὐκ ὄν. 7 Par. 1. πράγματος κρινομένου.

κέ. Δεῖ, φησὶν, ἑκάτερον, τουτέστι τόν τε διώκοντα καὶ τὸν φεύγοντα, περὶ τοῦ δευτέρου διαγωνισαμένους κατὰ πρώτην τάξιν, οὕτως ἐπὶ τὸ προηγουμένως ζητούμενον ἐλθεῖν· καὶ ἀπορήσειεν ἄν τις ἐνταῦθα, τί δή ποτε ὁ φεύγων εἰς τὴν ὑπὲρ ἑτέρων ἀπολογίαν ἑαυτὸν ἐμβάλλει, καὶ οὐ τοῦ καθ' ἑαυτὸν μέρους ἀνθέξεται μόνου, περὶ οὗ καὶ ὁ κίνδυνος αὐτῷ ὡς ἐπὶ προκειμένου· τί γὰρ μὴ εὐθὺς ὁ πατὴρ ἐπὶ τὸ συνειδέναι τραπεὶς περὶ ἑαυτοῦ μόνου τοὺς λόγους ποιήσεται; ἐπὶ γὰρ τούτῳ καὶ κρίνεται· οὐ γὰρ ἡ [8] κατηγορία γέγονε κατὰ τοῦ πατρὸς, ἀφ' ὧν οἱ παῖδες προδεδώκασιν, ἀλλ' ὅτι σύνοιδε τῇ προδοσίᾳ τῶν παίδων· τῷ μὲν γὰρ κατηγόρῳ πᾶσα ἀνάγκη περὶ ἑκατέρου τὸν λόγον ποιήσασθαι, ὅτι τε προδεδώκασιν οἱ παῖδες, καὶ ὅτι τῆς προδοσίας κεκοινώνηκεν ὁ πατήρ· ἢν γὰρ μὴ ἀποδειχθῇ πρότερον προδεδωκέναι τοὺς παῖδας, οὐκ ἔχει χώραν τὸ κρίνεσθαι τὸν πατέρα συνειδότος ἐπὶ τῇ προδοσίᾳ· τῷ φεύγοντι δὲ φαίη ἄν τις οὐδεμίαν προσεῖναι ἀνάγκην ὑπὲρ τῆς ἑτέρων κατηγορίας ἀπολογήσασθαι, ἀλλὰ δεῖν τὸ καθ' ἑαυτὸν ἐξελεῖν μόνον ἐπιδείξαντα, ὡς οὐκ εἴη τῶν ἀδικημάτων μετειληφώς· ὑποληπτέον οὖν πρὸς τὴν τοιαύτην ἀπορίαν, ὡς τηνικαῦτα μόνον ὁ φεύγων τὴν προτέραν παραπέμψεται ζήτησιν, ὅταν ᾖ τοῖς περὶ αὐτῆς ἀποδεικτικοῖς ἀσθενῆ, ἢ τὸ πρόσωπον τὸ δεδρακὸς τὸ ἀδίκημα μὴ πάνυ ᾠκείωται αὐτῷ· ἀλλ' οὐδὲ τότε ἁπλῶς αὐτὸ παραπέμψεται, μετὰ δέ τινος μεθόδου ἢ κατὰ συγχώρησιν αὐτὸ παραδραμεῖται, οἷον ὅτι ῥᾴδιον καὶ περὶ τῶν παίδων ἀπολογήσασθαι, ὡς οὐ προδεδώκασιν, ἀλλὰ ψευδεῖς οὗτος ἐρείδων εἰσῆλθε κατ' ἐκείνων συκοφαντίας· ἐπειδὴ δὲ σπουδὴν ἅπασαν ὁ διώκων πεποίηται, προδότας ἐκείνους ὑμῖν [9] ἐπιδεῖξαι, ἢ καὶ ὅτι εἰς τὸν ὑπὲρ ἐμαυτοῦ μᾶλλον ἕλκομεν λόγον· [10] τοῦτο [11] μὲν, εἰ βούλεσθε,

8 Par. 1. εἰ. 9 Mon. ἡμῖν. Parr. ὑμῖν. 10 Par. 1. λό-

ἑκὼν αὐτῷ συγχωρήσω, ἐμαυτὸν δὲ, ὡς οὐ κεκοινώνηκα τῶν ἐγκλημάτων, ἀποφανῶ· ἢ τῷ κατ' ἐπαγγελίαν χρηστέον σχήματι, οἷον ὅτι πρὸς μὲν τὸ παρὸν τὴν ὑπὲρ ἐμαυτοῦ ἀπολογίαν ποιήσομαι· ὕστερον δὲ ἐὰν βουλομένοις ὑμῖν ᾖ, καὶ περὶ τῶν ἄλλων ἐρῶ· ὅταν μὲν οὖν, ὡς ἔφην, ἢ τὸ ἠδικηκὸς πρόσωπον μὴ σφόδρα ἡμῖν οἰκεῖον ὑπάρχῃ [12] ἢ ταῖς περὶ τοῦ πράγματος ἀποδείξεσιν εὐπόρως οὐκ ἔχωμεν χρήσασθαι, διὰ τούτων αὐτὸ παρήσομεν τῶν τρόπων· ἐὰν δὲ μηδέτερον εἴη τούτων, ἐξ ἀνάγκης αὐτὸ παραληψόμεθα· συμβαλεῖται γὰρ ἡμῖν πάμπολυ εἰς τὸν ὑπὲρ ἡμῶν αὐτῶν λόγον· τῷ γὰρ ἀποδεικνύναι, τοὺς παῖδας μὴ γενέσθαι προδότας, πολὺ μᾶλλον τῆς ἐπὶ τῷ συνειδότι κρίσεως ἑαυτὸν ὁ πατὴρ ἐξαιρήσεται, καὶ ὅλως τὸ τῇ κατηγορίᾳ διὰ πάντων ἀπολογουμένους ἀκολουθῆσαι, πλεῖστον ἡμῖν πρὸς τὴν τῶν δικαστῶν συμβαλεῖται δόξαν· πανταχόθεν γὰρ πεποιθέναι τῷ δικαίῳ νομισθησόμεθα· κἂν ὁ διώκων δέ ποτε παραλείποι αὐτὸ παρακρουόμενος τῷ μὴ εὐπορεῖν ἀποδείξεων, ὁ φεύγων ἀνθέξεται, καὶ περὶ αὐτοῦ πρῶτον ἀξιώσει γενέσθαι τὴν ζήτησιν· οἷον ὅτι πρότερον δεικνύτω προδότας τοὺς παῖδας, καὶ τότε κρινέτω συνειδότος ἐμέ· πλεῖστον γὰρ, ὡς ἔφην, εἰς τὸ μὴ συνειδέναι συμβαλεῖται τὸ λέγειν ἡμᾶς, τὴν ἀρχὴν μηδὲ γεγενῆσθαι τὸ ἔγκλημα. ἐξετάσαντες οὖν πρότερον τὸ πρὸ [13] τοῦ ζητήματος πρᾶγμα, οὕτως ἐπ' αὐτὸ τρεψόμεθα τὸ προκείμενον. καί τις ἐνταῦθα ἐζήτησε, πῶς ἔτι χώραν ἔχει τὸ δεύτερον ζήτημα· τοῦ γὰρ [14] προτέρου ἀναιροῦντος τὸ ἔγκλημα, τοῦτο καιρὸν οὐκ ἔχει τὸ λεγόμενον· συναναιρεῖται γὰρ τῷ ἐγκλήματι καὶ ἡ περὶ τοῦ μὴ συνειδέναι κρίσις· οἷον ἐδείχθησαν οἱ παῖδες μὴ προδεδω-

---

γον ἕλκομεν μᾶλλον. Mon. ἑλκόμενοι. 11 Mon. τοῦτον μὲν, ε. β, ἑκὼν αὐτὸ συγχωρήσατε. 12 Mon. ὑπάρχει et ἔχομεν. 13 Par. 1. περί. 14 τοῦ γὰρ προτέρου ἀναιροῦντος Mon. om.

κότες, ἄτοπον ἔτι περὶ τοῦ μὴ συνειδέναι ποιεῖσθαι λόγον τινά· πρὸς δὲ τοῦτο ῥητέον, ὡς τὸ προηγουμένως ζητούμενον δεύτερόν ἐστιν, οὗπερ ἕνεκα καὶ τὸ πρότερον παρείληπται ζήτημα, καὶ ἐφ' ᾧ συνέστη τὸ δικαστήριον· οὐ γὰρ εἰσῆλθεν ὁ στρατηγὸς τῶν τεθνεώτων κατηγορήσων ὡς προδοτῶν, ἀλλὰ κρίνων συνειδότος τὸν πατέρα. πῶς οὖν οὐκ ἂν εἴη γελοῖον, εἰ περὶ ὧν μὲν ὁ δικαστὴς εἰσελήλυθεν ἀκουσόμενος μηδὲν ῥηθείη, ἑτέρων δέ τινων ἀκροάσεται λόγων καὶ ἄλλως ἐπ' ἄλλῳ μὲν συσταίη τὸ δικαστήριον, περὶ δὲ ἑτέρου τινὸς ἡ ζήτησις γένοιτο; τί οὖν ἐξ ἀνάγκης χρηστέον καὶ τῷ δευτέρῳ; χρησόμεθα δὲ οὐ κατὰ τὸ παρατυχὸν,[15] ἀλλὰ τῇ τοῦ τεχνικοῦ μεθόδῳ, κατὰ συγχώρησιν λαμβάνοντες τὸ πρότερον, εἶτα τὸ δεύτερον οὕτως ἐπάγοντες, οἷον ὅτι δέδεικται μὲν ἐξ ἁπάντων, ὡς φανερὰν κατὰ τῶν παίδων συκοφαντίαν ἔπλασε καὶ ψευδῆ τούτοις ἐπήνεγκεν αἰτίαν προδοσίας, ὡς δὲ, κἂν τοῦτο δῶμεν αὐτῷ, δειχθήσεται μάτην ἐλθὼν ἐπ' ἐμὲ, ῥᾴδιον καὶ περὶ τούτου διελέγχειν αὐτόν· οὐ γὰρ ἂν εἰ καὶ προδόται οἱ παῖδες ἐτύγχανον ὄντες, ἐκοινώνησαν τῇ προδοσίᾳ αὐτῷ, καὶ οὕτω πάλιν τὸ δεύτερον κατασκευάσομεν ζήτημα. Ἰστέον δὲ, ὡς τῶν ζητημάτων ἑκάτερα τελείαν[16] ἕξει διαίρεσιν, καὶ διὰ πάντων ἀμφότερα τῶν στοχαστικῶν κεφαλαίων ἀποδειχθήσεται.

κϛ'. Ἡ γραφὴ μὲν ἐνταῦθα συνειδότος, εἰ σύνοιδε τοῖς παισὶ προδοσίαν, τὸ δὲ προκατασκευαζόμενόν ἐστι τὸ κατ' αὐτοὺς τοὺς παῖδας, εἰ τῷ ὄντι προδεδώκασιν· οὐ γὰρ τοῦτο φανερόν. τοῦτο τοίνυν τὸ τῶν παίδων ἀναγκαῖον ἀμφοτέρους προκατασκευάσαι, πλέον δὲ τὸν κατήγορον· εἰ γὰρ μὴ ἐλέγξει προδεδωκότας τοὺς παῖδας, οἰχήσεται αὐτῷ καὶ τὸ κατὰ τοῦ πατρὸς ἔγκλημα. Μὴ

---

15 Mon. *παρὰ τόν.* 16 Mon. *ἑκατέρων* omisso *τελείαν.*

γὰρ ὅλως προδεδωκότων ἐκείνων, πῶς ἂν κρίσις συνειδότος συστῆναι δύναιτο; εἰ γὰρ καὶ ὁ τρίτος ὡμολογηκέναι δοκεῖ, ἀλλὰ τοῦ φόβου ὁμολογία δοκεῖ, ὅτι τοὺς ἀδελφοὺς ἀπολωλότας ἐν ταῖς βασάνοις ἐθεάσατο καὶ τὰ ὅμοια παθεῖν προσεδόκησεν. ἀναγκαῖον δὲ καὶ τὸν φεύγοντα προκατασκευάσαι περὶ τῶν παίδων· ἥττων μὲν γὰρ τοῦ κατηγόρου, χρησιμωτάτη δ' ὅμως ὑπὲρ τῶν παίδων ἀπολογία καὶ τούτῳ· εἰ γὰρ τοὺς παῖδας ἐξελέσθαι τῆς αἰτίας δυνήσεται, καὶ τὸ καθ' ἑαυτὸν ῥᾳδίως ἀπολύσεται· ἐρεῖ οὖν ὁ μὲν πλούσιος σημεῖον τοῦ προδεδωκέναι τοὺς παῖδας τὸν τρίτον ἄνευ βασάνων ὁμολογεῖν· εἶτα ὁ φεύγων πρὸς τοῦτο ἀπαντήσεται συγγνωμονικῇ μεταθέσει τῆς αἰτίας, ὅτι δεδιὼς τὰς βασάνους, καὶ εἰδὼς, ὅτι ταὐτὰ τοῖς προτέροις πείσεται, κατεψεύσατο ἑαυτοῦ, καὶ ἑαυτοῦ ἠνάγκασται κατηγορεῖν ὑπὸ δέους· εἶτα καὶ τοῦ συνειδέναι ἐρεῖ σημεῖον ὁ στρατηγὸς τὸ μὴ ἐπεξελθεῖν, καὶ μεταθήσεται πάλιν ὁ φεύγων, ὅτι πλούσιος ἦσθα, καὶ ἐδεδίειν τὴν σὴν ἰσχὺν καὶ τὴν περὶ σὲ ἑταιρείαν καὶ τὸ τῶν κολάκων σύστημα.

κζ'. Κατὰ συγχώρησιν, φησὶ, δοὺς προδεδωκέναι τοὺς παῖδας, ἐπὶ τὸν ὑπὲρ ἑαυτοῦ λόγον τραπήσεται· οὐ γὰρ, εἰ καὶ προδεδώκασιν οἱ παῖδες, ἤδη καὶ αὐτὸς πάντως προδότης· εἰκότως δὲ ἐν δευτέρῳ φυλάττει τὸ κατὰ συγχώρησιν· οὔτε γὰρ δύναται τοῦτο πράττειν, ἵνα μὴ δοκῇ εὐθὺς ἐν ἀρχῇ τῶν παίδων κατηγορεῖν, οὔτε μὴν καθάπαξ μὴ συγχωρεῖν, ἵνα μὴ δοκῇ φεύγειν τὸν περὶ αὐτοῦ λόγον.

κή. Ὠνόμασται οὕτως [17] ἀπὸ τοῦ τὰ σημεῖα δι' ἀλλήλων, ἀλλ' οὐ κεχωρισμένως κατασκευάζεσθαι.

κθ'. Συγκατασκευαζόμενος δὲ, φησὶ, γίγνεται, ὅταν τὰ σημεῖα τοῦ πράγματος ἀμφότερα ἀμφισβητούμενα ᾖ,

---

17 sc. συγκατασκευαζόμενος.

καὶ ἀμφότερα δι᾽ ἀλλήλων ἔχῃ τὴν κρίσιν, οἷον ἔδει τοὺς δεσμάτας λελύσθαι τοῖς θεσμοφορίοις· μοιχὸν ὑπονοήσας τις τὸν οἰκέτην ἐπὶ τῇ γυναικὶ, δήσας αὐτὸν ἀπεδήμησε, λυθεὶς τοῖς θεσμοφορίοις ἀπέδρα· μετὰ ταῦτα εὕρηται ὁ ἀνὴρ πεφονευμένος, καὶ ἡ γυνὴ συνειδότος [18] φεύγει· ἐνταῦθα γὰρ τὸ μὲν ζητούμενόν ἐστιν, εἰ σύνοιδε, τὰ δὲ σημεῖα ἥ τε μοιχεία καὶ ἡ τοῦ ἀνδρὸς ἀναίρεσις, ἅπερ δι᾽ ἀλλήλων κατασκευάζεται· οἷον ἐμοίχευσας, τούτου πίστις· ἀνῄρηται ὁ ἀνὴρ ὑπὸ τοῦ οἰκέτου· τον ἄνδρα ἐφόνευσε τῷ μοιχὸν ἑαλωκέναι ἐπὶ σοί· ἡ μὲν οὖν τάξις τῶν συνεζευγμένων ἐκ τῶν ἀνωτέρω δεδήλωται· ζητοῦσι δὲ περὶ τοῦ συγκατασκευαζομένου, πρῶτον μὲν, πῶς ἑνὸς ὄντος σημείου πρώτου τεχνικὸς πληθυντικῶς ἔφη τὰ σημεῖα τοῦ πράγματος· ἓν γὰρ, φασὶ, τὸ πρῶτον σημεῖόν ἐστιν ἀμφιβαλλόμενον· οἷον πένης καὶ πλούσιος ἐχθροὶ τὰ πολιτικὰ, ὤμοσεν ἐν συμποσίῳ ὁ πλούσιος τυραννήσειν· ἀντώμοσεν ὁ πένης τυραννοκτονήσειν· μετὰ ταῦτα ὁ πένης νεκρὸς ἀσκύλευτος εὕρηται, καὶ κρίνεται ὁ πλούσιος τυραννίδος [19] ἐπιθέσεως· τὸ μὲν γὰρ ἔγκλημά ἐστιν ἡ τυραννὶς, τὸ δὲ τούτου σημεῖον ἡ τοῦ πένητος ἀναίρεσις, ὅπερ ἀμφιβαλλόμενον μόνον· τὰ γὰρ ἑξῆς ἅπαντα ὁμολογούμενα, τουτέστι τὸ ὀμόσαι τὸν πλούσιον, τὸ ἀντομόσαι τὸν πένητα, καὶ εἴ τι ἄλλο· ἔπειτα εἰ τὴν ἀρχὴν ὅλως συστήσεται τὸ συγκατασκευαζόμενον εἶδος· ὁ γὰρ ὅρος αὐτὸ, φασὶν, ὁ τοῦ στοχασμοῦ ἐξελέγχει [20] σαφῶς ἀσύστατον ὄν· στοχασμός γάρ ἐστιν ἀδήλου πράγματος ἔλεγχος οὐσιωδῶς ἀπό τινος φανεροῦ σημείου· ὁ μὲν γὰρ ὅρος ἔχει τὸ ἀπό τινος φανεροῦ σημείου· ἐνταῦθα δὲ τὸ σημεῖον ἀμφιβαλλόμενον, πρὸς οἷς καὶ φυσικῷ λόγῳ, φασὶν, οὐ συστήσεται· εἰ γὰρ ἀεὶ τὸ κρινόμενον ἀφανὲς, εὑρίσκοιτο δὲ καὶ τὸ πιστωτικὸν

18 Mon. συνειδότα. 19 Mon. τυραννικῆς. 20 Par. 1. ἐλέγχει.

ὁμοίως ἀφανὲς καὶ ἀμφιβαλλόμενον, οὐδὲ μία ἀπόδειξις γένοιτο, ἀλλ᾿ ἀπέραντα διαμενεῖ τὰ τῆς ζητήσεως· τρίτον ἐπὶ τούτοις διηπορήκασι, πῶς ἡ τοιαύτη ζήτησις ἐπιδέξεται πέρας, ἐν ᾗ δι᾿ ἀλλήλων τὰ τῆς ἀποδείξεως γίγνεται· τὸ γὰρ τοιοῦτο διαμενεῖ ἀμφισβητούμενον· ὅπου γε καὶ παρὰ τοῖς Στωϊκοῖς καλεῖταί τις διάλληλος λόγος, ὅς ἐστιν ἀναπόδεικτος· οἷον ποῦ Θέων οἰκεῖ, ἔνθα Δίων, καὶ ποῦ Δίων, ἔνθα Θέων· ὁ δὲ τοιοῦτος λόγος, ὁ διάλληλός φημι, τὴν ἀπόδειξιν ἔχων, ἀναπόδεικτός τέ ἐστι καὶ πέρας αὐτοῦ οὐδὲν γίγνεται, ὅπερ, φασὶ, κἀπὶ τοῦ συγκατασκευαζομένου συμβαίνει· κατὰ γὰρ τὸν τεχνικὸν ὁ συγκατασκευαζόμενος γίγνεται, ὅταν τὰ σημεῖα τοῦ πράγματος, δι᾿ ἀλλήλων [21] συγκατασκευάζηται. πρὸς μὲν οὖν τὸ πρῶτον, διατί πληθυντικῶς εἶπε τὰ σημεῖα τοῦ πραγματος; ἀπηντήκασί τινες, ὡς οὐ περὶ ἑνὸς ἐνταῦθα προβλήματος ποιεῖται τὸν λόγον, ἀλλὰ καθόλου περὶ τοῦ συγκατασκευαζομένου εἴδους· ὀρθῶς οὖν ὡς πρὸς τὸ ὅλον εἶδος ἔφη πληθυντικῶς τὰ σημεῖα. Πολὺ δὲ ἄμεινον λέγειν, ὡς διὰ τοῦτο πληθυντικῶς εἶπε τὰ σημεῖα, ἐπειδὴ πολλάκις ἀντιστρέφεται [22] τὸ ἔγκλημα τῷ σημείῳ, καὶ πῇ μὲν τὸ ἔγκλημα τοῦ σημείου φέρεται πρὸς κατασκευὴν, πῇ δὲ τὸ σημεῖον τοῦ ἐγκλήματος, οἷον ἐπὶ τοῦδε τοῦ παραδείγματος, πλούσιος καὶ πένης ἐχθροὶ τὰ πολιτικὰ, ὤμοσεν ἐν συμποσίῳ τυραννήσειν ὁ πλούσιος, ἀντώμοσεν ὁ πένης τυραννοκτονῆσαι, εὑρέθη μετὰ ταῦτα ὁ πένης νεκρὸς ἀσκύλευτος, καὶ κρίνεται ὁ πλούσιος τυραννίδος ἐπιθέσεως· ἐνταῦθα γὰρ τὸ μὲν ἔγκλημά ἐστιν, ὅτι τυραννήσει, τὸ δὲ τούτου σημεῖον, ὅτι τὸν πένητα διεχρήσατο, καὶ ἀντιστρέφεται τὰ δύο κατ᾿ ἀλλήλων· τυραννήσεις γάρ, φησὶ, τῷ δη-

21 δι᾿ ἀλλήλων συγκατασκευάζηται — σημεῖα τοῦ πράγματος Mon. om., tum habet ἀπηντήκασιν ὡς οὐ περὶ τοῦ συγκατασκευαζομένου etc. 22 Par. 1 ἀντιστρέφει.

λον; ἐφόνευσας γάρ, φησὶ, τὸν πένητα τυραννοκτονήσειν μέλλοντα· καὶ ἐκ τοῦ ἔμπαλιν· ἐφόνευσας τὸν πένητα· τούτου πίστεις· τυραννήσεις γάρ· ἔστι μὲν οὖν καὶ οὗτος λίαν ἀπαράδεκτος ὁ λόγος· τὴν δὲ ἀληθεστέραν αἰτίαν φήσομαι, ὡς πρὸς [23] *τὸ ὑποκείμενον αὐτῷ παράδειγμα πληθυντικῶς εἶπεν ὁ τεχνικὸς σημεῖα· ἐν γὰρ τούτῳ δύο ἐστὶ σημεῖα τὰ πρῶτα διάλληλον τὴν ἀπόδειξιν ἔχοντα, ὡς ἀνωτέρω δεδήλωται· τὸ μὲν γὰρ ἔγκλημά ἐστιν, εἰ σύνοιδεν ἡ γυνὴ, τὰ δὲ σημεῖα ἥ τε μοιχεία καὶ ἡ ἀναίρεσις τοῦ ἀνδρός· πρὸς δὲ τὸ δεύτερον, εἰ συνεστάναι δύναται τὸ συγκατασκευαζόμενον εἶδος, ἐκεῖνο ῥητέον, ὡς, εἰ μὲν πάντα ἀμφισβητούμενα ἐτύγχανεν ὄντα ἐν αὐτῷ τὰ σημεῖα, τηνικαῦτα ἐν τοῖς ἀσυστάτοις δικαίως ἂν ἐτάττετο· νῦν δὲ ταῦτα μέν ἐστι τὰ πρῶτα σημεῖα ἀμφισβητούμενα, τὰ δὲ ἑξῆς, ἃ πρὸς πίστιν τούτων φέρεται, φανερά ἐστι καὶ ὁμολογούμενα, ἀφ᾽ ὧν ἡ κρίσις ἂν γένοιτο· ὑποπέπτωκεν* [24] *ἄρα τὸ συγκατασκευαζόμενον εἶδος τῷ ὅρῳ τοῦ στοχασμοῦ· στοχασμὸς γάρ ἐστιν ἀδήλου πράγματος ἔλεγχος οὐσιωδῶς ἀπό τινος φανεροῦ σημείου, ὅπερ ἐστὶ κἀν τῷ συγκατασκευαζομένῳ· ἔφαμεν γὰρ τὰ ἑξῆς πάντα σημεῖα φανερὰ εἶναι· οὐ γὰρ πρόσκειται τῷ ὅρῳ ἀπό τινος φανεροῦ σημείου πρώτου τυχὸν ἢ δευτέρου, ἀλλ᾽ ἀορίστως ἀπό τινος φανεροῦ σημείου. Ῥητέον δὲ ἤδη καὶ περὶ τῆς τρίτης αὐτῶν ἀπορίας, ὅτι ἡ διάλληλος ἀπόδειξις, ἂν μὲν ἐπὶ τῶν ἀμφισβητουμένων ἵσταται μόνων, ἀναπόδεικτός τέ ἐστι καὶ πέρας οὐχ ἕξει· ἂν δέ τι προσκείμενον ᾖ σαφὲς, διαλύεται ἡ ἄγνοια καὶ γίγνεται ἀποδεικτικὸς ὁ λόγος· οἷον εἴ τις ἀγνοοῦντι μὲν, ἔνθα Δίων οἰκεῖ, ἐπισταμένῳ δὲ, ὅπου γε Θέων, λέγοι,*

Και-

---

23 πρός Par. 1. om. Mon. πρὸς τὸν ὑποκ. αὐτό. 24 Mon. ὑπόπτωμεν.

Καικίλιον [25] οἰκεῖν ἔνθα Δίων· εἰ μὲν μέχρι τούτων στήσεται μόνου, διάλληλός ἐστιν ὁ λόγος· εἰ δὲ προσθείη τὸν Δίωνα οἰκεῖν ὅπου Θέων, τότε ἀπόδειξις τῷ λόγῳ σαφεστάτη προσγίγνεται, ὅπερ ἐστὶ κἀπὶ τῶν συγκατεσκευασμένων θεάσασθαι· οὐ γὰρ ἐπὶ τῶν ἀμφισβητουμένων ἱστάμεθα μόνων, ἀλλ᾽ ἔχομεν τὰ μετ᾽ ἐκεῖνα πεπραγμένα τε ἅπαντα καὶ ὁμολογούμενα, οἷον ἐπὶ τοῦ παραδείγματος· ἔδει τοὺς δεσμώτας λύεσθαι τοῖς θεσμοφορίοις, μοιχὸν ὑπονοήσας τις τὸν οἰκέτην ἐπὶ τῇ γυναικὶ δήσας αὐτὸν ἀπεδήμησε, λυθεὶς τοῖς θεσμοφορίοις ἀπέδρα, μετὰ ταῦτα εὕρηται ὁ ἀνὴρ πεφονευμένος, καὶ κρίνεται ἡ γυνὴ συνειδότος· τὰ μὲν γὰρ πρῶτα δύο σημεῖα ἀμφιβάλλεται καὶ διάλληλον ποιεῖται τὴν κατασκευὴν, οἷον ὁ φόνος τῆς μοιχείας γίνεται σημεῖον, καὶ αὖθις ἡ μοιχεία τοῦ φόνου· τὰ δὲ ἑξῆς, ὅσα πρὸς πίστιν τούτων κομίζεται, τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, φανερά τέ ἐστι καὶ ὁμολογούμενα· οἷον ἡ ὑπόνοια τοῦ ἀνδρὸς ἐπὶ τῇ μοιχείᾳ, ὁ δεσμὸς τοῦ οἰκέτου, ὁ μετὰ τὸ λυθῆναι δρασμὸς, τὸ εὑρεθῆναι τὸν ἄνδρα ἐν τῷ λυθῆναι αὐτὸν πεφονευμένον· τοσαῦτα μὲν οὖν περὶ τῶν ἀπορουμένων ἐν τῷ συγκατασκευαζομένῳ· χρὴ δὲ ἐν τούτοις μὴ ἀπὸ τῶν ἀμφισβητουμένων σημείων ἄρχεσθαι τῆς κατασκευῆς, κἂν ἡ κατὰ μέρη ἀνάλυσις τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους οὕτως ἀπαιτῇ, τὸ γὰρ εὐθέως ἀμφιβαλλομένην ἀπόδειξιν

---

25 Parr. et Mon. *Κεκίλλιον.* scr. *Καικίλιον.* vide Weisk. ad Longin. §. 1. 26 Mon. *συγκατασκευασμένων.* Par. 1. *συγκατασκευαζομένων.* Sch. min.: *δῆλον δὲ ὅτι καὶ μετὰ τῶν ἄλλων· παρατήρησον καὶ διὰ τούτου καὶ ἐκ τοῦ εἰπεῖν ὅλως δι᾽ ἀλλήλων, ὅτι πάντα ἐδήλωσεν· οὐ γὰρ δεῖ μόνον τὰ ἄδηλα διὰ τῶν ἀδήλων κατασκευάζειν, ἄτοπον γὰρ, ἀλλὰ καὶ μίξιν καὶ κρᾶσιν ἁπάντων ποιεῖσθαι μίαν· καὶ γὰρ ἀπὸ τοῦ καιροῦ κατασκευάσεις τὸν φόνον, ὅτι ἡνίκα ἀπελύθη ὁ παῖς, ἐφονεύθη καὶ οὐ πρὸ τούτου.*

προσενεγκεῖν τῷ δικαστῇ τὸν λόγον ἔκλυτον ἀπεργάζεται καὶ δυσπαρακολούθητον. Δεῖ οὖν καθ' αὑτοὺς μὲν ἅπαντα ἀναλύειν τὰ σημεῖα, ἑπομένους τῇ φυσικῇ τάξει, τουτέστιν ἀπὸ τῶν ἀμφισβητουμένων ἐπὶ τὰ ὁμολογούμενα τὴν ἀρχὴν τῆς κατασκευῆς διδόναι τοῖς ὁμολογουμένοις· οὕτω γὰρ καὶ τὰ ἀμφισβητούμενα ἐκ τῶν ῥηθέντων ἤδη σχεδὸν ὁμολογούμενα ἔσται· δέδωκε δὲ καλλίστην τούτου μέθοδον πρῶτος ὁ Πλάτων· ἐν [27] γὰρ τῷ περὶ ψυχῆς τῆς ζητήσεως οὔσης κ. τ. λ. T. V. p. 296. v. 11.—18. καὶ οὕτως ἂν ἀπὸ τοῦ ἀμφισβητουμένου, ὅπερ ἐστὶ τὸ καλλίονα εἶναι τὴν ἐν Ἅιδου διατριβὴν, τῷ τοὺς κύκνους, ὅταν μέλλωσι τελευτᾷν, ἥδεσθαί τε καὶ ἄμεινον ᾄδειν, προῆλθε κατὰ μέσον ἐπὶ τὸ ὁμολογούμενον, ὅτι μαντικὸς ὁ Ἀπόλλων· νῦν δὲ οὐχ ὧδε τὸν λόγον προήνεγκεν, ἀλλὰ τὴν ἀνάλυσιν καθ' αὑτὸν ποιησάμενος ἀπὸ τῶν ὁμολογουμένων ἄρχεται, καὶ ἀναποδίζων εἰς τὸ ἀμφισβητούμενον τελευτᾷ, ἔχων ἤδη καὶ αὐτοῦ τὴν ἀπόδειξιν ἐκ τῶν εἰρημένων· οὕτω γοῦν φησιν ἐπ' αὐτῆς τῆς λέξεως, „ἀλλ' οὔτ' ἐμοὶ ταῦτα φαίνεται λυπούμενα ᾄδειν, οὔτε οἱ κύκνοι, ἀλλ' ἅτε, [28] οἶμαι, τοῦ Ἀπόλλωνος ὄντες μαντικοί τέ εἰσι καὶ προειδότες τὰ ἐν Ἅιδου ἀγαθὰ ᾄδουσί τε καὶ τέρπονται ἐκείνην τὴν ἡμέραν διαφερόντως ἢ ἐν τῷ πρόσθεν·" τὸν δὲ αὐτὸν τρόπον, ὡς Δημοσθένης ἐν τῷ περὶ στεφάνου χρησάμενος φαίνεται· αἰτίας γὰρ [29] ἐπιφερομένης αὐτᾷ, [30] ὡς εἴη γεγονὼς τῆς εἰρήνης αἴτιος, οὐκ ἀπήντησεν ἄντικρυς, ὡς οὐκ αὐτὸς ἀλλ' ἡ πόλις [31] αἰτία τῆς εἰρήνης· ἔλεγε γὰρ ἂν οὕτως, ὅτι τῆς εἰρήνης ἡ πόλις αἰτία, τὴν δὲ εἰρήνην ἐποιήσατο ἡ πόλις, ἐπειδὴ ἐμνησικάκει τοῖς Ἕλλησι· πόθεν δὲ ἐμνησικάκει; ὅτι οὐδὲ σώμασιν οὐδὲ χρήμασιν αὐτοὶ συν-

---

27 Mon. ὁ γὰρ περὶ τυχῆς. Phaed. c. 35. p. 85. b. 28 Mon. ἄλλα τε. 29 Par. 1. δέ. 30 Mon. αὐτῇ. 31 Mon. πολλή.

ελαμβάνοντο, ἐπειδὴ πρὸς ἀλλήλους ἐστασίαζον· τί δὲ τὸ τῆς στάσεως αἴτιον; ταράττων ὁ Φίλιππος· πόθεν δὲ ἡ ταραχή; ἐκ τοῦ πολέμου τοῦ Φωκικοῦ· οὐχ οὕτως οὖν ἐχρήσατο τῷ ἐπιχειρήματι· εἰ γὰρ εὐθὺς ἤρξατο ἀπὸ τοῦ μεταστατικοῦ, ὡς οὐκ ἐγὼ τῆς εἰρήνης αἴτιος, ἀλλ' ὑμεῖς, οὐδεὶς ἂν τῶν δικαστῶν παρεδέξατο τὸν λόγον διὰ τὸ αὐτόθεν ἀναπόδεικτον εἶναι· ἔτι δὲ τραχὺς φανείς, ἐκ τῆς διαῤῥήδην εἰς αὐτοὺς τοῦ ἐγκλήματος μεταστάσεως τὸ ἀμφιβαλλόμενον ἔχων ἤδη καὶ αὐτὸ σαφῶς ἀποδεδειγμένον καὶ τῷ προτεθεραπεῦσθαι [32] μηκέτι τραχύτητά τινα παρεμφαῖνον τοῖς δικασταῖς· φησὶ γοῦν οὕτως· „τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου, οὐ δι' ἐμέ, οὐ γὰρ ἔγωγ' ἐπολιτευόμην πω τότε, [33] πρῶτον μὲν ὑμεῖς οὕτω διέκεισθε, ὥστε Φωκέας μὲν βούλεσθαι σωθῆναι, καίπερ οὐ δίκαια ποιοῦντας ὁρῶντες, Θηβαίοις δ' ὁτιοῦν [34] ἂν ἐφησθῆναι παθοῦσι," καὶ τὰ ἑξῆς· οὕτω δὲ κἂν τῷ συγκατασκευαζομένῳ ποιητέον, καὶ πανταχοῦ, ἔνθα ἂν ἡμῖν ἐπιχείρημα τοιοῦτον ἐμπίπτοι, καθολικὸν ἡμῖν τοῦτο παραπεφυλάχθω θεώρημα, τὸ τὴν ἀρχὴν ἐκ τῶν ὁμολογουμένων λαμβάνειν· οὕτω γὰρ καὶ τὸ δοκοῦν ἀμφισβητεῖσθαι τοῖς ὁμολογουμένοις συνεκδραμεῖται· καὶ δόξει τὴν προσήκουσαν ἔχειν ἀπόδειξιν, τόν τε δικαστὴν ἐπισπασόμεθα μᾶλλον τῷ προβάλλειν εὐθὺς αὐτῷ σαφῆ καὶ ἀναμφισβήτητον ἔλεγχον. Ὑπόλοιπον ἔτι καὶ διαφορὰν εἰπεῖν τοῦ συγκατασκευαζομένου πρὸς τὸν προκατασκευαζόμενον, μᾶλλον δὲ ἀναλαβόντας τὸν λόγον πάντων ὁμοῦ τῶν συνεζευγμένων ἐκθεῖναι διαφοράς· διαφέρει δ' οὖν ὁ ἐμπίπτων τῶν ἄλλων, καθὸ ἐν αὐτῷ μὲν τὸ δεύτερον ζήτημα πάντως ἀνεύθυνον, ἐν δὲ τοῖς ἄλλοις τοῖς δύο ὑπεύθυνον· ταύ-

32 Mon. τῇ πρότερον θεραπεύεσθαι. 33 Mon. πώποτε. 34 Mon. Θεβαίους διότι ἂν ἐφ', correxi ex Demosth. pro cor. p. 230.

την δὴ κοινωνίαν ἔχουσι πρὸς ἀλλήλους ὅ τε προκατασκευαζόμενος[35] καὶ ὁ συγκατασκευαζόμενος· ἔστι δὲ αὐτοῖς καὶ ἰδία τις διαφορὰ, ἧς ὁ ἐμπίπτων οὐ κοινωνεῖ· ἐν μὲν γὰρ τῷ προκατασκευαζομένῳ οὐ κεχώρισται ἀλλήλων τὰ ζητήματα καὶ ἑκάτερον ἰδίᾳ κατασκευάζεται, ἐν δὲ τῷ συγκατασκευαζομένῳ κἂν τὰ μάλιστα θάτερον καὶ ἐν τούτῳ προκατασκευασθῆναι δεῖ· ἀλλ᾽ οὖν γε αναπέπλεκται καὶ δι᾽ ἀλλήλων κατασκευάζεται, ὡς αὐτὸς ἡμῖν ὁ τεχνικὸς ἔφη· ὡς ἐν τῷ συγκατασκευαζομένῳ κατὰ συμπλοκὴν ἐκφέρειν δεῖ τὰ ἑκατέρου σημείου κεφάλαια καὶ βούλησιν βουλήσει συμπλέκειν καὶ δύναμιν πάλιν ὁμοίως δυνάμει καὶ τοῖς ἐφεξῆς τὸν αὐτὸν τρόπον.

λ΄. Γνωστέον, ὅτι ἐν τούτῳ τῷ στοχασμῷ τὰ αὐτά ἐστι καὶ σημεῖα ἀλλήλων καὶ ἐγκλήματα· ἐνταῦθα γοῦν ἀπὸ μὲν τῆς μοιχείας κατασκευάζεται, ὅτι αὐτὸς ἐφόνευσεν· ἀπὸ δὲ τοῦ φόνου ἡ μοιχεία βεβαιοῦται· ἰστέον δὲ, ὡς οὐδέποτε δῆλον δήλῳ κατασκευάζεται, ὥσπερ οὐδὲ ἄδηλον ἀδήλῳ, ἀλλὰ δῆλον τῷ δήλῳ· εἰ οὖν καὶ ἐνταῦθα ἀμφότερα δῆλα, τό τε τῆς μοιχείας φημὶ καὶ τοῦ φόνου, πῶς τὰ σαφῆ δι᾽ ἀλλήλων κατασκευάζεται; εἰ δὲ πάλιν ἄδηλα ἄμφω, γελοῖον τὸ τῆς ἀποδείξεως· εἰ γὰρ φύσει ἄδηλον ἐν τῷ στοχασμῷ ἔγκλημα, ἔσται δὲ καὶ τὸ σημεῖον ἄδηλον, πῶς ὑφέστη ὁ τοιοῦτος στοχασμός; πῶς δὲ καὶ τὸ σημεῖον ὑπεύθυνον, ὃ πανταχοῦ ἀνεύθυνόν ἐστιν; ἀλλὰ λέγομεν ὅτι κἀνταῦθα εὑρίσκε-

35 Sch. min.: *ἐκεῖ μὲν, φησὶ, καθ᾽ ἑαυτὸ ἕκαστον καὶ τὸ πρῶτον μελετᾶται ζήτημα καὶ τὸ δεύτερον· ἐνταῦθα δὲ ἅμα τὰ δύο καὶ δι᾽ ἀλλήλων κατασκευάζεται· ἄλλοι δὲ ταύτην διαφορὰν λέγουσιν, ὅτι ἐν τῷ συσκευαζομένῳ ἀμφότερα ἐγκλήματά ἐστιν ὁμοῦ κατασκευαζόμενα δι᾽ ἀλλήλων, τῶν αὐτῶν καὶ σημείων καὶ ἐγκλημάτων γινομένων· ἐν δὲ τῷ προκατασκευαζομένῳ δύο τὰ ἐγκλήματα, ἀλλ᾽ οὐ τὰ δύο κρίνεται καὶ κατηγορεῖται, τὸ δὲ ἕτερον τῶν ἐγκλημάτων ὡς σημείων παραλαμβάνεται.*

ται φανερὸν σημεῖον καὶ ἀνεύθυνον· οἷον εἰπεῖν τὸ λυθῆναι παρὰ τῆς γυναικὸς τὸν οἰκέτην, καὶ τὸ ἐν ἐκείνῳ τῷ καιρῷ τεθνάναι τὸν δεσπότην, ὅτε ἐλύθη· τὸ δὲ προσεχέστερον μόνος εὑρίσκεται ὑπεύθυνος· εἰ γὰρ καὶ δοκεῖ ἔγκλημα εἶναι ἐνταῦθα τὸ σημεῖον αὐτὸ τὸ προσεχέστερον, ἀλλ' ὅμως ὡς σημεῖον παραλαμβάνεται· οὐ γὰρ τοῦτο κατηγορεῖ ὁ κατήγορος, ἀλλ' ὡς σημεῖον αὐτὸ ποιεῖται τοῦ ἐγκλήματος.

λα'. Τὸ τοῦ στοχασμοῦ τούτου εἶδος ἀπὸ γνώμης ἐκάλεσεν· ὅτι τῆς πράξεως οὔσης φανερᾶς ἡ γνώμη ζητεῖται τοῦ πράξαντος· διὰ τοῦτο γὰρ καὶ ψιλὴ εἶπεν ἀντὶ τοῦ μόνη· ἔστι δὲ τοιοῦτος ὁ ἀπὸ γνώμης στοχασμὸς, ὅταν ὁ φεύγων πεποιηκέναι μὲν ὁμολογῇ τὸ ἀδίκημα, καὶ τὸ ἐπιφερόμενον ἔγκλημα, φάσκῃ δὲ μὴ ἑκὼν, ἀλλὰ δι' ἄγνοιαν ἢ μανίαν εἰργάσθαι.[1]

λβ'. Ἠπορήκασί τινες, ἀνθ' ὅτου ἰδίως τοῦτο στοχασμὸν ἀπὸ γνώμης ἐκάλεσε, καίτοι παντὸς στοχασμοῦ τὴν ἀπὸ γνώμης ἐξέτασιν ἔχοντος, ἡ γὰρ βούλησις κεφάλαιον οὖσα τοῦ στοχασμοῦ οὐδὲν, φασὶν, ἕτερόν ἐστιν, ἢ ἀπὸ[2] γνώμης ἐξέτασις, ἀλλὰ πρὸς τοῦτο ῥητέον, ὡς διαφερόντως τοῦτο εἰκότως ἀπὸ γνώμης ἐκάλεσε, καθὸ τὸ πᾶν τῆς ζητήσεως ἐν τούτῳ περὶ τὴν γνῶσιν ἵσταται μόνον, τὸ γὰρ πεπραγμένον ὁμολογεῖται, καὶ τὸ πεπραχὸς πρόσωπον εὔδηλον· ἐν μὲν τοῖς ἄλλοις ἡ γνῶσις πρὸς πίστιν ἑτέραν παραλαμβάνεται, ἐν τούτῳ δὲ ἅπαντα ἀπόδειξιν τῆς γνώμης· ἔτι δὲ καὶ τοῦτο ἐπαποροῦσί τινες, πῶς οὐδενὶ τῶν εἰδῶν τοῦ στοχασμοῦ τὸν ἀπὸ γνώμης ἔταξεν· οὔτε γὰρ τὴν μετὰ τῶν ἁπλῶν τάξιν οὔτε τὴν μετὰ τῶν διπλῶν ἢ τῶν συνεζευγμένων αὐτῷ δέδωκεν· καίτοι παντὸς στοχασμοῦ ἢ ἁπλοῦ ὄντος ἢ διπλοῦ ἢ εἰς μηδ' ἕτερον τούτων συνεζευγμένου· πῶς οὖν τούτῳ, φασὶ, τάξιν τινὰ ἰδίαν οὐκ ἐξεῖλεν; ὑπ' οὐδὲν γὰρ αὐ-

1 Mon. ἐργάζεσθαι. 2 ἀπὸ Par. 1. om.

τὸν[3] *ἀνήνεγκε τῶν εἰδῶν, τὴν δὲ ἀπορίαν εὔκολον ἐπιλύσασθαι· ἐπεὶ γὰρ συμβέβηκεν ἴδιον τούτῳ παρὰ πάντα στοχασμὸν, ἰδίαν καὶ τάξιν ἀπείληφεν·*[4] *οὔτε γὰρ μετὰ τῶν διπλῶν ἢ συνεζευγμένων ἠδύνατο τάττεσθαι ἐπὶ ἓν καὶ ἁπλοῦν ἐν αὐτῷ τὸ ζητούμενον, οὔτε μὴν μετὰ τῶν ἁπλῶν ψιλῶς· ἔχει γάρ τινα διαφορὰν πρὸς αὐτοὺς, ἣν ἔφαμεν ἀνωτέρω. παντὸς γὰρ στοχασμοῦ τὴν γνώμην ἔχοντος πιστωτικὴν*[5] *τοῦ ζητουμένου, ἐν τούτῳ τὸ ζητούμενον αὐτὸ ἡ γνώμη ἐστὶ καὶ πάντα τῆς γνώμης ἕνεκα παραλαμβάνεται τὰ κεφάλαια, ὡς ἐπὶ τοῦδε τοῦ παραδείγματος· ἐν δόξῃ μανίας μητρυιὰ τὸν υἱὸν ἔτρωσε, τὸν δὲ πρόγονον ἀπέκτεινε, καὶ ἀνενεγκοῦσα φόνου φεύγει· οὐ γὰρ ζητοῦμεν τὸν φόνον ἁπλῶς, πότερον ἀνῄρηται ἢ οὐκ ἀνῄρηται ὑπὸ τῆς μητρυιᾶς ὁ πρόγονος, τοῦτο γὰρ καταφανὲς, ἀλλ' εἰ ἑκοῦσα τοῦτο δέδρακεν ἡ μητρυιὰ, ὅπερ ἐστὶν ἀπὸ τῆς γνώμης, καὶ φέρεται ἅπαντα πρὸς τοῦτο τὰ κεφάλαια. πρῶτον μὲν γὰρ χρήσεται τῷ παραγραφικῷ, ὅτι τὰ ἐκ μανίας καὶ παραφόρως*[6] *γινόμενα λογισμοῦ τιμωρίαν οὐκ ἔχει παρὰ τῶν νόμων, οὐδὲ ἐπὶ τούτοις εἰσάγεταί τις εἰς δικαστήριον· ἔπειτα τῇ βουλήσει, ἐλέγχων γὰρ ἀπαίτησις καθάπαξ ἐπὶ τοῦ τοιούτου εἴδους ἐλλείπει, ἡ δύναμις*[7] *ἀντιθετικῶς παραληφθήσεται ἐκ τῆς βουλήσεως λυομένη, ὅτι κἂν τὰ μάλιστα ἠδυνάμην πολλοῖς τρόποις τὸν πρόγονον ἀνελεῖν, οὐκ ἂν εἰς τοῦτο ἧκον ἀτοπίας, ὥστε καὶ τὸν υἱὸν τρῶσαι καὶ τὸν πρόγονον ἀνελεῖν*[8] *τιμῶντά με καὶ ἐν τάξει τιθέντα μητρὸς διαχρήσασθαι· μετὰ τοῦτο τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους οὐκ ἀποδεικτικὰ, οὐδὲ καθάπερ ἐν τοῖς ἄλλοις*

3 Par. 1. *αὐτῶν.* 4 Mon. *ὑπείληφεν.* 5 Mon. *ἔχοντα πιστοτέραν.* 6 Mon. *παρὰ φόνον*, natum ex scriptura *παρὰ φ*° quae est in Par. 1, legi *παραφόρως*. Par. 2. *παρὰ φ*ᵛ i. e. *παρὰ φύσιν.* 7 Par. 1. *ἠδύνατο.* 8 *ἀνελεῖν* Mon. om., sqq. in eodem mutila *μῶντ' καὶ ἐν τάξει μὲν τιθέντα.*

σημεῖα γινόμενα ἁπλῶς τοῦ ζητουμένου, ἀλλ᾽ αὐξητικὰ, δεικνύντων[9] ἡμῶν τὸ πάθος καὶ πρὸς ὀργὴν κινούντων τοὺς δικαστάς. Τὸ γὰρ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ἐστὶ τὸ τετρῶσθαι μὲν τὸν υἱὸν, τὸν δὲ πρόγονον ἀνῃρῆσθαι, καὶ ὅσα ἔξωθεν περιστατικὰ, οἷον ὁ τρόπος τῆς διαιρέσεως, ὅτι διὰ τοῦ στήθους ἤλασε τὸ ξίφος, ἢ τὴν κεφαλὴν ἀπέτεμεν. εἶτα ἡ ὕλη, οἷον δόρατι[10] μετῆλθεν αὐτὸν ἢ ξίφει καὶ ὅσα ἕτερα τῶν περιστατικῶν, ἅπερ πρὸς ἀπόδειξιν ἥκιστα φέρεται τῆς γνώμης· τί γὰρ μᾶλλον ἐκ τούτου τὸ ἑκούσιον ἢ ἀκούσιον δείκνυται,[11] αὔξησιν δὲ τοῦ πάθους ἐργάζεται· εἶτα ἡ μετάθεσις τῆς αἰτίας καινότερόν πως εἰσενεχθήσεται. τὸ γὰρ χρῶμα ἐπί τι ἀνεύθυνον ἔξωθεν τοῦ ζητουμένου μεθιστᾶν ἀεὶ τὴν αἰτίαν ἐνταῦθα εἰς αὐτὸ μεθίστησι τὸ ζητούμενον· τὴν γὰρ αἰτίαν ἐπὶ τὴν μανίαν δηλαδὴ μεταθήσει, ἥ τις ἐστὶν αὐτὸ τὸ ζητούμενον· ἅπας γὰρ ὁ λόγος περὶ τοῦ εἰ κατὰ ἀλήθειαν ἐμάνη γίνεται, ἀντίληψις δὲ καὶ μετάληψις ἐπὶ τοῦ τοιούτου εἴδους οὐκ ἂν εὑρεθείη, ὁμοίως οὐδὲ πιθανὴ[12] ἀπολογία, ἐπειδὴ οὐδὲ τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, πρὸς ἃ ἡ πιθανὴ ἀπολογία εἴωθεν ἀναστρέφεσθαι, τὴν ἑαυτῶν φύσιν σώζει, οὐ γὰρ γίνεται σημεῖον τοῦ ἐγκλήματος ἀποδεικτικὸν, ἕνεκα δὲ αὐξήσεως μόνης παραλαμβάνεται. Μετὰ γοῦν τὴν μετάθεσιν τῆς αἰτίας ἡ κοινὴ ποιότης ἐπακολουθεῖ· τούτων δὲ ἐκκαθαρθεισῶν[13] τῶν ζητήσεων ἄλλη τις ἐπὶ τούτοις ἀνέκυψεν ἀπορία, ζητούντων τινῶν, πῶς τὸ τοιοῦτον εἶδος στοχασμὸς ἔσται μᾶλλον, καὶ οὐ συγγνώμη· προβαλεῖται γὰρ, φησὶ, τὴν ἀπὸ τῆς μανίας συγγνώμην, ὅτι οὐχ ἑκοῦσα τοῦτο ἔδρων, ἀλλ᾽ ἀπὸ τῆς μανίας ἐλαυνομένη· ταύτης δὲ τῆς ἀπορίας θαυμασίως ὁ τεχνικὸς ἐξεῖλεν[14] αὐτό.

9 Mon. αὐξητικὰν δοκούντων. 10 Mon. ὅτι δόρατι. 11 Mon. δείκνυται. 12 Mon. ὁμοίως δὲ πιθανὴν ἀπολογίαν. 13 Mon. ἐκκαθαρθέντων. 14 Par. 1. ὑπεξεῖλεν.

ἐν μὲν γὰρ τῇ συγγνώμῃ, φησὶ, τὸ προβαλλόμενον εἰς παραίτησιν ὁμολογούμενον εἶναι δεῖ, οἷον ἐπὶ τῶν δέκα στρατηγῶν τῶν μὴ ἀνελομένων ἐν τῇ ἐν Ἀργινούσαις ναυμαχίᾳ τὰ τῶν πεσόντων σώματα· ὁ γὰρ χειμὼν, ὃν λαμβάνουσιν εἰς παραίτησιν, ὡμολόγηται, ἐνταῦθα δὲ οὐ τοῦτο· πᾶσα γὰρ ἡ ζήτησις περὶ τὴν μανίαν ἵσταται· τοῦτο γὰρ αὐτὸ πότερον ἐμάνη ζητοῦμεν ἢ μανίαν προσεποιήσατο. οὕτως οὖν καὶ ὁριζόμενος ἔφη· ἐν δόξῃ μανίας εἰπὼν καὶ οὐχ ἁπλῶς εἰς μανίαν καταστᾶσα· εἰ γὰρ οὕτως ὡρίσατο καὶ ὡς ὁμολογουμένην τὴν μανίαν παρέλαβε, τότε ἂν ἡ συγγνώμη ἐγένετο. [15] Ἐπειδὴ κοινωνίαν οὖσαν πρὸς τὴν συγγνώμην ᾔσθετο τούτου τοῦ στοχασμοῦ, κοινὸν γὰρ ἐν ἑκατέραις ταῖς [16] στάσεσι τὸ τῆς ἀγνοίας καὶ ἀκούσιον, λύει τῇ διαφορᾷ τὴν συγγένειαν· δοκεῖ γὰρ κατὰ δύο κοινωνεῖν τῇ συγγνώμῃ, καθ' ἓν μὲν, ὅτι ἐν ἀμφοτέραις ταῖς στάσεσιν ἀδίκημα φύσεως τὸ πεπραγμένον, δεύτερον δὲ κατὰ τὴν αἰτίαν, τὸ ἐπί τι πάθος ψυχῆς μεθιστάναι τὸ γενόμενον. διαφέρει οὖν, ὅτι ἐν μὲν τῇ συγγνώμῃ τὸ πάθος, ἐφ' ὃ [17] μεθίστησι τὴν αἰτίαν ὁ φεύγων, λέγω δὴ φόβον ἢ ἄγνοιαν ἢ ἔλεον, συγχωρεῖ καὶ αὐτὸς ὁ κατήγορος ὡμολογημένον· ἀποφαίνει δὲ καὶ οὕτω τιμωρίας ἄξιον· ἐχρῆν γὰρ, φησὶ, [18] μηδ' ὅλως ἡττῆσθαι τοῦ πάθους· ἐν δὲ τῷ στοχασμῷ ἄδηλον καὶ περὶ αὐτὸ τοῦτο ἡ πᾶσα ζήτησις ἵσταται· τῆς γὰρ μητρυιᾶς προβαλλομένης τὴν μανίαν καὶ εἰς ταύτην ἀναφερούσης τοῦ φόνου τὴν αἰτίαν, ὁ κατήγορος ἐνίσταται καὶ ψεῦδος τοῦτο διϊσχυρίζεται. Αἰσθάνεται καὶ ἕτερα [19] στοχασμῶν εἴδη ὑπό τινων ὑπονενοημένα· ψυχρὰν δὲ τὴν τούτων ἐπεργασίαν οἰόμενος καὶ

15 Par. 1. habet in schol. min. τὸ ἢ ο ὐ ἐν ἄλλοις οὐκ ἔστιν. ἐπειδὴ κοινωνίαν etc. usque ad litt. λγ., quae Mon. in commentarium ampliorem recepit. 16 ταῖς Par. 1. om. 17 Par. ἐφ' ᾧ. Mon. μεθίστη. 18 φησὶ Mon. om. 19 Par. 1. ἑτέρων.

μόνως ἐπισημηνάμενος, ὅτι ἴσως καὶ ἕτερά ἐστιν εἴδη, παραιτεῖται τὴν τούτων μνήμην· εἰ γὰρ καὶ εὑρίσκεται, φησὶν, ἄλλο, ἀλλ᾽ ἐκ τούτων συμπλεκόμενον εὑρίσκεται.

λγ΄. Τὸ παράδειγμα δείκνυσι τοῦ τοιούτου [20] στοχασμοῦ τὴν φύσιν· ἐνταῦθα γὰρ τὸ ἀμφίβολόν ἐστι τῆς μητρυιᾶς ἡ γνώμη καὶ τὸ ἄδηλον, μεθ᾽ ἧς ὁ φόνος πέπρακται· πιθανῶς δὲ πέπλασται τὸ ζήτημα· οὐ γὰρ ἁπλῶς εἶπε μεμηνυῖαν τὴν μητρυιάν· ἀσύστατον γὰρ ἦν τὸ ζήτημα τῆς μανίας ὁμολογουμένης, ἀλλ᾽ ἐν δόξῃ μανίας, ὅπερ ἀμφίβολον, ὃ καὶ κατηγόρου δίδωσιν ὑπόνοιαν· ὁ μὲν γὰρ κατήγορος ὑπόκρισιν τὴν μανίαν ἀποφαίνειν πειράσεται διὰ τὴν φυσικὴν πρὸς τὸν πρόγονον δυσμένειαν, ὁ δὲ ὑπὲρ αὐτῆς ἀγωνιζόμενος τοὐναντίον συστήσει καὶ ἀληθῶς μεμηνέναι τὴν μητρυιὰν ἀγωνιεῖται, καὶ στοχαστικῶς ἡ ζήτησις ἅπασα προαχθήσεται. ἐρεῖ δέ τις, ὅτι οὐκ ἄρα στοχασμὸς οὗτος· οὐ γάρ ἐστιν ἀδήλου πράγματος ἔλεγχος οὐσιωδῶς, ἀλλ᾽ ἐροῦμεν, ὅτι δῆλον μὲν τὸ πρᾶγμα· τὸ δὲ ἄδηλον περὶ τὴν γνώμην ἵσταται· καὶ περὶ ταύτην ὁ στοχασμός· διὸ καὶ τὴν προσηγορίαν τοιαύτην ἔλαχεν, ἀπὸ γνώμης στοχασμὸς καλούμενος· καθὸ μὲν γὰρ οὐδὲ τοῦ παιδὸς ἀπέσχετο, χώραν ἔχει τὰ τῆς μανίας, καθὸ δὲ μετριώτερον τῇ κατὰ τοῦ παιδὸς πληγῇ ἐχρήσατο, ὑγιαίνειν δοκεῖ, καλῶς δὲ τὸ ἐν δόξῃ μανίας, ἵνα χορηγίαν τῷ ἀδήλῳ πορίσηται.

λδ΄. Οἶδεν ὁ τεχνικὸς καί τινα εἴδη στοχασμοῦ ἕτερα. παρίησι δὲ αὐτὰ παρὰ τὴν προκειμένην αὐτῷ μηδὲν λυσιτελοῦντα πραγματείαν· πρόκειται γὰρ αὐτῷ περὶ τῆς τῶν κεφαλαίων λέγειν διαιρέσεως· ἐπεὶ οὖν οὐχ ὁμοίως τὰ διπλᾶ τοῖς ἁπλοῖς διῃρεῖτο, οὐδὲ τὰ συνεζευγμένα τοῖς ἁπλοῖς, διὰ τὸ ὑποκείμενον τῇ ἑαυτοῦ πραγματείᾳ καὶ

20 Par. τοῦ στοχασμοῦ τούτου.

περὶ τούτων ἠναγκάσθη διεξελθεῖν, ὥστε προηγουμένως οὐδὲ περὶ τούτων εἶπεν, ἀλλὰ δι᾽ ἀνάγκης ἑτέρων, τουτέστι τῆς ἐν αὐτοῖς διαφορᾶς περὶ τὴν διαίρεσιν, διὰ τοῦτο γὰρ καὶ τὸν ἀπὸ γνώμης [21] παρέλαβε στοχασμόν· καὶ γὰρ αὖ καὶ οὗτος πολλὰ περὶ τὴν διαίρεσιν ἐπεπόνθει καινότερα, ὡς ἀνωτέρω διεξιόντες ἐδείξαμεν· ἔστι δὲ ἕτερον τοῦ στοχασμοῦ εἶδος τὸ κατ᾽ ἀξίωσιν· πᾶς γὰρ στοχασμὸς, μᾶλλον δὲ ἅπας ἀγὼν δικανικὸς, ἢ κατὰ φυγὴν καὶ δίωξιν γίνεται ἢ κατὰ αἴτησιν· τοῦ μὲν κατὰ φυγὴν καὶ δίωξιν ἅπαντα τὰ προκείμενα εἴδη, τοῦ δὲ κατὰ αἴτησιν ἤτοι ἀξίωσιν δύο, τό τε παράδοξον καὶ τὸ κατὰ ἀμφισβήτησιν· λεκτέον δὲ ἐπὶ παραδείγματος ἄμφω. παράδοξος μὲν στοχασμὸς, οἷον μάγος ἐπηγγείλατο τύραννον ἀνελεῖν τεττάρων ἐντὸς ἡμερῶν, μεταξὺ κεραυνῷ βληθεὶς ὁ τύραννος ἐτελεύτησεν, ἀξιοῖ λαβεῖν τὴν δωρεάν· καθὸ μὲν γὰρ οὐσιωδῶς ζητοῦμεν πρᾶγμα ἄδηλον ἀπό τινος φανεροῦ σημείου, κατὰ τοῦτο λεχθείη ἂν στοχασμός· καθὸ δὲ ἡ τάξις ἀντέστραπται, κατὰ [22] τοῦτο παράδοξος· ἐν παντὶ γὰρ στοχασμῷ τοῦ φεύγοντος τὴν ἄρνησιν ἔχοντος, τοῦ δὲ διώκοντος τὴν κατάφασιν καὶ φερομένης ἀεὶ πρὸς τὴν κατάφασιν τῆς ἀρνήσεως, εἰς τοὐναντίον ἐνταῦθα περιστήσεται τὰ τῆς τάξεως· ὁ μὲν γὰρ διώκων ἐρεῖ, ὡς οὐκ ἐφόνευσας, ὁ δὲ φεύγων τοῦ πεφονευκέναι ἀνθέξεται· καὶ πρὸς τοῦτο πάντα λόγον ἀποτελεῖ· ἐν γὰρ τοῖς κατ᾽ ἀξίωσιν τὸ τῆς αἰτήσεως ἔξωθεν παραλαμβάνεται· γίνεται οὖν περὶ τοῦ εἰ τὸν τύραννον οὗτος ἀνεῖλεν ἢ μὴ, πᾶσα ἡ ζήτησις, καὶ εὑρεθήσεται ἡγουμένη ἡ ἄρνησις· εἴγε παρὰ τῷ κατηγόρῳ ἐστὶν, φερομένη δὲ πρὸς αὐτὴν ὑπὸ τοῦ φεύγοντος ἡ κατάφασις, καὶ χρήσεται ὁ μὲν διώκων τοῖς τοῦ φεύγοντος κεφαλαίοις, ὁ δὲ φεύγων τοῖς τοῦ διώκοντος,

21 Mon. γνώσεως. 22 Mon. καί.

κατὰ τοῦτο οὖν εἰκότως παράδοξον τὸ τοιοῦτον εἶδος ὠνόμασται· τοῦ δὲ κατὰ ἀμφισβήτησιν παράδειγμα· τύραννος τὸν ἑαυτοῦ ἰατρὸν ὑποπτεύσας ἐπὶ δηλητηρίῳ τὸν τῆς πόλεως μετεπέμψατο· ἀνελθόντος ἐκείνου ὁ τύραννος ἐτελεύτησε, καὶ περὶ τῆς δωρεᾶς ἀμφισβητοῦσιν· ὁ μὲν γὰρ τῆς ὑποψίας ἀνθέξεται, ὁ ἕτερος δὲ τῆς ἀνόδου, ὡς οὐ πρότερον, ἀλλὰ μετὰ τὴν ἐμὴν ἄνοδον ὁ τύραννος ἐτελεύτησεν.

Cap. XIX.

Περὶ ὅρου.

Τὴν φύσιν γνόντας ἑκάστου πρότερον ἐπὶ τὰ κατὰ μέρος προσήκει χωρεῖν· οὕτω γὰρ ὥσπερ ἐπί τινος ἂν κρηπῖδος φεροίμεθα τὴν στάσιν ἔχοντες ἀσφαλῆ, καὶ οὐκ ἂν σκολιάζοντες [1] περιτρέπεσθαι μέλλοιμεν· ὅτι γὰρ ἀναγκαῖον ἡ τῆς ἑκάστου φύσεως πρόγνωσις, Πλάτων ἡμῖν ἐδήλωσεν ὁ σοφώτατος, δι' ὧν αὐτὸς κέχρηται καὶ τῶν οὐχ οὕτως χρωμένων κατηγορεῖ. Λυσίου γοῦν διεξελθόντος τινὰς πράξεις τοῦ ἔρωτος, ὅ τι δέ ἐστιν ἔρως αὐτὸς οὐ δηλώσαντος, ἐπελάβετο, [2] τὴν γὰρ φύσιν αὐτοῦ τοῦ ἔρωτος, ἥ τίς ποτέ ἐστι, δεῖ, φησὶ, πρότερον ἐκμαθεῖν· τοὺς οὖν Πλάτωνί τε πειθομένους καὶ τὰ Λυσίου διαφυγεῖν ἁμαρτήματα μέλλοντας μηδαμῶς τε περὶ τὴν [3] κατὰ τὸ μέρος πλανησομένους διέξοδον τὰς φύσεις ἀνάγκη πρότερον ἐπεσκέφθαι, περὶ ὧν ἂν μέλλωσι λόγον διεξιέναι τινά· οὕτω δὴ κἀνταῦθα τοῦ τεχνικοῦ μέλλοντος ἡμῖν τὴν τοῦ ὅρου παραδιδόναι διαίρεσιν, ἄξιον πρῶτον καταμαθεῖν τὴν φύσιν αὐτοῦ πρὸ τῆς διαιρέσεως,

---

1 Mon. σκολιάζοντες Par. 2. σκωλιάζοντες. 2 Phaedr. p. 263. 265. d. 3 Mon. τῶν κατὰ μέρος.

καὶ πρώτην γε τὴν ἐπωνυμίαν, ἐπεὶ [4] πολυτρόπως ὅρος λέγεται, διασαφῆσαι· καλεῖται τοίνυν ὅρος [5] τὸ ἑκάστου πράγματος πέρας, ἡνίκα λέγομεν ὅρον ἐπιτεθεῖσθαι τῇ δίκῃ, οἱονεὶ πέρας, ὥστε μὴ πρόσω χωρεῖν, ἀλλ᾿ ἤδη καταπεπαῦσθαι· λέγεται δὲ οὕτω καὶ τὸ διεῖργον ἀπ᾿ ἀλλήλων τὰ χωρία, ὡς ὅταν φαίη τις Ἀθηναίους καὶ Βοιωτοὺς περὶ γῆς ὅρων πόλεμον ἄρασθαι· ἔτι ἐπὶ τοῖς διαλεκτικοῖς καλεῖταί τις ὅρος ὁ τὴν ἑκάστου περιλαμβάνων τε καὶ περιορίζων ἐν αὐτῷ φύσιν, οἷον κατὰ Πλάτωνα μέν ἐστι λόγος τῆς ἑκάστου οὐσίας τε καὶ φύσεως δηλωτικὸς, ἵνα ᾖ οὐσία μὲν αὐτὴ ἡ ὕπαρξις καὶ τὸ εἶναι, φύσις δὲ ἡ καθ᾿ ἑαυτὴν ἰδιότης, καθ᾿ ἣν τῶν ἄλλων χωρίζεται, κατὰ δὲ Ἀριστοτέλη ὁ τὸ τί εἶναι [6] δηλῶν, καλεῖται δὲ κοινῷ ὀνόματι καί τὸ ἐκ τούτου παραλαμβανόμενον ὁ ὅρος· τό τε γὰρ ζῷον λογικὸν θνητὸν ὅρον καλοῦμεν, καὶ τὸ ἐξ αὐτοῦ ὁριζόμενον· τοῦτο δέ ἐστιν ἄνθρωπος· οὕτω γὰρ καὶ χοίνικα λέγομεν αὐτό τε τὸ μετροῦν καὶ τὸ μετρούμενον, καὶ πῆχυν ὁμοίως τόν τε ἐκμετροῦντα καὶ ὑπ᾿ αὐτοῦ ἐκμετρούμενον· πρὸς δὲ τούτοις ὅρος καλεῖται καὶ ἡ παρὰ τοῖς ῥήτορσι στάσις, περὶ οὗ νῦν ἡμῖν πρόκειται λέγειν· πενταχῶς οὖν λεγομένου τοῦ ὅρου καθάπερ ἐδείξαμεν, ἐπειδὴ καὶ τοῦ παρὰ τοῖς διαλεκτικοῖς ἐμνήσθημεν, καὶ ὅπως Πλάτων τε αὐτὸν καὶ Ἀριστοτέλης ὡρίσαντο, ἐπὶ τούτοις καὶ τοὺς τρόπους δεῖ εἰπεῖν, καθ᾿ οὓς γίνεται· τοῦτο γὰρ ἡμῖν συμβαλεῖται πρὸς τὸ ἐξ αὐτοῦ διαστεῖλαι τὸν ῥητορικὸν ὅρον, ὡς ὕστερον εἰσόμεθα· ἐκ δὲ τῆς διαστολῆς ἡ φύσις καταληφθήσεται. Πᾶς τοίνυν διαλεκτικὸς ὅρος ἐκ γένους καὶ διαφορῶν γίνεται, διαφορῶν δέ φησι τῶν εἰδοποιῶν, οἷον τί ἐστιν ἄνθρωπος; ζῷον λογικὸν θνητόν· γένος μὲν γάρ ἐστι τὸ ζῷον, διαφοραὶ δὲ τοῦ εἴδους συ-

4 Mon. ἐπί. Sq. ὅρος Par. 1. om. 5 Mon. καὶ τό. 6 Mon. τί ἦν εἶναι.

στατικαί, τό τε λογικὸν καὶ θνητόν· ἀρετὴ δὲ παντὸς τοῦ παρὰ [6*] τοῖς διαλεκτικοῖς ὅρου τὸ μήτε ἐλλείπειν μήτε μὴν πλεονάζειν· κακία γὰρ τοὐναντίον ἥ τε ἔλλειψις καὶ ὁ πλεονασμός· οἷον ὅτι ἄνθρωπός ἐστι ζῶον λογικὸν θνητόν· οὗτος γὰρ τόν τε πλεονασμὸν ἀπέφυγεν· οὐ γὰρ πρὸς τῷ ἀνθρώπῳ καὶ ἕτερόν τι περιέλαβε, καὶ τῷ τῆς ἐλλείψεως οὐχ ὑποπέπτωκεν ἁμαρτήματι, οὐ γὰρ ἐνδεῖ πρὸς οὐδὲν, ἀλλὰ πᾶσαν τὴν τῶν ἀνθρώπων ἔχει φύσιν, πλεονάζων δ' ἂν ἦν ὅρος, εἰ μία τῶν διαφορῶν παραλέλειπτο· οἷον ζῶον λογικὸν θνητὸν, κυβερνᾷν ἐπιστάμενον· ἐλλείπει γὰρ τῷ ὅρῳ, ἐπεὶ οὐ πᾶς κυβερνᾷν ἄνθρωπος καὶ ἐπίσταται· καὶ ταῦτα μὲν περὶ ἀρετῆς ἂν εἴη τοῦ ὅρου· βάσανος δὲ αὐτοῦ καὶ ἐξετασμὸς ἀκριβὴς ἡ ἀναστροφὴ, ὅταν τὸ πρᾶγμα τὸ ὁριζόμενον ἐκ τούτου, τουτέστιν ὁ ἄνθρωπος, ἀναστρέφειν δύνηται πρὸς τὸν ὅρον, ὥστε ἑκάτερον τοῦ ἑτέρου γίνεσθαι ὅρον· καὶ τοσοῦτο μὲν περὶ τοῦ διαλεκτικοῦ ὅρου· τρεψώμεθα δὲ πρὸς τὰς διαφορὰς ἤδη, καθ' ἃς ὁ ῥητορικὸς ἀπὸ τούτου χωρίζεταί τε καὶ διακρίνεται· τὴν γὰρ φύσιν τοῦ νῦν προκειμένου, φημὶ τοῦ παρὰ τοῖς ῥήτορσιν ὅρου, μετὰ ἀκριβείας ἐντεῦθεν ἐπιστησόμεθα· διαφέρουσι δ' οὖν ἀλλήλων μεγίστη μὲν καὶ γενικωτάτη διαφορᾷ τῇ κατ' αὐτὸν ὑπαρχούσῃ τὸν ὁρισμόν· ἔστι γὰρ ὁ μὲν διαλεκτικὸς ὅρος κατὰ μὲν τὸν Ἀριστοτέλη ὁ τὸ [7] τί ἦν εἶναι δηλῶν· κατὰ δὲ Πλάτωνα λόγος τῆς ἑκάστου οὐσίας τε καὶ φύσεως δηλωτικός· ὁ δὲ παρὰ τοῖς ῥήτορσι τούτοις οὐκ ἂν ὑποπίπτοι τοῖς ὅροις· οὐ γὰρ δηλοῖ ψιλᾶς καὶ διαῤῥήδην, τί ποτέ ἐστιν ἕκαστον, ἀλλὰ περὶ τούτου ποιεῖται τὴν ζήτησιν· στάσις γὰρ οὐκ ἄν τινος εἴη δηλωτικὴ, ἕως ἐστὶ στάσις, ἀλλὰ πάντως τοῦ ὑποκειμένου ζητητική· τὸ γοῦν τέλος τοῦ παρὰ τοῖς ῥήτορσιν ὅρου γένεσίς τε καὶ ἀρχὴ τοῦ παρὰ τοῖς διαλεκτικοῖς πέφυκε γί-

6* Mon. h. l. et infra v. 31. περὶ, scr. παρά. 7 Mon. ὅτι τί.

νεσθαι· ἐπειδὰν γὰρ προέλθῃ ζητῶν ὁ ῥητορικὸς καὶ ἀποδεικνὺς διὰ πάντων, τότε παραλαβὼν τὸ ἀποδεδειγμένον ὁ διαλεκτικὸς ὁριεῖται, δηλῶν ἡμῖν ἐκ ψιλῆς ἀποφάσεως τὴν φύσιν αὐτοῦ. ὥστε ὁ μὲν ὅρος ὁ τῶν διαλεκτικῶν ἐστιν ὁ τὸ τί ἦν εἶναι δηλῶν, ὁ δὲ παρὰ τοῖς ῥήτορσιν, ὅ τι δεῖ τὸ πραχθὲν ὀνομάσαι ζητῶν· αὕτη μὲν οὖν ἡ ἀνωτάτω διαφορὰ τούτων, ἀφ᾽ ἧς καὶ τὴν φύσιν ἑκατέρου σαφῶς οἴομαι δηλοῦσθαι τοῖς γε μὴ πόῤῥω καθεστηκόσι τεχνικῆς ἀκροάσεως, εἰσὶ δὲ αὐτῶν καὶ ἕτερα τέσσαρα, πρῶτον ὁ μὲν περὶ ὄνομα καταγίνεται, ὁ δὲ διαλεκτικὸς οὐχ οὕτως,[8] περὶ γὰρ ὀνόματος οὐδένα ποιεῖται λόγον· τὸ δὲ ἐξ αὐτοῦ σημαινόμενον πρᾶγμα δηλοῖ, οἷον ἐπειδὰν τὸν ἄνθρωπον ὁ φιλόσοφος ὁρίζηται οὐ τῆς φωνῆς αὐτῆς τὸν ὁρισμὸν ἀποδίδωσιν, ἀλλὰ τοῦ εἴδους τοῦ ἐξ αὐτῆς δηλουμένου· ὁ δὲ ῥητορικὸς τὸ μὲν πρᾶγμα ὁμολογούμενον ἔχει, περὶ δὲ τοῦ ὀνόματος ἅπαντα ποιεῖται τὸν λόγον· ὅτι μὲν γὰρ Δημοσθένει προσετρίψατο κόνδυλον ὁ Μειδίας, ὡμολόγηται, καὶ περὶ τούτου λόγος οὐδεὶς, ἡ δὲ ζήτησις πᾶσα περὶ τοῦ ὀνόματος γίνεται, πότερον τὸ πραχθὲν ὕβριν ἢ ἀσέβειαν προσήκει καλεῖν· ἔτι διαφέρει ἀλλήλων, καθὸ τὴν ἀρετὴν τοῦ διαλεκτικοῦ ἐν μοίρᾳ κακίας ὁ ῥητορικὸς ἔχει, τοῦ γὰρ ὅρου τοῦ παρὰ τοῖς διαλεκτικοῖς ἀρετὴν ἔφαμεν εἶναι τὸ μήτε πλεονάζειν μήτε ἐλλείπειν, ὅπερ εἰ συμβαίνει τῷ ῥητορικῷ, ποιεῖ τῶν ἀσυστάτων αὐτά· εἰ γὰρ μηδὲν ἐλλείπει πρὸς τὸ εἶναι τόδε τι ἀσέβειαν ἢ ὕβριν, ὁμολογούμενον γίνεται[9] καὶ ἐν τοῖς μὴ συνεστηκόσι τελείως, οὐδὲν γὰρ ἂν διενέγκοι μονομεροῦς· τρίτον δὲ τούτῳ διοίσουσι, τῷ τὸν μὲν ῥητορικὸν καὶ τὰ παρειμένα τε καὶ πεπραγμένα καὶ μὴ πεπραγμένα περιλαμβάνειν,[10] τὸν δὲ διαλεκτικὸν μόνα τὰ γενόμενά τε καὶ ὄντα, οὐ

8 οὐχ οὕτως Mon. om. 9 Mon. τε γίνεται. 10 περιλαμβάνειν, τὸν δὲ διαλ. — — — — καὶ τὰ μὴ πεπραγμένα Mon. om.

γὰρ τὸ μὴ γενόμενον ὁ διαλεκτικὸς ὁριεῖται· ὁ μέντοι ῥητορικὸς περιλαμβάνει καὶ τὰ μὴ πεπραγμένα, οἷον ὁ Μειδίας οὐκ ἠσεβηκέναι φησὶν, ἐπεὶ μὴ εἰς αὐτὸ τὸ ἕδος ἐξήμαρτε τοῦ θεοῦ, μηδὲ τὴν ἱερὰν στολὴν περιέῤῥηξε· ταῦτα γὰρ μὴ γινόμενα παραλήψεται ὅμως· τετάρτη δὲ [12] αὐτοὺς ἀπ' ἀλλήλων διακρίνει διαφορὰ, καθὸ τὸν μὲν παρὰ τοῖς διαλεκτικοῖς ἀναστρέφειν δεῖ πρὸς τὸ ὁριζόμενον, εἴπερ ὑγιὴς εἶναι μέλλοι, καθάπερ ἀνεδείξαμεν ἀνωτέρω, τὸν δὲ παρὰ τοῖς ῥήτορσιν ἀεὶ τὴν ἀναστροφὴν διαφεύγειν, οὐ γὰρ οἷόν τέ ποτε ῥητορικὸν ἀναστρέφειν ὅρον· οἷον ἐξ ἱεροῦ τις ἔκλεψεν ἰδιωτικὰ χρήματα καὶ κρίνεται ἱεροσυλίας· ὁ δὲ ἀξιοῖ κλοπῆς γίνεσθαι κρίσιν· οὐ γὰρ ἔνεστιν ἀναστρέψαντα φάναι οὐδέτερον, οὔτε ὅ τι περ ἔτι κλοπὴ, τοῦτο ἐξ ἱεροῦ χρημάτων ἐστὶν ἰδιωτικῶν ἀφαίρεσις, πολὺ γὰρ μᾶλλον κλοπή ἐστι τὸ ἐξ οἰκίας ἰδιωτικῆς ὑφελέσθαι χρήματα, οὐδὲ μὴν ὅτι πᾶσα ἱεροσυλία ἐξ ἱεροῦ χρημάτων ἰδιωτικῶν ὑφαίρεσίς ἐστι· περιφανεστέρα γὰρ δήπουθεν ἱεροσυλία τὸ ἐξ ἱεροῦ ἀποσυλῆσαι χρήματα ἱερά· καὶ τοῦτο μὲν σαφὴς ἱεροσυλία, κἀκεῖνο δὲ ἀμφιβαλλόμενον, πότερον ἱεροσυλίαν αὐτὸ δεῖ καλεῖν ἢ κλοπήν· τῷ μέντοι διαλεκτικῷ πρόσεστιν ἡ ἀναστροφή· εἴ τι γὰρ ἄνθρωπος, τοῦτο ζῶον λογικὸν θνητὸν καὶ εἴτι ζῶον λογικὸν θνητὸν, τοῦτο καθέστηκεν ἄνθρωπος· ἡ μὲν οὖν φύσις τοῦ προκειμένου σαφῶς ἡμῖν ἐκ τούτων δεδήλωται· συμβαίνει δὲ κατά τινας περιστάσεις δοκεῖν τὸν ὅρον μηδὲν τῆς πραγματικῆς διαφέρειν, καὶ τὴν τούτων διαστολὴν παρελθεῖν οὐ καλόν· γίνεται δὲ ἡ τούτων συνέμπτωσις ἐν τοῖς ἀγῶσι τοῖς κατὰ ἀξίωσιν· πάντα γὰρ ἀγῶνα καθόλου δικανικὸν ἢ κατὰ φυγὴν καὶ δίωξιν ἔφαμεν ἢ κατὰ ἀξίωσιν γίνεσθαι· ἐν μὲν οὖν τῷ κατὰ φυγὴν καὶ δίωξιν

---

11 τοῦ Par. 1. om. 12 δὲ Par. 1. om. post ἀλλήλων. Mon. habet αὕτη.

οὐδὲ μίαν ἔχει πρὸς τὸν ὅρον ὁμοιότητα ἡ πραγματική· ἐν δὲ τῷ κατὰ ἀξίωσιν αὐτίκα, φησὶ, ταυτὶ τὰ δύο προβλήματα παντάπασιν ἀλλήλων ἀπάδει, ἢ τοῖς ὀνόμασι μόνον, καθὸ τὸ μὲν ὅρον, τὸ δὲ, φασὶ, πραγματικὴν ὀνομάζουσιν· ἔστι δὲ τὸ μὲν τοῦ ὅρου πρόβλημα τόδε· τύραννον ἔπεισε φιλόσοφος ἀποθέσθαι τὴν τυραννίδα καὶ τὴν τυραννοκτόνειον αἰτεῖ δωρεάν· πραγματικῆς δὲ τοῦτο· νόμος τὸν ἀναιροῦντα τύραννον δωρεὰν αἰτεῖν, ἣν ἂν βούληται, καὶ νόμος ἕτερος τὰ τέκνα τοῦ τυράννου συναναιρεῖσθαι τῷ πατρὶ, γυνὴ τυραννοῦντα τὸν ἄνδρα ἀνεῖλε καὶ ἀξιοῖ σώζειν τοὺς παῖδας εἰς τὴν δωρεάν· ταῦτα γὰρ ἄμφω κατ᾽ οὐδὲν ἀλλήλων διοίσει· ὁμοίως γὰρ ἥ τε γυνὴ καὶ ὁ τὴν τυραννίδα καθελὼν τῷ πεῖσαι φιλόσοφος αἰτοῦσι τὴν δωρεάν· ἀλλ᾽ εἴπερ τὸν ὁρισμὸν ἀναμνησθεῖεν [13] τοῦ ὅρου, τὴν διαφορὰν εὐθὺς ἀμφοῖν καταλήψονται· ὅρος γάρ ἐστιν ὁ νόμος ζητῶν περὶ πράγματος, οὗ τὸ μὲν πέπρακται, τὸ δὲ λείπει· ὡς ἐπ᾽ αὐτοῦ τοῦδε καταμαθεῖν ἐστι τοῦ παραδείγματος· πέπρακται μὲν γὰρ πρὸς τὸ λαβεῖν τὴν τῶν τυραννοκτόνων δωρεὰν τὸ καταλελύσθαι τυραννίδα, λείπει δὲ τὸ μὴ ἀπεκτονῆσθαι τὸν τύραννον· τὸ οὖν ἕτερον πρόβλημα, πῶς ἂν ὅρου [14] καθεστήκοι, ᾧ μηδὲν ἐλλείπει, πάντα δὲ πέπρακται· περιφανῶς γὰρ τυραννοκτόνος ἐστὶν ἡ γυνὴ ἡ διαχρησαμένη τὸν τύραννον, καὶ καθ᾽ ἕτερον δὲ τρόπον τὴν ἐν αὐτοῖς ἐστι διαφορὰν κατιδεῖν· ἐν μὲν γὰρ τῇ πραγματικῇ τὸ μὲν ὅλως δεῖν παρασχεθῆναι δωρεὰν ὡμολόγησε, περὶ δὲ τῆς ποιότητος τῶν δωρεῶν ἡ πᾶσα γίνεται ζήτησις· ὅτι μὲν γὰρ ἄξιόν τινος τὸ γύναιον δωρεᾶς οὐδεὶς ἀντερεῖ· περὶ δὲ τοῦ ποιοῦ τὸ πᾶν γίνεται τῆς ζητήσεως, ὅτι γε ταύτην οὐ δίκαιον δοθῆ-

ναι

13 Mon. Par. 2. ἀναμνησθεῖεν. Par. 1. ἀναμνησθείημεν. 14 Par. 1. ὅρκῳ.

ναι τὴν δωρεάν, ἑτέραν δὲ ἥνπερ ἂν αὐτὴ βούλοιτο· ἐν δὲ τῷ ὅρῳ περὶ τοῦ δοῦναι ὅλως τινὰ δωρεὰν ἡ ἀμφισβήτησις· τοῦτο γὰρ αὐτὸ στασιάζουσιν, εἰ δεῖ λαβεῖν αὐτὸν ὅλως διὰ τὸ καταλελύσθαι τὴν τυραννίδα ἢ μετεῖναί τινος αὐτῷ δωρεᾶς τῷ μὴ ἀνῃρῆσθαι τὸν τύραννον.

β. Μετὰ τὸν στοχασμὸν περὶ τοῦ ὅρου χρὴ διελθεῖν· ἐν παντὶ γὰρ πράγματι περὶ τοῦ εἰ ἔστι πρῶτον ζητητέον, ὅπερ ὁ στοχασμὸς περιέχει· εἶθ᾽ οὕτως περὶ τοῦ τί ἐστιν· ὁ δὲ ὅρος τὴν περὶ τοῦ τί ἐστιν περιέχει ζήτησιν· διὰ τοῦτο τέτακται μετὰ τὸν στοχασμὸν ὁ ὅρος· τούτῳ γὰρ διαφέρει ὁ ὅρος τοῦ στοχασμοῦ, τῷ ἐκεῖ μὲν περὶ οὐσίας εἶναι τὴν ζήτησιν, ἐν δὲ τῷ ὅρῳ περὶ τοῦ τί ἐστιν· ἐπειδὴ δὲ πολλαχῶς ὁ ὅρος, ἀναγκαῖον διαστεῖλαι τὴν ὁμωνυμίαν· ὅρος τοίνυν λέγεται ὁ ἐν τοῖς χωρίοις διορίζων τό τε οἰκεῖον καὶ τὸ ἀλλότριον· καλεῖται δὲ ὅρος καὶ ὁ διαλεκτικὸς, οἷον εἰς ὃν ἡ πρότασις ἀναλύεται ὅρος καλεῖται, καὶ ὁ τί ἐστι κατὰ Ἀριστοτέλη σημαίνων, τουτέστιν ὁ τὴν οὐσίαν καὶ τὴν ἰδιότητα ἑκάστου ὑποκειμένου παριστὰς καὶ δηλωτικὸς τῆς ἑκάστου πράγματος οὐσίας καὶ φύσεως· καὶ τί ἐστιν ἑκάστῳ τὸ εἶναι σαφῶς ἀνιχνεύων· τοιοῦτοι γὰρ οἱ τέλειοι τῶν πραγμάτων ὅροι· ὅρος λέγεται καὶ τὸ πέρας παντὸς πράγματος, ὡς ἡ ἐπιφάνεια τοῦ σώματος καὶ τῆς ἐπιφανείας ἡ γραμμὴ καὶ τῆς γραμμῆς τὸ σημεῖον· ὅροι λέγονται καὶ τὰ μέρη τῶν προτάσεων· οἷον πρότασίς ἐστι πᾶν ζῶον ἔμψυχον· ταύτης οὖν τὰ μέρη τὸ πᾶν, τὸ ζῶον τὸ ἔμψυχον, ὅροι καλοῦνται· ὅροι λέγονται καὶ πάντα τὰ ῥητορικὰ ζητήματα· καλεῖται δὲ ὅρος ἡ στάσις αὐτὴ, περὶ ἧς ὁ λόγος, ἕπεται δὲ τῷ στοχασμῷ ὅρος· δεῖ γὰρ πρῶτον εὑρεῖν τὸ ζητούμενον, εἶθ᾽ οὕτως τί ἐστι ζητῆσαι· μετὰ γὰρ τὸν τῆς οὐσίας λόγον ὁ περὶ τῆς ἰδιότητος τυγχάνει δεύτερος· πῶς γὰρ οἷόν τε τὴν ἰδιότητα ζητεῖν, μήπω τοῦ πραχθέντος ὅλως ἀποδειχθέντος.

γ'. Πρῶτον κεφάλαιον τὴν προβολὴν ἡμῖν ὁ τεχνικὸς δέδωκεν· οἱ δ' ἀμφὶ τὸν Μινουκιανὸν σφόδρα περὶ τούτου σφαλλόμενοι τὴν ἀρχὴν ἐκ τοῦ ὅρου λαμβάνουσιν, οὐδαμοῦ τῶν κεφαλαίων τὴν προβολὴν ἀνεχόμενοι προτάττειν· προσήκειν οὖν οἴομαι τήν τε γινομένην αἰτίαν τῷ Μινουκιανῷ τῆς ἀπάτης εἰπεῖν, καὶ τὸν λόγον, καθ' ὃν ὁ τεχνικὸς τῶν τοῦ ὅρου κεφαλαίων ἀπὸ τῆς προβολῆς ἄρχεται· ὁ μὲν οὖν Μινουκιανὸς πρῶτον κεφάλαιον παραλαμβάνει τὸν ὅρον, ἐπειδὴ, φησὶ, συγγένειαν ἔχει πρὸς τὴν διήγησιν. ἵνα οὖν συμπλέκηται καὶ μετ' ἀλλήλων ὑπάρχῃ, πρῶτον κεφάλαιον τάττει τὸν ὅρον, ὅπως ἂν μετὰ τὴν διήγησιν εὐθὺς τοῦτο λαμβάνοιτο, ἀρχὴ καθεστὼς τῶν ἀγώνων· ἔχουσι δὲ, φησὶν, ἥ τε διήγησις καὶ ὁ ὅρος πλείστην συγγένειαν, καθὸ ἑκάτερον αὐτῶν ἥ τε [15] διήγησις ἐκ τῶν πεπραγμένων ἐστὶ, διέξοδός τε καὶ ἀφήγησις αὐτῶν οὖσα, καὶ τὸ ὁρικὸν δὲ, φησὶ, κεφάλαιον ἐκ τῶν πεπραγμένων γίνεται· οἷον τύραννον ἔπεισε φιλόσοφος καταθέσθαι τὴν τυραννίδα, καὶ αἰτεῖ λαβεῖν τὴν δωρεάν· ὁ μὲν γὰρ κατήγορος, φησὶν, ὁριεῖται τὰ πεπραγμένα λαβὼν τοῦτο εἶναι τὸ τυραννοκτονῆσαι, τὸ καθελεῖν καὶ παῦσαι τὴν τυραννίδα, ὅπερ αὐτὸ πέπρακται· ὁ δὲ φεύγων ἐκ τῶν παρειμένων χρήσεται τῷ ἀνθορισμῷ, ὡς οὐκ ἔστι τοῦτο τυραννοκτονῆσαι, ἀλλὰ τὸ ἀποκτεῖναι τὸν τύραννον, ὅπερ οὐ πέπρακται· τοῦτον μὲν οὖν τὸν τρόπον ὁ Μινουκιανὸς πάντα συνέχεε, διὰ τῶν ἀναγκαιοτάτων χωρήσας· ὁ δὲ τεχνικὸς ἀκριβέστερον τὰς φύσεις διερευνῶν ἑκάστοτε τῶν διαιρέσεων, ἄτοπον ᾠήθη τὴν ἀρχὴν τῶν ἀγώνων εὐθὺς ἀμφισβητουμένην λαβεῖν· καθολικὸν γὰρ παρατήρημά ἐστι τοῦτο τεχνικὸν, τὸ δεῖν ἀπὸ τῶν ἰσχυροτέρων ἐνάρχεσθαι, τὸ γὰρ εὐθὺς ἀμφιβαλλομένας προβα-

15 τε Mon. om.

λεῖν ἀποδείξεις βλάπτει [16] κομιδῇ, δόξαν καθ᾽ ἡμῶν τῷ δικαστῇ παρεχόμενον, ὡς μηδὲν ἰσχυρὸν λεγόντων μηδὲ βέβαιον εἰς ἀπόδειξιν· τὸ οὖν δοῦναι τῷ ὁρικῷ κεφαλαίῳ τὴν ἀρχὴν τῶν ἀγώνων ἀφ᾽ ὧν διέγνωκε Μινουκιανὸς οὐδὲν, ἀλλ᾽ ἢ ἐξ ἀμφιβαλλομένων ἀποδείξεων ἄρχεσθαι· αὐτὸ γὰρ τοῦτό ἐστι τὸ ἀμφισβητούμενον, ὅπερ [17] ἑκάτερος αὐτῶν ὁρίζεται, ὁ μὲν τόδε τι καθεστάναι φάσκων τὸ τυραννοκτονῆσαι, ὁ δέ γε αὖ πάλιν ἕτερον καὶ οὐκ ἐκεῖνο· πῶς οὖν τοῦτο θαυμασίως ἀπιδὼν ἐκ τῆς προβολῆς τὴν ἀρχὴν ἐποιήσατο τῶν ἀγώνων, ὅπερ ἐστὶ καὶ αὐξητικὸν τῆς διηγήσεως; οὕτω γὰρ ἂν τῇ προβολῇ χρώμενοι καὶ τὰ ψιλῶς ἡμῖν ἀφηγημένα διὰ τοῦτο τοῦ κεφαλαίου πάλιν ἀναλαμβάνοντες μετ᾽ αὐξήσεως τὸν ἀκροατὴν ἐφ᾽ ἡμᾶς αὐτοὺς ἐπισπασόμεθα· χρήσεται οὖν πρῶτον μὲν τῇ προβολῇ ὁ διώκων, ἔπειτα ὁ φεύγων τῷ ὅρῳ καὶ τῷ ἀνθορισμῷ, πάλιν ὁ κατήγορος καὶ ἑξῆς οὕτως κατὰ τὴν τοῦ τεχνογράφου παράδοσιν· λέληθε γὰρ ὁ Μινουκιανὸς αὐτὸν πάντα ἀναστρέψας· [18] τὸν μὲν γὰρ ὅρον ἐκ τῶν πεπραγμένων ᾠήθη λαμβάνεσθαι, τὸν δὲ ἀνθορισμὸν ἐκ τῶν παραλελειμμένων· αὐτὰ τὰ ἐναντιώτατα λέγων, ὡς προϊόντες ἐπ᾽ αὐτῶν τῶν κεφαλαίων ἀκριβέστερον δείξομεν. [19]

Ὅρῳ. Ὁμώνυμον [20] τῇ στάσει κεφάλαιον· εὐθὺς δὲ μετὰ τὴν προβολὴν ὁ ὅρος. ἐπειδὴ λύσις ἐστὶ τῆς προβολῆς ὁ ὅρος· προβαλλομένου γὰρ τοῦ κατηγόρου καὶ λέγοντος, ὅτι ἐπανέτεινας τὴν χεῖρα καὶ τὸ πρᾶγμα διηγουμένου ὁ φεύγων φησὶν, ὅτι τοῦτο οὐκ ἔστιν ὕβρις ἐκ τῶν παρειμένων. Οὐδὲν ἕτερόν ἐστιν ὁ ἀνθορισμὸς ἢ

16 Mon. βλάπτεται. 17 Par. ὅσπερ. 18 Mon. ἀνατρέψας. Parr. ἀναστρέψας. 19 Litt. δ′. legitur apud Max. Planudam, T. V. p. 300. litt. β′. 20 Haec, quae usque ad litt. ε. sequuntur, ex scholiis minor., quae sunt in Parr., inter maiora inseruit Mon.

καὶ αὐτὸς ὁ ὅρος· ἀμφότεροι γὰρ ὁρίζονται τὸ πεπραγμένον, καὶ ὁ κατηγορῶν καὶ ὁ κρινόμενος, ἀλλ' ὁ μὲν ὅρος ἀπὸ τοῦ λείποντος γίνεται, ὁ δὲ ἀνθορισμὸς ἐκ τῶν πεπραγμένων ἐναντία τῷ προτέρῳ ὁρίζεται.

Κοινόν ἐστι τοῦτο κεφάλαιον τοῦ διώκοντος [21] καὶ τοῦ φεύγοντος· τῆς γὰρ προβολῆς τοῦ κατηγόρου μόνου οὔσης, τοῦ δὲ ὅρου τοῦ φεύγοντος, καὶ τοῦ ἀνθορισμοῦ τοῦ διώκοντος, ὁ συλλογισμὸς κοινός ἐστιν ἀμφοῖν. εἴρηται δὲ οὕτως ἀπὸ τοῦ συλλέγειν καὶ συνάγειν εἰς ἓν ἄμφω, τά τε παρειμένα καὶ τὰ πεπραγμένα· ἀλλ' ὁ μὲν φεύγων χωρίζει ταῦτα καὶ δείκνυσιν ἀτελὲς τὸ γεγενημένον, ὁ δὲ διώκων συνάγει καὶ δείκνυσι τέλειον. κοινὸν δέ ἐστι τὸ κεφάλαιον ἐπὶ μόνων τῶν ἀντιστρεφόντων ὅρων.

Καὶ αὕτη [22] κοινὸν ἀμφοτέρων ἐστὶν, ἑκατέρου γὰρ τὴν γνώμην τοῦ νομοθέτου πρὸς τὸ οἰκεῖον συμφέρον μεταχειρίζεται, οἷον ὅτι καὶ ὁ νόμος καὶ ἡ γνώμη τοῦ νομοθέτου τοῦτο βούλεται· οὐκ ἔστι δὲ τῶν ἀεὶ ἐμπιπτόντων τὸ κεφάλαιον, ἐν οἷς γὰρ οὐκ ἔστι νόμος παραλιμπάνεται.

έ. Τῶν κεφαλαίων τῶν ἐν τῷ ὅρῳ τὰ μέν ἐστι τοῦ προκειμένου πράγματος ἀποδεικτικὰ, τὰ δὲ αὐξητικά· μέχρι μὲν οὖν τῆς γνώμης τοῦ νομοθέτου τυγχάνει ἀποδεικτικά· τὸ πρός τι δὲ καὶ ἡ πηλικότης αὐξητικά· καὶ τὸ μὲν πρός τι συγκριτικὴν ἔχει δύναμιν καὶ τὴν αὔξησιν ὁμοίως, οἷον τόδε τοῦδε, ἡ πηλικότης δὲ ὑπερθετικήν· προτάττουσι τὴν πηλικότητα τοῦ πρός τι, λέγοντες ὅτι ἡ πηλικότης ἁπλοῦν τί ἐστιν, οἷον τόδε γεγένηται, τὸ δὲ πρός τι συγκριτικῶς αὔξει, οἷον ὅτι καὶ μεῖζον· εἴπερ οὖν τὰ ἁπλᾶ προηγεῖται ἀεὶ τῶν συγκρι-

21 Par. 1. τοῦ τε φεύγοντος καὶ τοῦ διώκοντος. 22 sc. γνώμη νομοθέτου.

τικῶν, προηγεῖται καὶ ἡ πηλικότης τοῦ πρός τι, ἥ ἐστιν ἁπλῆ αὔξησις τοῦ συγκριτικοῦ· ὅτι δὲ ἁπλῆ αὔξησις ἡ πηλικότης, δῆλον ἐντεῦθεν· τὸ πρός τι πρὸς τὴν τοῦ φεύγοντος φωνὴν γίνεται, ὡς παρὰ Δημοσθένει· λέγοντος γὰρ Μειδίου ἀπὸ τῆς πηλικότητος καὶ ἐπιχειροῦντος, μὴ μέγα μηδὲ δημόσιον εἶναι τὸ ἀδίκημα, τὸ τύψαι Δημοσθένη, καὶ μεῖζον αὐτό φησι Δημοσθένης καὶ ἀδίκημα εἶναι αὐτό.

ς΄. Ἀτελοῦς ὄντος ἐν τῷ ὅρῳ τοῖ πεπραγμένου, πῶς δύναται ἐμπεσεῖν μία τῶν ἀντιθετικῶν; ῥητέον οὖν, ὅτι μετὰ τὴν ἀπόδειξιν τοῦ τέλους φανέντος λοιπὸν τελείου διὰ τῶν ὁρικῶν κεφαλαίων, τότε χώραν ἔχει μίαν τὰ τῶν ἀντιθετικῶν· πότε δὲ ἐμπίπτει, δῆλον ἐνταῦθα· αἱ ὁρικαὶ στάσεις πρᾶγμα ἔχουσι τὴν ἀναφορὰν ἢ εἰς πρόσωπον ἢ εἰς ἐνέργειαν, εἰς πρᾶγμα μὲν ὡς ὁ κενοτάφιον διορύξας καὶ κρινόμενος τυμβωρυχίας· ζητεῖται γάρ, εἰ[23] οὗτος τάφος· ἀποδεικνυμένου γάρ, ὅτι τάφος, δηλονότι κἀκεῖνος τυμβωρύχος, εἰς πρόσωπον δέ, ὡς ὁ τὸν εὐνοῦχον ἀνελὼν ὡς μοιχὸν καὶ κρινόμενος φόνου· ἂν μὲν οὖν ἡ ζήτησις εἰς πρᾶγμα εἴη, οὐκ ἐμπίπτει ἡ ἀντίθεσις, ἂν δὲ εἰς πρόσωπον, ἐμπίπτουσιν αἱ ἀντιθετικαί, ὡς ἐπὶ τοῦ ἀποκτείναντος τὸν εὐνοῦχον ὡς μοιχόν· ἐρεῖ γάρ, ὅτι ἄξιος ἦν ἀποθανεῖν βιαζόμενος τὴν φύσιν.

ζ΄. Τεσσάρων οὐσῶν τῶν ἀντιθετικῶν ὁποτέρα τούτων ἐμπέσῃ·[24] μετὰ τὰ ἀπηριθμημένα τοῦ λόγου κεφάλαια εὐθὺς μετάληψις ἀκολουθεῖ· εἰ δὲ λέγοι τις, ὅτι ἀντιλήψεως μὴ ἐμπεσούσης, πῶς οἷόντε μετάληψιν ἐμπεσεῖν, ἀεὶ γὰρ ταῦτα ἀλλήλοις ἀκολουθεῖ, ἐροῦμεν ὡς ἡ ἀντιθετικὴ τόπον ἔχει ἀντιλήψεως, πλὴν καὶ μετὰ τὴν μετάληψιν, ἵνα ἡ τάξις σώζηται, τινὲς ἐπάγουσι καὶ τὴν ἀντίληψιν.

---

23 εἰ Mon. om. 24 Par. ἐμπέσοι.

ή. Μεμαθήκαμεν καὶ ἐν στοχασμῷ, ὅτι ἡ πηλικότης κεφάλαιον οὐκ ἔστιν, ἀλλ' οἱ ἐπίλογοι.[25]

θ'. Ὥσπερ ἐν τῷ στοχασμῷ πεποίηκε πρότερον τὰ κεφάλαια ἀπαριθμησάμενος, εἶτα κατὰ μέρος ἕκαστον ἐπεξελθὼν, λέγων, ὅπως τε γίνονται καὶ τίνι περὶ αὐτῶν μεθόδῳ χρηστέον, οὕτω καὶ νῦν ποιεῖ· καὶ ἔστι τὸ δεύτερον κεφάλαιον ἡ λεγομένη προβολή· αὕτη δ' ἀεὶ τοῦ κατηγόρου τυγχάνει καὶ τὸ πᾶν σχεδὸν τῆς ἰσχύος ἐπέχει. λαμβάνεται δὲ ἀπὸ τῶν περιστατικῶν αὐτὸ τὸ γεγονὸς, διηγουμένων ἡμῶν, τί ἐστιν αὐτὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἀντὶ[26] τοῦ ἡ προβολὴ αὐτὰ ἔχει τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, τουτέστιν ἡ[27] διήγησις τῶν γεγενημένων, οὐ κατασκευαστικῶς ἀλλ' αὐξητικῶς· ὅπερ γὰρ ἐν[28] στοχασμῷ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, τοῦτο ἐν ὅρῳ ἐστὶν ἡ προβολή. διαφέρει δὲ τούτῳ, ὅτι ἐν μὲν τῷ στοχασμῷ σημεῖα ταῦτα τοῦ ἐγκλήματος ἀνεύθυνα ποιούμεθα, ἐνταῦθα δὲ ὡς ὑπεύθυνος ὑπὸ τοῦ κατηγόρου προβάλλεται,[29] καὶ αὐτὸ τὸ ἔγκλημα ποιούμεθα μόνον σημεῖον· ἔστι δὲ ἡ προβολὴ καθάπερ διήγησις, καὶ διαφέρει τῆς διηγήσεως τούτῳ· ἡ μὲν γὰρ διήγησις ψιλή ἐστιν ἀφήγησις, ἡ δὲ προβολὴ μετὰ αὐξήσεως· εἰδέναι δὲ δεῖ, ὅτι τὴν προβολὴν ἐκ τῶν περιστατικῶν κατασκευάζομεν· οἷον τί λέγω, εἰ πρόκειται ὕβρεως δίκη, παραληψόμεθα μὲν τότε τοῦ πεποιηκότος πρόσωπον καὶ τοῦ πεπονθότος λέγοντες, ὡς ἐχθρὸς μὲν ὁ ἐνυβρίσας, ἐχθρὸς δὲ ὁ πεπονθώς. ἑκατέρωθεν γὰρ ἡ ὕβρις κατασκευάζεται· αὐξήσομεν δὲ οὕτω καὶ ἀπὸ τῶν αἰτῶν· προσώπου, ὅτι χορηγὸς ὢν ἐτυπτήθης, τόπου, ὅτι ἐν θεάτρῳ· χρόνου, ὅτι ἐν ἱερομηνίᾳ· καὶ τίς ὢν ὁ ἀδικήσας; ὅτι ἰδιώτης· ἐξ

25 Mon. ἀλλ' ἐπίλογει. 26 ἀντὶ τοῦ ἡ προβ. α. ε. τ. ἀ. ἀ. ἄχρι τέλους Mon. om. 27 ἡ Mon. om. 28 Mon. ὅπερ ἂν γὰρ στοχασμοῦ. 29 Par. 1. ὑπεύθυνος τοῦ κατηγόρου λαμβάνεται.

ἀμφοτέρων γὰρ τὴν αὔξησιν ποιοῦμεν· ἀλλ' ὅταν ἀπὸ τῶν περιστατικῶν τοῦτο ποιῶμεν, οὐ δεῖ παντάπασιν αὔξειν αὐτὰ, ἀλλὰ μετρίως, τὴν δὲ τελείαν αὔξησιν φυλάξομεν τῇ τε πηλικότητι καὶ τῷ πρός τι, καὶ ἔστιν ἀεὶ τὸ κεφάλαιον τῶν ἐμπιπτόντων· εἰ γὰρ ἀπολίποι, πρὸς τί γενήσεται ὁ ὁρισμὸς, πρὸς τί δὲ καὶ τὰ ἄλλα κεφάλαια; τοῦτο γὰρ ὥσπερ θεμέλιος πρόκειται [30] πᾶσι παρέχων τὴν ἐργασίαν· εἰκότως δὲ καὶ ὁ τεχνικὸς πρῶτον τῶν κεφαλαίων ἔταξε τοῦτο· ἐπειδὴ ὥσπερ ἀρχὴ καὶ πρόβολος τῶν ἄλλων προβέβληται· διὸ καὶ τὴν προσηγορίαν ταύτην ἔλαχε διὰ τὸ προβεβλῆσθαι τῶν ἄλλων.

ί. Ἡ προβολὴ, φησὶν, αὐτὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, τουτέστιν αὐτὰ τὰ πεπραγμένα· ταῦτα γάρ ἐστιν αὐτὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους· ἃ ἐκ τῶν πεπραγμένων ἐφάσκομεν λαμβάνεσθαι, τούτων κἀνταῦθα τὴν προβολὴν αὐξητικῶς ἐκ τῶν πραχθέντων παραληψόμεθα· καὶ ζητῆσαι ἄξιον, τίνι διοίσει τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἡ προβολὴ, καὶ ἔτι τούτων ἀμφοτέρων τί τὸ διάφορον πρὸς τὴν διήγησιν· τὰ γὰρ ἀπ' ἀρχῆς ἄχρι τέλους ἐκ τῶν

---

50 Mon. πρόσκειται. Sch. min.: *αὔξων ἀπὸ τῶν παρακολουθούντων*· ἃ γὰρ ἐν τῇ διηγήσει ψιλῶς εἶπεν, μετὰ αὐξήσεως ταῦτα μερικῆς ἐν τῇ προβολῇ λέγει· καλῶς δὲ καὶ ταῦτα ἀπ' ἀρχῆς ἄχρι τέλους καλεῖται, ἐπειδὴ ἀνάγκη ἀπ' αὐτῶν ἄρχειν τῆς κατηγορίας τὸν κατήγορον, καὶ ἀπ' αὐτῶν ἄρχεσθαι τὴν κατηγορίαν καὶ ποιεῖσθαι τὴν προβολὴν, λέγοντα τὴν περίστασιν καὶ κατασκευάζοντα τοῦ τε προσώπου καὶ τοῦ πράγματος· οἷον τίς ὁ ποιήσας; καὶ τί πράξας; καὶ τίνι τρόπῳ; καὶ ποίῳ καιρῷ, προτιθέντι δὲ καὶ τὴν αἰτίαν ὅσον ἐφάψασθαι· τὴν δὲ τελείαν αὐτῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἐξέτασιν ἐν τῷ οἰκείῳ τόπῳ φυλάττοντα. *Τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους*· ἐν μὲν τῷ στοχασμῷ εἰς τὸ μέσον τῶν κεφαλαίων τίθησι τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἐν δὲ τῷ ὅρῳ κατ' ἀρχάς· διότι ὁ μὲν στοχασμὸς ἀφανὴς ὢν, ἀδυνάτους ἔχει τὰς κατηγορίας· ὁ δὲ ὅρος καὶ αἱ λοιπαὶ στάσεις φανεραὶ οὖσαι καὶ δυνατὰς ἔχουσι τὰς κατηγορίας, κατ' ἀρχὰς τιθέασι ταῦτα.

πεπραγμένων ἐφάσκομεν λαμβάνεσθαι καὶ τὴν προβολήν· ὁμοίως δὲ κἂν τῇ διηγήσει τὰ πεπραγμένα, καὶ οὐκ ἄλλο τι διεξερχόμεθα. διαφέρει δ' οὖν ἀλλήλων τῷ τὴν μὲν διήγησιν ψιλὴν ἀφήγησιν εἶναι, τὰ δὲ ἀπ' ἀρχῆς ἄχρι τέλους ἀποδεικτικά ἐστι [31] καὶ ἐναγώνια· τὴν δ' αὖ προβολὴν μετ' αὐξήσεώς τε καὶ ὄγκου προφέρεσθαι, ὥσπερ παραλαμβάνουσα ἡ διήγησις πῇ μὲν τὸ ἀποδεικτικὸν, πῇ δὲ τὸ αὐξητικὸν, ἀποτελεῖ τά τε ἀπ' ἀρχῆς ἄχρι τέλους καὶ τὴν προβολήν· ταύτῃ μὲν οὖν ἀλλήλων διενηνόχασι· δεῖ δὲ τὴν προβολὴν εὐθὺς ἐπισυμπλέκειν τῇ διηγήσει· τὰ γὰρ ψιλῶς ἡμῖν ἀφηγημένα διὰ τῆς προβολῆς ἀνακεφαλαιουμένους αὔξειν προσήκει· τοῦτο δέ τινες οὐ νοήσαντες ᾠήθησαν τὸν κατὰ Μειδίου λόγον οὐκ ἔχειν διήγησιν, ἀλλὰ μετὰ τὰ προοίμια τετάχθαι τὴν προβολήν· ὥστε ἄρχεσθαι αὐτὴν ἐκ τοῦ· [32] ἐπειδὴ οὐ καθεστηκότος χορηγοῦ τῇ Πανδιονίδι φυλῇ τρίτον ἔτος τουτί· πρῶτον μὲν γὰρ, φασὶν, εἰ δοίημεν ἐν τούτῳ τῷ λόγῳ διήγησιν, περιττὰ δείκνυμεν τὸν ῥήτορα λέγοντα· τί γὰρ ἔδει πρὸς εἰδότας λέγειν τὸ πραχθὲν, καὶ ἀποτείνειν διήγησιν; ἐν γὰρ τῷ θεάτρῳ πάντων ὁρώντων ἐνύβριστο, ὥστε οὐκ ἂν τις ἠγνόει τῶν δικαστῶν, καθὰ καὶ αὐτός φησιν ἐν τῷ λόγῳ καὶ οὐδ' ἂν ἐπεχείρησα [33] κατηγορεῖν ἔγωγε [34] αὐτοῦ νῦν, εἰ μὴ καὶ τότε ἐν τῷ δήμῳ παραχρῆμα ἐξήλεγξα· ἔπειτα, φασὶν, αὐτὸς ὁ ῥήτωρ τοῦτο τὸ μέρος προβολὴν ὠνόμασε, δι' ὧν φησι· τὰ μὲν οὖν εἰς ἐμὲ καὶ τοὺς φυλέτας ἠσελγημένα καὶ τὰ περὶ τὴν ἑορτὴν ἀδικήματα τούτῳ πεπραγμένα, ἐφ' οἷς αὐτὸν προὐβαλόμην, ταῦτά ἐστι· ῥητέον δὲ πρὸς μὲν τὸ πρότερον, ὡς οὐ περιττὸν ἐνταῦθα τὸ τῆς διηγήσεως· πρῶτον μὲν γὰρ μετὰ τὴν ὕβριν [35] τρι-

31 pro ἐστὶ Mon. τε. 32 ἐκ τοῦ Mon. om. 33 Mon. ἐπιχείρησιν. 34 Par. ἔγωγε κατηγορεῖν. 35 Par. μετὰ τὴν διήγησιν καὶ τὴν ὕβριν.

σὶν ἔτεσιν ὕστερος ὁ λόγος εἰσενήνεκται, ὡς αὐτός φησιν· ἐπειδὴ γὰρ οὐ καθεστηκότος χορηγοῦ τῇ Πανδιονίδι φυλῇ τρίτον ἔτος τουτὶ, ὥστε κατὰ τὸ εἰκὸς ἐπιλελησμένους τοὺς δικαστὰς χρῄζειν τῆς ἄνω διηγήσεως· ἔπειτα πρὸς τὸ συμφέρον ἑαυτοῖς τὰ πεπραγμένα μετασχηματίζοντες ἐκφέρουσι τὰς διηγήσεις οἱ ῥήτορες. οὐ τοίνυν οὐδὲ κατὰ τοῦτον τὸν λόγον περιττὴ ἂν ἡ διήγησις ἐτύγχανεν οὖσα. τρίτον ἐπὶ τούτοις· πολλὰ ἔξωθεν διηγησάμενος φαίνεται, ἅπερ οὐκ ἐν τῷ θεάτρῳ ἐπράχθη, οὐδὲ ἦν τοῖς δικασταῖς γνώριμα· οἷον τὸ τοῦ χρυσοχοῦ καὶ τὰ περὶ τὸν αὐλητὴν καὶ ὅσα τοιαῦτα· πρὸς δὲ τὸ δεύτερον εἴρηται· ὅτι εἰ καθάπαξ ἐπισυμπλέκεσθαι δεῖ τῇ διηγήσει τὴν προβολὴν, τί θαυμαστὸν, εἰ κἀνταῦθα τῆς προβολῆς ἐπισυνημμένης τῇ διηγήσει ὁ ῥήτωρ εἶπεν, ἐφ' οἷς αὐτὸν προὐβαλόμην· καὶ ταῦτα μὲν, ὅτι διηγήσεως ὁ κατὰ Μειδίου λόγος οὐκ ἀμοιρεῖ, τὴν δὲ προβολήν τῶν περιστατικῶν αὐξητικῶς προσενεκτέον· καθάπερ καὶ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἐν τῷ στοχασμῷ, ἀλλὰ ταῦτα μὲν ἀποδεικτικῶς· αὐξητικῶς δὲ τὴν προβολήν.

ιά. Τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ὄντων, τῶν μὲν ἐκ τῶν πεπραγμένων, τῶν δὲ ἐκ τῶν παρειμένων, ἡ προβολὴ ἐκ τῶν πεπραγμένων γίνεται, οὖσα τοῦ κατηγόρου· ὁ δὲ ὅρος ἐκ τῶν παρειμένων, ὅς ἐστι τοῦ φεύγοντος. Τὸ τοίνυν κεφάλαιον, τὴν προβολήν φημι, τοῦ κατηγόρου προβαλλομένου καὶ κατασκευάζοντος ἐντελῶς πεπρᾶχθαι τὸ ἔγκλημα, ὁ φεύγων ἐκβάλλων ἀντεισάγει τὰ παρειμένα· ταῦτα λέγων εἶναι τὸ προβαλλόμενον ἔγκλημα, ἃ παρεῖται αὐτῷ. καὶ ὁριζόμενος ἐκ τῶν παρειμένων ἐκβάλλει τὸ εἶναι τοιοῦτος, οἷον αὐτὸν ὁ κατήγορός φησι· καὶ ἵνα τοῦτο ἀκριβέστερον μάθωμεν, εἴπωμεν οὕτως· τῶν πραγμάτων τὰ μέν ἐστιν ἱεροσύλου ἴδια, τὰ δὲ κλέπτου, τὰ δὲ ἀμφοτέρων· ἱεροσύλου μὲν ἴδια ἀνα-

θημάτων ἅψασθαι, εἰς τοὺς θεοὺς ἐνυβρίσαι, ὀλιγωρῆσαι δὲ καὶ τῶν ὁσίων· κλέπτου δὲ τὸ ὑφελέσθαι καὶ λαθεῖν, καὶ ὀργάνοις κλεπτικοῖς χρήσασθαι· κοινὸν δὲ ἀμφοτέρων τὸ βουλεύσασθαι, τὸ προσελθεῖν εἰς τὸ ἱερὸν, τὸ ὑφελέσθαι, τὸ πειρᾶσθαι λαθεῖν· ταῦτα τοίνυν τὰ κοινὰ ὁ κατήγορος προβαλλόμενος κατασκευάζει τὴν ἱεροσυλίαν λέγων, ὅτι ἐβουλεύσω, ὅτι εἰς ἱερὸν εἰσῆλθες, ὅτι ὑφείλου, ὅτι ταῦτα πάντα πεποίηκας, ἔνοχος ἱεροσυλίας τυγχάνεις· ταῦτα γὰρ ὡς ἀληθῶς κοινὰ καὶ τοῦ ἱεροσύλου ἐστὶν, ὁ δὲ φεύγων χωρίζει τὸ πρᾶγμα καὶ ἐκ τῶν ἰδίων κατασκευάζει λέγων, ὅτι ἀναθημάτων οὐχ ἡψάμην, ἱεροῖς οὐκ ἐνύβρισα, ὅπερ ἴδιον ἱεροσύλων· πῶς οὖν ὡς ἱερόσυλον κρίνομεν; χρήσομεν δὲ καὶ ἀντιφατικῶς, εἰ ὁ χρήματα ἱερὰ ὑφελόμενος ἱερόσυλος, ἰδιωτικὰ λαβὼν οὐχ ἱερόσυλος, καὶ πάλιν ἐκ τοῦ ἐναντίου· ὁ ἱερατικὰ[36] χρήματα ἐξ ἰδιωτικῆς οἰκίας λαβὼν ἱερόσυλος, οὐκοῦν ὁ ἐξ ἱεροῦ ἰδιωτικὰ κομισάμενος οὐχ ἱερόσυλος.

ιβ΄. Ὁ ὅρος χωρίζει τὸ πρᾶγμα, χωρίζει δὲ σαφὲς, ὅτι ἀπὸ τοῦ ὀνόματος δεικνὺς ἕτερον μὲν τὸ πραχθὲν, ἕτερον δὲ τὸ ὑπὸ τοῦ κατηγόρου ἐπιφερόμενον ἐγκλήματος ὄνομα,[37] λαμβάνεται δὲ ὁ ὅρος ἐκ τοῦ φεύγοντος ἀεί· πλὴν ἐπὶ τῶν παραδόξων· ἐν γὰρ τοῖς τοιούτοις ἀναστρέφεται πάντα, καθάπερ ἐδείκνυε κἀν τοῖς παραδόξοις τῶν στοχασμῶν. πᾶς δὲ ὅρος ἀναγκαίως ἐκ τῶν παρειμένων λαμβάνεται· τοῦ γὰρ διώκοντος ἐν τῇ προβολῇ μετ᾽ αὐξήσεως τὰ πεπραγμένα παραλαμβάνοντος,[38] χρήσεται ὁ φεύγων ἐξ ἀνάγκης τοῖς παρειμένοις δι᾽ αὐτῶν ἀνασκευάζων τὸ ὑπὸ τοῦ κατηγόρου παραβαλλόμενον ἔγκλημα· χρήσεται δὲ οὐ ψιλῶς ἀντεισάγων τὸν

---

36 Mon. ἱερά. 37 Par. 1. ἐγκλή^μτ ὄν^τ. Mon. ἔγκλημα ὅτι νόμος. Par. 2. ἐγκλήματος ὄνομα. 38 Par. 1. λαμβάνονται. Par. 2. παραλαμβάνοντος. Mon. πάραλαμβάνονται.

ὅρον τῇ προβολῇ, γελοιότατον γὰρ ἂν εἴη τοῦτό γε, εἰ τοῦ κατηγόρου δεινοῦντος καὶ αὔξοντος τὰ πεπραγμένα διὰ τῆς προβολῆς, αὐτὸς παραλαβών τινας ὁρισμοὺς ἀποφαίνοιτο πρότερον· τοιγαροῦν ἀπὸ ἐνστάσεως καθολικῆς ἄρχεσθαι δεῖ, τάξιν τινὰ παραγραφικοῦ ἐπεχούσης τῷ λόγῳ, ὡς οὐ δίκαιον ἱεροσυλίας κρίνεσθαι τὸν μὴ τῶν ἱερῶν ἀναθημάτων ἁψάμενον, μηδὲ τῷ ἀγάλματι προσενεγκόντα τὰς χεῖρας· κατασκευάσει δὲ τὴν ἔνστασιν ἢ ἀπὸ νόμων, εἴ τινα ἔχοι περὶ τοῦ τοιούτου νόμον ἀποφαινόμενον, ἢ ἀπὸ παραδειγμάτων, εἴπερ νόμων ἀποροίη· τὰ δὲ παραδείγματα, καθάπερ ἀνωτέρω δεδήλωται, ἢ οἰκεῖα δεῖ λαμβάνειν ἢ ξενικά· οὕτω γὰρ ἂν μετὰ τὴν ἔνστασιν ἐξ ἀνάγκης τοῦ κατηγόρου ἀπαιτοῦντος δοκοίημεν αὐτοὶ παρεισφέρειν τὸν ὅρον· ἡμῶν γὰρ ἐνισταμένων τῷ ἐπιφερομένῳ καὶ ἀρνουμένων, ὡς οὐκ εἴη ἱεροσυλία τὸ πεπραγμένον παρὰ τοῦ διώκοντος, δυνάμει τοιαύτη τις ἂν ἀπαίτησις φέροιτο, τί οὖν φὴς εἶναι τὸ πεπραγμένον, εἴπερ ἱεροσυλίαν οὐκ εἶναι λέγεις; καὶ τηνικαῦτα εὐκαίρως ὁ ὅρος εἰσενεχθήσεται, ὥσπερ κατ᾽ ἀνάγκην τινὰ καὶ ἀπαίτησις τοῦ κατηγόρου· οἷον ὅτι κλοπὴ τὸ πεπραγμένον, εἶτα ὁ ὅρος ἐκ τῶν παρειμένων· τὸ γὰρ ὑφελέσθαι τι τῶν ἱερῶν χρημάτων ἱεροσυλία ἐστὶ, καὶ τὸ περισυλῆσαί τι τῶν ἀναθημάτων καὶ τῶν πρὸς κόσμον τοῦ τεμένους· ἔπειτα κἀκ τῶν πεπραγμένων, κλοπὴ δὲ γέ ἐστιν ἰδιωτικῶν χρημάτων ὑφαίρεσις, ὅπου ποτ᾽ ἂν γίνοιτο· τοῦτον γὰρ τὸν τρόπον ὁρίζεσθαι δεῖ τά τε ὑφ᾽ ἡμῶν καὶ τοῦ κατηγόρου λεγόμενα· οὐ γὰρ μόνον τὸ ἡμέτερον, ἀλλὰ καὶ τὸ τοῦ διώκοντος ὁριζόμεθα, τὸ μὲν ἵνα κατασκευάσωμεν, τὸ δὲ τοῦ διώκοντος ἀνατρέψωμεν· γίνεται δὲ ἥ τε τῶν ἡμετέρων κατασκευὴ καὶ ἡ τῶν ἐναντίων ἀνατροπὴ ἐκ τῆς ἀκολούθου καὶ ἀνακολούθου ἐπαγωγῆς· ἀκόλουθον μὲν γὰρ ποιούμενοι τὴν ἐπαγωγὴν τὸ οἰκεῖον κατασκευάζομεν,

διὰ δὲ τῆς ἀνακολούθου τὸν ἀντίδικον ἐξελέγχομεν, ὡς ἐπ' αὐτοῦ τοῦδε τοῦ παραδείγματος. οἷον οὐ δίκαιον ἱεροσυλίας με κρίνεσθαι· ἱεροσυλία γάρ ἐστι τὸ τῶν ἀναθημάτων ὑφελέσθαι τι, τὸ προσβαλεῖν τῷ ἀγάλματι τὰς χεῖρας, καὶ περισπᾶσαι τὰ περικείμενα· εἶτα ἡ ἀνακόλουθος ἐπαγωγὴ, ὧν οὐδὲν ἔμοιγε πέπρακται· τὴν γὰρ ἱεροσυλίαν προβαλλομένου τοῦ διώκοντος ἀσύμφωνον ἐπιφέροντες τὴν ἐπαγωγὴν δείκνυμεν, ὡς οὐκ ἂν ἱεροσυλία καθεστήκοι τῷ μὴ συμφωνεῖν τὰ ὑφ' ἡμῶν πεπραγμένα· τῷ δέ ὀνόματι τοῦ ἐγκλήματος, καὶ ἐκ τοῦ ἔμπαλιν τὸ ἡμέτερον κατασκευάσομεν ἀκόλουθον τὴν ἐπαγωγὴν ἐπιφέροντες· οἷον κλοπὴ δέ ἐστιν ἡ τῶν ἰδιωτικῶν χρημάτων ὑφαίρεσις, ὅθεν ἂν τύχοι, ὅπερ νῦν ἐγὼ διεπραξάμην· πάλιν διὰ τῆς ἀκολούθου ἐπαγωγῆς τὸ παρ' ἡμῶν παραβαλλόμενον κατεσκεύασται, προσφερὲς τοῖς πεπραγμένοις ἐπιδειχθέν· εἰ δέ τις ζητοίη, πῶς ἔφη τὸν ὅρον ἐκ τῶν παρειμένων γενέσθαι, ὅπου γε οὐ μόνον παρειμένα λαμβάνει, ἀλλὰ καὶ τὰ πεπραγμένα, μανθανέτω, ὅτι τὰ κεφάλαια δεῖ κρίνειν οὐκ ἀφ' ὧν ἔξωθέν τι παραλαμβάνουσιν, ἀλλ' ἐκ τῆς φύσεως αὐτῶν καὶ τοῦ τέλους πρὸς ὃ ῥέπουσιν· εἰ οὖν τοῖς πεπραγμένοις ὁ διώκων χρῆται διὰ τῆς προβολῆς αὔξων, ὁ φεύγων δῆλον ὅτι διὰ τῶν παρειμένων ἐξελέγχειν πειράσεται τὸν κατήγορον, δεικνὺς ἐλλείπειν ταῦτα τοῦ ὑπὸ τοῦ κατηγόρου προβαλλομένου ἐγκλήματος· καὶ ὅλως τὰ μὲν πεπραγμένα καθάπαξ τοῦ κατηγόρου ἐστίν· ἀπ' αὐτῶν γὰρ ποιεῖται τὴν κατηγορίαν, τὰ δὲ παρειμένα τοῦ φεύγοντος· εἰ οὖν καὶ ὁ ὅρος τοῦ φεύγοντος, ἐκ τῶν παρειμένων σαφὲς ὅτι γενήσεται. τὰ δὲ πεπραγμένα κατὰ περιουσίαν ἔξωθεν παραλήψεται, ἵνα μὴ δοκῇ μόνοις αὐτοῖς ὁ κατήγορος ἰσχυρίζεσθαι· ληπτέον οὖν [39] τοὺς

39 Parr. δέ.

ὅρους διαφόρως· ὁ μὲν γὰρ κατήγορος τὸν ἀνθορισμὸν,[40] ὃς οὐδὲν ἕτερόν ἐστιν ἢ ὁ ὅρος τοῦ διώκοντος, ὃν ἀπὸ τῶν κοινῶν ἑκατέρῳ ἐγκλήματι παραλήψεται· ὁ δὲ φεύγων ἀπὸ τῆς ἑκατέρου ἰδιότητος· οἷον ὁ μὲν κατήγορος τὸ πραχθὲν ἱεροσυλίαν ἀποφαίνειν ἐθέλων σκοπήσει, τί κοινὸν ἱεροσυλίᾳ ἐστὶ [41] καὶ κλοπῇ, κἀκ τῶν κοινῶν ἑκατέροις ὁριεῖται τὴν ἱεροσυλίαν, ὁ δὲ φεύγων διαστήσει τῶν ἐγκλημάτων διασαφῶν ἀμφοτέρων τὴν ἰδιότητα, ὡς ἐπὶ τοῦ προκειμένου παραδείγματος· κοινὸν μὲν κλοπῇ τε καὶ ἱεροσυλίᾳ τὸ παρελθεῖν ὅλως διὰ τοῦ τέγους, τὸ περὶ χρημάτων ὑφαιρέσεως βουλεύσασθαι, τὸ πάντα μηχανήσασθαι πρὸς τὸ λαθεῖν, ἐξ ὧν ὁ διώκων πειράσεται δεικνύναι τὸ πραχθὲν ἱεροσυλίαν· πάλιν δ᾿ αὖ κλοπῆς μὲν ἴδιον τὸ χρήμασιν ἰδιωτικοῖς ἐπιχειρεῖν, τὸ μηδὲν ἱερὸν ἀφαιρεῖσθαι· ἱεροσυλίας δὲ τὸ προσενεγκεῖν τῷ ἀγάλματι τὰς χεῖρας, τὸ ἅψασθαι τῶν ἀναθημάτων τῶν ἱερῶν· δι᾿ ὧν ὁ κατηγορούμενος ἀποδείξει τὸ ὑφ᾿ ἑαυτοῦ πεπραγμένον οὐχὶ ἱεροσυλίαν ἀλλὰ κλοπήν· οὕτω γὰρ τό τε οἰκεῖον συστήσει καὶ τὸ τοῦ ἐναντίου διαβαλεῖ· τὰ γὰρ ἑκάτερα τῶν ἐγκλημάτων ἴδια λέγων δείκνυσι κλοπὴν τὸ πεπραγμένον καὶ οὐχ ἱεροσυλίαν· χρὴ δὲ εἰδέναι, ὡς οὐκ ἐν τῷ ὅρῳ μόνῳ ἀλλ᾿ ἐπὶ πάσης καθολικωτέρας στάσεως τούτῳ χρηστέον τῷ τρόπῳ, ἔνθα συστῆσαι μὲν τὰ ἑαυτῶν, διαβαλεῖν δὲ τοὺς ἐναντίους ἐθέλομεν, ὡς ὁ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου διδάσκει σαφέστατα, τί μέν ἐστι σύμβουλος, τί δὲ συκοφάντης διοριζόμενος, ἵνα δείξῃ τὸν μὲν Αἰσχίνην τὰ τῶν συκοφαντῶν, ἑαυτὸν δὲ τὰ τῶν συμβούλων διαπράξαντα· φησὶ δὲ οὕτως· [42] „ἦν μὲν οὖν τοῦ δικαίου πολίτου τὸ δεῖξαι πᾶσιν, εἴ τι τούτων εἰπεῖν εἶχεν ἄμεινον, μὴ νῦν ἐπιτι-

40 Mon. ἀνθορισμένον. 41 Mon. ἱεροσυλία τε καὶ κλοπή. Sqq. κἀκ τῶν κοινῶν ἑκατέροις — — προκ. παραδείγματος Par. 1. om. 42 p. 291.

μᾶν· ὁ γὰρ σύμβουλος καὶ συκοφάντης ἐν οὐδενὶ τῶν ἄλλων ἐοικότες [43] ἐν τούτῳ πλεῖστον ἀλλήλων διαφέρουσιν· ὁ μὲν γὰρ πρὸ τῶν πραγμάτων γνώμην ἀποφαίνεται, καὶ δίδωσιν ἑαυτὸν ὑπεύθυνον τοῖς πεισθεῖσι τῇ τύχῃ καὶ τοῖς καιροῖς τῷ βουλομένῳ, ὁ δὲ σιγήσας ἡνίκα ἔδει λέγειν, ἄν τι δύσκολον συμβῇ τούτῳ βασκαίνει," καὶ τὰ ἑξῆς.

ιγ'. Ὁ ἀνθορισμός ἐστι μὲν τοῦ κατηγόρου ἐκ τῶν ἐναντίων ἐπιχειρημάτων τῷ ὅρῳ ὁρμώμενος, ὡς καὶ τὸ ὄνομα δηλοῖ· τοῦ φεύγοντος γὰρ μὴ συγχωρήσαντος τῇ περὶ τοῦ κατηγόρου προβολῇ ὁδῷ προελθεῖν ἀλλ' ἀμφίβολον αὐτὴν διὰ τοῦ ὅρου καταστήσαντος, ὁ δὲ κατήγορος διὰ τοῦ ἀνθορισμοῦ κατασκευάζειν ἐπιχειρεῖ τὰ σαλευθέντα τῆς προβολῆς· ἔφαμεν γὰρ, ὅτι ἐν τοῖς ἀτελέσι τῶν πραγμάτων ὁ κατήγορος καὶ ὁ φεύγων τοὺς λόγους μερίζονται· καὶ ὁ μὲν ἔχει τὰ παρειμένα, ὁ φεύγων, ὁ δὲ ἐκ τῶν πεπραγμένων τὴν κατηγορίαν ποιεῖται· ἐντεῦθεν τοῦ κατηγόρου χρησαμένου τῇ προβολῇ, ὁ φεύγων τὸν ὅρον προβάλλεται ἀνατρέπων τὴν προβολὴν, τοῦ δὲ φεύγοντος τὸ συμφέρον ὁρισαμένου ὁ κατήγορος καὶ αὐτὸς ἀνθορίζεται, ἐξ ὧν ἐκεῖνος πεποίηκεν, ὅτι ἐβουλεύσω, εἰσῆλθες εἰς ἱερὸν, ἱερόσυλος εἶ· καὶ οὕτως ἑκάτερος [1] ἐκ τῶν περιστατικῶν τὸν ὅρον παρέχεται· πρὸς τὴν ἰδίαν βούλησιν μεταφέρων [2] τοὺς λόγους· τούτῳ γὰρ διαφέρει ὅρος φιλόσοφος ῥητορικοῦ ὅρου, ὅτι ὁ μὲν τῶν φιλοσόφων ἐξ ἀληθείας ὥρμηται καὶ πραγμάτων, ὁ δὲ ἐκ τῆς τῶν ῥητόρων βουλήσεως καὶ τοῦ συμφέροντος τὴν σύστασιν ἔχει· ἀπορήσειε δ' ἄν τις, εἰ μὴ καὶ ἐν τῇ προβολῇ ὁ κατήγορος ὁρίζεται τὸ ἔγκλημα, καί φαμεν, ὅτι καὶ διὰ τῆς [3] προβολῆς μὲν προφέρει τὸν ὅρον, καθολικὸν

43 Mon. ἀπεοικότες. scr. ἐοικότες. 44 Mon. καὶ om.

1 Mon. οὗτος ἑκάτερον. 2 Mon. μεταφέρει. 3 διὰ τῆς προβολῆς μὲν προφ. — — τὸν ὅρον, λέγων εἴπερ Mon. om., re-

δὲ τοῦτο θεώρημά ἐστιν, ὅτι ἐν μὲν τῇ προβολῇ μερικῶς προάγει τὸν ὅρον, λέγων εἴπερ εἰσῆλθες εἰς ἱερὸν, καὶ οἷα δήποτε χρήματα ἐκεῖθεν ὑφείλου, ἱερόσυλος γέγονας· ἐν δὲ τῷ ἀνθορισμῷ καθόλου τὸν ὅρον προφέρει λέγων, ὅτι πᾶς εἰς ἱερὸν εἰσελθὼν κἀκεῖθέν τι ὑφελόμενος ἱερόσυλος· ἰστέον δὲ, ὡς οὐδὲν διαφέρει ὁ ὅρος καὶ ὁ ἀνθορισμός· ἑκάτερος γὰρ πρὸς τὸ βούλημα καὶ τὸ χρήσιμον ἑαυτῷ ὁριστικῶς κατασκευάζει τόδε τι εἶναι τὸ ὑποκείμενον· διὰ δὲ τὸ τὸν μὲν προτετάχθαι, τὸν δὲ ἐπάγεσθαι, τὸ μὲν ὅρος, τὸ δὲ ἀνθορισμὸς κέκληται· ἀμφότεροι δὲ ὅμως εἰσὶν ὅροι πρὸς τὸ συμφέρον ὁριζόμενοι· γίνεται δὲ ἐκ τῶν πεπραγμένων ὁ ἀνθορισμός· τοῦ γὰρ φεύγοντος καὶ ἀντιλέγοντος τῇ αἰτήσει ἰσχυριζομένου τοῖς παραλειφθεῖσι καὶ παρακειμένου τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους καὶ διὰ τούτων ἢ ἀπολογουμένου ἢ τὴν αἴτησιν ἐκβάλλοντος, πάλιν αὖθις ὁ κατήγορος ἢ ὁ αἰτῶν, σχῆμα γὰρ καὶ οὗτος ἔχει κατηγορίαν, τοῖς πεπραγμένοις περιπλακήσεται· τῶν δὲ ἀπ' ἀρχῆς ἄχρι τέλους τὸ μὲν πέπρακται ἐν ὅρῳ, τὸ δὲ λείπει· καὶ τῷ μὲν κέχρηται ὁ κατήγορος, τῷ δὲ ὁ φεύγων· ἐκ τῶν πεπραγμένων οὖν ἔχει πᾶσαν τὴν ἀπορίαν ὁ κατήγορος, καθάπερ ἐκ τῶν παρειμένων ὁ φεύγων καὶ ὁ ἀντιλέγων τῇ δωρεᾷ. θήσεται τοίνυν καὶ αὐτὸς τὸν ἴδιον ὅρον, ὅ ἐστι τὸν ἀνθορισμόν· εἰ μὲν εἴη κατήγορος, ἀπὸ τῶν πεπραγμένων τὸ ἔγκλημα τῷ φεύγοντι ἀποδεικνὺς, ὅπερ ἐστὶ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, τὸ γὰρ πεπραγμένον λέγει εἶναι αὐτὸ τὸ ἐπαγόμενον ἔγκλημα, καὶ οὐδὲν διαφέρειν· εἰ δὲ αἴτησις εἴη δωρεᾶς, τὸν ἴδιον ὅρον ὁ κατήγορος, ὅ ἐστι τὸν ἀνθορισμὸν, ἐκ τῶν ἑαυτῷ πεπραγμένων κατασκευάσει σεμνυνόμενος, καὶ φήσει τοῦτο εἶναι κατάλυσιν τυραννίδος, τὸ παῦσαι τὴν πόλιν δουλεύουσαν.

ιδ'. Πόθεν μὲν οὖν ληπτέον τὸν ἀνθορισμὸν, εἴρη-

---

cepi ex Par. 2.

ται ἐν τῷ ὅρῳ, ἔνθα ἐλέγομεν τὸν φεύγοντα ἀπὸ τῆς περὶ ἑκατέρου τῶν ἐγκλημάτων ἰδιότητος λαμβάνειν τοὺς ὅρους· τὸν δὲ διώκοντα τοὐναντίον ἐκ τῆς ἀμφοτέρων κοινωνίας· ὁ γὰρ ἀνθορισμὸς οὐδὲν ἄλλο ἢ ὅρος ἐστὶ τοῦ διώκοντος· γίνεται δὲ, φησὶν, ἐκ τῶν πεπραγμένων· τοῦ γὰρ φεύγοντος χρωμένου τοῖς παρειμένοις, ὁ διώκων ἐκ τοῦ ἐναντίου τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους παραλήψεται, τουτέστιν αὐτὰ τὰ πράγματα [4] διὰ τῶν περιστατικῶν ἐκφέρων, οἷον ἐκ τοῦ τόπου, ἐκ τοῦ καιροῦ, ἐκ τῆς ὕλης, κατασκευάζων τε καὶ ὁριζόμενος τὸ ἔγκλημα· ζητήσειε δ᾽ ἄν τις, τίνι διοίσει τῆς προβολῆς ὁ ἀνθορισμὸς, εἴγε τῶν κεφαλαίων ἑκάτερα ἐκ τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, τουτέστιν ἐκ τῶν πεπραγμένων γίνεται, καὶ διὰ τῶν περιστατικῶν ἄμφω πρόεισιν· ῥητέον δὲ, ὡς ἥνπερ ἔχει διαφορὰν ἐν τῷ ὅρῳ, φημὶ τῷ κεφαλαίῳ, τὸ ἐνστατικὸν ἐπιχείρημα, ὅπερ ἐλέγομεν τάξιν ἐπέχειν παραγραφικοῦ πρὸς τὸν αὐτὸν ὅρον, ταύτην ἔχει καὶ ἡ προβολὴ πρὸς τὸν ἀνθορισμὸν, ὥσπερ ἐκεῖσε τὴν μὲν ἔνστασιν κατὰ ψιλὴν ἀπόφασιν λαμβάνομεν, ὡς ὁμολογουμένοις χρώμενοι τοῖς παρειμένοις, ὅτι οὐ δεῖ κρίνεσθαι ἱεροσυλίας τὸν μὴ τῶν ἀναθημάτων ἁψάμενον, τὸν μὴ τῷ ἀγάλματι προσενεγκόντα τὰς χεῖρας, ἅπερ κατὰ ψιλὴν ἀπόφασιν προσφέρομεν ὡς ὁμολογούμενα, τὸν δὲ ὅρον οὐχ οὕτως, ἀλλ᾽ ἐναγώνιον· ὁριζόμεθα γὰρ καὶ δείκνυμεν, τί μέν ἐστιν ἱεροσυλία, τί δὲ κλοπή· οὕτως καὶ τῇ προβολῇ τε καὶ ἀνθορισμῷ· ἐν μὲν γὰρ τῇ προβολῇ κατὰ αὔξησιν ὡς ὁμολογούμενα προφέρει τὰ πεπραγμένα, καθάπερ ἐν διηγήσει ἐκτιθέμενος, ἐν δὲ τῷ ἀνθορισμῷ ἀγωνιστικῶς καὶ ἀνθοριζόμενος τῷ φεύγοντι· ἐπεὶ δὲ τὰ παρὰ τῶν ἐναντίων ἀντιθετικῶς προσήκει λαμβάνειν τὴν λύσιν ἐπάγοντας, ἵνα μὴ δοκοίημεν ἐκ μονομεροῦς

κε-

4 Par. 1. πεπραγμένα.

κεχρῆσθαι ταῖς ἀποδείξεσιν, ἀναγκαῖον εἰπεῖν, τὸν τοῦ φεύγοντος ὅρον ἀντιθετικῶς ὁ κατήγορος ἐν τῷ ἀνθορισμῷ παραλήψεται· ληπτέον τοίνυν οὐκ ἐκ τῶν παρειμένων τὴν ἀντίθεσιν, ταῦτα γὰρ εὐθὺς δοκεῖ τῷ κατηγορουμένῳ συνηγορεῖν, ἀλλ᾽ ἐκ τῶν πεπραγμένων, ἅπερ ἐστὶν ὑπὲρ τοῦ διώκοντος, ἵνα ὡς ἀπὸ τοῦ φεύγοντος κατὰ ἀντίθεσιν τὰ πεπραγμένα εἰσφέρωμεν, σοφιζόμενοι καὶ παρακρουόμενοι τοὺς δικαστάς· ἐν σχήματι γὰρ ἀντιθέσεως τὰ ὑπὲρ ἡμῶν παρεισφέροντες παρακρουσαίμεθα ἂν αὐτοὺς πιθανώτατα, ὥσπερ ἐν τῷ κατὰ Μειδίου Δημοσθένης πεποίηκεν· ἔστι δὲ πρῶτον μὲν ἐκεῖνο οὐκ ἄδηλος ἐρῶν· ἐξ ὧν ἰδίᾳ πρός τινας διεξιὼν ἀπηγγείλατό μοι, ὡς εἴπερ ἀληθῶς ταῦτα ἐπεπόνθειν ἃ λέγω, δίκας ἰδίας μοι προσῆκεν αὐτῷ λαχεῖν τῶν μὲν ἱματίων καὶ τῶν χρυσῶν στεφάνων τῆς διαφθορᾶς [5] καὶ τῆς περὶ τὸν χορὸν πάσης ἐπηρείας καὶ βλάβης· ὧν δ᾽ εἰς τὸ σῶμα ὑβρίσθαι φημὶ ὕβρεων οὐ μὰ Δία, οὐχὶ δημοσίᾳ κρίνειν αὐτὸν, καὶ τίμημα ἐπάγειν ὅ τι χρὴ παθεῖν αὐτὸν ἢ ἀποτῖσαι· οὕτω γὰρ ὡς ἐν ἀντιθέσει τὰ πεπραγμένα εἰσενεγκὼν πάλιν τε ἀνέμνησε τῶν ἐγκλημάτων τοὺς δικαστὰς, καὶ τὸ προσκορὲς διέφυγε, περιθεὶς τῷ δι᾽ ἐναντίας τὸν λόγον· τοῦτον μὲν οὖν τὸν τρόπον ὁ διώκων ἀντιθετικῶς ἐκ τῶν πεπραγμένων λήψεται τὸν ὅρον, ὅταν ἧττον [6] ἰσχύῃ τοῖς παρειμένοις ὁ φεύγων· εἰ δὲ ἰσχυρὰ ὄντα τυγχάνει [7] ὄντα τῷ κατηγορουμένῳ, κἀντεῦθεν μέγιστον ὁ διώκων βλαβήσεται· προσήκει γὰρ τὰ ἰσχυρὰ τῶν ἐναντίων παραλαμβάνοντας λύειν ἐπιχειρεῖν· ληψόμεθα οὖν ἐν ἀντιθέσει τὰ παρειμένα οὐχ ἁπλῶς ἀλλὰ προδιαβάλλοντες αὐτὰ, καὶ διασύροντες τὴν ἀντίθεσιν, ὥσπερ καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου· [8]

---

5 Mon. Par. 2. τὰς διαφοράς. Par. 1. τῆς διαφθορᾶς. 6 ἧττον Par. 1. om. Mon. ἰσχύει. 7 Par. 1. τυγχάνοι. 8 p. 523.

„μὴ δὴ τοῦτο λέγειν αὐτὸν ἐᾶτε, ὅτι καὶ δίκας ἰδίας δίδωσιν ὁ νόμος μοι καὶ γραφὴν ὕβρεως· δίδωσι γάρ, ἀλλ' ὡς οὐ πεποίηκεν ἃ κατηγόρηκεν ἢ πεποιηκὼς οὐ περὶ τὴν ἑορτὴν ἀδικεῖ, τοῦτο δεικνύτω·" διέβαλλε γὰρ ἐξ ἀρχῆς τὴν ἀντίθεσιν εἰπών· μὴ δὴ τοῦτο λέγειν αὐτὸν ἐᾶτε· φαίνεται δὲ ἐνταῦθα δύο ποιήσας ὁ Δημοσθένης καὶ τῇ διαβολῇ χρησάμενος, καὶ τὰ πεπραγμένα σεσοφισμένως, καθάπερ ἀνωτέρω ἐλέγομεν, ὡς ἐν ἀντιθέσει εἰσαγαγών· οὐ γὰρ εἴωθεν ὁ ῥήτωρ μιᾷ χρήσασθαι μεθόδῳ πρὸς τὸ χρήσιμον, ἀλλ' εἰς ταὐτὸν ἅπαντα συνάγει τε καὶ συμπλέκει τὸ ὠφελοῦν πανταχόθεν θηρώμενος· χρήσαιτο δ' ἄν τις τοῖς παρειμένοις κατὰ διαβολὴν οὕτως ἐπὶ τοῦ κρινομένου ἱεροσύλου· „μὴ δὴ τοῦτο λέγειν αὐτὸν ἐᾶτε, ὅτι χρημάτων οὐχ ἥψατο ἱερῶν, οὐδὲ τῶν ἀναθημάτων τι παρείλετο· οὐ γὰρ ἐπειδὴ κατὰ τύχην ἰδιωτικοῖς περιέτυχε χρήμασι, διὰ τοῦτο ἄξιος ἂν εἴη τὸ ἔγκλημα τῆς ἱεροσυλίας ἀποφυγεῖν."

ιέ. Ἐπὶ τούτοις ὁ συλλογισμὸς [9] ἕπεται ἀπὸ τοῦ κατηγόρου συνάγων ἀμφοτέρας τὰς ὕλας, τήν τε τοῦ παρειμένου καὶ ἐκ τῶν πεπραγμένων· τοῦ γὰρ ὅρου ἐκ τῶν λειπόντων ὄντος καὶ τούτοις, ὡς ἐδείξαμεν, ἰσχυριζομένου, τοῦ δὲ ἀνθορισμοῦ ἐκ τῶν πεπραγμένων, ὁ συλλογισμὸς ἀμφότερα συνδεῖ· καί φησιν, ὡς ἴσον ἐστὶν ἢ οὐδὲν διαφέρει τοιῶσδε ὑβρίζειν εἴς τινα ἢ ἀδικεῖν, ὡς καὶ ἐπὶ

---

9 Sch. min.: ἐστὶ λίαν θαυμάσαι τὸν τεχνικὸν τῆς τάξεως τῶν κεφαλαίων· οὐ γὰρ τῷ αὐτῷ προσώπῳ τὴν προβολὴν καὶ τὸν ὅρον δίδωσιν, ἀλλὰ ταῦτα μερίσας τῷ γε προτέρῳ λέγοντι δέδωκε τὴν προβολήν, τῷ δὲ μετ' αὐτὸν εἰσιόντι τὸν ὅρον, εἰκότως τοῦ μὲν προτέρου λέγοντος καὶ κεχρημένου τῇ προβολῇ ὁ δεύτερος τῷ ὅρῳ τῶν προειρημένων ἐκλύει τὴν ἰσχύν. — Εἰ ὁ συλλογισμὸς προτάσεως ἐστι συμπέρασμα, διατί μὴ ἔσχατος ἐτέθη; ὅτι οὐ περὶ συλλογισμοῦ ἐνταῦθα ἡ φροντίς· τῷ μὲν γὰρ ἴδιον ἀπὸ ἓξ ἢ πέντε γίνεσθαι προτάσεων, οἱ δὲ κυρίως ἀπὸ δύο προτάσεων γίνονται.

τοῦ ἱεροσύλου καὶ τοῦ ἰδιωτικὰ χρήματα ὑφελομένου· ἐρεῖ γὰρ, ὅτι ἀμφότεροι πονηροὶ, ἀμφότεροι θεῶν καταφρονηταὶ, ἀλλ᾽ ἴσον μὲν ἀποφανεῖ τοῦτο τῷδε ὁ κατήγορος, ὅτε τὰ παρειμένα μὴ λίαν διεστηκότα τυγχάνει· ἐὰν γὰρ μὴ πολὺ λείπῃ τὸ παρὰ τοῦ φεύγοντος εἰργασμένον τοῦ παρὰ τοῦ κατηγόρου λεγομένου, ἐροῦμεν, ὡς ἴσον ἐστὶ τόδε· τὸ γὰρ ἐπανατείνεσθαι συνεχῶς κατ᾽ αὐτοῦ τὰς χεῖρας ἴσον ἐροῦμεν τῇ διὰ τῶν πληγῶν ὕβρει· εἰ δὲ σφόδρα διΐσταται, οὐκέτι χώραν ἔχει ἡ συναγωγὴ, ὡς ἐπὶ τούτου· νόμος τὸν ἐξιόντα ἐπὶ πόλεμον στρατηγὸν [10] παρατίθεσθαι, εἰ ἔχοι θυγατέρα, τῷ συστρατήγῳ, καὶ νόμος τὸν βιασάμενον χιλίας διδόναι, [11] ἐξιών τις ἐπὶ πόλεμον στρατηγὸς [12] παρέθετο τῷ συστρατήγῳ τὴν θυγατέρα· λαβὼν ἐκεῖνος ἐβιάσατο· ἐπανελθὼν ὁ στρατηγὸς κρίνει αὐτὸν δημοσίων ἀδικημάτων· ὁ δὲ ὡς βιασάμενος τὰς χιλίας ἀξιοῖ διδόναι· ἐνταῦθα γὰρ ὁρίζεται μὲν ὁ κατήγορός τι ἴδιον τοῦ δημοσίᾳ τὴν πόλιν ἀδικοῦντος, ὁρίζεται δὲ καὶ ὁ φεύγων, λέγων ὅτι ὁ ναῦς προδιδοὺς, ὁ πολίτας, [13] οὗτος δημοσίᾳ τὴν πόλιν ἀδικεῖ· ἀλλ᾽ ἐν τῷ συλλογισμῷ ὁ κατήγορος οὐ δύναται συνάγων εἰπεῖν, ὅτι ἴσον ἐστὶ τὸ βιάσασθαι τοῦ πρεσβευτοῦ τὴν θυγατέρα τῷ λιμένας καὶ τείχη προδοῦναι· δοκεῖ γάρ πως ἀναίσχυντον εἶναι· τί οὖν ἐν τοῖς τοιούτοις ποιήσει; μεθοδεύσει τὸν λόγον καὶ ἐρεῖ, ὡς οὐ διαφέρει τοιῶσδε ἢ τοιῶσδε [14] τὴν πόλιν ἀδικεῖν· καὶ ταῦτα γὰρ δημόσιά ἐστιν ἀδικήματα, καὶ τὸ θυγατέρα δὲ πρεσβευτοῦ βιάσασθαι δημόσιόν ἐστιν ἀδίκημα, ὃ καὶ κατασκευάσει λογισμοὺς προσπλέκων, ὅτι ὁ [15] τὸ σχῆμα τῆς πόλεως πεπιστευμένος καὶ μόνος ὑπὲρ πάντων κινδυνεύ-

---

10 στρατηγὸν Par. 1. om., idem pro συστρατ. legit τῷ στρατηγῷ. Mon. εἰ ἔχει θυγ. 11 Par. δοῦναι. 12 στρατηγὸς Mon. om. 13 Mon. ὁπλίτας sine ὁ. 14 ἢ τοιῶσδε Mon. om. Par. 1. τὴν πόλιν τοιῶς δὲ ἢ τ. ἀ. 15 Mon. οὐ.

ων, οὗτος εἰ ἀδικηθήσεται πῶς οὐκ ἐπὶ τὴν πέμψασαν πόλιν τὸ ἀδίκημα ἐπανενεχθήσεται, ἀλλὰ καὶ στρατηγοῦ παρανομοῦντος ἡ χώρα σύμπασα τῶν ἀδικημάτων ἀνάπλεως.

ιϛʹ. Ὁ συλλογισμὸς συνάγει ἄμφω, μηδὲν γὰρ διαφέρειν [16] ἀλλήλων ταῦτα ἀγωνίζεται, τουτέστι τά τε πεπραγμένα καὶ τὰ παρειμένα, δεικνὺς παραπλήσια καθεστάναι τοῖς παρειμένοις τὰ πεπραγμένα, οἷον ταὐτόν ἐστιν, ἐξ ἱεροῦ ἰδιωτικὰ χρήματα ὑφελέσθαι καὶ ἱερά· ἔστιν οὖν ἀεὶ τοῦ διώκοντος τὸ κεφάλαιον πλὴν τῶν παραδόξων, καὶ φέρεται πρὸς τὸν ὅρον, καθάπερ ὁ ἀνθορισμός· ζητητέον δὲ, τίνι διαφέρει τοῦ συλλογισμοῦ ὁ ἀνθορισμὸς, εἴγε ἀμφότερα τὰ κεφάλαια πρὸς τὸν ὅρον φέρεται καὶ πρὸς ἐκεῖνον ἔχει τὴν ἐναντιότητα· διαφέρει δ᾽ οὖν ἀλλήλων, ὅτι ὁ μὲν [17] ἀνθορισμὸς κατὰ τὴν [18] ἔνστασιν, ὁ δὲ συλλογισμὸς κατὰ ἀντιπαράστασιν γίνεται· καὶ γὰρ πᾶσα ἀντιλογία ἢ κατὰ μάχην ἢ κατὰ μέθοδον πρόεισι· κἂν μὲν κατὰ μάχην, καλεῖται ἔνστασις, ὅταν εἰς αὐτὸ τὸ ἐναντίον περιτρέπωμεν τὸν λόγον, τὸν ὑπὲρ τοῦ ἀντιδίκου λεγόμενον παντελῶς οὐ παραδεχόμενοι· ἂν δὲ κατὰ μέθοδον, καλεῖται ἀντιπαράστασις, ὅταν τὸ λεγόμενον ὑπὸ τοῦ ἐναντίου δεχώμεθα, κατὰ ἄλλο δέ τι ἀνατρέπωμεν αὐτό· γίνεται οὖν κατὰ μὲν ἔνστασιν ὁ ἀνθορισμὸς, κατὰ δὲ ἀντιπαράστασιν ὁ συλλογισμός· ὁ μὲν γὰρ ἀνθορισμὸς καὶ ἐκ τοῦ ὀνόματος τὴν πρὸς τὸν ὅρον μάχην ἐνδείκνυται, [19] ὡς κατὰ μάχην αὐτῷ καὶ ἔνστασιν πρόεισιν· ὁ δὲ συλλογισμὸς ἐναντιοῦται μὲν καὶ αὐτὸς τῷ ὅρῳ· τὸ δὲ ἐναντίον οὐ πρὸς αὐτὰ

16 Par. 1. ἀλλήλων ταῦτα διαφέρειν ἀγωνίζεται. Par. 2. Mon. ᾿γωνιεῖται, φησι. sine dubio φησὶ est glossa. 17 Mon. Par. 2. ὅ τε. Par. 1. ὅτι ὁ μέν. 18 τὴν Par. 1. om. 19 ἐνδείκνυται ὡς κατὰ μάχην. Mon. om.

ποιεῖται τοῦ φεύγοντος τὰ ῥήματα, ἀλλὰ δέχεται μὲν τὰ λεγόμενα, κατ᾽ ἄλλο δέ τι ἐναντιοῦται αὐτῷ· τοῦ γὰρ φεύγοντος ὁριζομένου τοῦτο εἶναι ἱεροσυλίαν τὸ τῶν χρημάτων τι τῶν ἱερῶν ὑφελέσθαι ἢ περισπᾶσαί τι τῶν ἀναθημάτων, ὁ διώκων ἐν τῷ συλλογισμῷ δέχεται μὲν τὰ λεγόμενα, εἰς ταὐτὸν δ᾽ ἄγειν αὐτὰ πειρᾶται τοῖς πεπραγμένοις, φάσκων ταὐτὸν εἶναι, κἄν τε ἰδιωτικὰ κἄν τε ἱερὰ χρήματα ἐξ ἱεροῦ τις ὅλως ὑφέληται· καὶ δι᾽ ἂν ἄμφω συνάγει, πρὸς ταὐτὸ τὴν ἐναντιότητα πρὸς τὸν ὅρον ἔχει· διαστέλλειν γὰρ ὁ ὅρος βούλεται τὰ παρειμένα ἐκ τῶν πεπραγμένων, ἵνα δείξῃ τὰ μὲν πεπραγμένα ἕτερα, τὸ δὲ ὑπὸ τοῦ κατηγόρου φερόμενον ἔγκλημα ἐν τοῖς παρειμένοις· καὶ τοσαῦτα μὲν περὶ διαφορᾶς τοῦ συλλογισμοῦ πρὸς τὸν ἀνθορισμόν. Ἠπόρησε δέ τις, πῶς μάχεται ὁ συλλογισμὸς τῷ ὅρῳ, εἴγε, ὥς φησιν, εἰς ταὐτὸ συνάγει ἄμφω· ἐναντίον γὰρ τὸ συνάγειν τῷ μάχεσθαι· ὅτι δὲ μάχεται ὁ συλλογισμὸς τῷ ὅρῳ, καὶ τοῦτο αὐτὸς ἐδήλωσεν εἰπών· καθὸ ὃν τρόπον ἔφαμεν τὴν ἀντίληψιν καὶ τὴν μετάληψιν μάχεσθαι, τὸν αὐτὸν καὶ ὁ συλλογισμὸς τῷ ὅρῳ πανταχοῦ· ῥητέον δὲ, ὡς κατ᾽ ἄλλο μὲν συνάγει, κατ᾽ ἄλλο δὲ μάχεται· κατὰ μὲν γὰρ τὴν ἐργασίαν συνάγει τε καὶ συμπλέκει τοῖς παρειμένοις τὰ πεπραγμένα, δεχόμενος τὰ ὑπὸ τοῦ ἐναντίου λεγόμενα καὶ συγχωρῶν καλῶς ἔχειν· κατὰ δὲ τὸν σκοπὸν τῶν κεφαλαίων καὶ τὸ πέρας τὸ ἐξ αὐτῶν ἀποτελούμενον ἡ μάχη γίνεται· δέχεται γὰρ ὁ διώκων ἐν τῷ συλλογισμῷ τὰ τοῦ φεύγοντος, οὐχ ἵνα ψιλῶς αὐτῷ συνδράμῃ, ἀλλ᾽ ἵνα βεβαιώσῃ τὸ ἔγκλημα, ταὐτὰ φάσκων εἶναι τοῖς πεπραγμένοις τὰ παρειμένα, οὗ τὸ ἐναντίον ὁ κατηγορούμενος ἐν τῷ ὅρῳ ποιεῖ· τὰ παρειμένα ὁρίζεται πρὸς τὸ δεῖξαι πάμπολυ τὸ διάφορον αὐτῶν πρὸς τὰ πεπραγμένα. Ὑπόλοιπον δέ ἡμῖν τοῦ συλλογισμοῦ, φημὶ τοῦ κεφαλαίου, τὴν διαφορὰν εἰπεῖν, ἣν ἔχει πρὸς τὴν ὁμώνυμον στά-

σιν, λέγω δὲ τὸν συλλογισμὸν, ὥσπερ καὶ ἄλλα πολλὰ τῶν κεφαλαίων ἐκ τῶν ὁμωνύμων στάσεων διαστέλλομεν· οἷον τὸν μεταληπτικὸν ἐκ τῆς μεταλήψεως, τό τε ἀντιληπτικὸν ἐκ τῆς ἀντιλήψεως κἀκ τῆς παραγραφῆς ὁμοίως τὸ παραγραφικόν· διαφέρουσι δ᾽ οὖν ἀλλήλων, καθὸ τὸ μὲν κεφάλαιον ὁ συλλογισμὸς ἀτελὲς τελείῳ εἰς ταὐτὸν ἄγει· ἡ δὲ στάσις τέλειον τελείῳ, οἷον νόμος τὸν ἐκ πόρνης μὴ δημηγορεῖν, ἐκ πόρνου τις γενόμενος εἶτα δημηγορῶν κρίνεται· τούτων γὰρ ἑκάτερον καθ᾽ αὑτὸ τέλειον· οὐ γὰρ τὸ ἐκ πόρνου γενέσθαι μέρος τοῦ νόμου, ἀλλ᾽ αὐτὸ τέλειόν τι καὶ ἴσον τῷ ὑπὸ τοῦ νόμου διηγορευμένῳ· ἐν δὲ τῷ κεφαλαίῳ τῷ συλλογισμῷ μέρος ἱεροσυλίας ὑπάρχον τὸ ἐξ ἱεροῦ χρήματα ὑφελέσθαι ἰδιωτικὰ εἰς ταὐτὸν ἄγομεν τῷ τελείῳ, τουτέστι τῷ περιελέσθαι τι τῶν ἀναθημάτων· οἷον, ἵνα σαφέστερον τὸ λεγόμενον γένηται, διηγόρευται ὑπὸ τοῦ νόμου ἐκ πόρνης γενόμενον μὴ δημηγορεῖν, τούτου μέρος οὐκ ἂν εἴη τὸ ἐκ πόρνου γενέσθαι, οὐ γὰρ ὁ νόμος ἁπλῶς εἶπε [20] πορνείαν, ἀλλὰ τὸν ἐκ πόρνης γενόμενον μὴ δημηγορεῖν ἐκώλυσε· τὸ οὖν ἐκ πόρνου φῦναι ἕτερόν τί ἐστι πρᾶγμα καθ᾽ αὑτὸ τέλειον· καὶ τοῦτό φαμεν ἴσον εἶναι καὶ παραπλήσιον τῷ ὑπὸ τοῦ νόμου διηγορευμένῳ, τουτέστι τῷ ἐκ πόρνης γενέσθαι· ἐπὶ δὲ τοῦ τὰ ἰδιωτικὰ χρήματα ἐκ τοῦ ἱεροῦ ὑφελομένου μέρος πέπρακται τῆς ἱεροσυλίας τὸ ὅλως ἐκ τοῦ ἱεροῦ γενέσθαι τὴν ὑφαίρεσιν· τοῦτο οὖν τὸ μέρος, ὅπερ ἐστὶν ἀτελὲς, εἰς ταὐτὸν ἄγομεν [21] τῷ τελείῳ, τουτέστιν ἡ ἱεροσυλία οὕτως· ἡ μὲν στάσις τέλειον τελείῳ εἰς ταὐτὸν ἄγει· τὸ δὲ κεφάλαιον τῷ τελείῳ τὸ ἀτελές.

20 εἶπε Mon. om. 21 Par. 1. inserit: ὅτι πᾶς ὅρος συλλογισμῷ λύεται, καὶ συλλογισμὸς ὅρῳ. quod idem cum sub litt. ιζ. repetat, confusio inde nata videtur.

ιζ. Καὶ τοῦτο, φησὶ, τηρητέον, ὅτι πᾶς ὅρος συλλογισμῷ λύεται καὶ συλλογισμὸς ὅρῳ.

ιή. Τοῦτό τινες διαβάλλουσιν, ὡς οὐ καλῶς εἰρημένον ἐνταῦθα· οὐ γὰρ δυνατὸν ἐν ὅρῳ τὸν κατήγορον ὅρῳ χρήσασθαι, ἀλλ᾽ οὗτοι πλανῶνται· οὐ γὰρ μερικὸν, ἀλλὰ καθολικὸν κεφάλαιον ἐκτίθεται, οἷον ὅτι καὶ ἐπὶ τῶν ἄλλων στάσεων· διὰ γὰρ τοῦτο οὐκ εἶπεν, ὅτι τοῦ φεύγοντος χρωμένου τῷ ὅρῳ ἀλλ᾽ ὁποτέρῳ αὐτῶν ὁπότερος χρήσεται, ὡς βουλόμενος σημᾶναι, ὅτι καὶ ἐν ταῖς ἄλλαις στάσεσιν, ἐν αἷς ὅρος εὑρίσκεται, κεφάλαιον τῷ συλλογισμῷ λύεται, εἴτε ἀπὸ τοῦ διώκοντος, εἴτε ἀπὸ τοῦ φεύγοντος, εἰ τύχοι.[22]

ιθ΄. Ἕπεται τῷ συλλογισμῷ ἡ τοῦ νομοθέτου γνώμη, κοινὸν ἀμφοτέρων τῶν μερῶν κεφάλαιον· εἰκότως δὲ μετὰ τὸν συλλογισμὸν ἡ τοῦ νομοθέτου γνώμη παραλαμβάνεται, ἐπειδὴ κ. τ. λ. T. V. p. 305. v. 8. — 11.· εἰ μὲν οὖν ἔχοιμεν νόμον συνηγοροῦντα τῷ πράγματι τῷ προκειμένῳ, θέντες αὐτοῦ τὸ ῥητὸν οὕτως τὴν διάνοιαν ἐξετάσομεν, διὰ πάντων συναγωνιζόμενον ἡμῖν τὸν νομοθέτην δεικνύοντες· εἰ δὲ μὴ ἔχοιμεν νόμον, ἐπὶ τὰς καλουμένας εὐλόγους αἰτίας καταδραμούμεθα, ὡς καὶ τῶν νόμων ἀποδεχομένων τὸ πρᾶγμα καὶ τῆς τοῦ νόμου διανοίας οὐ πόῤῥω τῶν ἡμῖν πεπραγμένων βλεπούσης· ὥσπερ καὶ ὁ Δημοσθένης ἀπορῶν νόμου πρὸς τὰς εὐλόγους αἰτίας μεταβαίνει· φησὶ[23] γὰρ „τίς νόμος τοσαύτης ἀδικίας καὶ μισανθρωπίας μεστὸς,“ καὶ τὰ ἑξῆς· καὶ πάλιν ἀλλαχοῦ „τὸ λαβεῖν οὖν τὰ διδόμενα ὁμολογῶν ἔννομον,[24] τὸ χάριν τούτων ἀποδοῦναι παρανόμων γράφει.“[25] ἀλλ᾽ ἵνα μάθωμεν τῆς τοῦ νομοθέτου γνώμης τὴν δύναμιν, μικρὸν ἄνωθεν διαληπτέον· ὅπου δήποτε

---

22 Mon. τύχοι. 23 pro cor. p. 264. 24 Par. 2. addit εἶναι. 25 Par. 2. γράφει. Par. 1. γράφῃ. Mon. γραφή. — pro cor. 267.

νομικὴ ζήτησις ἐμπίπτει, καὶ ἔστι περὶ τὸ ῥητὸν ἅπασα ἡ ἀμφιβολία, πάντως διανοίᾳ λύεται, ὡς γνωσόμεθα· εἰ μέντοι τὸ μὲν ῥητὸν οὐκ ἀμφισβητεῖται, τὸ δὲ γενόμενον πρᾶγμα ζητεῖται, εἰ τοιοῦτόν ἐστιν, οἷον ὁ νόμος φησὶ, τότε γνώμη νομοθέτου παραλαμβάνεται· τότε γὰρ ἐπιζητοῦμεν, τί βουλόμενος ὁ νομοθέτης ἔταξε τὸν νόμον· οἷον ὡς ἐπὶ τῶν προκειμένων ὁ κρίνων τυμβωρυχίας τὸν κενοτάφιον ὀρίξαντα ἐρεῖ, ὅτι ὁ νομοθέτης βουλόμενος μηδὲν τολμᾶσθαι περὶ τοὺς τοιούτους τόπους μηδὲ ὅλως προσιέναι τούτοις τινὰ οὕτως ἐνομοθέτησεν· ὁ δὲ φεύγων φήσει, ὅτι τὴν οὐσίαν μόνον ἐτίμησεν ὁ νομοθέτης, καὶ ἵνα μὴ τὰ σώματα τῶν κειμένων αἰκίζηται, οὕτω τὸν νόμον ὡρίσατο καὶ ταῦτα μὲν οὕτως· ἀλλ᾽ ἐπειδὴ δοκοῦμεν τὸν νόμον ἑρμηνεύοντες ἀντινομοθετεῖν τῷ νομοθέτῃ, εἰ γὰρ τοῦ νόμου σαφῶς τι διαγορεύοντος ἡμεῖς ἕτερον ἀντεισάγομεν, οὐ συνεστάναι τι τῶν ζητουμένων, ἀλλ᾽ ἀντινομοθετεῖν δόξομεν, καὶ τοῦτο μεταχρησόμεθα παραδείγματα φέροντες καὶ παραβολαῖς χρώμενοι· οὕτω γὰρ καίπερ ἐξετάζοντες τὴν γνώμην τοῦ νομοθέτου τὸ τοιοῦτον διαφευξόμεθα, ὅταν αὐτὴν τὴν ἐξέτασιν ἔθει παραδεδομένην δείξωμεν, καὶ οὐκ οἴκοθεν οὐδὲ ἀπ᾽ ἰδίας κρίσεως, ἀλλ᾽ ἀπὸ παραδείγματος αὐτὴν εἰσάγωμεν, ὥσπερ ὁ Δημοσθένης ἐν τῷ κατὰ στεφάνου πεποίηκε· νόμου γὰρ ὄντος τὸν ὑπεύθυνον μὴ στεφανοῦν, ὑπεύθυνον λέγει τὸν ἐφ᾽ οἷς τις διῴκει, οὐ τὸν ἐφ᾽ οἷς τις χαρίζεται στεφανούμενον· καὶ ἐπειδὴ ἄντικρυς ἦν παραλογισμὸς μετὰ τὸ ἐξετάσαι τὴν γνώμην πρὸς τὸ ἑαυτοῦ χρήσιμον φεύγων τὴν αἰτίαν ταύτην εἰκότως ἐπήνεγκε τὰ παραδείγματα λέγων οὕτως· [26] *„ὅτι οὐδὲ οὕτως ταῦτα οὐ μόνον ἐν τοῖς νόμοις, ἀλλὰ καὶ ἐν τοῖς ἡμετέροις ἔθεσι διώρισται· καὶ ἐγὼ ῥᾳδίως πολλαχόθεν δείξω· πρῶτον γὰρ Ναυσικλῆς στρατηγῶν, ἐφ᾽ οἷς*

26 p. 264.

ἀπὸ τῶν ἰδίων προεῖτο, πολλάκις ἐστεφανοῦτο· εἶθ' ὅτε τὰς ἀσπίδας Διότιμος ἔδωκε· καὶ πάλιν Χαρίδημος ἐστεφανοῦτο· εἶθ' οὑτοσὶ Νεοπτόλεμος, πολλῶν ἔργων ἐπιστάτης γενόμενος, ἐφ' οἷς ἔδωκε τετίμηται·" καὶ οὐ μόνον ἐκ τοῦ ἔθους καὶ τοῦ παραδείγματος συνέστησεν, ἀλλὰ καὶ ἐξ ἐνθυμήματος εἰπών· „σχέτλιον γὰρ ἂν εἴη τοῦτό γε, εἴ τῳ τινα ἀρχὴν[27] ἄρχοντι ἢ διδόναι τῇ πόλει τὰ ἑαυτοῦ διὰ τὴν ἀρχὴν μὴ ἐξέσται, ἢ τῶν δοθέντων ἀντὶ τοῦ κομίσασθαι χάριν εὐθύνας ὑφέξει·" σημειωτέον δὲ, ὅτι καὶ μὴ ὄντος ῥητοῦ πολλάκις ἐμπίπτει γνώμη νομοθέτου, καὶ ὅτι ῥητοῦ ὄντος διπλῆ καὶ ἡ διάνοια, ἡ μὲν πρὸς τὸ ῥητὸν, ἡ δὲ πρὸς τὸ ὑποκείμενον πρᾶγμα· ἰστέον δὲ, ὡς ἡ τοῦ νομοθέτου διάνοια εἰς τὴν κατασκευὴν λαμβάνεται ἢ τοῦ ἴσου ἢ τοῦ ἀνίσου, ἐξ ἐνδόξου κρίσεως λαμβανομένη· ὁ μὲν γὰρ κατήγορος λέγει, ὅτι ὁ νομοθέτης ὡς περὶ τῶν ἴσων καὶ τῶν αὐτῶν διενοήθη, ὁ δὲ τοὐναντίον, ὅτι οὐχ ὡς περὶ ὁμοίων, οὐδὲ ἴσων ἐδόξασεν, ἀλλ' ὡς πάμπολυ διεστηκότων.

κ'. Περὶ τῆς τάξεως τοῦδε τοῦ κεφαλαίου ἠπόρησέ τις, ὡς οὐ καλῶς εἴη μετὰ τὸν συλλογισμὸν τεταγμένον,[28] δεῖν γὰρ αὐτὸ μετὰ τὴν πηλικότητα καὶ τὸ πρός τι τετάχθαι· ἡ γὰρ τοῦ νομοθέτου, φασὶ, γνώμη ὥσπερ ἐπισφραγισμὸς καὶ βεβαίωσις τῶν εἰρημένων ἐστὶν ἁπάντων, μετὰ γοῦν τὴν πηλικότητα καὶ τὸ πρός τι δικαίως ἂν τάττοιτο, ἵνα καὶ ταῦτα ἐπιῤῥώσηται, καὶ ὥσπερ ὁμολογούμενα καταστήσῃ· πρόχειρος δὲ ἡ πρὸς τὸν τοιοῦτον λόγον ἀπάντησις· τῶν γὰρ κεφαλαίων ἅ μέν ἐστιν αὐξητικὰ, ἃ δὲ πιστωτικά τε καὶ ἀποδεικτικά· τὰ τοίνυν αὐξητικὰ καιρὸν ἔχει μετὰ τὴν ἀπόδειξιν· ἐπεί τοι πρὶν ὅλως ἀποδεῖξαι τὸ ἐθέλειν

---

27 ἀρχὴν Par. 1. om. — pro cor. l. l. 28 Cfr. T. V. p. 306. v. 3. sqq.

αὔξειν ὑπόκουφον, πλὴν εἰ μὴ κατά τινα καιρὸν τοῦτο γένοιτο, ὡς αὐτὸς ἡμᾶς διδάσκει ὁ τεχνικὸς ἐν τῷ περὶ μεθόδου δεινότητος· διά τοι τοῦτο κἀνταῦθα μετὰ τὴν τοῦ νομοθέτου γνώμην, ὅπερ ἐστὶν κεφάλαιον πιστωτικὸν, εἰκότως τάττεται ἡ πηλικότης· τὸ γὰρ πηλίκον τε καὶ ποσὸν καὶ τὰ τοιαῦτα μεγέθους ἢ πλήθους ἐστὶ παραστατικά· τὸ δὲ πρὸς μέγεθος ἐπαῖρον τὸ πρᾶγμα σαφὲς ὅτι αὐξητικόν· ἕτεροι δὲ κατ᾽ ἄλλον ἀξιοῦσι λόγον πρὸ τῆς γνώμης τοῦ νομοθέτου τάττειν τὴν πηλικότητα· ὁ γὰρ συλλογισμὸς, φασὶ, τὸ ἴσον προβάλλεται, τὰ πεπραγμένα τοῖς παρειμένοις εἰς ταὐτὸν ἄγων καὶ ἴσα δεικνὺς ἄμφω· μετὰ τὸ ἴσον δὲ, φασὶν, εἰκότως ἂν ἐπὶ τὸ πηλίκον, ὥσπερ κατά τινα βαθμὸν ἀναβαίνοιμεν· δεῖ οὖν ὁμοῦ, φασὶ, τετάχθαι τόν τε συλλογισμὸν καὶ τὴν πηλικότητα, καὶ μὴ διατέμνεσθαι καὶ χωρίζεσθαι ὑπὸ τῆς τοῦ νομοθέτου γνώμης· ῥητέον δὲ καὶ πρὸς αὐτοὺς τὸν αὐτὸν λόγον, ὅτι γε μετὰ τὴν αὔξησιν εὑρεθήσεται ταττόμενα τὰ πιστωτικά· εἴγε τὴν γνώμην τοῦ νομοθέτου δοίημεν μετὰ τὴν πηλικότητα τάττεσθαι· τοῦτο δὲ ἄτοπον· ἐπὶ γὰρ τοῖς ἀποδεδειγμένοις ἡ αὔξησις εἴωθε γίγνεσθαι· ἀνάγκη δ᾽ οὖν τὴν ἀμφισβήτησιν τὴν ἐν τῷ συλλογισμῷ διαλύσαντας πρότερον τῇ γνώμῃ τοῦ νομοθέτου ἐπὶ τὴν ἐκ τῆς πηλικότητος αὔξησιν τηνικαῦτα ἰέναι· τοῦ γὰρ συλλογισμοῦ τὴν ὅλην ἔχοντος ἀμφισβήτησιν, εἴγε τὰ πεπραγμένα εἰς ταὐτὸν ἄγειν βούλεται τοῖς παρειμένοις, περὶ ὧν ἑκάτεροι τὴν πᾶσαν συνιστῶσι ζήτησιν διὰ τοῦ ὅρου, διαστέλλειν μὲν ὁ φεύγων, ὁ δὲ συνάγειν βουλόμενος· εἰ δ᾽ οὖν τοῦ συλλογισμοῦ τοσαύτην ἔχοντος μάχην τὸ πηλίκον εὐθὺς ἀπεφέρετο, οὐδὲν ἄλλο ἢ αὖ τὴν αὔξησιν ἐν τοῖς ἀμφιβαλλομένοις ἂν εὐθὺς [29] ἐποιούμεθα, ὅπερ ἐστὶ γελοιότατον· τῆς δὲ γνώ-

29 Mon. εὐθὺς om.

μης τοῦ νομοθέτου τὸν λογισμὸν ἐπιῤῥωννύσης χώραν ἔχει τηνικαῦτα τὸ τῆς πηλικότητος· τοσαῦτα μὲν εἰρήσθω περὶ τῆς τάξεως· ἡ δὲ γνώμη, φασὶ, τοῦ νομοθέτου πρὸς τὸ οἰκεῖον ἐπ' ἀμφοῖν συμφέρον ἐξετασθήσεται· γνώμην δὲ νομοθέτου καλεῖ πᾶν τὸ ἐν ῥητῷ εὑρισκόμενον, τουτέστιν οὐ μόνον ἐν νόμῳ, ἀλλὰ καὶ ἐν ψηφίσματι καὶ διαθήκῃ καὶ ἐπιστολῇ· τοῦτο γὰρ καὶ ἐν τῇ μεθόδῳ σαφῶς ἐδιδάχθημεν καὶ νόμον καλοῦμεν τὸ ῥητὸν, κἂν ἐν ψηφίσματι κἂν ἐν διαθήκῃ, κἂν ὁποιδήποτε εἴη· τὸ δ' αἴτιον, ὅτι κυριώτερον ὁ νόμος· ἐκ δὲ τῶν κυριωτέρων καὶ τὰς τῶν [30] ἄλλων ὀνομασίας λαμβάνειν πολλάκις εἰώθαμεν· τοῦτο δὴ οὖν τὸ ῥητὸν, ὅ τι ἂν ὑπάρχῃ, ἀνάγκη πᾶσα ἢ πρὸς ἡμῶν καθεστάναι ἢ πρὸς τῶν ἐναντίων· ἂν μὲν οὖν πρὸς ἡμῶν ᾖ, μετὰ τὴν τοῦ ῥητοῦ ἀνάγνωσιν οὐκ εὐθὺς ἀφιστάμεθα, ἀλλὰ κατὰ λέξιν διερευνώμενοι καὶ ἐξετάζοντες αὖθις διερχόμεθα τὰ εἰρημένα, ὥσπερ ἐν τῷ κατὰ Ἀριστοκράτους ὁ Δημοσθένης· [31] „ἠκούσατε μὲν τοῦ νόμου, σκέψασθε δὲ καὶ θεωρήσατε, ὡς καλῶς καὶ σφόδρα εὐσεβῶς ἔθηκεν ὁ τιθεὶς τὸν νόμον· τοὺς ἀνδροφόνους φησί· πρῶτον μὲν δὴ τοῦτον ἀνδροφόνον λέγει τὸν ἑαλωκότα τῇ ψήφῳ· οὐ γάρ ἐστιν οὐδεὶς ὑπὸ ταύτῃ τῇ προσηγορίᾳ, πρὶν ἂν ἐξελεγχθεὶς ἁλῷ·" καὶ οὕτω κατὰ μέρος τὸν νόμον ἐπέρχεται κατεξετάζων καὶ δεικνὺς ἑαυτῷ συμβαίνοντα· οὐ μόνον δ' ἐνταῦθα τοῦτον τὸν τρόπον, ἀλλὰ καὶ ἐν τῷ κατὰ Μειδίου τὸν περὶ τῆς ὕβρεως νόμον διεξιὼν, καὶ πανταχοῦ παραπλησίως φαίνεται χρώμενος, ἐὰν δὲ πρὸς τῶν ἐναντίων ᾖ τὸ ῥητὸν, τηνικαῦτα τὴν μὲν κατὰ μέρος ἐξέτασιν παραιτούμεθα, καθολικῶς δὲ τὴν ὅλην γνώμην τοῦ νομοθέτου πρὸς τὸ ἡμῖν συμφέρον στοχαστικῶς ἐξηγούμεθα, φά-

---

30 καὶ τὰς τῶν Mon. om. ita legens: ἄλλων ὀνομασίαν λαμβάνει. 31 p. 629.

σκοντες τόδε τι εἶναι τὴν ἔννοιαν τοῦ ῥητοῦ· καὶ τούτου δὲ μέθοδον σαφεστάτην ὁ ῥήτωρ παρέσχετο ἐν τῷ περὶ τοῦ στεφάνου, τὴν Φιλίππου παραλαβὼν ἐπιστολὴν, ἔνθα πρὸς τὸ αὐτῷ συμφέρον τῆς ἐκείνου στοχάζεται γνώμης οὐκ εἰς τὰ κατὰ μέρος καθιεὶς αὐτὸν, ἀλλὰ καθολικῶς τὴν ὅλην τῆς ἐπιστολῆς ἔννοιαν ἐξετάζων, καὶ τοσαῦτα μὲν περὶ τοῦ ῥητοῦ λελέχθω· ἐπεὶ δὲ οὐκ ἔνεστιν ἐπὶ παντὸς πράγματος εὐπορεῖν, ἐγγράφου τινὸς ὅταν ἀπορῶμεν, ἐπὶ τὴν καθόλου τῶν νομοθετῶν γνώμην χωρητέον, οἷον ὅτι καθάπαξ οἱ νομοθέται τοὺς φαύλους τιμωρίας ἐκτίνειν [32] βούλονται, τὸν τοίνυν ἱερόσυλον, ἐπειδὴ πονηρὸς τὴν γνώμην, διὰ τοῦτο κολάζουσιν· ἀλλ᾽ οὐκ ἐπειδὴ χρημάτων ἁπλῶς τὸ ἱερὸν ἀποστερεῖ· οὗτος οὖν τολμήσας τὴν ἀρχὴν παρελθεῖν εἴσω τοῦ ἱεροῦ τὸ τῆς ἱεροσυλίας ἀδίκημα διαπέπρακται, καὶ πάλιν ὁ φεύγων κατὰ τὸ ἐναντίον, ὅτι διαφορὰν ἴσασιν ἐγκλημάτων οἱ νομοθέται, καὶ τὰς πράξεις μᾶλλον ἀλλ᾽ οὐ τὰ [33] βουλεύματα κρίνουσιν· αὐτίκα εἴ τις βουληθείη μόνον, μὴ πράξει δὲ, ὑπόκρισις οὐ γίνεται, καὶ οὕτως ἐμπεσεῖται ἀεὶ ἡ γνώμη τοῦ νομοθέτου. Ὑπόλοιπον ἔτι τῇ πάσῃ τεχνολογίᾳ τοῦ κεφαλαίου τούτου προσθεῖναι, ὡς πρὸς τὸ συμφέρον ἑκάτερος ἐξετάζων τὴν γνώμην συγκριτικῶς προοίσεται τὸν λόγον, τὸν μὲν ἑαυτοῦ συνιστὰς, διαβάλλων δὲ τὸν τοῦ ἐναντίου, καὶ τούτου δὲ τὸν σοφώτατον Δημοσθένη διδάσκαλον ποιούμεθα, „τίς γὰρ," φησὶ, „τίς [34] ἐστι νόμος τοσαύτης ἀδικίας καὶ μισανθρωπίας μεστὸς, ὥστε τὸν δόντα τῶν ἰδίων καὶ ποιήσαντα πρᾶγμα φιλάνθρωπον καὶ φισόστοργον [35] τῆς χάριτος ἀποστερεῖν, εἰς δὲ τοὺς συκοφάντας ἄγειν, καὶ τοῦτο ἐπὶ τὰς εὐθύνας, ὧν ἔδωκεν ἐφιστάναι; οὐδεὶς δήπου· εἰ δέ φησιν οὗτος, δειξάτω, κἀγὼ στέρξω

32 Mon. ἐκτίννειν. Par. 1. ἐκτείνειν. 33 Mon. ἀλλ᾽ αὐτά.
34 Mon. repetit γάρ. — pro cor. p. 264. 35 Mon. φιλόδωρον.

καὶ σιωπήσομαι· ἀλλ' οὐκ ἔστιν, ὦ Ἀθηναῖοι, ἀλλ' οὗτος συκοφαντῶν, ὅτι ἐπὶ τῷ θεωρικῷ[36] τότε ὧν ἀπέδωκα τὰ χρήματα, ἐπῄνεσεν αὐτὸν, φησὶν, ὑπεύθυνον ὄντα·" οὗτος γὰρ τό τε ἑαυτοῦ συνεστήσατο καὶ τὸ τοῦ Αἰσχίνου διέβαλλε· τοσαῦτα περὶ τῆς τοῦ νομοθέτου γνώμης.

κά. Λείπεται ζητῆσαι, τί διαφέρει διάνοια ῥητοῦ γνώμης νομοθέτου· δύο τοίνυν φαμὲν αὐτῶν διαφοράς. πρῶτον, ὅτι διάνοια μέν ἐστι ῥητοῦ, ἡνίκα τι ἐγκείμενον τῷ ῥητῷ ἀσαφὲς ἐρευνῶμεν, σαφηνίσαι πειρώμενοι τὸ ἄδηλον· γνώμη δὲ νομοθέτου, ἡνίκα περὶ τοῦ τεθεικότος πρῶτον ἐξετάζομεν, ποίᾳ γνώμῃ τὸ τοιοῦτον εἶπεν, ὥστε πρῶτον παρεθέμεθα τὸ ῥητὸν, καὶ εἴτι ἐν αὐτῷ ἀσαφὲς εἴη, σαφηνίζομεν. καὶ τελευταῖον γνώμην νομοθέτου ζητοῦμεν· δευτέρα δὲ αὐτῶν διαφορὰ, ὅτι ἡ μὲν διαφορὰ οὐκ ἀεὶ ἐμπίπτει, εἰ γὰρ μὴ ᾖ τι ῥητὸν ἐξεταζόμενον, οὐκ ἐμπίπτει διάνοια, ἡ δὲ γνώμη τοῦ νομοθέτου πάντως ἐμπίπτει, κἂν μὴ ῥητὸν ἐξετάζηται, καὶ τοῦτο φθάσαντες ἤδη ἐδείξαμεν ἐν τῷ τρίτῳ κεφαλαίῳ τῆς παρούσης πράξεως, ἐν ᾧ διαλαμβάνομεν περὶ τοῦ εἰ[1] ἀεὶ ἐμπίπτει ἐν τοῖς λόγοις ἡ γνώμη τοῦ νομοθέτου.

κβ΄. Μετὰ τὴν τοῦ νομοθέτου γνώμην κατ' ἀκολουθίαν ἕπεται ἡ πηλικότης· κατασκευάσαντες γὰρ τὸν συλλογισμὸν καὶ τὴν πίστιν προθέντες ἀπὸ τῆς τοῦ νομοθέτου γνώμης εἰκότως ἐπὶ τὴν αὔξησιν ἥκομεν καὶ δείνωσιν τοῦ ἐγκλήματος· ἡ μὲν γὰρ γνώμη[2] ἔτι τῆς ζητήσεως καὶ τῆς κατασκευῆς ἔχεται τοῦ πράγματος, ἡ δὲ πηλικότης αὔξησιν ἐπαγγέλλεται· τὸ μὲν γὰρ ἔτι ἀδήλου ὄντος αὔξειν καὶ τὴν τοῦ δράσαντος προαίρεσιν διαβάλλειν ἢ τοὐναντίον ἐγκωμιάζειν μάταιον καὶ σφόδρα ἄλογον, τὸ δὲ μετὰ τὸν ἔλεγχον ἐξαίρειν τὸ πεπραγμένον

36 Codd. θεωρητικῷ. 1 εἰ Mon. om. 2 Mon. γνῶσις.

εὔλογον καὶ πιστωτικὸν τῷ δικάζοντι· διὰ τί δὲ ἀμφοτέρων αὐξητικῶν ὄντων, τῆς τε πηλικότητος καὶ τῶν πρός τι, [3] μὴ ἓν κεφάλαιον γέγονεν, ἀλλὰ δύο; καί φαμεν, ὅτι ὥσπερ δύο τῆς συγκρίσεως εἴδη, τὸ μὲν συγκριτικὸν, τὸ δὲ ὑπερθετικὸν, οὕτω καὶ τῆς αὐξήσεως κατὰ σύγκρισιν προϊούσης καὶ αὐτῆς δύο τρόποι· καὶ ἡ μὲν πηλικότης ἀναλογεῖ τῷ ὑπερθετικῷ, τὸ δὲ πρός τι τῷ συγκριτικῷ. Ἐπειδὴ δὲ εἶπεν ὁ τεχνικὸς, ἡ πηλικότης μέγα τὸ γεγονὸς ἀποδείκνυσιν, ἐνόμισαν αὐτόν τινες λέγειν μέγιστον ἐν ὑπερθετικῷ λόγῳ. οὐκ ἔχει δὲ οὕτως· τὸ γὰρ μέγα οὐκ ἔστιν ὑπέρθεσις, οὐδὲ συγκριτικὸν, ἀλλ᾽ ἁπλοῦν· διῄρηται δὲ ἡ αὔξησις εἰς δύο. ἐπειδὴ γὰρ δύο τινὰ ἐν τῷ ὅρῳ, τὸ μὲν πεπραγμένον, τὸ δὲ ζητούμενον, πεπραγμένον μὲν τὸ καθῃρῆσθαι τὴν τυραννίδα, ζητούμενον δὲ, εἰ τοῦτο τυραννοκτονία, πᾶσα ἀνάγκη καὶ τὴν αὔξησιν αὐτὴν διχῇ τέμνεσθαι, πῇ μὲν αὐτὸ ἐφ᾽ ἑαυτῷ τὸ πεπραγμένον αὐξανόντων ἡμῶν, πῇ δὲ τῇ πρὸς τὸ παραλελειμμένον συγκρίσει· οὐκοῦν ἡ μὲν πηλικότης τὴν ἁπλῆν τοῦ ὑποκειμένου καὶ πεπραγμένου αὔξησιν ἔχει, τὸ δὲ πρός τι κατὰ σύγκρισιν. μετὰ τὰ ἀγωνιστικὰ δὲ κεφάλαια τὰ συνιστῶντα τὸ ἔγκλημα δύο κεφάλαια παραλαμβάνεται, ἥ τε πηλικότης καὶ τὸ πρός τι, αὐξητικὰ ὄντα ἀμφότερα. καὶ θαυμάσειεν ἄν τις τὸν τεχνογράφον τῇ τάξει τῶν πραγμάτων ἀκολουθήσαντα. καὶ γὰρ ἄτεχνον ἦν αὔξησιν περιλαμβάνειν μὴ πρότερον ἀποδείξαντα τοῦτο, περὶ οὗ ὁ λόγος ἐστὶν, ἡ πηλι-

3 Sch. min.: αὐξήσεως ἕνεκα καὶ τὸ πρός τι παραλαμβάνεται, καὶ ἐκ τῶν αὐτῶν προέρχεται τόπων, οἷς καὶ ἐπὶ πηλικότητι χρώμεθα· συγκριτικῶς δὲ ἐφ᾽ ἑκάστῳ προάγεται τόπῳ· διαφέρει δὲ τῆς πηλικότητος, ὅτι ἐκεῖ μὲν ἁπλῆ τίς ἐστιν αὔξησις, ἐν τούτῳ δὲ κατὰ ἀντιπαράθεσιν καὶ ἀντεξέτασιν ἑτέρου πρὸς ἕτερον ἡ αὔξησις γίνεται· διὸ καὶ πρός τι τὸ κεφάλαιον κέκληται· δηλοῖ γὰρ σύγκρισίν τινος πρὸς ἕτερον τὸ ὄνομα.

κότης οὖν αὔξει τὸ γεγονὸς, δεινοῦντος τοῦ κατηγόρου καὶ μεγαλοποιοῦντος τὸ ἔγκλημα, ἐκ δὲ τῶν ἐναντίων τοῦ φεύγοντος μειοῦντος· ἐξ ὧν δὲ τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους αὐξήσομεν, ἐκ τῶν αὐτῶν καὶ τὴν πηλικότητα ἐργασόμεθα· ἔστι δὲ ταῦτα τὰ περιστατικὰ, καὶ δεῖ μὲν χρῆσθαι ἐν τῇ πηλικότητι τούτοις ἢ πᾶσιν ἢ τοῖς πλείοσιν· ἐν δὲ ταῖς ἄλλαις στάσεσιν, ὅπου ἂν αὔξησις παραλαμβάνηται, πάντως τούτοις χρησόμεθα· καὶ τούτων ἔχομεν παραδείγματα ἐν τῇ ὁριστικῇ[4] στάσει παρὰ Δημοσθένει· κατασκευάζων[5] γὰρ τὴν πηλικότητα ηὔξησεν ἀπὸ τοῦ προσώπου εἰπὼν, ὅτι χορηγὸν ὑμέτερον ὕβρισεν· ἀπὸ τοῦ καιροῦ, ἐν ἱερομηνίᾳ· ἀπὸ τοῦ τόπου, ἐν θεάτρῳ· ἀπὸ τῆς ὕλης, εἰπὼν, ὅτι τὴν ἱερὰν ἐσθῆτα διέῤῥηξεν· ἀπὸ τῆς αἰτίας, ὅτι ἐχθρός· ἀπὸ τοῦ τρόπου, ὅτι ὑβριστικῶς· λάβοι δ᾽ ἄν τις καὶ ἀπὸ ποσότητος τὴν αὔξησιν λέγων, ὅτι εἰς πάντας τοὺς πολίτας ἡ εὐεργεσία γεγένηται. ἔτι καὶ ποσότητα χρόνου, ὅτι εἰς πολλοὺς χρόνους μένει τὸ εὐεργέτημα· ἀπὸ προαιρέσεως, ὅτι οὐ κέρδους ἕνεκα, ἀλλ᾽ ὠφελείας τῆς πόλεως ὑπομένει τὸν κίνδυνον. καὶ ἐκ τούτων ἁπλῶς ἁπάντων τὴν πηλικότητα λήψονται ὅ τε κατήγορος καὶ ὁ φεύγων, ὁ μὲν αὔξων, ὁ δὲ μειῶν· κοινὸν γὰρ κεφάλαιον ἡ πηλικότης· περιέχει δὲ, ὡς εἴπομεν, αὔξησιν τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, ὥσπερ καὶ ἡ προβολή· διαφέρει δὲ τῇ τάξει, τῷ ἐκεῖ μὲν ὡς ὁμολογουμένων αὐτῶν αὔξησιν γίνεσθαι, ἐνταῦθα δὲ μετὰ κατασκευῆς τιθέναι αὐτὰ, καὶ τρόπον τινὰ ἀνακεφαλαίωσιν εἶναι τῶν ἐν τῇ προβολῇ ῥηθέντων τὴν πηλικότητα, καὶ ὅτι ἐκεῖ μὲν ἁπλῶς καὶ ὅσον ἐφάψασθαι τῶν περιστατικῶν χρώμεθα, ἐνταῦθα δὲ κατὰ πλάτος ἑκάστῳ τῶν περιστατικῶν χρώμεθα.

κγ΄. Τῶν κεφαλαίων ἁπάντων ἢ αὐξητικῶν ἢ ἀπο-

---

4 Par. 1. ὁρικῇ. 5 Mon. κατασκευάζομεν.

δεικτικῶν ὄντων τὰ τῆς ὁρικῆς στάσεως ἀποδεικτικὰ κεφάλαια ἐνταῦθα πεπέρανται· ἡ γὰρ πηλικότης ἤδη καὶ τὸ πρός τι οὐ πιστωτικὰ ἀλλ᾽ αὐξητικά. Καί τινες ἀποροῦσι, τίνος ἕνεκα τὴν αὔξησιν διχῇ τεμόντες ἐν δυσὶ κεφαλαίοις διεῖλον, τὸ μέντοι πηλικότητα, τὸ δὲ πρός τι ὀνομάζοντες, καὶ οὐχ ὑφ᾽ ἓν μᾶλλον κεφάλαιον αὐτὴν προσηνέγκαντο, μίαν καὶ αὐτὴν οὖσαν· ἀπολογούμενος οὖν πρὸς τοῦτο Ἀθανάσιος ἔφη τοῦτό γε· καθάπερ δύο τῆς συγκρίσεως εἴδη, τὸ μὲν συγκριτικὸν, τὸ δὲ ὑπερθετικὸν καλούμενον, οὕτω καὶ τῆς αὐξήσεως κατὰ σύγκρισιν καὶ αὐτῆς προϊούσης δύο τρόπους, καὶ ἡ μὲν πηλικότης ἔχει τὸ ὑπερθετικὸν, τὸ δὲ πρός τι τὸ συγκριτικόν· ἀλλ᾽ εὑρεθήσεται ἀνεστραμμένη ἡ τάξις τῆς πηλικότητος ἡγουμένης τοῦ πρός τι· τάττεσθαι γὰρ ἔδει μετὰ τὸ πρός τι τὴν πηλικότητα, εἴγε ὅτι τὸ μὲν πρός τι τὸ συγκριτικὸν ἔχει, τὸ δὲ ὑπερθετικὸν ἡ πηλικότης. τὸ γὰρ συγκριτικὸν πρῶτον φύσει τοῦ ὑπερθετικοῦ· ἀλλ᾽ οὗτός γε καὶ τὴν τάξιν ἀμείβει κατακολουθῶν ἑαυτῷ, ὡς ὕστερον εἰσόμεθα, καὶ τάττει μετὰ τὸ πρός τι [6] τὴν πηλικότητα· ταῦτα μὲν οὖν ὁ Ἀθανάσιος [7] καὶ Ἁρποκρατίων περὶ τῆς τῶν κεφαλαίων τάξεως ἀπεφήναντο· ὁ δὲ τεχνογράφος καὶ ὅσοι τοῦ λέγειν κοινωνοῦσιν αὐτῷ τὴν πηλικότητα τοῦ πρός τι καθάπαξ προτάττεσθαι βούλονται, τὴν φύσιν τῶν κεφαλαίων ἀναθεωρήσαντες ἄμεινον· δεῖ γὰρ πρότερον, φασὶ, τὴν ἑκάστου φύσιν καταμανθάνοντας οὕτω πρὸς ἕτερον ποιεῖσθαι παράθεσίν τε καὶ ἀντεξέτασιν· οὗ γὰρ τὴν φύσιν οὐκ ἐπιστάμεθα,

πᾶς

---

6 Par. 1. inserit: γὰρ συγκριτικὸν, πρῶτον φύσει τοῦ ὑπερθετικοῦ, ἀλλ᾽ οὗτός γε καὶ τὴν τάξιν ἀμείβει. sed expuncta sunt.

7 Mon. Ἀθηναῖος. Parr. ἀ (θ superscr.). quod solitum compendium pro Ἀθηναῖος, sed supra iidem plene scribunt Ἀθανάσιος.

πῶς ἂν τοῦτο πρὸς ἕτερον παραβάλλοιμεν; διὰ μὲν οὖν τῆς πηλικότητος, φασὶν, αὐτὰ τὰ ἐφ᾽ ἑαυτῶν αὔξομεν τὰ πράγματα. διὰ δὲ τοῦ πρός τι ἑτέροις ἀντεξετάζοντες, ὥστε τοῦ πρός τι ἡ πηλικότης προτακτέα, ἄν τε ἀπίθανος ἡ κατὰ τὸ πρός τι ἐξέτασις εἴη, ἄν τε πιθανὴ καὶ οὐ βίαιος· εἰ μὲν γὰρ ἀπίθανος εἴη, καὶ κατὰ τὸν λόγον Ἁρποκρατίωνος προτετάξεται· εἰ δὲ πιθανὴ, κατὰ τὸν προκείμενον φυσικὸν λόγον τὴν προτέραν ἐχέτω τάξιν ἡ πηλικότης. Καὶ τοσαῦτα μὲν περί τε τῆς φύσεως τῶν προκειμένων δυοῖν κεφαλαίοιν, μεταβησόμεθα δὲ ἐπὶ τὴν ἐργασίαν τῆς πηλικότητος, περὶ ἧς ἡμῖν καὶ τεχνολογεῖν πρόκειται. τὴν αὔξησιν τοίνυν ἐν τῇ πηλικότητι κατά τε τὸ ποιὸν καὶ τὸ ποσὸν ληπτέον. οἷον ὅτι πολλὰ ἐντεῦθεν ἡ πόλις ὠφεληθήσεται, ἢ τοὐναντίον βλαβήσεται, ἅπερ ἐστὶ κατὰ τὸ πόσον, ἢ ὅτι δημόσιον τὸ πραχθὲν καὶ κοινῇ τὴν πόλιν ὠφελοῦν ἢ βλάπτον ἢ ἰδιωτικόν τε καὶ ἐφ᾽ ἑνὸς ἀνδρὸς ἱστάμενον, ὅπερ ἐστὶ ποιότης· ταῦτα δὲ διὰ τῶν περιστατικῶν ἐκφέρειν προσήκει, δεινοῦντας καὶ αὐξάνοντας τὸ πεπραγμένον, οἷον ἐκ τοῦ προσώπου, ἐκ τοῦ τόπου, ἐκ τοῦ χρόνου, ἐκ τῆς αἰτίας, ἐκ τοῦ τρόπου, ἐκ τῆς ὕλης, καθάπερ ἐν τῷ κατὰ Μειδίου Δημοσθένης ἐχρήσατο, ἐκ τοῦ προσώπου τὸ πεπραγμένον αὔξων, ὅτι χορηγὸν ὄντα ὕβρισεν, ἐκ τοῦ τόπου, ὅτι ἐν θεάτρῳ, ἐκ τῆς ὕλης, ὅτι τὴν ἱερὰν στολὴν ἀμπεχόμενον, καὶ διὰ τῶν ἐφεξῆς· ἔστι δὲ ἐπ᾽ αὐτῆς καταμαθεῖν τῆς λέξεως, φησὶ γὰρ οὕτως· „εἰ μὲν τοίνυν, ὦ Ἀθηναῖοι, μὴ χορηγὸς ὢν ταῦτα ἐπεπόνθειν ὑπὸ Μειδίου, ὕβριν ἄν τις μόνον κατέγνω τῶν πεπραγμένων αὐτῷ· νῦν δέ μοι δοκεῖ, κἂν ἀσέβειαν εἰ καταγινώσκοι, τὰ [8] προσήκοντα ποιεῖν;“ καὶ τὰ ἑξῆς· καὶ διὰ

8 Mon. εἰ καταγινώσκοντα προσήκοντα. corr. Parr. et Dem. p. 530.

τούτων ὁ μὲν διώκων αὐξήσει τὸ πεπραγμένον, μειώσει δ' αὖ πάλιν ὁ φεύγων· εἰ δέ τις λέγοι τὴν πηλικότητα μηδὲν διαφέρειν τῆς προβολῆς, εἴ γε κἀκείνη διὰ τῶν περιστατικῶν αὐξητικῶς ἐκφέρεται, μανθανέτω, ὡς τὴν προβολὴν διηγηματικῶς προάγομεν, μετρίως αὔξοντες [9] καὶ ὅσον ἐπιψαῦσαι μόνον τῶν περιστατικῶν· τὴν γὰρ ἐντελῆ διὰ τούτων αὔξησιν ἐν τῇ πηλικότητι φυλάττομεν. ἔτι κἀκεῖνο προσήκει μαθεῖν, ὡς οὐ μόνον ἐν τῇ πηλικότητι τὴν αὔξησιν ποιούμεθα διὰ τῶν περιστατικῶν, πανταχοῦ δὲ κἂν ἐν πανηγυρικῷ κἂν ἐν συμβουλευτικῷ ἢ δικανικῷ αὐξῆσαι δέῃ, χρήσιμος ἡ τῶν περιστατικῶν ἐξέτασις.

κδ'. Τὴν μὲν οὖν φύσιν τοῦδε τοῦ κεφαλαίου καὶ τὴν τάξιν ἐντελῶς ἐν τῇ πηλικότητι παρεστήσαμεν· λεκτέον δὲ ἤδη περὶ τῆς ἐργασίας αὐτοῦ· ὡς μὲν οὖν συγκριτικὸν τὸ κεφάλαιον, αὐτὸς ἡμῖν ἐδήλωσεν ὁ τεχνικὸς εἰπών, διὰ τοῦτο πρός τι τὸ [10] μεῖζον ἀποδείκνυσθαι. τὸ γὰρ μεῖζον σαφὲς ὅτι συγκριτικόν· τέσσαρες δὲ τῆς συγκρίσεως τρόποι. ἢ γὰρ πρὸς μεῖζον, ἢ πρὸς ἔλαττον, ἢ πρὸς ἴσον, ἢ πρὸς τὸ ἐναντίον ἡ σύγκρισις γίνεται, ἡ δὲ πρὸς τὸ ἐναντίον, ἡ σύγκρισις δηλονότι, κατὰ μόνην ποιότητα γίνεται, ἐπεί τοι κατὰ τὸ ποσὸν οὐχ οἷόν τε σύγκρισιν γενέσθαι κατὰ τὸ ἐναντίον· οὐδεὶς γὰρ ἂν εἴπῃ τὰ τέσσαρα τοῖς δέκα ἴσα καθεστάναι. οἱ δὲ λοιποὶ τῆς συγκρίσεως τόποι ποσότητες· τὸ γὰρ μεῖζον καὶ τὸ ἔλαττον ποσότητός ἐστι συνεχοῦς, τὸ δὲ ἴσον καὶ διακεκριμένης· παντὸς τοίνυν ἀγῶνος δικανικοῦ ἢ κατὰ κρίσιν, τουτέστι κατὰ φυγὴν καὶ δίωξιν, ἢ κατὰ αἴτησιν γινομένου, ἐν τοῖς [11] κατὰ κρίσιν ὁ μὲν διώκων κατὰ μεῖζον ποιεῖται τὴν σύγκρισιν, κατὰ δὲ τὸ ἔλαττον ὁ φεύγων,

9 Mon. αὔξομεν. Par. 1. ἄγοντες. Par. 2. αὔξοντες. 10 τὸ Mon. om. 11 Mon. ἐκ τῆς.

οἷον ἐπὶ τοῦ κρινομένου ἱεροσυλίας. ὁ μὲν γὰρ φεύγων ἔλαττον ἱεροσυλίας ὑπάρχειν φησὶ τὸ πεπραγμένον τοῦ παρειμένου, τουτέστι τῆς ἱεροσυλίας, καὶ εἰ δυνήσεται ὅλως μεῖζον αὐτὸ ἀποφαίνεσθαι, μικρὸν ὕστερον ἐξετάσομεν καὶ ἐν τοῖς κατὰ αἴτησιν τῶν ἀγώνων· ὁμοίως ὁ μὲν αἰτῶν τοῦ μείζονος, ὁ δὲ φεύγων ἀντέχεται τοῦ ἐλάττονος· καθόλου γὰρ ἐπὶ τῶν κατὰ ἀξίωσιν ἐλέγετο, ὡς κατηγόρου[12] μὲν τάξιν τὸν αἰτοῦντα ἐπέχειν, τὸν δὲ ἀντιλέγοντα φεύγοντος,[13] ὡς ἐπὶ τοῦ φιλοσόφου τοῦ τὴν δωρεὰν αἰτοῦντος ἐφ᾽ οἷς τὸν τύραννον ἔπεισε καταθέσθαι τὴν τυραννίδα· μεῖζον γὰρ ὁ φιλόσοφος ἀποφανεῖ τὸ πεπραγμένον τὸ φόνου χωρὶς καταλελύσθαι τὴν τυραννίδα, ὁ δὲ ἀντιλέγων ἔλαττον τυραννοκτόνου· ἐνταῦθα μὲν οὖν χώραν ἔχει διὰ τοῦ πρός τι τὸ μεῖζον εἰσφερόμενον· ἐπειδὴ δὲ ἐπί τινων ἀπίθανός ἐστιν ἡ τοῦ πρός τι κατὰ τὸ μεῖζον ἐξέτασις, καθάπερ ἐπὶ τοῦ ἱεροσύλου, πῶς γὰρ οἷόν τε λέγειν τὸ τὰ ἰδιωτικὰ ὑφελέσθαι χρήματα μεῖζον εἶναι τοῦ ἅψασθαι τῶν ἀναθημάτων αὐτῶν; καὶ ἔτι ἐπὶ τοῦδε τοῦ παραδείγματος· ἐξ ἡρῴου τις φιάλην ὑφείλετο, καὶ κρίνεται ἱεροσυλίας, οὐ γὰρ ἔνεστι λέγειν μεῖζον τὸ ἐξ ἡρῴου τι περιελέσθαι μᾶλλον ἢ ἐκ τοῦ τεμένους· λεκτέον ἤδη καὶ περὶ τῆς τοιούτων[14] ἐργασίας· προσήκει τοίνυν ἐπὶ τῶν τοιῶνδε, φημὶ τῶν ἐχόντων ἀπίθανον τοῦ πρός τι τὴν κατὰ τὸ μεῖζον ἐξέτασιν, μὴ εὐθὺς ἐπὶ τὸ μεῖζον χωρεῖν, ἀλλὰ διὰ τῆς πηλικότητος πρότερον καθ᾽ ἑαυτὸ τὸ πεπραγμένον αὐξήσαντας, ἐν τῷ πρός τι μὴ ἀπὸ τοῦ μείζονος ἀλλ᾽ ἀπὸ τοῦ ἴσου ποιεῖσθαι τὴν σύγκρισιν. οὕτω γὰρ ἂν πιθανὸς καὶ ἀβίαστος ὁ λόγος εἶναι δοκοίη. ἴσον γὰρ αὐτὸ

12 Mon. κατήγορος. 13 Mon. φεύγοντα. 14 τῆς τοιούτων ἐργασίας usque ad διὰ τῆς πηλικότητος πρότερον καθ᾽ Mon. Par. 2. om. qui ita: λεκτέον ἤδη καὶ περὶ αὐτὸ τὸ πεπραγμένον αὐξήσοντος etc. recepi ex Par. 1.

καθιστάντες τῷ μείζονι καὶ αὔξησιν ποιούμεθα καὶ τὸ ἀπίθανον διαφεύγομεν, οἷον ἐπὶ τοῦ κρινομένου ἱεροσυλίας ἐπὶ τῇ τῶν ἰδιωτικῶν ὑφαιρέσει χρημάτων μὲν αὐτὸ τὸ πεπραγμένον αὐξήσει διὰ τῆς πηλικότητος. ἔπειτα οὕτως, μετὰ τὸ δεινῶσαι καὶ ἐπᾶραι [15] τὴν πρᾶξιν, ἴσην τῇ τῶν ἀναθημάτων ὑφαιρέσει προάγειν αὐτὴν πειρασόμεθα. πολλάκις δὲ μετὰ τὴν πρὸς τὸ ἴσον σύγκρισιν καὶ πρὸς τὸ μεῖζον βιασόμεθα προάγειν τὸ πεπραγμένον, εὐπαράδεκτον ἐκ τοῦ ἴσου καὶ τὸ μεῖζον ἔχοντες, πλὴν εἰ μὴ πάνυ βίαιον ᾖ τὸ τοιοῦτο· τότε γὰρ ἡ πρὸς τὸ ἴσον ἱκανὴ ἔστω ἐξέτασις· παράδειγμα δὲ τοῦ καὶ πρὸς τὸ μεῖζον ἀναβαίνειν πολλάκις ἐκ τῆς ἰσότητος παρέχονται ὧδε· φιάλην τις ὑφελόμενος ἐξ ἡρῴου κρίνεται ἱεροσυλίας· ἐνταῦθα γάρ, φασί, μετὰ τὸ ἴσον καταστῆσαι τὴν ἐκ τοῦ ἡρῴου τῆς φιάλης ὑφαίρεσιν τῇ ἱεροσυλίᾳ δυνήσεται καὶ κατὰ τὸ μεῖζον ἐπιχειρεῖν· καὶ τοιοῦτό τι βιαιότερόν πως εὑρήκασιν ἐπιχείρημα, ὡς μεῖζον τὸ ἐξ ἡρῴου τι περιελέσθαι μᾶλλον ἢ ἐκ τεμένους· οἱ μὲν γὰρ θεοί φασιν αὐτοὺς ἐξ ἁμαρτανόντων λαμβάνειν, τοῖς δὲ ἥρωσι δεῖ τῆς ἐκ τῶν δικαστῶν ἐπικουρίας.

κέ. Ἤδη προλαβὼν ἐν τῇ καταριθμήσει τῶν κεφαλαίων ἐδίδαξεν, ὅτι τοῦτο τὸ κεφάλαιον, ὅπερ ἐστὶν ἡ ἀντίθεσις, [16] οὐκ ἔστι τῶν ἀεὶ ἐμπιπτόντων, εἰπὼν ἀν-

---

15 καὶ ἐπᾶραι Mon. om. 16 Sch. min. ὁ τεχνικὸς βουλόμενος ἡμᾶς τὸν καιρὸν τῆς ἀντιθέσεως διδάξαι, τὸν φιλόσοφον ἐάσας, ἐν ᾧ ἀπέλιπεν ἡ ἀντίθεσις, τίθησι τὸν εὐνοῦχον, ἐν τούτῳ γὰρ τῷ ζητήματι μετὰ τοῦ ὀνόματος ζήτημα ἤδη τοῦ διώκοντος διὰ τῶν εἰρημένων κεφαλαίων τὸ ἔγκλημα κατασκευάσαντος, ἐπί τὴν ἀντίθεσιν ὁ φεύγων, ὁ τὸν εὐνοῦχον ἀποκτείνας ἐμπέπτωκεν. ἔστι δὲ ἡ ἀντίθεσις ἐνταῦθα ἀντεγκληματική, ὅτι ἄξιος ἦν ὧν ἐπεπόνθει, ἐπιχειρῆσαι καταισχῦναι τὸν δυνατὸν αὐτῷ τρόπον· ἐνταῦθα καὶ τῆς τάξεως ἀντεστραμμένης, ὡς εἴρηται, ὁ μὲν φεύγων, ἀφ᾽ ὧν

τιθέσεις ἔστιν ὅτε· γίνεται δὲ ἐκ τῶν ἀντιθετικῶν στάσεων ὡς ἐπὶ ὁμολογουμένοις ἀτοπήμασιν· ὡς ὅταν εἴπῃ, ὅτι ἄξιος ἦν τοιαῦτα παθεῖν ἤ τι τῶν τοιούτων· οἷον ὡς ἐφ' οὗ παρέθετο παραδείγματος τοῦ εὐνούχου· ἐνταῦθα γὰρ μετὰ τὴν προβολὴν καὶ τὸν ὅρον καὶ τὸν συλλογισμὸν καὶ ἔτι μετὰ τὴν πηλικότητα καὶ τὰ πρός τι ἐπιφέρει τὴν ἀντίθεσιν, λέγων ὅτι ἄξιος ἦν ἀναιρεθῆναι· τί γάρ μου τὴν γυναῖκα μοιχεύειν ἐπεχείρει; καὶ ἐνταῦθα μὲν ἐμπίπτει ἐν τῷ ἱεροσύλῳ οὐκέτι· καὶ ἵνα γνῶμεν πότε μὲν ἐμπίπτει, πότε δ' οὔ, λεκτέον τῶν ὅρων τῶν μὲν κατὰ κρίσιν ὄντων τῶν δὲ κατὰ αἴτησιν, ἐν μὲν τοῖς κατὰ κρίσιν ἐμπίπτει· ἐπειδὴ γὰρ ἴδιον ἀντιθέσεως τὸ τῷ ἀδικήματι φανερῶς ἀντιτιθέναι αἰτίαν εὔλογον, διὰ τοῦτο ἐν μὲν τῷ κατὰ κρίσιν ἔχει χώραν, ἐν δὲ τῷ κατὰ αἴτησιν οὔ, ἐπειδὴ ἐυεργέτημα, οὐκ ἀδίκημα τὸ γενόμενον. καὶ ἄλλως τῶν ὅρων οἱ μὲν ἐξ εὐθείας ἔχουσι τὴν ζήτησιν, οἷον ὡς ἐπὶ τοῦ ὀρύξαντος τὸ κενοτάφιον, καὶ κρινομένου τυμβωρυχίας. ἐνταῦθα γὰρ ἐξ εὐθείας ἡ ζήτησις· κρίνεται γὰρ τυμβωρυχίας, καὶ τὸ ζήτημά ἐστιν, εἰ τυμβωρύχος. εἰ δ' οὐκ ἐξ εὐθείας ἀλλ' ἐφ' ἕτερα ἡ ζήτησις χωρεῖ, δι' ὧν τὸ κρινόμενον καταλαμβάνεται, οἷον ὡς ἐπὶ τοῦ τὸν εὐνοῦχον ἀνελόντος καὶ κρινομένου φόνου· ἐνταῦθα γὰρ τὸ μὲν κρινόμενον ὁ φόνος ἐστὶ, ζητεῖται δὲ, εἰ μοιχὸς ὁ εὐνοῦχος, ὅθεν καὶ τὸ εἶναι ἀνδροφόνον κατασκευάζεται τὸν ἀνελόντα τὸν εὐνοῦχον· ἐπὶ τούτων οὖν, ἐφ' ὧν οὐκ ἔστιν ἐξ εὐθείας ἡ κρίσις, ἐμπίπτει ἡ ἀντίθεσις, ἐφ' ὧν καὶ τὰ τῆς τάξεως ἀντέστραπται· ὁ γὰρ φεύγων ἐν τοῖς τοιούτοις κατήγορος γίνεται, καὶ ὁ φεύγων γίνεται διώκων. ὅθεν ὁ μὲν φεύγων τὰ πεπραγμένα προβάλλεται λέγων· εἰσῆλθεν εἰς τὴν οἰκίαν καὶ συγκατεκλίνετο τῷ γυναίῳ

ἔπραξε, τὴν κατηγορίαν ποιεῖται, ὅπερ ἦν ἴδιον κατηγόρου· ὁ δὲ κατήγορος ἐκ τῶν παρειμένων, ὅπερ ἦν τοῦ φεύγοντος.

καὶ τὰς θεραπαινίδας διέφθειρε. ταῦτα δὲ ἀληθὴς τῆς μοιχείας ἐστὶν ἔλεγχος, ὁ δὲ διώκων ὑπὲρ τοῦ εὐνούχου ἀπολογούμενος εἰκότως τὰ παρειμένα προβάλλεται, ὅτι οὐκ ἔστι μοιχεία· πῶς γὰρ ἂν εὐνοῦχος μοιχεύσειεν, ὁ μὴ χρῆσθαι δυνάμενος, μηδὲ τὸ γένος ἀμφίβολον τῇ συνουσίᾳ ποιῶν; πρὸς ἃ τῷ συλλογισμῷ ὁ διώκων χρήσεται, μηδὲν διαφέρειν λέγων πρὸς τὸ εἶναι μοιχὸν, εἴτε δυνατὸς χρήσασθαι, εἴτε μή· τὴν γὰρ προαίρεσιν ἐξετάζειν δεῖ· εἶτα ἡ γνώμη τοῦ νομοθέτου κοινή ἐστιν, ὁ μὲν γὰρ διώκων ἐρεῖ, ὅτι ὁ νομοθέτης μοιχὸν οἶδε τὸν τῇ προαιρέσει τὰ τῶν μοιχῶν ἐπιτηδεύοντα, ὁ δὲ φεύγων ὑπὲρ τοῦ φόνου λύων τὴν αὔξησιν, εἰσάγει τὴν ἀντίθεσιν ἀντεγκληματικὴν, ἄξιον εἶναι λέγων αὐτὸν τῆς τοιαύτης τιμωρίας, ἣν λύει ὁ ἀντιλέγων τῇ μεταλήψει.

κϛʹ. Τὰ μὲν πρὸ τούτου κεφάλαια τῶν ἀεὶ ἐμπιπτόντων ἐστί· τοῦτο δὲ, φησὶ, ποτὲ μὲν ἐμπίπτει, ποτὲ δὲ ἐλλεῖπον φαίνεται. ἀλλ᾽ οὐκ ἀρκέσει,[17] τοσοῦτον μόνον ἐπισημαίνεσθαι, προσθεῖναι δὲ ἀναγκαῖον τῷ λόγῳ τὴν περὶ τῆς εὑρέσεώς τε καὶ ἐλλείψεως αὐτοῦ μέθοδον, ὅπερ ἀνωτέρω ποιεῖ. Περὶ τῶν οὐκ ἀεὶ ἐμπιπτόντων ἡ ὁρικη στάσις πῆ μὲν καθαρῶς ἐφ᾽ ἑαυτῆς μένει, πῆ δὲ συμπλεκομένην ἔχει στάσιν ἑτέραν, ὥστε τὴν ὑπόθεσιν πρῶτον κατανοητέον, καὶ τὴν ὑποκειμένην παράστασιν, κἂν μὲν καθαρεύουσαν εὕρωμεν τῆς καθ᾽ ἑτέραν στάσιν ζητήσεως, πρόδηλον ὡς οὐκ ἂν ἐμπίπτοι ταῦτα τὰ κεφάλαια, εἰ δὲ στάσεως ἑτέρας ἐνείη τις συμπλοκὴ, τῆς ἐπισυμπλεκομένης στάσεως κεφάλαιον ἐμπεσεῖται, τουτέστιν ἀντιθετικὸν ἢ ἀντιληπτικόν· αὗται γὰρ καὶ μόναι τῷ ὅρῳ ἐπισυμπλέκονται· ἐπιδείξεται δὲ δὴ τὸ ἐντεῦθεν ὁ λόγος, καθ᾽ Ἡρόδοτον[18] εἰπεῖν, καὶ πότε στάσεως ἑτέ-

---

17 Mon. οὐ γὰρ κεύσει. 18 Verbotenus haec non invenio; respicere videtur ad formulam Herodoto sollennem I.

ρας γίνεται συμπλοκή. ὁ τοίνυν ὅρος περὶ ὀνόματος ἀεὶ ποιούμενος τὴν ζήτησιν, καθάπερ ἐν τῇ μεθόδῳ δεδήλωται, περὶ αὐτοῦ μόνου πᾶσαν συνίστησι ζήτησιν, ἢ ἄρχεται μὲν ἐξ ὀνόματος, ἐπαναχωρεῖ δὲ πρὸς ἕτερον ζήτημα, ἢ καὶ αὐτὸς ὁρικὸν, ἢ μιᾶς τῶν εἰρημένων στάσεων, τουτέστι τῶν ἀντιθετικῶν ἢ τῆς ἀντιλήψεως, καὶ τοῦτον προέρχεται τὸν τρόπον ἡ τῆς στάσεως συμπλοκή. τοῦ μὲν προτέρου, φημὶ τοῦ περὶ τὸ ὄνομα πᾶσαν ἑστάναι τὴν ζήτησιν, παράδειγμα ὅ τε φιλόσοφος ὁ τὸν τύραννον πείσας καταθέσθαι τὴν τυραννίδα, καὶ ὁ τὰ ἰδιωτικὰ χρήματα ἐξ ἱεροῦ παρελόμενος,[19] εἶτα κρινόμενος ἱεροσυλίας· ἐν τούτοις γὰρ διὰ τέλους περὶ τοῦ ὀνόματος ἡ ζήτησις, πότερον ἱεροσυλία τὸ πεπραγμένον ἢ κλοπὴ, καὶ πότερον τυραννοκτονῆσαι τοῦτό γε, τὸ παῦσαι τὴν τυραννίδα ἢ ἕτερόν τι, δι᾽ οὗ καὶ τὸ πρότερον παράδειγμα τόδε. ἀπὸ κενοταφίου τις φιάλην παρείλετο καὶ κρίνεται ὡς τυμβωρύχος. ἐνταῦθα γὰρ ἡμῖν ἡ πρότερον ζήτησις γίνεται περὶ τοῦ πότερον τυμβωρύχος, ἢ ἕτερόν τι· προβαίνει δὲ ἡ ζήτησις ἐφ᾽ ἕτερον, δι᾽ οὗ καὶ τὸ πρότερον ἀποδείκνυται, ζητούντων ἡμῶν, εἰ κενοτάφιον ἁπλῶς τάφος ἐστὶν ἢ ἕτερόν τι παρὰ τὸν τάφον. τούτου γὰρ δεικνυμένου καὶ τὸ πρῶτον συναποδείκνυται, εἰ τυμβωρύχος ὁ κρινόμενος· ἔστιν οὖν ἐνταῦθα καὶ τὸ δεύτερον ζήτημα ὁρικὸν, καὶ διὰ τῶν τοῦ ὅρου κεφαλαίων κατασκευάζεται· ἡ γὰρ ζήτησις λαμβάνει μὲν τὴν ἀρχὴν ἀπὸ τοῦ πότερον[20] τυμβωρύχος ἐστὶν ὁ τὴν φιάλην παρελόμενος[21] ἐκ τοῦ κενοταφίου ἢ μή· προβαίνει δὲ ἡ ζήτησις ἀναγκαίως ἐπὶ[22] τὸ δεύτερον, εἰ τὸ κενοτάφιον ἁπλῶς τάφος ἐστὶν καὶ περὶ αὐτὸ γίνεται ἡ κα-

106. ἐν ἑτέροισι λόγοισι δηλώσω. 184. τῶν ἐν τοῖσι Ἀσσυρίοισι λόγοισι μνήμην ποιήσομαι. II. 38. τὰ ἐγὼ ἐν ἄλλῳ λόγῳ ἐρέω. 19 Mon. προελόμενος. 20 Mon. ποτέρου τυμβ. ἐστὶν ὅτι φίλην. 21 Par. 1. ἐκ τοῦ κεν. παρελόμενος. 22 Mon. ὡς ἐπί.

τασκευὴ πᾶσα· τούτῳ γάρ, ὡς ἔφαμεν, ἐξ ἀνάγκης καὶ τὸ πρῶτον συναποδείκνυται· καὶ ὅτι ἐπαναχωρεῖ πρὸς ἕτερον ζήτημα πολλάκις ὁ ὅρος, δεδήλωται διὰ τοῦ παραδείγματος, εἰ δὲ πρὸς ἕτερον ζήτημα ἐπαναχώρησίς αὐτοῦ γίνεται, ἢ εἰς ὄνομα πράγματος,[23] ἢ εἴς τι πρᾶγμα, ἢ εἰς πρόσωπον· ἂν μὲν οὖν εἰς ὄνομα πράγματος, ὁρικὴ πάλιν ζήτησις, καὶ χώραν οὐκ ἔχει τὰ ἀντιθετικά, ὡς ἐπὶ τοῦ προκειμένου παραδείγματος· ἀπὸ κενοταφίου τις φιάλην παρείλετο καὶ κρίνεται ὡς τυμβωρύχος· ἐπαναχωρεῖ γὰρ ἐνταῦθα εἰς τὸ ζητεῖν ὄνομα πράγματος, τί ἐστιν ὁ τάφος, καὶ εἰ τὸ κενοτάφιον τάφος ἐστὶν, ὅπερ ἐστὶν οὐ πρόσωπον ἀλλὰ προσηγορία πράγματος. ἂν δὲ εἰς πρᾶγμα ἡ ζήτησις ὑποστρέφῃ, τηνικαῦτα αἱ ἀντιθετικαὶ τῶν στάσεων ἐμπίπτουσιν, ἂν δὲ εἰς πρόσωπον ἐπαναχωροίη τὰ τῆς ζητήσεως, τότε ὡς ἐπὶ τὸ πλεῖστον μὲν ἀντίληψις[24] εἴωθεν ἐμπίπτειν, ἔστι δὲ ὅτε καὶ ἀντίθεσις· τὸ δὲ τῆς ἐπισυμπλεκομένης στάσεως ἀνάγκη συνευρεθῆναι κεφάλαιον· λεκτέον δὲ ἐπὶ παραδείγματος τὰς τῶν εἰρημένων στάσεων συμπλοκάς· καὶ πρῶτόν γε τὸ[25] παρὰ τῷ τεχνικῷ παράδειγμα ἐκθήσομεν, ἔχον δυοῖν στάσεων συμπλοκὴν,[26] ἀντιλήψεώς τε καὶ μιᾶς τῶν ἀντιθετικῶν· εὐνοῦχόν τις εὑρὼν ἐπὶ τῇ

---

23 πράγματος, ἢ εἴς τι πρ. — — — εἰς ὄνομα Mon. om. 24 Mon. ἀντιλήψει. 25 Par. τὰ π. τ. τ. παραδείγματα. 26 συμπλοκὴν Mon. om. Sch. min.: τοῦ φεύγοντος τὴν ἀντίθεσιν προβαλλομένου, ὁ ὑπὲρ τοῦ εὐνούχου ἀπολογούμενος, τουτέστιν ὁ κατήγορος, ἐξ ἀνάγκης χρήσεται τῇ μεταλήψει, αἰτιώμενος τῆς τιμωρίας τὸν τρόπον, καὶ λέγων, ὅτι οὐχ οὕτως ἔδει μετελθεῖν τὸ πρᾶγμα, ἀλλὰ δικαστηρίῳ παραδοῦναι, ἢ ἄλλῳ τινὶ τιμωρήσασθαι τρόπῳ· Μεταλήψεως δὲ εὑρεθείσης· ἔγνωμεν καὶ ἐν στοχασμῷ, ὅτι ἡ ἀντίληψις τῇ μεταλήψει λύεται· μεταλήψεως οὖν οὔσης, ἀναγκαίως ἕπεται καὶ μετάληψις, ἐρεῖ τοίνυν ὁ φεύγων, πρὸς τὴν μετάληψιν ἀγωνιζόμενος, ὅτι καὶ ἐξῆν μοι, καὶ ὁ νόμος ἐδίδου τὴν ἄδειαν.

γυναικὶ ὡς μοιχὸν ἀπέκτεινε καὶ φόνου φεύγει· μετὰ γὰρ τὴν πρώτην ζήτησιν τὴν περὶ τοῦ, τίς ὁ μοιχός; πῇ μὲν ἀντιλήψεταί τινος ἐξουσίας ὁ φεύγων, μοιχὸν φάσκων ἀνῃρηκέναι, τοῦ νόμου τοῦτο παρέχοντος, πῇ δὲ ἀντεγκαλέσει τῷ παθόντι ὡς ἀξίῳ παθεῖν ἃ πέπονθε· τί γὰρ εἰσελθὼν εἰς τὴν οἰκίαν τὸ γύναιον διέφθειρε, καὶ δῆλον, ὡς τὰ τούτων ἐμπεσεῖται πάντως κεφάλαια, τουτέστι τό τε ἀντιληπτικὸν καὶ τὰ ἀντεγκληματικὸν, πρόδηλον δὲ, ὡς ἀντιλήψεως εὑρισκομένης καὶ μετάληψις ἐμπεσεῖται. Λεκτέον δὲ καὶ τὰ τῶν λοιπῶν τριῶν ἀντιθετικῶν στάσεων παραδείγματα· ἐπετράπη στρατηγοῖς δυσὶ τὰ τοῦ πολέμου, τῷ μὲν φυλάττειν τὰ τείχη, τῷ δὲ μάχεσθαι τοῖς πολεμίοις· ὁ τεταγμένος ἐπὶ τῆς μάχης γενομένης ἥττης ἐπὶ τὸ τεῖχος κατέφυγεν, ὁ δὲ οὐ μόνον αὐτῷ τὰς πύλας οὐκ ἀνέῳξεν, ἀλλὰ καὶ εἶπεν, ἀπελθὼν μάχου· ἐμβαλόντος αὖθις ἐκείνου τοῖς πολεμίοις νίκη γέγονε καὶ ἀμφισβητοῦσιν ἑκάτερος τοῦ γέρως· ἡ μὲν οὖν πρώτη ζήτησις ἡ ὁρικὴ, τί τὸ νικᾷν τοὺς πολεμίους ἐστὶ, πότερα τὸ προτρέπειν ἐπὶ τὸν πόλεμον καὶ εἰς ἀνάγκην περιστῆσαι πρὸς μάχην ἑλέσθαι ἢ τὸ αὐτοχειρίᾳ τοῖς πολεμίοις διαμάχεσθαι· ἡ δὲ δευτέρα, κατὰ ἀντίστασιν λέγοντος τοῦ στρατηγοῦ, ὡς τὴν φυγὴν ἐξεπίτηδες ἑλόμενος εἴη, ἵνα τῶν πολεμίων ὡς ἐπὶ νίκῃ ἀφράκτων γενομένων ἐπικρατέστερον τὸ στράτευμα γένηται, καὶ ἔστι τὸ τοιοῦτον ἀντιστατικὸν διὰ τοῦ δοκοῦντος ἀτόπου, μεῖζον εἰσφέροντος εὐεργέτημα τοῦ στρατηγοῦ· ἔστιν οὖν αὕτη δευτέρα ζήτησις ἀντιστατικὴ, πότερα ἄκων ἢ ἑκὼν ἔφυγε· τρίτον δὲ ἐπὶ τούτοις ἐμπίπτει τὸ συγγνωμονικὸν, παραιτουμένου συγγνώμην ἐπὶ τῇ προτέρᾳ ἥττῃ τοῦ στρατηγοῦ καὶ τῇ τύχῃ ἀνάπτοντος· ἡ μὲν οὖν τῆς ἀντιστάσεώς τε καὶ τῆς συγγνώμης πρὸς τὸν ὅρον συμπλοκὴ διὰ τοῦ προκειμένου δεδήλωται παραδείγματος. λείπεται δὲ καὶ τῆς μεταστάσεως ἔτι δοῦναι παράδειγμα.

Δημοσθένης παρὰ Φιλίππῳ λέγων πρεσβείαν ἐξέπεσε καὶ κρίνεται ὑπὸ Αἰσχίνου δειλίας· τὸ μὲν γὰρ πρῶτον ζήτημα ὁρικὸν, προτεινομένου τοῦ ῥήτορος, ὡς οὐκ εἴη τοῦτο δειλία· οὐ γὰρ ὅπλου ἀποβολὴ γέγονεν, οὐ μάχης φυγὴ, οὐ τοιοῦτον οὐδέν· ἔπειτα καὶ τῷ μεταστατικῷ χρήσεται λέγων, ὡς εἰ καὶ δειλία τὸ τοιοῦτον εἴη, τὴν αἰτίαν ὁ Φίλιππος ἐχέτω τῶν λόγων, οὐχ ἡδέως οὐδ' εὐνοϊκῶς ἀκροώμενος καὶ διὰ τοῦτο τοῦ ἐκπεσεῖν γενόμενος αἴτιος, ὁ Φιλοκράτης τυχὸν παρεστὼς καὶ τῶν λεγομένων καταγελῶν.

κζ. Διπλῆ τίς ἐστιν ἡ ποιότης, ἡ μὲν τοῦ προσώπου ἰδία, περὶ ἧς λέξομεν, ἡ δὲ κοινὴ παντελῶς καὶ ἐπιλογικὴ, ἐν ᾗ οἱ ἐπίλογοι τάττονται· τοῦ γὰρ ὅρου ἐκ πεπραγμένου καὶ λείποντος ὄντος, διὰ μὲν τῶν πρώτων κεφαλαίων τῶν ἀγωνιστικῶν συνεισάγομεν εἰς ταὐτὸν τὰ πεπραγμένα τοῖς παρειμένοις, διὰ δὲ τῶν ἑξῆς αὔξομεν τὰ παρειμένα, ἔτι δὲ λειπούσης ἡμῖν εἰς ἔλεγχον τῆς τοῦ κρινομένου ποιότητος, εἰκότως πρὸς ἀναπλήρωσιν τῆς ὅλης ἀποδείξεως παραλαμβάνεται ἡ ποιότης αὕτη, φυλαττομένης κοινῆς ποιότητος τοῖς ἐπιλόγοις· μεταξὺ δὲ ἀγώνων καὶ ἐπιλόγων ἐστὶν ἡ ποιότης αὕτη, πιστουμένη μὲν τὰς τῶν νῦν πραγμάτων δείξεις διὰ τοῦ φανέντος βίου, ὁδὸς δὲ τῇ κοινῇ ποιότητι ἤτοι τοῖς ἐπιλόγοις γινομένη, οὐχ ὥσπερ δὲ ἐν τῷ στοχασμῷ διὰ τῆς βουλήσεως κατασκευάζομεν τὸ ἔγκλημα, καὶ ἔστι σχεδὸν τὸ συνεκτικώτατον τῶν κεφαλαίων, ἡ δὲ βούλησις οὐκ ἄλλως ἢ διὰ τῶν ἐγκωμιαστικῶν κεφαλαίων προέρχεται· ἐν δὲ τῷ ὅρῳ [27] φορᾶς ἕνεκα παραλαμβάνεται, βεβαιούσης τὴν προλαβοῦσαν διὰ τῶν κεφαλαίων ἀπόδειξιν· ὥστε ἐν μὲν τῷ στοχασμῷ ἡ ποιότης ἐστὶ κατασκευαστική· ἐν δὲ τῷ ὅρῳ βεβαιωτική· παρακολουθοῦντα δὲ τῷ

---

27 ἐν δὲ τῷ ὅρῳ φορᾶς — — — ἐστὶ κατασκευαστικὴ Mon. om.

προσώπῳ εἰσὶ τὰ ἐγκωμιαστικὰ κεφάλαια· τὸ γένος, ἡ ἀγωγὴ, τὰ ἐπιτηδεύματα, αἱ πράξεις.

κή. Πολλὴ περὶ τῆς ποιότητος ἡ ζήτησις, [28] πότερον κεφάλαια τῶν ἀγώνων ἐστὶν [29] ἢ ἐπίλογοι, ὥσπερ ἡ κοινὴ ποιότης ἐν τῷ στοχασμῷ· ὁ μὲν γὰρ Μινουκιανὸς ἐν ἐπιλόγοις τάττει φανερῶς τὴν ποιότητα, Μητροφάνης δὲ τοὐναντίον ἐν κεφαλαίοις τῶν ἀγώνων· φησὶ γὰρ αὐτὴν περὶ τὸ μέγιστον τῆς ὑποθέσεως χρήσιμον γίνεσθαι, τουτέστι περὶ τὸ ἀναπληρῶσαι τὸ ἐν τῷ ὅρῳ ἐλλεῖπον· παντὸς γὰρ, ὡς ἔφαμεν, ὅρου τὸ μὲν λείπει, τὸ δὲ πέπρακται· τὸ τοίνυν λεῖπον διὰ τούτου, φησὶ, μάλιστα προσαναπληροῦται· πῶς οὖν ἂν, φησὶν, ἔξω τῶν κεφαλαίων τάττοιτο, εἰ καὶ τὸ μέγιστον τῶν ἀγώνων ἐν τούτῳ κατορθοῦται; ποιεῖ οὖν τοιαύτην τινὰ διαίρεσιν τῆς ποιότητος· χωρίζων τὸ προκείμενον κατὰ ταὐτὸν κεφάλαιον ἐκ τῆς ἐν τῷ στοχασμῷ κοινῆς ποιότητος, καθόλου, φησὶν, ἡ ποιότης ἢ κοινὴ κατὰ πάντων ἐστὶν, ἢ ἰδία τινὸς ὑποκειμένου προσώπου, ἡ μὲν κοινὴ κατὰ πάντων αὐξητική τέ ἐστιν καὶ ἐν ἐπιλόγοις τετάξεται, παραλαμβάνεται γὰρ ἐν αὐτῇ [30] καὶ ὁ κοινὸς τόπος, ὃς [31] ἀναμφιλέκτως ἐστὶν ἐπιλογικὸς, οὐδὲν ἕτερον [32] ἢ κοινὴν αὔξησιν ἔχων κατὰ παντὸς φονέως τυχόν· ἡ δὲ ἰδία ποιότης τοῦ ἐν τῇ ὑποθέσει κρινομένου προσώπου κεφάλαιόν ἐστιν [33] ἴδιον, φησὶ, τοῦ ὅρου, χρήσιμον τῷ παντὶ σχεδὸν τῆς ὑποθέσεως· ἐν παντὶ γὰρ, ὡς ἔφαμεν, ὅρῳ πεπραγμένου τινὸς ὄντος καὶ λείποντος, τὸ λεῖπον εἰς ταὐτὸν ἄγειν τῷ πεπραγμένῳ πειρώμεθα, καὶ τοῦτο ἡμῖν ἐστιν, ὡς εἰπεῖν, τοῦ παντὸς ἀγῶνος κεφάλαιον. διόπερ οὐκ ἀρκέσει πρὸς τὴν τούτου κατασκευὴν ἡ διὰ τῶν

---

28 ἡ ζήτησις Mon. om. 29 Mon. Par. 2. ἔσται. Par. 1. ἐστίν. 30 Mon. ἡ αὐτή. Par. 1. ἐν αὐτῷ. 31 Mon. ὡς. 32 Mon. οὐδὲν οὐδέν. 33 Mon. Par. 2. κεφάλαιόν ἐστι, φησὶν, ἴδιον. Par. 1. ἴδιον φησί.

ἐνθυμημάτων ἀπόδειξις· βιαιοτέρα πως καθεστηκυῖα, πιθανὴ δὲ μᾶλλον· πρὸς τούτοις ἑτέρων τινῶν δεησόμεθα, ταῦτα δέ ἐστι τὰ ἤδη πεπραγμένα τε καὶ προβεβιωμένα τῷ κρινομένῳ προσώπῳ, ἵνα τὸν παρελθόντα βίον συμβαίνοντα τῷ νῦν ἐγκλήματι δείξωμεν, ὅπερ ἐστὶν ἡ ποιότης· οἷον εἰ τὸν ἱερόσυλον κρινόμενον ἐπιδείξομεν καὶ πρότερον ἰδιωτικὰ πολλάκις ὑφελόμενον ἢ περὶ [33*] λῃστείαν ἐσχολακότα· πιθανώτερον γάρ πως ἐκ τούτων ἱεροσυλία τὸ νῦν ἔγκλημα φανεῖται· καί ἔτι ἐπὶ τοῦ φιλοσόφου τοῦ πείσαντος τὸν τύραννον καταθέσθαι τὴν τυραννίδα τὸν πρότερον ἐξετάζοντες βίον καὶ τὸν ὕστερον προκείμενον εὐπαράδεκτον ἕξομεν, οἷον ὅτι πάντα τὸν βίον τὰ λυσιτελοῦντα τῇ πόλει διαπράξας φαίνεται· ὥς γε [34] καὶ τοῦτο ἐξ ἀρχῆς τῶν ἐπιτηδευμάτων προείλετο, δι' οὗ τοὺς νέους ὑμῖν ἀμείνονας καταστήσει, τῆς ἐλευθερίας ἐφιεμένους, ἀλλὰ μὴ τυράννων ἀκρασίαις δουλεύοντας, μηδὲ ἐκδιδομένους ταῖς ἡδοναῖς· διαιρεῖται δὲ τριχοῦ κατὰ τοὺς χρόνους ἡ ποιότης, κατὰ τὸν παρελθόντα καὶ τὸν ἐνεστῶτα καὶ ἔτι τὸν μέλλοντα· κατὰ μὲν τὸν παρελθόντα, ὥσπερ ἐδείξαμεν, κατὰ δὲ τὸν ἐνεστᾶτα τὴν ἐπὶ τῆς ὑποκειμένης πράξεως ἐξεταζόντων ἡμῶν ποιότητα, κατὰ δὲ τὸν μέλλοντα, οἷον εἰ λέγομεν, τίς ἔσται φυγὼν, καὶ τὸ παρὸν διακρουσάμενος· τὴν δὲ κατὰ τὸν μέλλοντα ἐξέτασιν διχῇ κατὰ τὸ ἀποτελούμενον ἐκ τῆς τοιᾶσδε κρίσεως βλάβος ἢ ὠφέλιμον διαιροῦμεν, πῇ μὲν κοινὸν καὶ εἰς ἅπαντας ἧκον δεικνύντες τὸ ἀδίκημα, πῇ δὲ ἐπ' αὐτοῦ διαμένον τοῦ κρινομένου· κοινὸν μὲν διὰ τῆς μιμήσεως, ὅτι πολλοὶ μιμήσονται τὴν πρᾶξιν τῷ μὴ τιμωρίαν ὑποσχεῖν αὐτὸν ἂν ἥμαρτεν, ἴδιον δὲ ἐξ αὐτοῦ τοῦ κρινομένου· οἷον εἰ λέγοιμεν, ὡς νῦν ἐκφυγὼν τὴν τιμωρίαν ἐπὶ τῶν αὐτῶν ἔσται πάλιν· ληπτέον δὲ τὴν ποιότητα κατὰ τὰς τῶν προσώπων διαφορὰς καὶ

33* Mon. παρά, scr. περί. 34 Par. 1. ἄςγε.

τὰ παρακολοθοῦντα τούτοις, ἡ δὲ τῶν προσώπων διαίρεσις εἴρηται μὲν καὶ ἀνωτέρω· κἀνταῦθα δὲ πάλιν διεῖλεν ὁ τεχνικὸς τὸν λόγον ἐπαναλαβών· τῶν γὰρ προσώπων, φησὶ, τὰ μὲν ὡρισμένα ἐστὶ, τὰ δὲ ἀόριστα· καὶ αὖ πάλιν τῶν ἀορίστων τὰ μὲν παντελῶς ἀόριστα, τὰ δὲ κρίσιν ἐπιδεχόμενα, ἅπερ ἀνωτέρω κατὰ τὴν τῶν προσώπων τεχνολογίαν πρός τι ὠνόμασαν· τὰ μὲν οὖν ὡρισμένα διὰ τῶν ἐγκωμιαστικῶν χρὴ τόπων [35] διεξιέναι, λέγων δὲ τῶν ἐπιβαλλόντων τῷ ὑποκειμένῳ, οὐ γὰρ ἅπασιν ἐντελῶς τοῖς ἐγκωμιαστικοῖς τόποις χρηστέον,

---

35 Par. 1. τρόπων. Sch. min.: εἰ δὲ ἄλλως ἀόριστον· τουτέστιν εἰ δὲ μὴ ἦν κυρίως, σκεπτέον πάλιν, εἰ τῶν κρινομένων ἐστίν· ἄλλως δὲ εἶπεν, οὐ γὰρ φύσει τὰ τοιαῦτα ἀόριστα, ἀλλὰ τρόπῳ τινὶ, ὡς πρὸς τὸ κύριον, οὗ τὴν ποιότητα ἰδίᾳ ὡρισμένην ἔχομεν ἐν ταῖς ἱστορίαις· κρινομένων δὲ λέγει τῶν ἐξέτασιν ἐπιδεχομένων, κἂν μὲν εἴη, φησὶ, τῶν κρινομένων, ὡς τὸ πατὴρ, ἢ δοῦλος, ἤ τι τῶν ἄλλων, διὰ τῆς παρ' αὐτοῖς ποιότητος ἐξετασθήσεται. Εἰ δὲ ἀόριστον πάντη· ἀόριστα καλεῖ τὰ ποιότητος ἀμοιροῦντα· πάντη δὲ ἀορίστου ὄντος τοῦ προσώπου, καὶ μὴ ἔχοντος ποιότητα, ἐφεῦρε καὶ τούτου εὐπορίαν τινὰ ἡ τέχνη· ἐκλειπούσης γὰρ πάντη τῆς ποιότητος διὰ τὸ εἶναι ἀόριστον, ἐφεῦρέ τινα μέθοδον ὁ τεχνικὸς δι' ἧς χρήσασθαι τῷ κεφαλαίῳ δυνησόμεθα· ἀπὸ γὰρ τοῦ πεπραγμένου ἦθος ἀναπλάττειν δεῖ τῷ πράξαντι· ὡς ἐπὶ τοῦ τὸ κενοτάφιον ὀρύξαντος, ἐν τούτῳ τὸ μὲν πρόσωπον ἄποιον, ἀόριστον γὰρ, ἀπὸ γὰρ τοῦ πραχθέντος ῥᾴδιον ἦθος παραθεῖναι τῷ προσώπῳ· ὁ γὰρ ἐλπίδι κέρδους διορύξας κενοτάφιον, παντὸς μὲν ἥττων ὁ τοιοῦτος, ὀλίγων δὲ τῶν ἄλλων φροντίζων, θρασὺς, ἀσεβὴς, μηδὲ αὐτῶν τῶν κατοιχομένων λόγον ποιούμενος. Παρελθόντα χρόνον. Κατὰ τοὺς τρεῖς χρόνους γίνεται ἡ τοιαύτη ἐξέτασις· ἐξετάζεται γὰρ, τίς ὁ πρὸ τούτου βίος αὐτοῦ· ὁ δὲ ἐνεστὼς τὰ παρεστῶτα καὶ κρινόμενα ἔχει· οὐ μόνον γὰρ διέξιμεν, τίς ἦν ἐπὶ τοῦ παρελθόντος, ἀλλὰ καὶ τίς εἰς τὸν μέλλοντα χρόνον ἔσται, ἁλοὺς ἢ ἀφεθείς· ὅτι ἁλοὺς μὲν σωφρονέστερος καὶ μετριώτερος, ἀφεθεὶς δὲ θρασύτερος καὶ χαλεπώτερος.

τὰ δὲ ἀόριστα καὶ κρίσιν ἐπιδεχόμενα, τουτέστι τὰ πρός τι διὰ τῆς ἀπ᾽ αὐτῶν καθολικῆς ποιότητος· οἷον περὶ τῶν πατέρων, ὅτι φιλόστοργοι καὶ χρηστοί· περὶ τῶν νέων, ὅτι θρασεῖς καὶ πρὸς πάντα ὁρμᾷν ἕτοιμοι, περὶ δὲ τῶν πλουσίων, ὅτι ἀλαζόνες καὶ ἐπηρμένοι διὰ τὴν τύχην· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· καθάπερ ἐπὶ τῶν προσώπων ἰδίᾳ τετεχνολόγηται· εἰ δὲ ἀόριστον παντελῶς εἴη τὸ πρόσωπον ὥσπερ τὸ τίς, οὐδὲ τότε ἄποιον ἡμῖν καταληφθήσεται, ἀλλ᾽ ἐκ τοῦ ὑποκειμένου πράγματος ἀναπλάσομεν ποιότητά τινα τοῦ δεδρακότος προσώπου, οἷον εἰ φαῦλον εἴη τὸ πρᾶγμα, παραπλησίαν καὶ τῷ προσώπῳ ποιότητα περιθήσομεν, ὡς ἐπὶ τοῦδε τοῦ παραδείγματος· παρίσταταί τις νεοσφαγεῖ σώματι ξίφος ἔχων, καὶ κρίνεται φόνου· ἔχομεν γὰρ ἐκ τοῦ παρεστάναι τὸ ἀπάνθρωπον καὶ ὀργίλον τοῦ ἤθους ἀναπλάττειν, ὡς οὐδὲ μετὰ τὴν σφαγὴν ἐκεκόρεστο τῆς ὀργῆς, καὶ ὅσα τοιαῦτα· εἰ δ᾽ αὖ χηστὸν εἴη τὸ πεπραγμένον, χρηστὴν καὶ τὴν ποιότητα τοῦ προσώπου ληψόμεθα καὶ τοῦτον τὸν τρόπον εὐποροῖμεν ἂν καθάπαξ τῆς τῶν προσώπων ποιότητος· τοσαῦτα περὶ τῆς ποιότητος εἰρήσθω, ἣν ὁ μὲν Μινουκιανὸς ἐν ἐπιλόγοις τάττει, ὁ δὲ Μητροφάνης κεφάλαιον εἶναι τῶν ἀγώνων ἐκδέχεται, διαμαρτόντε ἄμφω τοῦ δέοντος· ὡς μὲν γὰρ οὐκ ἂν εἴη κεφάλαιον ἀγωνιστικόν, σκέψαιτο ἄν τις ἐντεῦθεν οὐ χαλεπῶς· καθόλου τὰ κεφάλαια τῆς ὑποκειμένης ὑποθέσεως ἐκβαίνειν οὐ βούλεται, ἄν τε αὐξητικὰ εἴη, ἄν τε πρὸς ἀπόδειξιν κομιζόμενα· οὐ γὰρ ἐν τῷ πρός τι ἢ τῇ πηλικότητι, ἅπερ ἐστὶν αὐξητικὰ κεφάλαια, καθολικὴν ποιούμεθα αὔξησιν, ἀλλὰ μερικὴν καὶ πρὸς τὴν ὑποκειμένην ὑπόθεσιν, ἡ δὲ ποιότης, περὶ ἧς νυνὶ πρόκειται λέγειν, οὐ περὶ τὴν ὑπόθεσιν ἕστηκε, πῶς γὰρ ἂν [36] τὰ ἔξωθεν τοῦ προκειμένου βιαζομένη καὶ περιερ-

36 ἂν et βιαζομένη καὶ Mon. om.

γαζομένη; τῶν γὰρ ἤδη βεβιωμένων ἐξετασμὸν ποιεῖται, ὁ δὲ δικαστὴς οὐ περὶ τοῦ παντὸς βίου ἐξετάσων [37] εἰσῆλθεν, ἀλλὰ περὶ τῆς ἐφ' ᾗ κρίνεται πράξεως, πῶς οὖν ἡ ποιότης ἀγωνιστικὸν κεφάλαιον τῆς ὑποθέσεως ἐκβαίνουσα; ἀλλὰ φήσει τις τοῦ ἀγῶνος ἐντεῦθεν κατορθοῦσθαι τὸ μέγιστον, ὅπερ ἔφην ἀνωτέρω, καὶ ὅτι συντελεῖ πρὸς τοὺς ἀγῶνας καὶ τὴν τοῦ παντὸς λόγου κατασκευὴν, διὰ γοῦν τοῦτο μετὰ τῶν κεφαλαίων ταχθήσεται· πρὸς ὃ ῥητέον, ὡς οὐδὲ ἡ κοινὴ ποιότης μάτην παραλαμβάνεται, συντελεῖ δέ τι πρὸς τὸν ἀγῶνα, καίτοι οὐ κεφάλαιον ἡ κοινὴ ποιότης, ἀλλ' ἐπίλογος, ὅλως δὲ καὶ τὰ προοίμια καὶ τοὺς ἐπιλόγους οὐ μάτην, ἀλλ' ἕνεκα τῶν ἀγώνων παραλαμβάνομεν· ὡς μὲν οὖν οὐ κεφάλαιόν ἐστιν, δῆλον ἐντεῦθεν, ὡς δ' αὖ πάλιν οὐ κατὰ Μινουκιανὸν ἐν ἐπιλόγοις, [38] καθάπερ ἡ κοινὴ ποιότης, σαφὲς ἤδη γιγνέσθω· τῆς γὰρ κοινῆς τουτέστι τῶν ἐπιλόγων αὔξησιν μόνον ἢ ἀνακεφαλαίωσιν ἐχόντων, ἡ νῦν προκειμένη ποιότης οὐκ αὐξητικὴ μόνον ἀλλὰ πιστωτικὴ γίνεται· ἐκ γὰρ τῶν ἤδη πεπραγμένων ἀποδείκνυσθαί πως τὰ παρόντα δοκεῖ· τὸ δὲ οὐκ [39] ἀποδεικτικὸν ὁ ἐπίλογος· ποῦ τοίνυν ἔτι ταχθήσεται, τῶν κεφαλαίων καὶ τῶν ἐπιλόγων ἐκβεβλημένη; ἢ δῆλον ὡς τὴν μεταξὺ [40] τούτων ἀπολήψεται τοῖς ἐπιλόγοις ἁρμόττουσα, καὶ οὐδὲ μεθ' ἑτέρου τάττεσθαι δυναμένη τῷ κοινωνεῖν ἑκατέρων· ἔστι τοίνυν ἡ ποιότης ἐπιχειρημάτων συναγωγὴ μεταξὺ πεπτωκότων ἐπιλόγου καὶ ἀγῶνος· ταὐτὸν δὲ καὶ περὶ τῆς γνώμης φαίημεν ἄν· συνδιαλαμβάνεται γὰρ καὶ αὕτη, καθάπερ ἐδείξαμεν, τῇ ποιότητι· τὰς γὰρ ἐπαινουμένας τῶν πράξεων διαβάλλειν καθ' ἑαυτὰς οὐ δυνάμενοι διὰ τῆς γνώμης τοῦ πεπραχότος κατηγορήσομεν·

---

37 Par. 1. δικάσων. 38 ἐν ἐπιλόγοις — — — ἐπιλόγων αὔξησιν μόνον ἢ Par. 1. om. 39 οὐκ Mon. om., est in Parr. 40 Par. 1. καὶ τούτων.

τοὺς δὲ ἐπιλόγους ἐπὶ τῆς κοινῆς ἐμάθομεν ποιότητος, περὶ ἧς ἡμῖν ἐν τῷ στοχασμῷ τετεχνολόγηται· κοινὴν γὰρ ποιότητα διὰ τούτων ἔφην ὠνομάσθαι τοὺς ἐπιλόγους, ἐπεὶ κοινοὶ πασῶν τῶν στάσεων φαίνονται.

κθ'. Ἐὰν, φησὶν, ᾖ κύριον τὸ πρόσωπον, οὗ ἡ ποιότης ὥρισται ἐν ταῖς ἱστορίαις, τὰς κατασκευὰς καὶ ἀφορμὰς ληψόμεθα ἀπὸ πάντων τῶν ἐγκωμιαστικῶν· καὶ ταύτην ἐργαζόμεθα τὴν ποιότητα κατὰ τοὺς τρεῖς χρόνους, κατὰ τὸν παρῳχημένον, κατὰ τὸν ἐνεστῶτα, κατὰ τὸν μέλλοντα· κατὰ τὸν παρῳχημένον λέγοντες, ὅσα τοῖς ἀπὸ γένους, εἴπερ εἴη κύρια, οἷον τὸ εἰπεῖν, οὐ χρὴ διά γε αὐτὸν σώζεσθαι, οὐδὲ γὰρ χρηστὸν τὸ γένος· εἰ δὲ καὶ τῶν εὐπατριδῶν τις ἦν, μειζόνως αὐτὸν ἔδει κολάζειν, ὅτι ἐκ τοιούτων γεγονὼς καὶ τοιαῦτα ἔχων τὰ παραδείγματα, καὶ ἑαυτὸν καὶ τὸ γένος κατήσχυνε, καὶ ὅσα ἀπὸ τῆς τοῦ προσώπου ποιότητος ἐμπίπτει ἐξ ἱστορίας, ἢ ἐξ ἄλλου τινὸς τρόπου· κατὰ δὲ ἐνεστῶτα ἐξετάζοντες, ἐφ᾽ οἷς νῦν κρίνονται· κατὰ δὲ τὸν μέλλοντα στοχαστικῶς προαγόμενοι, στοχαστικὴ γὰρ ἡ τοιαύτη κατασκευὴ, τὸ ἐκ τῶν πεπραγμένων τὰ μὴ πεπραγμένα ἐλέγχειν· λέξομεν γὰρ, ὅτι ποῖον ἐλπίζειν δεῖ γεγενῆσθαι τὸν κατηγορούμενον ἀπὸ τῶν νῦν ἀπ᾽ αὐτοῦ πεπραγμένων; οὕτω καὶ Δημοσθένης τὸ κεφάλαιον κατὰ τὴν εἰρημένην μέθοδον προχειρισάμενος, πρῶτον μὲν διαβάλλων ἀπὸ τοῦ γένους τὸν Μειδίαν [42] βάρβαρόν αὐτόν φησι καὶ οὐδὲ γνήσιον εἶναι, ἀλλ᾽ ἐξ ἑταίρας ὑποβληθῆναι τῷ πατρὶ, ἔπειτα καὶ ἀπὸ τῶν πεπραγμένων διέβαλε καὶ εἰς τὸν μέλλοντα χρόνον ἐλθὼν ἔφη, δεῖν πλέον ὀργισθῆναι ἐφ᾽ οἷς μέλλει ποιεῖν, ἢ ἐφ᾽ οἷς διεπράξατο, εἰ τὴν παροῦσαν ἐκφύγοι [43] δίκην· ἰστέον δὲ, ὅτι ἐν τούτῳ τῷ κεφαλαίῳ καὶ παραδείγμασι χρησόμεθα τοῖς ἐμπίπτουσιν

---

41 γὰρ Mon. om. 42 p. 563. 43 Mon. ἐκφύγῃ.

σιν, ἐντεῦθεν ἐξαίροντες τὸ ἔγκλημα, ὡς καὶ αὐτὸς Δημοσθένης· εἰπὼν γὰρ περὶ τοῦ Μειδίου, ὅτι βάρβαρος καὶ ὅσα ἕτερα περὶ αὐτοῦ εἴρηκε, παρήνεγκε τὸν Ἀλκιβιάδην, πανταχόθεν αὐξήσας τὴν ἐκείνου ποιότητα, εἰπὼν, ὅτι ἐκ προγόνων ἐφύλαττε πρὸς τὸν δῆμον τὴν εὔνοιαν καὶ ὅσα περὶ αὐτοῦ εἶπεν.

λ'. Μετὰ τοῦτο τὸ κεφάλαιον ἕπεται ἡ γνώμη, καθ' ἣν ἐξετάσομεν, τί βουλόμενος ἐπὶ τούτῳ κεχώρηκεν, ὥσπερ ἐπὶ τοῦ τὸ κενοτάφιον ὀρύξαντος· ἐρεῖ γὰρ ὁ κατήγορος, ὅτι ἐπὶ τούτῳ πάντως παρεγένετο, ἐλπίζων μετὰ τοῦ κειμένου εὑρεῖν τι τῶν εἰωθότων τοῖς οἰχομένοις συνθάπτεσθαι, ἐμπίπτει δὲ καὶ ἐν τοῖς κατ' αἴτησιν, οἷον ὡς ἐπὶ τοῦ φιλοσόφου· ἐρεῖ γὰρ, ὅτι βουλόμενος τὴν πόλιν ὡς ἀληθῶς κινδύνων ἐξελεῖν, ἅπερ εἴωθε συμβαίνειν τοῖς καινοτέροις τῶν ἔργων, τούτῳ τῷ τρόπῳ μετῆλθε· ταῦτα δὲ τὰ κεφάλαια ὥσπερ ὁ κατήγορος μεταχειριεῖται, οὕτω καὶ ὁ φεύγων εἰς τοὐναντίον αὐτῷ περιάγων καὶ πρὸς τὸ λυσιτελοῦν μεταφέρων τοὺς λόγους· ἐρεῖ γὰρ ἀπὸ μὲν τῆς ποιότητος, ὅσα ἐμπίπτει ἀπὸ τοῦ γένους καὶ τῶν ἄλλων παρεπομένων, καὶ ὅτι συκοφάντης ὢν τὸν ἀγῶνα τοῦτον πεποίηται· καὶ ἐν τῷ κατ' αἴτησιν ἐρεῖ, ὅτι εἰδὼς τὴν τυραννίδα καὶ ἐπισφαλῆ καὶ κίνδυνον τοῖς ἔχουσι φέρουσαν, ἅμα δὲ καὶ δεδιὼς, μὴ συνειδότος κριθείη, τὸν τύραννον ἔπεισε καταθέσθαι τὴν δυναστείαν· γνώμην οὖν ἐνταῦθα καλεῖ τὴν τοῦ πεπραγμένου αἰτίαν, τίνος ἕνεκα καὶ διὰ τί τόδε ἔπραξε, καὶ ζητήσει αἰτίαν εὐπρόσωπον, ἥτις παρὰ τοῦ κατηγόρου μὲν κινεῖται, λύεται δὲ ὑπὸ τοῦ φεύγοντος χρώματι, οἷον ἐπὶ τοῦ ἱεροσύλου· ἀλλ' εἴπερ μὴ ἱεροσυλεῖν ἐβούλου, τίνος ἕνεκεν οὐ πρὸς [44] ἰδιώτου παρελθὼν οἰκίαν ἐλῄστευσας· ὁ δὲ φεύγων πρὸς τὴν αἴτησιν τῆς γνώμης κινήσει χρῶμα συγγνωμονικὸν, ὡς λαθεῖν ἤλπιζον μᾶλλον ἐξ ἱεροῦ χρή-

44 οὐ πρὸς Mon. om.

ματα λαμβάνων· κινήσει δὲ ὁ φιλόσοφος γνώμην· πρῶτος γὰρ λέγων [45] κατηγόρου τάξιν ἐπέχει, ὁ δὲ ἀντιλέγων τὴν τοῦ φεύγοντος, ἀλλ' εἴπερ μὴ καθελεῖν ἔσπευδον τὴν τυραννίδα, τίνος ἕνεκεν ἐμαυτοῦ περιφρονήσας ἐπὶ τὴν ἀκρόπολιν ἐχώρουν, καὶ λόγοις ἐλαύνειν τὸν τύραννον ἐπειρώμην; ὁ δὲ ἀντιλέγων πρὸς ταῦτα κινήσει χρῶμα οὐ κατὰ διάνοιαν τοιάνδε, ἀλλ' ἤδη σαθρὰν ἐγνωκὼς εἶναι τὴν τυραννίδα πείθειν τετόλμηκας ἄνθρωπον, αἱρετωτέραν ἤδη τῆς ἄκρας ἡγούμενον τὴν φυγήν.

λά. Οἷον ποίᾳ γνώμῃ ὁ κρινόμενος τυμβωρυχίας ἐπὶ τὸ κενοτάφιον ἦλθε καὶ ὁ κρινόμενος ἱεροσυλίας ἐπὶ τὸ ἱερόν.

λβ'. Ἡ κοινὴ ποιότης ποτὲ μὲν προηγήσεται τῆς ἰδικῆς ποιότητος, ποτὲ δὲ ἔσται ἀδιάφορον ἔχουσα τὸν τόπον, καὶ ἢ καθ' αὑτὴν ἐξετάσομεν, ἢ καὶ συμπεπλεγμένως ἀμφοτέρας μιγνύντες, τήν τε κοινὴν ποιότητα καὶ τὴν ἰδικὴν μετὰ τῆς γνώμης· κοινὴν δὲ ποιότητα δηλοῖ τοὺς ἐπιλόγους, τὸ δὲ ἐνταῦθα ἀντὶ τοῦ, ὡς ἐν τῷ ὅρῳ· κοινὴ δὲ ποιότης ἐστὶν, ὡς καὶ ἐν στοχασμῷ εἴρηται, ἡ καθόλου παντὸς προσώπου διαβολὴ, ὡς ἐν τῷ κοινῷ τόπῳ κατὰ παντὸς ῥήτορος ἢ στρατηγοῦ ἢ τυράννου.

λγ'. Συμπλέκεται, φησὶν, ἡ κοινὴ ποιότης τῇ ποιότητι τοῦ ὑποκειμένου προσώπου· διπλῆ γάρ ἐστιν, ὡς εἴπομεν, ποιότης, ἡ μὲν ἰδία τοῦ κρινομένου προσώπου, ἡ δὲ καθολική· ἀλλ' ἡ μὲν κεφαλαίου χώραν ἐπέχει, ἡ δέ ἐστιν ἐπιλογική· ληψόμεθα δὲ τὴν διαβολὴν καὶ τὸν ἔπαινον ἀπὸ τῆς ποιότητος τοῦ ὑποκειμένου προσώπου, ἢ καὶ τῆς πράξεως· οἷον τὸν ἱερόσυλον κρινόμενον διαβαλοῦμεν μὲν καὶ ἀπὸ τοῦ ἄλλου βίου, λέξομεν γὰρ, ὅτι καὶ ἐξ ἀρχῆς τοιοῦτος ἦν τολμηρὸς, καὶ ἐπὶ τοῦ φιλοσόφου τὸ ἐναντίον, ὅτι κοσμίως ἐξ ἀρχῆς καὶ ἀν-

45 Mon. πρῶτον γὰρ λέγεται.

δρείως ἐβίωσεν· ἀναγκαῖον δὲ καὶ τὸ τῆς κοινῆς ποιότητος, πρὸς γὰρ οὕτως ἰσχυρὸν τὸ κεφάλαιον τὸ προηγησάμενον ὁ φεύγων οὐδὲν ἕξει ἀντιθεῖναι, εἰ μὴ ἄρα τι ἡ ὑπόθεσις διδοίη, πλὴν ἔλεον καὶ τὰ συγγνωμονικὰ καὶ οἶκτον, οἷς χρήσεται [46] συστῆναι βουλόμενος τὴν ἑαυτοῦ γνώμην· ταῦτα δέ ἐστιν ἡ κοινὴ ποιότης, τουτέστιν οἱ ἐπίλογοι, οἷς καὶ τὰ τελικὰ ἐν ταῖς ἐκβάσεσι μάλιστα συνῆπται κεφάλαια ἐφ᾽ ἑκατέρου μέρους, κοινοὺς γὰρ ἔφαμεν εἶναι τοὺς ἐπιλόγους.

Cap. XX.

Περὶ τῶν εἰδῶν τοῦ ὅρου.

α΄. Καθάπερ ἐν στοχασμῷ μετὰ τὴν διαίρεσιν τῶν κεφαλαίων διέλαβε περὶ τῶν εἰδῶν τοῦ στοχασμοῦ, τὸν αὐτὸν τρόπον κἀνταῦθα διελὼν τὸν ὅρον τὰ εἴδη λοιπὸν παραδίδωσι τοῦ ὅρου· ἰστέον δὲ, ὅτι τινές φασιν, ὡς εἴδη ὁ ἁπλοῦς ὅρος οὐκ ἔχει· οὔτε γὰρ ἐναλλαγὴ κεφαλαίων ἐν αὐτῷ, οὔτε πλεονασμὸς, οὔτε ἔλλειψίς ἐστιν, ἅπερ ἔφαμεν ἐν ταῖς στάσεσιν τὰ εἴδη ποιεῖν.

ς΄. Ὃν τρόπον ἐπὶ τοῦ στοχασμοῦ μετὰ τὴν τῶν κεφαλαίων διαίρεσιν περὶ τῶν εἰδῶν διελάμβανε, τοῦτον κἀνταῦθα τῇ τῶν κεφαλαίων διαιρέσει τὴν περὶ τῶν εἰδῶν ἐπάγει διδασκαλίαν. Ἔστι δὲ ἡ κατὰ εἴδη διαίρεσις αὕτη, τῶν ὅρων κ. τ. λ. T. V. p. 310. v. 31. — 311. v. 14. εἰ δέ τις φαίη δυοῖν καθεστάναι πραγμάτων ἐνταυθοῖ ζήτησιν, φόνου τε καὶ μοιχείας, ῥητέον, ὡς ἄρχεται μὲν ἐκ τοῦ φόνου ἡ ζήτησις, τὸ δὲ τῆς μοιχείας εὐθέως ἀνθυπαγόμενον ἐφ᾽ ἑαυτὸ τὴν πᾶσαν ἕλκει ζήτησιν· ἐντεῦθεν γὰρ καὶ ὁ φόνος λαμβάνει τὴν κατασκευὴν, ὥστε

---

46 Post χρήσεται in Mon. et Par. 2. sequitur ἤ. Par. 1. om.

ἁπλῆ τίς ἐστι περὶ μόνης μοιχείας ἡ ζήτησις· τῶν δὲ κατὰ κρίσιν διπλῶν ἐφεξῆς τὰ παραδείγματα κατ᾽ εἶδος ἐκθήσομεν· ὁ διπλοῦς τοίνυν, ὡς ἔφην, τετραχῶς διαιρεῖται· καὶ ἔστιν ἀντονομάζοντος μὲν παράδειγμα ὁ ἐπὶ τῇ τῶν ἰδιωτικῶν ὑφαιρέσει χρημάτων ἱεροσυλίας [1] κρινόμενος, δύο γὰρ ὑπόκειται καὶ ἀποδείκνυται πράγματα, [2] τοῦ μὲν ἱεροσυλίαν, τοῦ δὲ προβαλλομένου κλοπὴν, καὶ ἑκατέρου ὄνομα [3] ἀντ᾽ ὀνόματος προτεινομένου· ὁ μὲν γὰρ διώκων οὐ κλοπὴν εἶναι φήσει τὸ πεπραγμένον, ἱεροσυλίαν δὲ· καὶ αὖ πάλιν ὁ φεύγων οὐχὶ ἱεροσυλίαν ἀλλὰ κλοπήν· τοῦ δὲ κατὰ σύλληψιν εἴδους παράδειγμα τόδε, οὗ καὶ ἀνωτέρω μνείαν ἐποιησάμην· στρατηγὸς ἐπὶ πόλεμον ἐξιὼν τῷ συστρατήγῳ τὴν ἑαυτοῦ παρεκατέθετο θυγατέρα, ὁ δὲ φθείρει τὴν κόρην καὶ παρελθὼν ὁ συστράτηγος κρίνει δημοσίων ἀδικημάτων αὐτόν· ὁ δὲ βιαίων ἀξιοῖ κρίνεσθαι· νόμου κελεύοντος, τὸν [4] μὲν δη-

---

1 Mon. ἱεροσύλου. 2 Mon. πρόγματι. Par. 1. πράγμ[ατ], τὰ μὲν ἱερ. τὰ δὲ προβ. 3 Mon. ἑκάτερα ὁ νόμος. Sch. min.: τῇ οἰκείᾳ πάλιν ἑπόμενος ὁ τεχνογράφος ἀκολουθίᾳ κἂν τῷ ὅρῳ μετὰ τὸν ἁπλοῦν τοὺς διπλοῦς τεχνολογεῖ· οὐ γὰρ ἦν δυνατὸν μὴ πρότερον μαθόντα, πῶς ἕκαστον τῶν ἁπλῶν διαιρεῖται, γνῶναι περὶ τῶν διπλῶν, πρῶτον τοίνυν τεχνολογεῖ τὸν ἀντονομάζοντα, ὃς καὶ τὴν ἐπωνυμίαν ἀπ᾽ αὐτῶν ἔργων ἐκτήσατο· καλεῖται γὰρ ἀντονομάζων ἐκ τοῦ ἑκάτερον ἐναντίον θατέρου τῷ ἐγκλήματι ὄνομα παραθεῖναι· ἐπὶ μιᾷ γὰρ πράξει δύο εὑρίσκεται ὀνόματα ζητούμενα· ἑκάτερος γὰρ τῶν ἀντιδίκων ἐκβάλλων τὸ ὑπὸ τοῦ ἑτέρου λεγόμενον ἕτερόν τι ὄνομα τῷ ἀντιδίκῳ ἐπάγει, τὸ μὲν τοῦ κατηγόρου ὁριζομένου, τὸ δὲ τοῦ φεύγοντος ἀρνουμένου μὲν τὸ ὑπὸ τοῦ κατηγόρου, καὶ ἀνελεῖν ἐπιχειροῦντος, ἕτερον δὲ ἀντεισφέροντος οὐχ ἁπλοῦν ἀλλὰ μικρότερον ἔγκλημα. Οἷον ὑφείλετό τις· ἐνταῦθα γὰρ ὁ μὲν κατήγορος τὸ μεῖζον προβάλλεται, ἱεροσυλίαν εἶναι φάσκων· ὁ δὲ τὸ ἔλαττον, κλέπτην ἑαυτὸν ὀνομάζων. 4 Mon. τῶν μὲν δημοσίων ἁ. θ., τῶν βιαίων.

μοσίων ἁλόντα θανατοῦσθαι, τὸν δὲ βιαίων χιλίας ἐκτίνειν δραχμάς· ἐνταῦθα γὰρ τὴν μὲν βίαν οὐκ ἀπωθήσεται, καθάπερ τὴν κλοπὴν ὁ κρίνων ἱεροσυλίας τὸν τὰ ἰδιωτικὰ χρήματα ἐξ ἱεροῦ ὑφελόμενον, προσδεχόμενος δὲ τὴν βίαν καὶ δημόσιον ἀδίκημα φήσει τὸ πεπραγμένον· διὸ κατὰ σύλληψιν ὀνομάζεται· τὸν δὲ ἐμπίπτοντα ἐπὶ παραδείγματος οὕτως ἂν λάβοιμεν· νόμος τὰ μυστήρια μὴ ἐκφέρειν εἰς ἀμυήτους· ἀμύητος ὄναρ ἰδὼν τὰ μυστήρια πρός τινα τῶν μεμυημένων διεξῆλθεν ἐρωτῶν, εἰ οὕτως ἔχοι, ὁ δὲ ἐπένευσε καὶ κρίνεται ὡς ἐξενεγκὼν ἀμυήτοις τὰ μυστήρια· ζητούντων γὰρ ἡμῶν, τί τὸ ἐξενεγκεῖν, πότερον τὸ λόγοις διεξελθεῖν, ἢ καὶ ὅλως νεύματι χρήσασθαι, ἕτερον ἐμπίπτει ζήτημα ἐν τῷ πρός τι κεφαλαίῳ, τίς ὁ ἀμύητος; πότερον ὁ μηδὲν ὅλως τῶν μυστηρίων εἰδώς, ἢ ὁ θεασάμενος μέν, ἀλλ' οὐχ ὕπαρ καὶ φανερῶς; καθάπερ [5] καὶ ἐν τῷ στοχασμῷ ἐμπίπτοντά τινα στοχασμὸν ἐκαλοῦμεν, ἑτέρου ζητήματος ἐν τῇ μεταθέσει τῆς αἰτίας ἐμπίπτοντος. Ὑπόλοιπον τῶν δύο καλουμένων ὅρων παρασχέσθαι παράδειγμα· νόμος τὸν ἐκ καθαρῶν καὶ καθαρὸν ἱερᾶσθαι· τὸν πατέρα τις ὡς μοιχὸν ἀποκτείνας παραγγέλλει εἰς ἱερωσύνην καὶ κωλύεται· δύο γὰρ τελείους ὅρους ἐνταυθοῖ κατασκευασθῆναι δεῖ, ἕνα μὲν πότερον καθαρός ἐστιν ὁ καθάπαξ φόνων ἀπηλλαγμένος, ἢ καὶ ὁ δικαίως ἀνελών τινα· δεύτερος δέ, εἰ ἐκ καθαρῶν γέγονεν ὁ ἐκ μοιχοῦ πατρὸς προελθών· φήσει γὰρ δεύτερον εἶναι τὸ ἔγκλημα τῆς ἑαυτοῦ γενέσεως, ὥστε προηγούμενα δύο ἐστὶν ἐνταῦθα ζητήματα, οὐδὲν ἑαυτοῖς κοινωνοῦντα, οὐδὲ πρὸς ἀπόδειξιν ἀλλήλων τείνοντα, ὥσπερ ἐν τῷ ἐμπίπτοντι τὸ δεύτερον φέρεται πρὸς κατασκευὴν τοῦ προτέρου· καὶ τοσαῦτα μὲν περὶ τῆς τῶν εἰδῶν τοῦ ὅρου διαιρέσεως. Λεκτέον δὲ καὶ περὶ τῆς κατ' αὐτὰ διαφορᾶς· διενήνοχε δὴ οὖν ὁ κατὰ

5 καθάπερ Mon. om.

αἴτησιν ἁπλοῦς τοῦ κατὰ ἀμφισβήτησιν τῷ τὸν μὲν ἁπλοῦν ἓν πρᾶγμα καὶ ἓν ἔχειν πρόσωπον, τὸν δὲ κατὰ ἀμφισβήτησιν ἓν μὲν ἔχειν πρᾶγμα, δύο δὲ πρόσωπα, τῶν δὲ κατὰ κρίσιν ἁπλῶν τε καὶ διπλῶν μία τις παραπλησίως διαφορὰ, τὸ μὲν γὰρ ἁπλοῦν εἶδος ἓν μόνον ἔχει πρόσωπον καὶ ἓν πρᾶγμα τὸ κρινόμενον, τὸ δὲ διπλοῦν ἐκ τοῦ ἐναντίου τῷ κατ᾽ ἀμφισβήτησιν ἓν πρόσωπον, δύο δὲ πράγματα· τὴν δὲ τῶν διπλῶν ὅρων πρὸς ἀλλήλους διαφορὰν μικρὸν ὕστερον ἐφ᾽ ἑκάστου γινόμενοι λέξομεν, νυνὶ δὲ τὸ κατὰ αἴτησιν εἶδος τῶν ὅρων ἐκ τῆς πραγματικῆς διασταλτέον· καὶ γὰρ αὖ καὶ ἡ κατὰ αἴτησιν πραγματικὴ δωρεᾶς αἴτησιν ἔχει, πῇ μὲν κατὰ ψιλήν τινα αἴτησιν, πῇ δὲ κατὰ ἀμφισβήτησιν· διαφέρει δὲ τὸ κατὰ ψιλὴν αἴτησιν εἶδος τῆς πραγματικῆς τοῦ κατὰ ψιλὴν αἴτησιν ὅρου, τῷ τὸν μὲν ὅρον ζητεῖν περὶ τῆς ἰδιότητος, τὴν δὲ πραγματικὴν[5*] περὶ τῆς ποιότητος· ἐν μὲν γὰρ τῷ ὅρῳ περὶ τοῦ δοῦναι ὅλως ἡ ζήτησις γίνεται, ἐν δὲ τῇ πραγματικῇ τὸ μὲν ὅλως ὀφείλειν δοῦναί τινα δωρεὰν ὁμολογούμενον, περὶ δὲ τῆς ποιότητος τὸ πᾶν τῆς ζητήσεως γίνεται, ὡς εἰ πλάττοιμεν οὕτως· ἀνελών τις τύραννον ἀξιοῖ τὴν οὐσίαν αὐτοῦ λαβεῖν, ὡς μὲν γὰρ τυραννοκτόνος τυχεῖν τινος ἄξιος δωρεᾶς, τοῦτο περιφανές· ἡ δὲ περὶ τὴν δωρεὰν ποιότης ἡμῖν παρέχεται τὴν ζήτησιν, ὅτι χρὴ μὴ ταύτην ἀλλ᾽ ἑτέραν λαμβάνειν· ἔτι δὲ ἀλλήλων διοίσουσι, καθὸ τὸν μὲν ὅρον τὸ ἀτελὲς ἔχειν ἀνάγκη τοῦ μὲν πεπραγμένου, τοῦ δὲ λείποντος, ἐν δὲ τῇ πραγματικῇ τέλειον τὸ πεπραγμένον· ὁ δὲ κατ᾽ ἀμφισβήτησιν ὅρος τῆς κατ᾽ ἀμφισβήτησιν πραγματικῆς· καὶ ταύταις μὲν διοίσει ταῖς εἰρημέναις διαφοραῖς· πανταχοῦ γὰρ ὁ μὲν ὅρος περὶ τῆς ἰδιότητος, ἡ δὲ πραγματικὴ περὶ τῆς ποιότητος ἔχει τὴν ζήτησιν, καὶ ὁ μὲν ὅρος ἀτελὲς ἀεὶ τὸ πεπραγμένον

5* Mon. πρακτικὴν, scr. πραγματ.

ἔχει, τέλειον δὲ ἡ πραγματική· ζητητέον δὲ, [6] εἴπου τὴν πρώτην παρῆκε διαίρεσιν, λέγω δὲ τὴν εἰς τὶ [7] κατὰ κρίσιν καὶ τὸ κατὰ αἴτησιν· ἀπὸ γὰρ τῶν ἁπλῶν καὶ διπλῶν τῆς διαιρέσεως ἤρξατο· τοῦτο δὲ καὶ τὸν στοχασμὸν τεχνολογοῦντες διηπορήκαμεν καὶ τὴν λύσιν δεδώκαμεν ἐκεῖσε· κοινὴ δὲ κἀπὶ τούτου γενέσθω· πολλάκις γὰρ διεμαρτυράμην, ὡς ὁ τεχνικὸς οὐδὲ ἔξω τῆς προκειμένης αὐτῷ πραγματείας ἐθέλει περιεργάζεσθαι· πρόκειται δ᾽ αὐτῷ, περὶ τῆς τῶν κεφαλαίων διαιρέσεως λέγειν· ἥκιστα δὲ περὶ τὴν τῶν κεφαλαίων διαίρεσιν τὸ κατὰ κρίσιν ἢ κατὰ αἴτησιν συντελεῖ· περὶ μέντοι ἁπλῶν ὅλως ἢ διπλῶν ἐχρῆν δήπου μνησθῆναι· οὐ γὰρ δὴ διαιροῦμεν παραπλησίως, ἀλλὰ διπλῆν παραλαμβάνομεν ἐπὶ τῶν διπλῶν τὴν διαίρεσιν, καὶ ἔδει τῶν διπλῶν ἐξ ἀνάγκης ἐκθέσθαι τὰ εἴδη· οὐ γὰρ ὁμοίως τὸν ἀντονομάζοντα τῷ κατὰ σύλληψιν, οὐδὲ τοῖς δύο ὅροις τὸν ἐμπίπτοντα διαιροῦμεν· ὥστε οὐδὲ τούτων ἁπλῶς καὶ ἕνεκα τῆς τῶν εἰδῶν διδασκαλίας ἐμνήσθη· διὰ δὲ τὴν ἐν αὐτοῖς διαφορὰν περὶ τὴν τῶν κεφαλαίων διαίρεσιν ἄξιον οἶμαι κἀκεῖνο ζητήσεως, [8] εἰ καθάπερ ἐν στοχασμῷ φαμεν εἶναι ἁπλοῦν τέλειον, καὶ ἁπλοῦν ἀτελῆ, πῇ μὲν τοῦ προσώπου, πῇ δὲ τοῦ πράγματος ἐλλείποντος, ὁμοίως δὲ καὶ διπλοῦν ἀτελῆ καὶ τέλειον, οὕτω κἀπὶ τῶν ὅρων ἐκδεξόμεθα, καὶ ὅτι ὁ μὲν ὅρος οὐκ ἄν ποτε εἴη τέλειος, εἰ καὶ τὰ μάλιστα ἐδόκει τισὶν, ἐν τῇ μεθόδῳ σαφῶς ἀποδέδεικται· ὡς δὲ οὐ [9] κατὰ τὸν λόγον, καθ᾽ ὃν ἐν τῷ στοχασμῷ τὸ μὲν τέλειον, τὸ δὲ ἀτελὲς ὠνομάζετο, δύναιτο ἄν τις καὶ ὅρον φάναι τέλειον καὶ ἀτελῆ, τοῦτο δεικνύσθω· στοχασμὸν γὰρ ἐκαλοῦμεν τὸν μὲν τέλειον, τὸν δὲ ἀτελῆ, πρὸς τὴν τῶν κεφαλαίων διαίρεσιν ἀφορῶντες· ἐφ᾽ οὗ μὲν γὰρ καὶ τὰ τοῦ προσώπου καὶ τὰ

---

6 Mon. δ᾽ ἄν. 7 τὸ Mon. 8 Par. 1. ζητῆσαι. 9 Mon. ὡς οὐδέ.

τοῦ πράγματος ὑφέστηκε, τέλειον καλοῦμεν αὐτόν· ἐφ' οὗ δ' ἂν τὰ κεφάλαια τοῦ προσώπου ἢ τοῦ πράγματος ἐλλείπει, τὸν τοιοῦτον ἀτελῆ προσαγορεύειν εἰώθαμεν, ὅπερ ἥκιστα ἐπὶ τοῦ ὅρου συμβαίνει· τὰ γὰρ κεφάλαια πάντα ἐκ τοῦ πράγματος ἐν τῷ ὅρῳ λαμβάνεται, τὸ δὲ πρᾶγμα οὐκ ἄν ποτε ἐλλείποι, ὥστε δυοῖν ἀνάγκη θάτερον ἢ πρὸς τὴν φύσιν ἀφορῶντας τοῦ ὅρου πάντας ἀτελεῖς ἡγεῖσθαι, καθὸ τὸ μὲν λείπει, τὸ δὲ πέπρακται, ἢ κατά γε τὴν τῶν κεφαλαίων εὕρεσιν πάντα ὅρον τέλειον ὀνομάζειν· ὥστε οὐκ ἂν ἔχει τὸ ἀτελές τε καὶ τέλειον χώραν ἐπὶ τούτῳ, καθάπερ ἐν τῷ στοχασμῷ.

γ'. Τῶν γὰρ ὅρων οἱ μὲν διπλοῖ εἰσιν, οἱ δὲ ἁπλοῖ· τῶν δὲ διπλῶν ὁ μὲν ἀντονομάζων καλεῖται, ὁ δὲ ἐμπίπτων, ὁ δὲ κατὰ σύλληψιν, ὁ δὲ κατὰ ἀμφισβήτησιν, ὃς καὶ κατὰ δύο πρόσωπα καλεῖται, ὁ δὲ δύο ὅροι.

δ. Καταλέγει τῶν διπλῶν τὰ εἴδη, καὶ πρῶτόν γέ φησιν, ὁ ἀντονομάζων ἐστὶ πρῶτός γε οὐ κατὰ φυσικήν τινα τάξιν, ἀλλ' ὡς ἔτυχεν αὐτὸς παραλαβών· καλεῖται δὲ ἀντονομάζων, ὡς ἔφημεν ἀνωτέρω, διότι ὄνομα ἀντ' ὀνόματος παραλαβὼν ἔχεται, τὸ μὲν γὰρ ἀποσείεται, τὸ δὲ παραλαμβάνει ὡς ἐπὶ τοῦ ἱεροσύλου· ὁ μὲν γὰρ διώκων οὐ κλοπὴν ἀλλ' ἱεροσυλίαν εἶναί φησι τὸ πεπραγμένον, ὁ δὲ φεύγων ἱεροσυλίαν μὲν ἥκιστα, κλοπὴν δὲ ὁμολογήσει.

έ. Τοῦτό φησι τὸ εἶδος ὁμοίως τοῖς διπλοῖς μεταχειριστέον· διπλᾶ γὰρ τὰ κεφάλαια προοισόμεθα μέχρι τῆς γνώμης τοῦ νομοθέτου· ὁ μὲν οὖν κατήγορος ἁπλῆν προφέρει τὴν προβολὴν, δεικνῦσαν αὐτὸν ἱερόσυλον, καὶ ζητήσειεν ἄν τις διὰ τί ὁ κατήγορος ἁπλῆν προάγει· καί φαμεν, ὅτι καθάπερ ἀγνῶτι μέλλων λέγειν οὕτω τὴν προβολὴν παρέχεται, καὶ λοιπὸν ἐξ ἀντιθέσεως τοῦ φεύγοντος ἐκ τῶν ὅρων διπλᾶ προφέρει τὰ κε-

φάλαια, τοῦ γὰρ φεύγοντος ὁρισαμένου καὶ ἀνελόντος τὰ κεφάλαια ἐκ τῶν παρειμένων, ὡς ἐν τοῖς ἁπλοῖς μεμαθήκαμεν, ὅτι οὐκ ἔστιν ἱερόσυλος, εἶτ᾽ ἐπενεγκόντος τὸν δεύτερον ὅρον ἐκ τῶν πεπραγμένων, καὶ κατασκευάσαντος ὡς κλέπτης ἂν εἴη ὁ κατήγορος, συστήσει μὲν τὸ πρῶτον ἐκ τῶν κοινῇ συμβαινόντων ἱεροσύλῳ τε καὶ κλέπτῃ, ὁριζόμενος τί ἂν εἴη ἔργον ἱεροσύλου, ἀνατρέψει δὲ τὸ δεύτερον ὁριζόμενος πρὸς τὸ λυσιτελοῦν, τί πέφυκε τὸν κλέπτην γνωρίζειν· μετὰ ταῦτα ἑκατέρῳ συλλογισμῷ διπλῷ κέχρηται, πῆ μὲν συνάγων τὸ ἴδιον, καὶ λέγων ὅτι οὐδὲν διενήνοχεν εἰσελθόντα εἰς ἱερὸν χρήματα λαβεῖν ἱερὰ ἢ ἰδιωτικὰ, πῆ δὲ διϊστῶν τὰ τοῦ ἀντιδίκου, λέγων, ὅτι οὐχ ὅμοιόν ἐστιν ἐξ οἰκίας χρήματα ὑφελέσθαι καὶ ἐξ ἱεροῦ, καὶ ἑκάτερα αὐτῶν ὁμοίως συλλογίζεται, καὶ ἐξήτηται, εἰ δύναται συλλογὶσμὸς ἐμπίπτειν ἐν τοῖς ἀντονομάζουσιν· εἰ γὰρ, φησὶν, ὁ συλλογισμὸς συνάπτει, ἐμπίπτει δὲ ἐν τοῖς τοιούτοις, δῆλον ὅτι ἄτοπον συμβήσεται καθ᾽ ἕτερον μέρος· εἰ γὰρ εἴπομεν [10] οὐδὲν διαφέρειν τοῦ εἶναι ἱερόσυλον τὸ κλέπτην εἶναι, αὐτὸς ὁ φεύγων εὑρεθήσεται τὰ τοῦ κατηγόρου κατασκευάζων, καὶ πάλιν ὁ κατήγορος τὰ τοῦ φεύγοντος, εἰ φαίη, ὅτι οὐδὲν διαφέρει τοῦ [11] εἶναι κλέπτην τὸ ἱερόσυλον εἶναι· ἡμεῖς δέ φαμεν, ὅτι ἐμπίπτει οὐχ ὡς ἔτυχεν· ὥσπερ γὰρ ἔφαμεν ἐν τῷ ἁπλῷ ὅρῳ, ὅτι ὁ συλλογισμὸς συνάπτει τὰ λείποντα τῷ πεπραγμένῳ ἐν τῷ λέγειν, ὅτι οὐδὲν διαφέρει τὸ ἀνατείνεσθαι τὴν χεῖρα συνεχῶς τοῦ τύπτειν, οὐ μέντοι φαμὲν, οὐδὲν διαφέρει ὕβρις καὶ ἀνάτασις χειρὸς, οὕτω καὶ ἐν τοῖς διπλοῖς λέγομεν, οὐ τὰ τῶν ἐγκλημάτων ὀνόματα συνάπτοντες καὶ λέγοντες, οὐδὲν διαφέρει ἱεροσυλία καὶ κλοπὴ, ἀλλὰ τῷ τρόπῳ συνάπτοντες ἐν ἑκατέρῳ τῶν συλλογισμῶν τὸν μὲν συνάξομεν, τὸν δὲ διαστήσομεν, [12] λέγοντες,

10 Par. 1. εἴπωμεν. 11 Mon. τοῦ om. 12 Par. 1. στή-

ὅτι οὐδὲν διαφέρει ἐξ ἱεροῦ χρήματα ἰδιωτικὰ ὑφελέσθαι τοῦ λαβεῖν ἱερά· καὶ πάλιν, ὅτι πολὺ διαφέρει, κλέπτην εἶναι καὶ ἐξ ἰδιωτικῆς οἰκίας ἀφελέσθαι τι ἢ ἐξ ἱεροῦ· μετὰ δὲ τὸν συλλογισμὸν τὸν διπλοῦν ἡ γνώμη τοῦ νομοθέτου καὶ αὕτη διπλῆ, καὶ ἑκάτερος χρώμενος αὐτῇ τὸ μὲν δίκαιον ἀνασκευάσει καὶ ἐκβαλεῖ· μέχρι τούτου διπλᾶ προάξομεν τὰ κεφάλαια, κεφάλαιον [13] κεφαλαίῳ ἀντιτιθέντες, ὡς ἐν στοχασμῷ, ἡ δὲ πηλικότης καὶ τὸ πρός τι οὐ γενήσεται διπλᾶ, ἀλλ' ὁ μὲν ἁπλῶς αὐξήσει, ὁ δὲ μειώσει τὸ πραχθὲν καὶ τὸ αἴτιον. ὅτι [14] ἐν μὲν τῷ ἀντονομάζοντι ἓν μέν ἐστι πρᾶγμα, δύο δὲ τὰ ζητούμενα ὀνόματα· ἐν ὅσῳ μὲν οὖν τὰ ὀνόματα ἐζήτηται, [15] ἐζήτηται δὲ ἀπὸ τοῦ ὅρου μέχρι τῆς γνώμης τοῦ νομοθέτου, εἰκότως καὶ τὰ κεφάλαια διπλᾶ παρελαμβάνετο, ὅτε δὲ εἰς αὐτὸ τὸ πρᾶγμα κατέληξεν ἡ αὔξησις, ὅπερ ἐστὶν ἡ πηλικότης καὶ τὸ πρός τι, εἰκότως ἁπλᾶ κατὰ λόγον [16] ἐξετασθήσεται.

ϛ΄. Ὅπερ ἔλεγεν ἐπὶ τοῦ στοχασμοῦ, τοῦτο κἀνταῦθά φησι δεῖν παραλαμβάνειν διπλᾶ τὰ κεφάλαια, τὰ μὲν κατασκευαστικὰ τῶν ἡμετέρων, τὰ δὲ τῶν ἐναντίων λυτικά τε καὶ ἀνατρεπτικά· διπλοῖς δὲ χρησόμεθα μόνοις τοῖς ἀγωνιστικοῖς τῶν κεφαλαίων, ἐπεί τοι τῷ πρός τι ἢ τῇ πηλικότητι πῶς ἂν διπλοῖς χρησαίμεθα; δῆλον γάρ, ὡς ὁ μὲν διώκων αὔξειν ἐθελήσει μόνον, ὁ δὲ φεύγων μειοῦν τὰ ὑπὸ τοῦ κατηγόρου λεγόμενα· οὐ γὰρ δήπου καὶ αὔξειν ἐθελήσει τὰ τοῦ ἐναντίου· χρηστέον δὲ τοῖς κεφαλαίοις παραλλήλοις, ἀντιτιθέντα τὰ τῶν ἐναντίων τοῖς ἡμετέροις καθ' ἕκαστον κεφάλαιον, οὕτω γὰρ ἂν ἀγωνιστικὸς καὶ σύντομος ὁ λόγος γένοιτο, καθάπερ ἐν τῷ στοχασμῷ· ζητεῖται δὲ παρά τισι, πῶς ἂν ὁ συλ-

σομεν. 13 κεφάλαιον Mon. om. 14 ὅτι Par. 1. om. 15 Parr. ἐζητεῖτο bis. 16 Par. 1. κατὰ λόγον ἁπλᾶ.

λογισμὸς διπλοῦς παραληφθείη· τὴν γὰρ τῶν διπλῶν χρείαν αὐτὸς ἐφ' ἑαυτοῦ μόνος ἀναπληροῖ, εἴγε τῶν ἐξ ἑκατέρου, φημὶ τῶν τε ἀπὸ τοῦ διώκοντος καὶ τοῦ φεύγοντος προτεινομένων περιληπτικός ἐστιν· ὁ μὲν γὰρ διώκων ἄμφω εἰς ταὐτὸν συνάγει, ὁ δὲ φεύγων ἐκ τοῦ ἔμπαλιν διαστέλλει· περιττὸν οὖν φασι διπλοῦν παραλαμβάνειν αὐτὸν, ὅπου γε ἅπαξ παραληφθεὶς τὸ τῶν διπλῶν ἐκπληροῦν δύναται χρήσιμον· πρὸς ὃ ῥητέον, ὡς [1] ὁ μὲν διώκων αὐτῷ χρῆται τὰ κοινὰ περισκοπῶν ἑκατέρῳ ἐγκλήματι, κἀντεῦθεν ἄμφω συνάγων· ὁ δὲ φεύγων ἐκ τοῦ ἐναντίου χωρίζων διὰ τῆς ἑκατέρου ἰδιότητος, ὡς καὶ ἐν τῇ περὶ τοῦ συλλογισμοῦ τεχνολογίᾳ πλατύτερον διεξήλθομεν. [2] διπλῷ τοίνυν τῶν μερῶν ἑκάτερον [3] αὐτῷ χρήσεται, πῇ μὲν ἐκ τῶν κοινῶν συνάγον, πῇ δὲ διαστέλλον ἐκ τῶν ἰδίων ἑκατέρῳ ἐγκλήματι, ἵνα τὸ μὲν ἀνατρέψῃ, τὸ δὲ κατασκευάσῃ· τὸ μὲν γὰρ συνάγειν ἐκ τῶν κοινῶν ὥσπερ ἑαυτοῦ κατασκευάσει ὁ διώκων, τὴν δὲ διαστολὴν τὴν ἐκ τῆς ἑκατέρας ἰδιότητος ἐκβαλεῖ· τοὐναντίον δὲ ὁ φεύγων τὴν ἐκ τῆς ἰδιότητος διαστολὴν τῶν ἐγκλημάτων [4] κατασκευάζων τὸ ἐκ τῶν κοινῶν ἄμφω ἀνασκευάσει. [5]

ζ. Ὁ κατὰ σύλληψιν ὀνομάζεται, ὅτι οὐχ ὥσπερ ἐν τῷ ἀντονομάζοντι τὸ ὑπὸ τοῦ φεύγοντος προτεινόμενον ἐγκλήματος ὄνομα ὁ κατήγορος ἀποσείεται, ἕτερον ἀντιτιθεὶς, οὕτω κἀνταῦθα, ἀλλὰ δέχεται μὲν καὶ τὸ παρὰ τοῦ φεύγοντος, ἕτερον δὲ αὐτὸς ἐπεισφέρει, οἷον πρεσβεύων τις παρεκατέθετο [6] τῷ στρατηγῷ τὴν θυγατέρα·

1 Mon. πρὸς ὅρον ἠτέον ἄπιμεν. 2 Par. 1. διεξῆλθεν. 3 Mon. ἑκατέρα. Par. ἑκάτερον τῶν μερῶν. 4 Par. κατασκευάζων τῶν ἐγκλημάτων. 5 Par. κατασκευάσει. Quae sequuntur sub litt. ζ. Sch. min. verbotenus repetunt: σημειωτέον, ὅτι οὐχ ὥσπερ ἐν τῷ ἀντονομάζοντι usque ad: αὐτὸς ἐπεισφέρει. 6 Mon. τίς γὰρ κατέθητο. Parr. παρεκατέθετο. Sch. min.: κατὰ σύλληψιν

ἐβιάσατο αὐτὴν ἐκεῖνος καὶ δημοσίων μὲν ἀδικημάτων αὐτὸν ἐπανελθὼν ὁ πατὴρ κρίνει· ὁ δὲ τὰς μυρίας κα-

---

ωνόμασται ἀπὸ τοῦ τὸν κατήγορον ἐν αὐτῷ ἄμφω τὰ ἐγκλήματα συλλαμβάνειν, τό τε ὑπ' αὐτοῦ ἐπαγόμενον τῷ φεύγοντι, καὶ ὅπερ ὁ φεύγων ἀντιπροβάλλεται. Ἔοικε τῷ ἀντονομάζοντι· τῷ τε διπλοῦς εἶναι, καὶ δύο περιέχειν ἐγκλήματα, καὶ ὅτι καὶ ἐν τούτῳ ἀντονομάζει ὁ κρινόμενος, καὶ ὅτι ἕν ἐστι τὸ κρινόμενον καὶ δύο τὰ ζητούμενα ὀνόματα, καὶ ἓν τὸ κρινόμενον πρόσωπον. Ὅπη δὲ διαφέρει· ἰδοὺ γὰρ ἐνταῦθα τοῦ φεύγοντος εἰπόντος, ὅτι οὐ δημοσίᾳ τὴν πόλιν ἠδίκησα, ἀλλὰ σέ, ὁ κατήγορος ταύτην τὴν φωνὴν δεχόμενος ἐρεῖ, ὅτι καὶ τὴν πόλιν ἠδίκησας δημοσίᾳ καὶ ἐμέ, τὴν κόρην βιασάμενος· μετὰ γὰρ τὸ ὁμολογῆσαι τὸν φεύγοντα τὴν βίαν, ἀρνήσασθαι δὲ τὸ δημόσιον, ἀμφότερα συλλαβὼν ὁ κατήγορος ἀμφοτέροις αὐτὸν ἀποδείκνυσιν ὑπεύθυνον, ὅπερ οὐ ποιεῖ ὁ ἀντονομάζων, ἀλλὰ τῷ ἑτέρῳ ἐνιστάμενος ὁ κατήγορος, ἀναιρεῖ τὸ ἕτερον ἐν τῷ ἀντονομάζοντι. Ἂν γὰρ μὴ φάσκῃ· τῆς γὰρ βίας μὴ οὔσης, καὶ τὸ δημόσιον ἀδίκημα συναναιρῆται· εἰ γὰρ τοῦτο ἀνέλοιμεν, πῶς ἂν ἔτι δημόσιον κρίνειν δυνώμεθα. Ἐν δὲ τῷ ἀντονομάζοντι ἀναιρεῖ· ἐκβάλλει μὲν τὰ ὑπὸ τοῦ φεύγοντος ὁμολογούμενον, ὡς μικρὸν τὴν κλοπὴν, μεῖζον δέ τι κατ' αὐτοῦ πειρᾶται κατασκευάζειν τὴν ἱεροσυλίαν. καὶ ἡ διαφορά. διαφέρει, φησὶ, τοῦ ἀντονομάζοντος ὁ κατὰ σύλληψιν, ὅτι ἐκεῖ μὲν ἀκολουθεῖ τὸ πρᾶγμα τῷ ἐγκλήματι, ἡ κλοπὴ τῇ ἱεροσυλίᾳ, ἐν δὲ τῷ κατὰ σύλληψιν οὐκέτι· οὐ γὰρ ὁ δημοσίᾳ ἀδικῶν ἤδη καὶ βίαιος· καὶ ὅτι ὁ φεύγων ἐκεῖ μὲν ἀντεισάγει τὸ ἔγκλημα, ὁ δὲ ἀναιρεῖ· ἐν δὲ τῷ κατὰ σύλληψιν ὁ μὲν φεύγων ἀντονομάζει, ὁ δὲ κατήγορος συλλαμβάνει καὶ τὸ ἑαυτοῦ καὶ τὸ ἐκείνου. Τοῦτο οὖν πλέον ἔχει· περιττὸν, φησὶν, ἔχει τὸ συλληπτικὸν κεφάλαιον ὁ κατήγορος ἐν τῷ κατὰ σύλληψιν λέγων ἀμφοτέροις ἔνοχον· ἐὰν γὰρ ἀπολύσῃ αὐτὸν τοῦ ἀντονομαζομένου ἐνταῦθα, καὶ τοῦ κατηγορουμένου ἀπολύει, τοῦτο γοῦν τὰ δεύτερον εἶδος τοῦ ὅρου σχεδὸν ὁ αὐτός ἐστι τῷ ἀντονομάζοντι, πλὴν ὅτι ἑνὶ κεφαλαίῳ διαλλάσσει· τοῖς γὰρ αὐτοῖς προάγεται κεφαλαίοις, διπλῷ μὲν ὅρῳ καὶ ἀνθορισμῷ, διπλοῖς δὲ συλλογισμοῖς, πλὴν κατὰ σύλληψιν ἑκάστου τούτων λαμβανομένου, ἃ γὰρ ἐν τῷ ἀντονομάζοντι διΐστῶμεν, ταῦτα ἐνταῦθα συνάγομεν. Κεφάλαιον οὖ-

τατίθεσθαι ἀξιοῖ· ζητοῦσι δὲ περὶ τοῦ κατὰ σύλληψιν εἴδους, τίνι διοίσει τοῦ ἀντονομάζοντος, καὶ γὰρ ἐνταῦθα, φησίν, ὁ φεύγων τὸ ὑπὸ τοῦ διώκοντος ἐπιφερόμενον ἀποφεύγει ἔγκλημα, ἕτερον δὲ ὁμολογεῖ καθ' αὑτοῦ. τὴν δὲ διαφορὰν αὐτὸς ἐπήνεγκεν ὁ τεχνικός, ὡς ἐν μὲν τῷ ἀντονομάζοντι ἀναιρεῖ τὸ ἕτερον ὁ κατήγορος, ὅτι οὐ κλοπή ἐστιν, ἀλλ' ἱεροσυλία. ἐν δὲ τῷ κατὰ σύλληψιν ἀμφοτέρῳ αὐτόν φησιν εἶναι ὑπεύθυνον καὶ τῇ βίᾳ καὶ τῷ εἰς τὸ δημόσιον ἀδικήματι. ἐκ δὲ τῆς διαφορᾶς τρεῖς ἀνέκυψαν ἀπορίαι· πρῶτον μέν, διατί μὴ καὶ ἐν τῷ ἀντονομάζοντι ταὐτὸν ποιοῦμεν ἀμφοτέροις αὐτὸν φάσκοντες ἔνοχον, ἀλλὰ θάτερον ζημιούμεθα τῶν ἐγκλημάτων; δεύτερον, πῶς εἰ ὠφελεῖ ἐν τῷ κατὰ σύλληψιν τὸ ὑπάγειν αὐτὸν ἑκατέρῳ ἐγκλήματι, οὐ κἀνταῦθα τῷ ὠφελοῦντι χρώμεθα, ἢ εἰ βλάπτει παραλαμβανόμενον ἐν τῷ ἀντονομάζοντι; πῶς ἐν τῷ κατὰ σύλληψιν ὠφελεῖ; τρίτον ἐπὶ τούτῳ, τί δήποτε ἐν τῷ κατὰ σύλληψιν τὸ μεῖζον ἐπάγοντες τοῦ ἐλάττονος ἀντεχόμεθα; ῥητέον δὲ πρὸς μὲν τὸ πρῶτον, διατί μὴ καὶ ἐν τῷ ἀντονομάζοντι ἑκατέρων τῶν ἐγκλημάτων φαμὲν αὐτὸν καθεστάναι ὑπεύθυνον, ὡς φύσει ἀκολουθεῖ τῷ μείζονι τὸ ἔλαττον ἐπὶ τοῦ ἀντονομάζοντος, οἷον ἡ κλοπὴ τῇ ἱεροσυλίᾳ· τί γάρ ἐστιν ἱεροσυλία; σαφὲς ὅτι χρημάτων ἱερῶν κλοπή· περιττὸν οὖν τὸ φύσει ἐξ ἀνάγκης ἑπόμενον δοκεῖν εἰσφέρειν διὰ τοῦ λόγου· ἐν μέντοι τῷ κατὰ σύλληψιν οὐ φυσικῶς ἑπόμενον δεῖ τοῦτο πρὸς ἡμῶν εἰσενεχθῆναι, τίς γὰρ κοινωνία φυσικὴ βίᾳ καὶ δημοσίῳ ἀδικήματι; ἔστι γὰρ κατ' ἄλλον τρόπον ἀδικεῖν τὸ δημόσιον, ἱεροσυλία

τος· καίτοι τὰ αὐτὰ κεφάλαια πανταχοῦ ὁρικὰ τυγχάνει τούτου τοῦ ζητήματος, καὶ οὐκ ἄλλα μὲν ὁ ἁπλοῦς, ἄλλα δὲ ὁ διπλοῦς· ἐνταῦθα δὲ τοῦτο ἔχει πλέον· κεφάλαιον δὲ ἐκάλεσε τὸ περιληπτικόν, τὸ περιλαμβάνον ἀμφότερα, τοῦτο δὲ οὐδαμῶς ἐκάλεσε κεφάλαιον, ἀλλὰ κοινῶς αὐτὸ ἐκάλεσε κεφάλαιον.

δὲ ἄνευ κλοπῆς οὐκ ἂν γένοιτο. πρὸς δὲ τὸ τρίτον, ἐκ γὰρ τούτου λυθήσεται καὶ τὸ δεύτερον, φήσομεν, ὡς τῶν ἀποδείξεων αἱ μὲν φυσικῶς, αἱ δὲ κατὰ μέθοδόν τινα καὶ τέχνην προΐασιν, ἅπερ καὶ βιαιότερά πως δοκοῦσιν εἶναι· αἱ μὲν οὖν κατὰ φύσιν ἕπονται ἐξ ἀνάγκης, καὶ οὐδὲν ὑφ' ἡμῶν εἰσενεχθῆναι δέονται, τὰς δὲ κατὰ τέχνην εἰσφέρεσθαι δεῖ διὰ τοῦ λόγου. ἐν μὲν οὖν τῷ ἀντονομάζοντι φυσικῶς τῇ ἱεροσυλίᾳ συναποδείκνυται καὶ τὸ τῆς κλοπῆς, ὡς σμικρὸν ἀνωτέρω δεδήλωται, ἐν δὲ τῷ κατὰ σύλληψιν τὸ μεῖζον οὐ φυσικῶς, ἀλλὰ τέχνῃ τινὶ ἀνάγκῃ ἀποδειχθῆναι. οἷον ὅτι ἡ φθορὰ τῆς μείρακος ἀδίκημά ἐστιν δημόσιον· ἐλέγομεν δὲ, ὡς αἱ τεχνικαὶ τῶν ἀποδείξεων βιαιότεραί πως εἶναι δοκοῦσι. Χρὴ οὖν τὸ βίαιον καὶ ἀπίθανον μεθόδῳ τινὶ θεραπεύεσθαι. διὰ τοῦτο[7] οὐκ ἐκ τοῦ μείζονος τὴν ἀρχὴν εὐθὺς[8] λαμβάνομεν, ὅπως ἂν μὴ δοκοίημεν ἐξ ἀπιθάνων ἄρχεσθαι, ἀλλὰ πρότερον τὸ ἔλαττον, ὅπερ καὶ ὑπὸ τοῦ ἐναντίου ὡμολόγηται, προβαλλόμεθα, ἵνα τῷ κατακολουθεῖν τοῖς τοῦ ἀντιδίκου λόγοις πιθανοὶ δοκοίημεν[9] εἶναι τῷ δικαστῇ, κἀντεῦθεν χώρα καὶ τῷ μείζονι γένοιτο· δειχθέντος οὖν, ὡς ἀναγκαίως τὸ ἔλαττον παραλαμβάνεται ἐν τῷ κατὰ σύλληψιν, λέλυται καὶ τὸ δεύτερον ζήτημα ταῖς αὐταῖς αἰτίαις· ἐκεῖ μὲν γὰρ, τουτέστιν ἐν τῷ ἀντονομάζοντι, ὠφελεῖ τοὔλαττον οὐκ εἰσφερόμενον, περιττὸν γὰρ τὸ τῇ φύσει συναποδεικνύμενον διὰ τῶν λόγων εἰσφέρειν· ἐν δὲ τῷ κατὰ σύλληψιν μάλα εἰκότως παραλαμβάνεται, χώραν τῷ μείζονι, καθὰ δέδεικται, παρεχόμενον· οὐ γὰρ ἐνταῦθα φυσικῶς ἕπεται τὸ τῆς αἰτίας[10] τῷ δημοσίῳ ἀδικήματι, ὥστε περιττὸν εἶναι τὸ ὑφ' ἡμῶν

7 Mon. δι' αὐτοῦ τό. 8 Par. 1. εὐθὺς τὴν ἀρχήν. 9 Par. 1. δοκοῦμεν. 10 Mon. τῆς βίας sine τό. Par. 2. τὸ τῆς βίας. Par. 1. τὸ τῆς αἰτίας.

αὐτῶν παρεισφέρεσθαι, τῇ δὲ ἐργασίᾳ κἀπὶ τοῦδε τοῦ εἴδους διπλῇ χρηστέον, τοῦ μὲν φεύγοντος καθαρῶς διπλᾶ παραλαμβάνοντος τὰ κεφάλαια, τοῦ δὲ διώκοντος ἄτερ ὡς ὁμολογούμενον δεχομένου καὶ παριέντος· ὁ μὲν γὰρ [11] φεύγων ἑκάτερον ποιήσει καὶ τὸ τῆς βίας κατασκευάσει, καὶ τὸ δημόσιον ἀδίκημα παρωθήσεται, χρώμενος ἐπ᾽ ἀμφοτέρων ταῖς ἐκ τοῦ πράγματος ἀποδείξεσιν· ὁ δὲ κατήγορος τὸ μὲν τῆς βίας ὁμολογούμενον ἐκ τοῦ φεύγοντος παραλήψεται, ὡς δὲ τὸ δημόσιον ἠδίκηκεν ἀποδείξει, περὶ αὐτοῦ τὴν πᾶσαν ζήτησιν ἐνιστάμενος. [12] κατὰ γοῦν τοῦτο διάφορον τὴν διαίρεσιν ἔχει πρὸς τὸν ἀντονομάζοντα.

ή. Ἐνδέχεται γὰρ, φησὶν, ἑτέρῳ τρόπῳ τὸν δημόσια βλάψαντα μὴ εἶναι βίαιον, ἢ ναῦς ἐμπρήσαντα, ἢ πόλιν ἀποδόμενον, ἤ τι τῶν τοιούτων· καὶ πάλιν τὸ πρόσωπον δεῖ τὸ πεπονθὸς ἔνδοξον εἶναι, ἵνα χώραν ἔχῃ τὸ δημόσιον ἔγκλημα. ὡς ἔχομεν περὶ Δημοσθένους ἐν τῷ κατὰ Μειδίου· [13] χορηγοῦ γὰρ καὶ ῥήτορος ἡ ποιότης τοῦ Δημοσθένους· ἀπορήσειε δ᾽ ἄν τις, τί δή ποτε, εἴπερ ἐν τῷ συνεζευγμένῳ δύναται τὰ δύο λαμβάνειν ὁ κατήγορος, καὶ λέγειν ὅτι καὶ τὸ δημόσιον ἠδίκησας καὶ

---

11 γὰρ Mon. om. 12 Mon. συνιστάμενος. 13 Sch. min.: τὸ γὰρ ἰδιωτικὸν τοῦ Μειδίου δεχομένου, καὶ τὸ δημόσιον ἀναιροῦντος, συνιδὼν ὁ Δημοσθένης, ὅτι ἐὰν τὴν ὕβριν ἐκβάλῃ, καὶ τὸ δημόσιον συνοιχήσεται· μὴ γὰρ προϋφεστῶτος τοῦ ὑβρίσθαι τὸν χορηγὸν, ἐφ᾽ ᾧ καὶ δημόσιον κρίνεται, πῶς ἂν ἔτι δύναιτο κρίνεσθαι; συλλαβὼν ἀμφότερα ἐπιφέρει τὴν ὕβριν, καὶ τὸ δημόσιον ἐκ ταύτης κατασκευάζων. Διεστώτων δὲ πολὺ τῆς τε εἰς ἄνθρωπον ὕβρεως, καὶ τῆς περὶ τὸν θεὸν ἀσεβείας, ἐν τῇ κατηγορίᾳ συλλαμβάνει ἄμφω καί φησι, τὸν Μειδίαν αὐτόν τε ἠδικηκέναι τὰ μέγιστα, καὶ περὶ τὸν θεὸν ἠσεβηκέναι· δεινῶς δὲ οὕτως ὕβριν τὸ ἀδίκημα λέγει· καθῄρει γὰρ καὶ ἔβλαπτε τὴν ὑπόθεσιν· οὔτε ἀσέβεια· ὑπερέβαλλε γὰρ ἡ τοιούτου ἐγκλήματος φύσις τὸ πραχθέν.

ἐμὲ, μὴ οὐχὶ καὶ ἐν τῷ ἀντονομάζοντι ποιεῖ τὸ παραπλήσιον λέγων, ὅτι καὶ ἱερόσυλος εἶ καὶ κλέπτης· πρὸς ὅ φαμεν, ὅτι ἐν μὲν τῷ ἀντονομάζοντι τὸ ἔλαττον ὑπὸ τοῦ μείζονος περιέχεται διὰ τὸ φύσει παρακολουθεῖν ἀλλήλοις τὰ πράγματα, ἐν δὲ τῷ κατὰ σύλληψιν οὐχ οὕτως ἔχει· ἐνδέχεται γὰρ καὶ τὸ δημόσιον βλάπτειν καὶ μηδένα ὑβρίζεσθαι· καὶ διὰ τὸ ἑτερογενῆ εἶναι τὰ ἐγκλήματα, οὐ γὰρ παρέπεται τῷ δημοσίᾳ πλημμελοῦντι καὶ τὸ βιάσασθαι πάντως κόρην ἤ τι τοιοῦτον ποιεῖν.

θ'. Τρίτος,[14] φησὶν, ὁ κατὰ πρόσωπον διπλοῦς, τουτέστιν ὁ κατὰ ἀμφισβήτησιν· τρίτος δὲ οὐ[15] κατὰ λόγον τινὰ καὶ φυσικὴν τάξιν, ἀλλ' ὡς αὐτὸς διέλαβεν· ὅτι[16] γὰρ οὐ κατά τινα τάξιν τὰ εἴδη προηνέγκατο, σαφὲς δι' ὧν ἐν μέσῳ τῶν κατὰ κρίσιν τὸν κατὰ ἀμφισβήτησιν ἔταξεν ὄντα τοῦ κατὰ αἴτησιν εἴδους· διπλοῦν δὲ κατὰ πρόσωπον λέγει τὸν κατὰ ἀμφισβήτησιν· ἐπειδὴ τοὐναντίον ἐν μὲν τοῖς κατὰ κρίσιν διπλοῖς δύο μέν ἐστι πράγματα κρινόμενα, ἓν δὲ τὸ πρόσωπον, ἐν δὲ τῷ κατὰ αἴτησιν διπλῷ, τουτέστι τῷ κατὰ ἀμφισβήτησιν, ἓν μὲν τὸ πρᾶγμα, δύο δὲ τὰ ἀμφισβητοῦντα πρόσωπα, ἑκατέρου ἐφ' ἑαυτὸν ἕλκοντος τὸ πεπραγμένον, ὃ τοίνυν κατὰ πρόσωπον διπλοῦς ὑποδιαιρεῖται κατὰ[17] τὸν τεχνικόν· ἢ γὰρ ἀφ' ὧν αὐτὰ πέπραχε τὰ ἀμφισβητοῦντα πρόσωπα γίνεται ἡ ἐν αὐτῷ ἀμφισβήτησις, ἢ ἀφ' ὧν ἕτεροι πεπράχασιν, εἰς δὲ τοὺς ἀμφισβητοῦντας καθήκει τὸ πεπραγμένον. τοῦ προτέρου παράδειγμα ὅ τε ῥήτωρ καὶ ὁ δορυφόρος, ὁ μὲν κατὰ τυράννου λέγων,[18] ὁ δὲ

14 Sch. min.: Ἀπεναντίας ὁρμᾶται οὗτος τοῖς προάγουσιν· οὐ γὰρ περὶ πράγματα δύο τὴν ζήτησιν πᾶσαν ἔχει, ἀλλ' ἑνὸς ὄντος τοῦ ὑποκειμένου δύο ἀμφισβητεῖ πρόσωπα. 15 Mon. τρίτον δὲ ὁ κατά. 16 Par. 1. καὶ γάρ. 17 κατὰ Mon. om. 18 Mon. λέγει εἰπών.

δὲ τὸν λόγον ἀκούσας εἶτα διαχρησάμενος τῷ ξίφει τὸν τύραννον· τοῦ δὲ δευτέρου παράδειγμα· νόμος τὰς ἱερωσύνας [19] τοὺς παῖδας διαδέχεσθαι· ἀριστεύσας τις ᾔτησεν ἱερωσύνην ἀφελέσθαι τινὸς, [20] ἔλαβεν, ἀμφότεροι τεθνᾶσι, καὶ οἱ τούτων παῖδες ἀμφισβητοῦσι τῆς ἱερωσύνης· ἐνταῦθά τινες ἔφασαν τὸ τοῦ ὅρου ἴδιον παραπόλλυσθαι, παντὸς γὰρ ὅρου τὸ μὲν λεῖπον, τὸ δὲ πεπραγμένον ἔχοντος ἐπὶ τούτου ὅλον ἐλλείπει. οὐδὲν γὰρ πέπρακται τοῖς ἀμφισβητοῦσι προσώποις· φαμὲν δὲ, ὡς κἀπὶ τούτου τὸ μὲν λείπει, τὸ δὲ πέπρακται. τῷ μὲν γὰρ ἡ ἀρχὴ πέπρακται, τὸ γενέσθαι ἐν τῇ ἱερωσύνῃ τὸν πατέρα, λείπει δὲ τὸ ἰδιώτην αὐτὸν καὶ τῆς ἱερωσύνης ἀφῃρημένον τελευτᾷν· τῷ δὲ ἐκ τοῦ ἐναντίου πέπρακται μὲν τὸ τέλειον, λείπει δὲ ἡ ἀρχή· τῇ δὲ διαιρέσει τῶν κεφαλαίων διπλῇ, φασὶ, κἀνταῦθα χρησόμεθα· ἐπισκεπτέον δὲ τὴν διαφορὰν, ἣν ἔχει περὶ τὴν διαίρεσιν ὁ κατ᾽ ἀμφισβήτησιν πρὸς τοὺς προειρημένους διπλοῦς· ἐφάσκομεν δὲ ἐπὶ τοῦ ἀντονομάζοντος. τὸ δὲ αὐτὸ κἀπὶ τοῦ κατὰ σύλληψιν, ὅτι γε τοῖς ἀγωνιστικοῖς μόνοις τῶν κεφαλαίων διπλοῖς χρηστέον, ἐν δὲ τῷ κατὰ ἀμφισβήτησιν ἅπαντα πλὴν τοῦ πρός τι διπλᾶ παραληψόμεθα κεφάλαια· καὶ γὰρ προβολῇ ἑκάτερος ἐπὶ τοῖς ἑαυτῷ πεπραγμένοις χρήσεται, ὁμοίως καὶ πηλικότητι, τὰ μὲν αὐτοῦ ἐπαίρων, μειῶν δὲ τὰ τοῦ ἐναντίου, καὶ τῇ ποιότητι τοῦ προσώπου, καὶ τῇ γνώμῃ διπλῇ χρηστέον ἐν τῷ κατὰ ἀμφισβήτησιν· ἑκατέρου τὸ μὲν ἑαυτοῦ ἐκ τῶν ἤδη βεβιωμένων συνιστάντος, τὸ δὲ τοῦ ἀντιδίκου ἐκ τῶν αὐτῶν διαβάλλοντος. ἀλλὰ μὲν οὐδὲ αὐτὰ τὰ ἀγωνιστικὰ κεφάλαια τὴν αὐτὴν ἔχει παντελῶς τοῖς εἰρημένοις διαίρεσιν. οὐ γὰρ δύο, καθάπερ ἐν τῷ ἀντονομάζοντι,

---

19 Mon. constanter ἱεροσύν. 20 Par. 1. τινὸς ἀφελέσθαι, sqq. Mon. ita: ἔλαβεν ἀμφότερα, τεθνᾶσι καὶ etc.

καὶ τῷ κατὰ σύλληψιν, ὅρους παραληπτέον. ἐκεῖ μὲν γὰρ δύο πραγμάτων ὑποκειμένων ἀναγκαῖον καὶ δύο γενέσθαι ὅρους. ἐνταῦθα δὲ ἑνὸς ὄντος τοῦ πράγματος, δύο δὲ τῶν πραγμάτων, ἕνα μὲν ὅρον ὁριεῖται, προσάξει δὲ τά τε ἑαυτοῦ καὶ τοῦ ἀντιδίκου, τοῖς μὲν ἁρμόζοντα δεικνὺς, ἀπὸ δὲ τῶν ἀπᾴδοντα· οἷον ἱερέως παῖς ἐστιν ὁ ἐν τῇδε γενόμενος τῇ ἱερωσύνῃ, ὁ τὴν γένεσιν λαβὼν τηνικαῦτα, ἡνίκα τὸ τῆς ἱερωσύνης ὁ πατὴρ εἶχεν ἀξίωμα, ὧν οὐδὲν τῷ ἀντιδίκῳ πρόσεστιν· ὁ δὲ πάλιν ἀνθοριζόμενος ἐκ τοῦ ἐναντίου ἱερέα φησὶ καθεστάναι τὸν ἱερωσύνῃ λελυκότα τὸν βίον, οὗ μηδεὶς τὴν ἱερωσύνην ἀφείλετο. ὧν πᾶν τοὐναντίον πρόσεστι τῷ ἀντιδίκῳ, τὸν δὲ συλλογισμὸν κατὰ τὰ προκείμενα παραληψόμεθα κεφάλαια, τὰ μὲν ἑαυτῶν συνιστάντες, ἐκβάλλοντες δὲ τὰ τῶν ἐναντίων, καὶ τοῖς ἐφεξῆς κεφαλαίοις ὁμοίως χρηστέον πλὴν τοῦ πρός τι. τούτου γὰρ τὴν ἐξέτασιν ποιησόμεθα, σύγκρισιν τῶν ἡμετέρων αὐξητικὴν λαμβάνοντες, καθὰ περὶ τοῦ πρός τι τετεχνολόγηται.

ι. Ἔστι, φησὶν, ὁ κατὰ πρόσωπον διπλοῦς, ὅταν πρᾶγμα ὁλόκληρον ἀπὸ δυοῖν ᾖ πεπραγμένον, περὶ οὗ ἑκάτερος ἀμφισβητεῖ, εἰς ἑαυτὸν τὴν πᾶσαν οἰκειούμενος πρᾶξιν. οἷον ὁ μὲν ἦλθεν ὡς ἀποκτενῶν τὸν τύραννον, ὁ δὲ φεύγοντι περιπεσὼν ἀπέκτεινε, καὶ ἀμφισβητοῦσι περὶ τοῦ γέρως, ἑκάτερος τυραννοκτόνος εἶναι λέγων. ἐνταῦθα γάρ ἐστι μὲν ὑποκείμενον πρᾶγμα τὸ καθῃρῆσθαι τὴν τυραννίδα, δύο δὲ τὰ ἀμφισβητοῦντα πρόσωπα περὶ αὐτοῦ· ὥσπερ δὲ εἰρήκαμεν ἐν τῷ στοχασμῷ, ὅτι γίνεται στοχασμὸς κατὰ φυγὴν καὶ δίωξιν καὶ κατὰ ἀμφισβήτησιν καὶ κατὰ αἴτησιν, οὕτως καὶ ἐν τῷ ὅρῳ γίνεται ὅρος κατὰ ἀμφισβήτησιν, οὗ καὶ παράδειγμα παρεθέμεθα· τοῦτο γὰρ πρόβλημα ὁρικόν ἐστιν κατὰ ἀμφισβήτησιν· καὶ τί διαφέρει τοῦ στοχαστικοῦ· ὅτι ἐκεῖ μὲν ἑκάτερος ἀνελεῖν σπουδάζει τὰ τοῦ ἑτέρου λέγων,

μηδὲν ὅλως συμβεβλῆσθαι τῷ πράγματι· ἐν δὲ τῇ ὁριστικῇ ὁμολογεῖ μὲν ἑκάτερος συμβεβλῆσθαί τι καὶ τὸν ἕτερον. Τὸ μέντοι ὑπ᾽ αὐτοῦ πεπραγμένον ὅλον ἐπιχειρεῖ δεικνύειν λέγων, ὅτι τὸ πραχθὲν ὑπ᾽ ἐμοῦ τοῦτο ὁ νόμος φησὶ, καὶ ἐκεῖ μὲν περὶ τοῦ προσώπου ποιούμεθα τὴν ζήτησιν, πότερος τῶν ἰατρῶν τυραννοκτόνος· ἐν δὲ τῇ ὁριστικῇ ἀμφισβητήσει τὸ πρᾶγμα ζητοῦμεν, πότερα τὸ διῶξαι τῆς ἀκροπόλεως ἢ τὸ ἀνελεῖν τυραννοκτονία. ἔστι δὲ τὰ τοιαῦτα τῶν προβλημάτων διπλᾶ κατὰ πρόσωπον· δύο γάρ ἐστι τὰ ἀμφισβητοῦντα ἑνὸς ὄντος τοῦ πράγματος.

ιά. Οὐ μόνον, φησὶν, ἐπὶ κατορθώματος διπλοῦς ὁ ὅρος γίνεται κατὰ ἀμφισβήτησιν, ἀλλὰ καὶ ἄλλος, ὅπου πρᾶγμά τι ὑπὸ δύο προσώπων ἀμφισβητεῖται, ὡς ἐπὶ τῶν ἀμφισβητούντων περὶ τῆς ἱερωσύνης· τοῦτο γὰρ καὶ τὰ τοιαῦτα τῶν πραγμάτων, εἴτε κλῆρος εἴη, [21] *εἴτε ἄλλο τι, τῷ εἴδει τῆς στάσεως διαιρήσομεν· ἐνταῦθα γὰρ οὐκ ὄντος κατορθώματος αὐτοῖς ἀμφισβήτησις γίνεται* [22] *πράγματος, τοῦ μὲν τὴν ἀρχὴν, τοῦ δὲ τὸ τέλος ἔχοντος· ἰστέον δὲ, ὅτι ἐν τῇ ὁρικῇ στάσει μιᾶς ἀεὶ οὔσης τῆς προβολῆς τοῦ κατηγόρου, ἐν τούτῳ τῷ εἴδει διπλῆ καθέστηκε, καὶ γὰρ καὶ ὁ κατήγορος προβολῇ κέχρηται, καὶ ὁ φεύγων ὁμοίως, ἑκάτερος τὸ συνοῖσον αὐτῷ προβαλλόμενος· ἰστέον δὲ, ὅτι, εἰ καὶ ἐνταῦθα τῶν διπλῶν ὁ ὅρος, οὐ διπλοῖς ἕκαστος τοῖς οἰκείοις χρήσεται κεφαλαίοις· ἀλλ᾽ ἁπλῶς μιᾷ προβολῇ καὶ ὅρῳ, καὶ ἔστι κἀν τούτῳ διαφορὰν εὑρεῖν πρὸς τὸν ἀντονομάζοντα καὶ τὸν κατὰ σύλληψιν, ὅτι ἐκεῖ μὲν δύο ζητουμένων ὀνομάτων διπλοῖς ἕκαστος χρῆται τοῖς κεφαλαίοις, ἐνταῦθα δὲ, εἰ καὶ τῶν διπλῶν ὁ ὅρος, οὐ διπλοῖς ἕκαστος χρήσεται, ἐπειδὴ ἓν τὸ ζητούμενον ὄνομα, τίς ὁ τυραν-*

---

21 εἴτε κλῆρος εἴη Par. 1. om. 22 Par. 1. πράγμ. γίνεται.

νοκτόνος, καὶ ἓν ὁρίζεται, ἀπὸ δὲ τῆς πηλικότητος διπλοῖς ἕκαστος τοῖς οἰκείοις χρήσεται, ἐπειδὴ δύο εἰσὶ[23] *τὰ ἐξεταζόμενα πράγματα ἀνὰ μέρος· ἑκάτερος δὲ ἀνὰ μέρος χρήσεται τῷ ὑπ' αὐτοῦ πεπραγμένῳ. καὶ οὐ μόνον αὐξήσει τὸ ἴδιον, ἀλλὰ καὶ τὸ τοῦ ἐναντίου μειώσει. καὶ ἐπὶ τοῦ πρός τι αὐτῶν ἀντεξέτασις ἔσται τῶν πεπραγμένων, καὶ ἀγωνιεῖται δεῖξαι τὸ ἑαυτοῦ μεῖζον καὶ θαυμασιώτερον.*

ιβ΄. Ὥσπερ ἐν τῷ στοχασμῷ τὸ ἐμπῖπτον εἶδος εὑρίσκετο, οὕτω καὶ ἐν ὅρῳ ἐμπίπτων τις ὅρος καλεῖται.[24]

---

23 Par. 1. *ἐστί.* Sch. min.: *παραπλησίως διαιρήσεις· διὰ τοῦτο ἐπεσημήνατο καὶ ἐνταῦθα λέγων, ὅτι καὶ τοῦτον δὲ διαιρήσεις ὁμοίως· ἐπειδὴ οἱ ἑπόμενοι οὐχ ὁμοίως διαιροῦνται, κεφάλαιον κεφαλαίῳ ἀντιτιθέντων ἡμῶν, ὥσπερ ἐπὶ τῶν ἄλλων, ἀλλὰ δεῖ ὅλον πρῶτον εἰπεῖν, εἶτα πάλιν ἐπαναλαμβάνοντας, ὡς αὐτὸς ἐρεῖ, τὸ ἕτερον ζήτημα ἄνωθεν διαιρεῖν.* 24 Sch min.: *Ἐπὶ τούτοις τέταρτον εἶδος ἀκολουθεῖ ὅρου, ὃ καλεῖται ἐμπίπτων, καὶ ἔσχε τὴν ὀνομασίαν ἁπάντων τῶν ἔργων· ὥσπερ γὰρ ἐν στοχασμῷ ἐμπίπτοντας καλοῦμεν τοὺς ἐκ τῆς μεταθέσεως τῆς αἰτίας ἔχοντας ἕτερον ζήτημα τέλειον, οὕτω κἀνταῦθα συμβέβηκε, μετὰ γὰρ τὸ πρός τι ἐμπίπτει ἕτερον ζήτημα καὶ αὐτὸ τέλειον, καὶ δίδωσι τῷ παντὶ ἐπωνυμίαν. Ὥσπερ ἐν στοχασμῷ· τῷ σχήματι μόνον παραπλήσιον, τῇ δὲ φύσει διάφορον· οὔτε γὰρ ὅλως κεφαλαίου χρῶμά ἐστιν ἐν ὅρῳ, οὐδὲ ἀδήλου τοῦ πράγματος ὄντος, ἀλλὰ δήλου μέν, ἀτελοῦς δὲ ἡ ζήτησις. Ἀμύητος ὄναρ ἰδών· ἐνταῦθα τὸ μὲν πρῶτον ζήτημα γίνεται, εἴπερ ὁ ἐπινεύσας ἐξεῖπεν, καὶ εἰ ταὐτὸν τὸ ἐξειπεῖν τῷ ἐπινεῦσαι· εἶτα προαγομένων τῶν κεφαλαίων μέχρι τοῦ πρός τι ὡς ἐξ ἀντιθέσεως εἰσάγεται τὸ ἕτερον ζήτημα ἐκ τοῦ φεύγοντος. ἢ γὰρ οὐδ' ἀμύητος ἦν, πῶς γάρ, ᾧ θεοὶ τὰ μυστήρια ἐξέφηνε, καὶ οὕτω τὸ δεύτερον εἰσάγεται ζήτημα, ὃ καὶ αὐτὸ διαιρεῖται ἀπὸ τῆς προβολῆς μέχρι τοῦ πρός τι, τὰ δὲ λοιπὰ τῶν κεφαλαίων κοινά. Μέχρι τοῦ πρός τι· διαιρήσεις, φησί, καὶ τοῦτο ἕως τοῦ πρός τι· καὶ μετὰ ταῦτα πᾶσι τοῖς ἑξῆς κεφαλαίοις τοῖς μετὰ τὸ πρός τι κοινῶς χρήσῃ.*

ὠνόμασται δὲ οὕτως τὸ εἶδος διὰ μίαν ἐπ' ἀμφοτέρων αἰτίαν· καὶ γὰρ στοχασμὸν ἐμπίπτοντα ἐκαλοῦμεν, διότι ἐν τῇ μεταθέσει τῆς αἰτίας ἑτέρου ἐνέπιπτε ζήτημα, ὁμοίως δὲ καὶ ὅρον ἐμπίπτοντα ὠνομάζομεν, ἐπεὶ κατὰ τὴν πρός τι ἐξέτασιν ζήτημα ἕτερον ἐπεισφέρεται πρὸς τοῦ προτέρου κατασκευὴν συντελοῦν, ὅπερ ἐξ ἀρχῆς μέχρι τοῦ πρός τι πᾶσι τοῖς κεφαλαίοις κατασκευάσαντες ἐπὶ τὸ πρότερον ἀναδραμούμεθα ζήτημα· οἷον ἀμύητος ὄναρ ἰδὼν τὰ μυστήρια ἤρετο, ἐὰν οὕτως ἔχῃ, συγκατέθετο ὁ ἐρωτηθεὶς, καὶ ὡς ἐξειπὼν ὑπάγεται· ζητούντων γὰρ ἡμῶν, τί τὸ ἐξειπεῖν, πότερον τὸ λόγοις διεξελθεῖν, ἢ καὶ ὅλως τὸ ἐπινεῦσαι καὶ μόνον συμφωνῆσαι καὶ τοῦτο διεξιόντων κατὰ τὸ πρός τι, ἕτερον ἐπανίσταται ζήτημα, τίς ὁ ἀμύητος, πότερα ὁ μηδὲ ὅλως τι τῶν μυστηρίων καθεωρακὼς, ἢ καὶ ὁ θεασάμενος μὲν, ἀλλ' ὄναρ καὶ οὐ φανερῶς· τοῦτο δὲ διὰ πάντων τῶν κεφαλαίων μέχρι τοῦ πρός τι κατασκευάσαντες τῷ προτέρῳ συμπλέκομεν ζητήματι.

ιγ'. Πῶς ἐνταῦθα μεταξὺ τῶν κεφαλαίων ἕτερον ἐμπίπτει ζήτημα, αὐτὸς διδάσκει καὶ ὑποτίθεται· τοῦ πρώτου γὰρ, φησὶ, ζητήματος ἐξεταζομένου ἄχρι τοῦ πρός τι ἐμπίπτει τὸ ἕτερον ζήτημα τέλειον καὶ αὐτὸ τυγχάνον, εἰ ἀμύητος ὁ ὄναρ ἰδὼν τὰ μυστήρια, ἢ ὁ ὑπ' αὐτῶν τῶν θεῶν τετελεσμένος, οὐκοῦν ἡ προβολὴ τοῦ πρώτου, δεινὰ ἔπραξας εἰπὼν τὰ μυστήρια· ὁ ὅρος, οὐκ ἐξεῖπον, οὐ γὰρ ἐφθεγξάμην· ἀνθορισμὸς, καὶ μὴν κατένευσας, καὶ συνάψει εὐθὺς τὸν συλλογισμὸν λέγων, ἴσον εἶναι τὸ κατανεῦσαι τῷ εἰπεῖν γνώμῃ νομοθέτου, ὅτι ἄτοπον λίαν ἡγήσατο τὸ τοιοῦτον ὁ νομοθέτης· εἶτα ἡ πηλικότης βεβαιοῖ, ὅτι μέγα δεινὸν καὶ χαλεπὸν τὸ ἐκλέγειν τὰ τῶν θεῶν μυστήρια· εἶτα τὸ πρός τι, καὶ μεῖζον τὸ κατανεῦσαι· βεβαιοῦντος γάρ ἐστιν, ἀφ' οὗ τὸ δεύτερον ἐμπίπτει ζήτημα ἐξ ἀντιθέσεως, ἀλλ' οὐκ ἀμύητος οὗτος, καὶ

λοιπὸν ἐπανατρέχει εἰς τὸν ὅρον τούτου τοῦ δευτέρου ζητήματος φάσκων· ἐκεῖνος ἐμυήθη ὁ εἰς θεῶν ἱερὰ φοιτήσας, ὁ παρὰ δᾳδούχου μαθών. ἰστέον δὲ, ὅτι ἐνταῦθα συμβαίνει τὸν κατήγορον τὰ τοῦ φεύγοντος ἔχειν κεφάλαια, τὸν [25] γὰρ ὅρον ἀεὶ τοῦ φεύγοντος ὄντα ὁ κατήγορος ἐν τῷ δευτέρῳ ζητήματι λέγει. ὁ δὲ φεύγων τοῖς ἰδίοις τοῦ κατηγόρου χρήσεται κεφαλαίοις, ἀνθορισμῷ φημι καὶ συλλογισμῷ, κατασκευάζων, ὅτι μεμύηται· ὁ δὲ πρότερος κατήγορος τῷ τοῦ φεύγοντος ὅρῳ ἀνατρέπων τὸ μεμυῆσθαι διὰ τοῦ ὀνείρου τὸν ἄνθρωπον, ὁ δὲ συλλογισμὸς ἐκ τοῦ φεύγοντος ἐξ ἀντιθέσεως ληφθήσεται, ὅμοιον λέγοντος τῷ ὑπὸ τῶν ἱερέων μανθάνειν τὸ ἐν τοῖς ὕπνοις μυεῖσθαι· μανθάνειν γάρ ἐστιν ἐξ ἀμφοτέρων, ἡ πηλικότης δὲ καὶ τὸ πρός τι μειώσει.

ιδ'. Τὸ εἶδος, [26] φησὶ, τοῦτο γίνεται, ὅταν περὶ δύο ὀνομάτων ἐφ' ἑνὸς τρόπου ἡ ζήτησις ᾖ· τὰς δὲ διαφορὰς τουτέστι περὶ δύο ὀνομάτων καὶ τὰ ἐφ' ἑνὸς προσώπου παρέλαβεν οὐχ ἁπλῶς, ἀλλ' ἵνα διαστείλῃ τοῦτο τὸ εἶδος τῶν προκειμένων, τουτέστι τοῦ κατὰ ἀμφισβήτησιν καὶ τοῦ κατὰ σύλληψιν, τοῦ μὲν γὰρ κατὰ ἀμφισβήτησιν ἐχώρισεν αὐτὸ, δι' ὧν εἶπεν ἐφ' ἑνὸς προσώπου, τὸ γὰρ κατὰ ἀμφισβήτησιν διπλοῦν ἐστι κατὰ τὰ πρόσωπα, ὅπου γε καὶ οὗτος ἀνωτέρω τὸ εἶδος ὠνόμακεν εἰπὼν, τρίτος ὁ κατὰ προσώπου διπλοῦς· πάλιν δὲ αὐτὸς κατὰ σύλληψιν διὰ τῆς ἑτέρας προσθήκης· περὶ δύο γὰρ, φησὶν, ὀνομάτων τὴν ζήτησιν ἐν τοῖς δυσὶν ὅροις καθεστάναι τὸν τρόπον προσήκει, ὅπερ ἐπὶ τοῦ κατὰ σύλληψιν οὐκ ἂν εἴη· τὸ γὰρ ἕτερον τῶν ὀνομάτων

---

25 Mon. καὶ γάρ. 26 Sch. min.: τὸ πέμπτον εἶδος· τὸ εἶδος δείκνυσιν εὐθὺς ἡ προσηγορία. δύο γὰρ ὅροι καλεῖται· καὶ γὰρ δύο εἰσὶν ὀνόματα ζητούμενα ἐν τούτῳ τῷ εἴδει· καὶ δύο ὀνομάτων ζητουμένων ἐφ' ἑνὸς προσώπου, εἰκότως καὶ οἱ ὅροι δύο, ἑκατέρων τῶν ὀνομάτων ἑνὶ ὅρῳ κατασκευαζομένων.

ἐκεῖσε ζήτησιν οὐκ ἐπιδέχεται, ὑφ' ἑκατέρου γὰρ ὡμολόγηται, ἀλλ' ἐπειδὴ τὸ περὶ δυοῖν ὀνομάτων ἐφ' ἑνὸς προσώπου καθεστάναι τὴν ζήτησιν καὶ ἐν τῷ ἀντονομάζοντι εὑρίσκεται, διὰ τοῦτο προσέθηκε τὸ οὐκ ἀντονομαζόντων·[27] ἐν μὲν γὰρ τῷ ἀντονομάζοντι περὶ δύο μὲν ὀνομάτων ἡ ζήτησις, ἀλλ' ἀντονομαζόντων, ὄνομα ἀντ' ὀνόματος παραδεχομένων ἡμῶν, ἐν δὲ τοῖς δύο ὅροις τὰ δύο προηγουμένως ζητοῦμεν ὀνόματα, καὶ τοῦ κατηγόρου τὰ δύο ἐγκλήματα ἐπιφέροντος καὶ τοῦ φεύγοντος περὶ ἀμφοῖν ἀντιλέγοντος· ἡ δὲ πρὸς τὸν ἐμπίπτοντα τῶν δύο ὅρων διαφορὰ σαφεστάτη· ἐκεῖ μὲν γὰρ θάτερον τοῦ ἑτέρου λαμβάνεται πρὸς κατασκευήν, καὶ γίνεται τὸ ἐμπίπτον ζήτημα ἀποδεικτικὸν τοῦ προηγουμένου· ἐνταῦθα δὲ ἀπ' ἀλλήλων κεχώρισται τὰ ζητήματα τέλεια ὄντα καθ' αὑτὰ καὶ οὐδὲν πρὸς ἀπόδειξιν ἀλλήλων συντείνοντα. ἔστι δὲ διαλῦσαι τὰ ζητήματα τὰ ἑκάτερα ἰδίᾳ μηδὲν ἐν τῇ ὑποθέσει λυμαινόμενα· οἷον νόμος τὸν ἐκ καθαροῦ καὶ καθαρὸν ἱερᾶσθαι· πατέρα τις μοιχὸν ἀποκτείνας εἴργεται ἱερᾶσθαι· τοῦτο γὰρ διε-

27 Sch. min.: ἐπειδὴ ἐν τῷ ἀντονομάζοντι καί εἰσι τὰ ζητούμενα ὀνόματα, εὐθέως καὶ τὴν διαφορὰν ἐπέθηκεν ὁ τεχνογράφος, εἰπὼν οὐκ ἀντονομαζομένων, ὅ ἐστιν οὐκ ἀναιρουμένου τοῦ ἑτέρου διὰ τῆς εἰσαγωγῆς τοῦ ἑτέρου, ὅπερ ἐν τῷ ἀντονομάζοντι γίνεται· ἐκεῖ γὰρ ἀλλήλοις οἱ δικαζόμενοι ἀντονομάζουσιν, ὁ γὰρ ἱεροσυλίαν τὸ πεπραγμένον λέγων τὸ τὴν κλοπὴν εἶναι ἐκβάλλει, καὶ πάλιν ὁ κλοπὴν διϊσχυριζόμενος ἀναιρεῖ τὴν ἱεροσυλίαν· ἐν δὲ τοῖς δυσὶν ὅροις ἑκάτερος ἔχει τὴν ζήτησιν· περὶ τῶν δύο ὀνομάτων ὁ μὲν δεῖξαι βουλόμενος, ὁ δὲ οὔ. Τὸν καθαρὸν καὶ ἐκ καθαροῦ· ἑνὸς ἐνταῦθα ὡς ὅρου ὄντος τοῦ προσώπου, περὶ τῶν δύο ὀνομάτων ἡ ζήτησις γίνεται, εἰ καθαρὸς ὄντως, καὶ πάλιν ἐκ καθαροῦ· καὶ οὐκ ἀντονομάζουσιν ἐνταῦθα ἀλλήλοις, ἀλλ' ὁ μὲν ἐπιχειρεῖ δεῖξαι, ὅτι οὐ καθαρὸς, ἀνεῖλε γάρ, οὔτε ἐκ καθαροῦ, μοιχοῦ γὰρ παῖς· ὁ δὲ ὅτι καὶ καθαρὸς καὶ ἐκ καθαροῦ· ὁ γὰρ μοιχὸν ἀνελὼν καθαρὸς, καὶ ὁ τεκὼν δὲ οὐ μοιχὸς ἦν, ὅτε με ἔτεκεν.

λόντες δύο παραλαμβάνειν ἁπλᾶ δυνάμεθα προβλήματα, ὡς εἰ λέγοιμεν οὕτως· νόμος τὸν ἐκ καθαροῦ ἱερᾶσθαι, πατρὸς ἁλόντος ἐπὶ μοιχείᾳ εἴργεται τῆς ἱερωσύνης, καὶ πάλιν ἕτερον πρόβλημα· νόμος τὸν καθαρὸν ἱερᾶσθαι, μοιχόν τις ἀνελὼν ἱερᾶσθαι κωλύεται· τοσαῦτα περὶ τῆς τοῦ προκειμένου εἴδους φύσεώς τε καὶ πρὸς τὰ ἄλλα διαφορᾶς, ἐπάγει δὲ καὶ τὴν περὶ τῆς ἐργασίας διδασκαλίαν ὁ τεχνικὸς, καί φησι, δεῖ τὸ πρότερον τῶν ζητημάτων τελείως κατασκευάσαντας οὕτως ἐπὶ θάτερον μεταβῆναι, καὶ αὖθις ἐκεῖνο κατασκευάζειν ἄνωθεν ἀρξαμένους· ὥστε διεστάλθαι ἀπ᾽ ἀλλήλων τὴν ἑκατέρων κατασκευήν· καὶ ζητητέον πῶς ἐπὶ τῶν ἄλλων εἰδῶν, φημὶ τῶν διπλῶν, πανταχοῦ συμπλέκεσθαι κελεύων τὰ ζητήματα καὶ κεφάλαιον ἀντιτιθεὶς κεφαλαίῳ,[28] ὅπως συντεταγμένος καὶ σφριγῶν ὁ λόγος, ἀλλὰ μὴ διαλελυμένος καὶ ὕπτιος γένοιτο, ἐνταῦθα τοὐναντίον διακελεύεται, διαστέλλεσθαι φάσκων δεῖν τὰ ζητήματα, ὅπερ ἂν εἴη πολλῆς ὑπτιότητος· πρὸς δὲ ταῦτα ῥητέον, ὡς ἐπὶ μὲν τῶν ἄλλων φυσικῶς ἄμφω συνήρμοστο καὶ συνεπέπλεκτο τὰ ζητήματα, ἔνθεν καὶ τὰς ἀποδείξεις ἐπ᾽ ἐκείνου κατὰ συμπλοκὴν προάγειν ἀναγκαῖον ἐδόκει, ἐνταῦθα δὲ κεχωρισμένων φύσει τῶν ζητημάτων, ὡς ἐδείξαμεν, καὶ οὐδὲν εἰς τὴν ἀλλήλων συντελούντων κατασκευὴν, ἀφ᾽ οὗ καὶ τὴν προσηγορίαν τὸ εἶδος ἔλαβε, δύο ὅροι καλούμενον, εἰ συμπλέκειν τὰς τούτων κατασκευὰς βουληθείημεν, εὐθὺς μὲν καὶ παρ᾽ αὐτὴν τὴν ἀρχὴν ἀγωνιστικοὶ φανοίμεθα ἄν· προϊόντες δὲ εἰς ἀσάφειαν πολλὴν ἐμπίπτοιμεν καὶ σύγχυσιν, τὰ κεχωρισμένα μὴ ἐκλύειν βουλόμενοι· χρὴ οὖν ἰδίᾳ κατασκευάζειν ἑκάτερον· εἰ δέ τί ἐστι τοῦ δευτέρου ζητήματος ἐν τῷ προτέρῳ δεόμενόν τινος κατασκευῆς, τῷ κατ᾽ ἐπαγγελίαν χρησόμεθα σχήματι,

---

28 Mon. καὶ κεφάλαια ἀντιτεθεῖσθαι κελεύεται.

τέως μὲν [29] αὐτὸ διακρουόμενοι, μικρὸν δὲ ὕστερον [30] περὶ αὐτοῦ λέξειν ἐπαγγελλόμενοι· τοσαῦτα περὶ τοῦ ὅρου τεχνολογεῖν ἔχομεν.

Δύο ὄντων τῶν ζητημάτων [31] ἐπὶ ἑνὸς προσώπου, διπλῆ καὶ ἡ διαίρεσις ἔσται [32] δι᾽ ὅλου τοῦ κεφαλαίου. καὶ γίνεται τὸ πρῶτον ζήτημα, ὅτι ἐκ καθαροῦ, καὶ λοιπὸν ἐμπίπτει τὸ ἕτερον ζήτημα· εἰ γὰρ ἐκ καθαροῦ γέγονεν, ὡς φῄς, σὺ οὐ καθαρὸς ἀνελὼν τὸν καθαρόν· καὶ οὕτως εἰσάγεται τὸ δεύτερον ζήτημα, ὅτι μοιχὸν ὄντα ἀνεῖλον· εἰσάγεται δὲ σχεδὸν μετὰ τὴν ποιότητα· διὰ τοῦτο δὲ οὐκ ἀντιτιθέντες κεφάλαιον κεφαλαίῳ τὴν διαίρεσιν ἐν τούτῳ τῷ εἴδει ποιούμεθα, ἀλλὰ χωρίσαντες, οὐχ ὅτι ἀγωνιστικώτερον τὸ ἀντιτιθέναι, ἀλλ᾽ ἐπειδὴ διέστηκεν ἀλλήλων καὶ κεχώρισται τὰ ζητήματα, καὶ συνάπτειν μὲν ἐπιχειροῦντες σύγχυσιν ἐργαζόμεθα, διαιροῦντες δὲ εὐκρινῆ καὶ σαφῆ τὸν λόγον παρεξόμεθα.

Cap. XXI.

Περὶ ἀντιλήψεως.

Τὴν τέχνην ἡ ταυτότης ἔχει καὶ [1] ἐλέγχει· τὸ γὰρ μὴ διαμένον ἐπὶ τῶν αὐτῶν, ἀλλὰ νῦν μὲν ὡδὶ, αὖθις δὲ ἑτέρως γινόμενον ἄτακτόν τε καὶ ἄτεχνον ἐπιδείκνυται· τρία οὖν τὰ αὐτὰ καθ᾽ ἑκάστην διαίρεσιν τῷ τεχνογράφῳ παρατετήρηται, ἡ τῶν κεφαλαίων ἀπαρίθμησις, ἡ περὶ ἑκάστου τεχνολογία, καὶ τρίτη ἐπὶ τούτοις ἡ τῶν εἰδῶν ἐπίσκεψις, ὥσπερ κἂν τῇ μεθόδῳ παρατηρήμασιν ἰσαρίθμοις κέχρηται· πρῶτον τὴν εὕρεσιν ἑκάστης

29 Mon. δέ. 30 Par. 1. περὶ δὲ αὐτοῦ λέξειν μικρὸν ὕστ. ἐπ. 31 Mon. post ζητημάτων add. ὀνομάτων. 32 Par. 1. ἐστὶν ὅλῳ τῷ κεφαλαίῳ. Mon. δι᾽ ὅλων τῶν κεφαλαίων.

1 ἔχει καὶ Mon. om.

τῶν στάσεων ἐκτιθέμενος, ἔπειτα τὸ ὄνομα φράζων, εἶτα τὸν ὅρον ἀποδιδούς· ὅπερ οὖν ἐν τῇ διαιρέσει κατὰ πᾶσαν ποιεῖν εἴωθε στάσιν, τοῦτο κἀπὶ τῆς ἀντιλήψεως παρεφύλαξε, καὶ πρῶτον μὲν εὐθὺς ἀπηριθμήσατο τὰ κεφάλαια, ἔπειτα τὴν προσήκουσαν ἀποδίδωσι τεχνολογίαν ἑκάστῳ, καὶ μετὰ τοῦτο περὶ τῶν εἰδῶν διαλήψεται. Ὅτι μὲν ἐκ τριῶν τούτων, νόμου, φύσεως, ἔθους λαμβάνεται πᾶσα ἀντίληψις, ἐν τῇ μεθόδῳ δεδήλωται, καὶ εἴ τι καινότερον συνέβαινε περὶ τὴν φύσιν τῆς στάσεως, ἐν τῷ εἰρημένῳ τόπῳ καὶ τοῦτο ἐζητήσαμεν· διαληπτέον δὲ περὶ τῆς τῶν κεφαλαίων τάξεως· ταύτην δέ τινες ᾠήθησαν κατὰ τὸν διώκοντα γεγενῆσθαι, οὐκ ἀκριβῶς ἐπεσκεμμένοι τὸν περὶ αὐτοῦ [2] λόγον, ἀλλὰ τὸ παραστὰν ἐκ πρώτης ἀποφηνάμενοι· ἐπεὶ γὰρ εὗρον πρῶτον μὲν τὴν προβολὴν, ὅπερ ἐστὶν ἴδιον τοῦ κατηγόρου κεφάλαιον, εἶτα τὸ μόριον τοῦ δικαίου μετὰ τὴν προβολὴν τοῦ διώκοντος κατὰ ἀντίθεσιν λαμβανόμενον, ἐξαπατηθέντες τὴν τάξιν τῶν κεφαλαίων κατὰ τὸν διώκοντα γεγενῆσθαι ὑπέλαβον· οὐ γὰρ προσέσχον, ὅτιπερ ἡ [3] τάξις ἥδε οὐ τοῦ διώκοντος μᾶλλόν ἐστιν ἢ τοῦ φεύγοντος· ὁμοίως γὰρ ἑκάτερον τάττουσιν· ὁ μὲν γὰρ διώκων τυραννικὸν ἀποφαίνειν βουλόμενος τὸν κατηγορούμενον εὐθὺς τὸ μόριον τοῦ δικαίου παραλαμβάνει κατὰ ἀντίθεσιν, ὅπερ ἐστὶν οὐδὲν ἕτερον ἢ ψιλὴ ἀπόφασις ἀντιληπτική, τὸ δὲ ἀντιληπτικὸν ἀεὶ τραχύτερόν πως καὶ τυραννικώτερον τῷ τὴν ἐξουσίαν προβάλλεσθαι, ὁ δὲ φεύγων καὶ τὸ πᾶν σχεδὸν τῆς ἀπολογίας ἔχων ἐν τῇ ἐξουσίᾳ, καὶ τὸ κατ' ἀρχὰς τῶν ἀγώνων τυραννικὸς εἶναι δοκεῖν ἀποφεύγων, χρῆται καὶ οὗτος εὐθὺς τῷ τοῦ δικαίου μορίῳ, ἁπλουστέρῳ γε τῆς ἀντιλήψεως ὄντι, ὅπως καὶ τὸ ἰσχυρὸν ἐν ἀρχῇ τῆς ἀπολογίας ἐνδείξηται, καὶ τῷ μὴ εἶναι τὸ κεφάλαιον ἐγκατάσκευον, μηδὲ ἐπὶ πλεῖ-

2 Mon. ἑαυτοῦ sine περί. 3 Mon. ὅτι ἥπερ τάξις.

στον ἐπεκτείνειν τὴν ἀπὸ τῆς ἐξουσίας ἀπολογίαν, ὑπεκκλίνοι τὸ λυπηρὸν εἶναι τοῖς δικασταῖς· τὴν γὰρ ὅλην τοῦ κεφαλαίου ἐξέτασιν ἐν μέσοις φυλάττει τοῖς ἀγῶσιν· ἐπειδὰν δὲ εἰς τὴν ἀντίληψιν ὁ λόγος ἀφίκηται, ὁ δὲ κατήγορος τὸ τοῦ δικαίου μόριον παραλαβὼν οὐκέτι τῇ ἀντιλήψει [4] χρήσεται· οὐ γὰρ ἐγκατασκεύους προσήκει

---

4 Par. 1. τῇ αὐτῇ. Sch. min.: τοῖς ἑπομένοις τῷ ὅρῳ· οἷον ἀνθορισμῷ, συλλογισμῷ, γνώμῃ νομοθέτου, πηλικότητι, καὶ πρός τι. Μέχρι τοῦ πρός τι· μετὰ τὸ πρόσωπον εὐθέως ἐπάγεται ὁ ὅρος· ἐρεῖ γὰρ ὁ φεύγων, ὅτι οὐκ ἐμὲ δεῖ δημοσίων γραφὴν ὑπομένειν, ἀλλ᾽ ἐκεῖνον δεῖ φεύγειν τὸν πόλιν προδόντα, καὶ τὰ τοιαῦτα· εἶτα ὁ συλλογισμός· ὁ γὰρ τοιαῦτα πιστευθεὶς, εἶτα ἀδικήσας, κοινῇ τὴν πόλιν λυμαίνεται· εἶτα ἡ γνώμη τοῦ νομοθέτου, ἐξ ἑκατέρων τῶν μερῶν ἐξεταζομένη, οἷον ὅτι καὶ ὁ νόμος τοῦτο βούλεται εἶναι δημόσιον ἀδίκημα· εἶτα πηλικότητι, ὅτι μέγα τὸ ἔγκλημα, εἶτα τῷ πρός τι χρήσεται, ὅπερ συγκρίσεως ἔχει δύναμιν, ὅτι μεῖζον τὸ ἀριστέα ἀποκτείνειν τοῦ τείχη καὶ τριήρεις ἀπολέσαι. Ἀντιλήψει· ὁμώνυμον τῇ στάσει κεφάλαιον, τῶν μορίων δὲ τοῦ δικαίου διαφέρει· καθὸ ἐκεῖνα μὲν παραγραφικοῦ δύναμιν ἔχει, τοῦτο δὲ ἀποδεικτικόν ἐστιν· ἐπειδὴ γὰρ τολμηρόν ἐστιν, ἐξ ἀρχῆς τὴν ἐξουσίαν προβάλλεσθαι, εἰκότως τελευταῖον τοῦτο τέτακται τὸ κεφάλαιον. Ἕπεται ἡ μετάληψις ταύτῃ· τοῦτο δὲ συγχωρεῖ μὲν τὴν ἐξουσίαν, μέμφεται δὲ τὴν παράστασιν, οἷον, ὅτι οὐχ οὕτως ἐχρῆν. Ἀντιθέσει· τοῦ ἀντιθετικοῦ κεφαλαίου κατασκευάσαντος τὴν ἐξουσίαν, ἔσχε χώραν ἡ ἀντιθετική· ὅταν δὲ δείξῃς, ὅτι ἐξουσίαν ἔχεις ποιεῖν, τότε καλῶς πεποιηκέναι ἐρεῖς· οἷον, ἀλλ᾽ ἄξιος ἦν, μοιχὸς γὰρ, γίνεται δὲ κατὰ μίαν πάντως τῶν ἀντιθετικῶν. Ἑτέρᾳ μεταλήψει· δύο μεταλήψεις ἐμπίπτουσιν, ὧν ἡ μὲν πρώτη πρὸς τὸ πρᾶγμά ἐστιν, ἡ δὲ δευτέρα δέχεται μὲν τὸ γεγονὸς, μέμφεται δὲ τὸ πρόσωπον τὸ πρᾶξαν, ὅτι οὐδὲ ἐχρῆν ποιεῖν τοῦτο. ἄλλο· ἔδειξεν, ὅτι δύο ἐμπίπτουσι· τί οὖν διαφέρει; ἡ πρώτη μάχεται πρὸς τὸ πρᾶγμα, ἡ δὲ δευτέρα συγχωρεῖ τὸ γινόμενον, μέμφεται δὲ τὸ πρόσωπον τὸ πρᾶξαν, ὅτι οὐκ ἐχρῆν φονεῦσαι· ἀλλ᾽ ἔδει κατηγορεῖν, παραδοῦναι δικαστηρίῳ. Θέσει· ἔοικε τοῦτο νόημα εἶναι, καὶ καλεῖται θετικὸν, εἴρηται δὲ ἀπὸ τῆς θέσεως τοῦ

λαμβάνειν τὰς ἀντιθέσεις, ἀλλ' ἁπλουστέρας μᾶλλον καὶ δυναμένας ἀπολύεσθαι ῥᾳδίον· τὸ δὲ μόριον τοῦ δικαίου τῆς ἀντιλήψεως τούτῳ διαφέρειν ἐφάσκομεν, τῷ τὴν ἀντίληψιν μετὰ κατασκευῆς ἐκφέρεσθαι πλείονος· μετὰ γοῦν τὸ μόριον τοῦ δικαίου τὴν μετάληψιν παραλήψεται, εἴγε πᾶν ἀντιληπτικὸν ἐπιχείρημα μεταλήψει λύεται· εἶτα προσώπῳ καὶ ὅρῳ καὶ τοῖς ἑξῆς ἑκάτερον χρήσεται μέρος, πλὴν ὅτι γε τὴν ἀντίληψιν ὁ διώκων παρίησι. Τοσαῦτα περὶ τῆς τῶν κεφαλαίων τάξεως· ἐφ' ἑκάστου δὲ αὐτῶν γινόμενος τὴν προσήκουσαν ἀποδιδόναι ἀπολογίαν πειράσομαι.

β'. Τρίτην μὲν ἔταξε [5] τὴν πραγματικὴν Ἑρμογένης τὴν τάξιν τῶν στάσεων ἀπαριθμούμενος, νυνὶ δὲ τὴν ἀντίληψιν τῆς πραγματικῆς προέταξε, καὶ τὸ αἴτιον εὔδηλον· ἐκεῖ μὲν γὰρ ἐκ τῶν πραγμάτων τὴν τάξιν ποιούμενος τρίτην ἔθηκε τὴν πραγματικὴν, καὶ γὰρ εὐθέως ἐκείνη ἐκ τῆς διαιρέσεως τῶν πραγμάτων ἀνέκυπτε· καὶ ἵνα τοῦτο δηλωθῇ, δεῖ μικρὸν ἄνωθεν διαλαβεῖν, ὅτι τῶν πραγμάτων τὰ μέν ἐστιν ἀφανῆ, τὰ δὲ φανερά· καὶ τῶν φανερῶν τὰ μέν ἐστι τέλεια, τὰ δὲ ἀτελῆ· τῶν δὲ τελείων εὐθέως ἡ πρώτη ζήτησις περὶ τὸν μέλλοντα γίνεται, περὶ ὅν ἐστιν ἡ πραγματική· τοιγαροῦν εἰκότως ἐκεῖ μὲν ἐκ τῶν πραγμάτων διαιρούμενος προτέραν ἔταξεν τὴν πραγματικήν· ἐνταῦθα δὲ ἐπειδὴ τῶν κεφαλαίων ἡ διαίρεσις γίνεται, πολλὴ δὲ ἡ κοινωνία τοῦ ὅρου πρὸς

πράγματος, ὅ ἐστι καθολικὸν νόημα, ὡς καλὸν τὸ φιλοσοφεῖν καὶ τὰ τοιαῦτα· ἄλλο· ἡ θέσις ταὐτόν ἐστι τῇ θέσει τοῦ προγυμνάσματος, καὶ ἡ ποιότης τῷ κοινῷ τόπῳ· ἡ δὲ γνώμη ἀπὸ τῶν ἐν τῷ ὅρῳ φανερά· Ποιότητι· ἐν τῷ ὅρῳ μεμαθήκαμεν, ὅτι ἡ μὲν ποιότης τοπικῶς γίνεται ἤτοι αὐξητικῶς· οἷός ἐστιν ὁ κοινός τόπος, τὸ προγύμνασμα· ἡ δὲ γνώμη, ποίᾳ γνώμῃ ὅδε τοῦδε κατηγορεῖ, πότερον δωροδοκίᾳ, καὶ οὐκ εὐνοίᾳ τῇ περὶ τὴν πόλιν. 5 Par. 1. ἔταξε μέν.

τὴν ἀντίληψιν ἐν τοῖς κεφαλαίοις, ἐκεῖ μὲν διέστησεν, ἐνταῦθα δὲ [6] συνήγαγεν.

γ΄. Κἀνταῦθα πάλιν τὰ τρία τετήρηκεν ὁ τεχνικὸς, τὴν τῶν κεφαλαίων ἀπαρίθμησιν καὶ τὴν ἑκάστου ἐργασίαν καὶ τὰ εἴδη τῶν στάσεων· ἡ προβολὴ δὲ ἐν ὅρῳ δέδεικται ποίαν ἔχει φύσιν, ὅτι ψιλή ἐστι τῶν γενομένων διήγησις μετὰ βραχείας αὐξήσεως, καὶ τὸ διάφορον, ὅτι ἐν μὲν τῷ κατὰ αἴτησιν ὅρῳ κοινὴ γίνεται ἡ προβολή· ἐν δὲ τῇ ἀντιλήψει ὁ φεύγων οὐδέποτε τούτῳ χρήσεται τῷ κεφαλαίῳ. [7]

---

6 Mon. ἔνθα μέν. 7 in Par. 1. additur: περὶ τῆς προβολῆς εἴρηται, ὅτι φάσις ἐστὶ ψιλὴ τοῦ πραχθέντος· εἴρηται δ᾽ ὁρικὸν παραγραφικόν· παραγράφεσθαι δέ ἐστι τὸ διαβάλλειν τὴν κατηγορίαν καὶ ὁρίζεσθαι, ἐφ᾽ οἷς δεῖ κατηγορεῖσθαι· καὶ οὔτε μόνον ἐστὶ παραγραφικὸν, ὡς ἐν στοχασμῷ, οὔθ᾽ ὁρικὸν, ὡς ἐν ὅρῳ· ζητητέον δὲ, πότε ἐμπίπτει, καὶ ἔστιν εἰπεῖν, ὅτι, ὅταν μὲν ἀσθενὲς καὶ ἰδιωτικὸν ἢ κοινόν τι πρόσωπόν ἐστι τὸ κρινόμενον, τότε ἐμπίπτει τὸ ἀπὸ τοῦ προσώπου παραγραφικὸν, ὅτι οὐκ ἐμοῦ ἐστι δημόσιον ἀδικεῖν, ἀλλὰ ῥητόρων, πρεσβευτῶν, καὶ τῶν λοιπῶν· ὅταν δὲ πάλιν ἔχωμεν γενικὸν τὸ ἀδίκημα, οἷον δημοσίων ἀδικημάτων, ταῦτα γὰρ γενικὰ, ὡς περιεκτικὰ, τότε ἐμπίπτει καὶ τὸ ἀπὸ πράγματος παραγραφικὸν, ὅτι οὐ τριήρεις ἀπώλεσα, οὐ τείχη κατέβαλον καὶ τὰ ὅμοια· καὶ σιωπῶμεν, ὅπερ ἠδίκησε· προβάλλεται δὲ, ὃ οὐ πεποίηκεν· ὅταν οὖν ἔχωμεν τὸ ἀπὸ πράγματος παραγραφικὸν, τοῖς ἑξῆς ὁρικοῖς κεφαλαίοις λύεται· τοῦ γὰρ κρινομένου λέγοντος, ὅτι οὐ ναῦς ἀπώλεσα, ὁ κατήγορος πρὸς λύσιν τὰ ἑξῆς ὁρικὰ κεφάλαια λαμβάνει· ὅρον, ὅτι οὐ τοῦτο μόνον δημόσιον ἀδίκημα· συλλογισμὸν, ὅτι ἴσον τοῦτο τοῖς δημοσίοις ἀδικήμασι· γνώμην νομοθέτου, ὅτι καὶ ὁ νόμος τοῦτο βούλεται· πηλικότητα, ὅτι μέγα τὸ γεγονός· πρός τι, ὅτι μεῖζον τοῦτο τῶν ἄλλων· ἰστέον δὲ, ὡς τὸ μόριον τοῦ δικαίου οὐδὲν ἕτερόν ἐστι πλὴν ἀντίληψις· ἀλλ᾽ ἐκεῖ μὲν, ἐπειδὰν δοκεῖ ἡ προβολὴ τοῦ κατηγόρου εἶναι ἰσχυρὰ, εὐθὺς ἀπαντήσει τῇ ἀντιλήψει ψιλῶς καὶ ἀκατασκεύως, ὅτι οὐκ ὀφείλω ἐπὶ τούτῳ κρίνεσθαι· τηρήσει δὲ τὴν ἐργασίαν καὶ τὴν κατασκευὴν ἐν τῷ

δʹ. Ἡ προβολὴ γίνεται, ὡς καὶ ἐν τῷ ὅρῳ· περὶ τῆς προβολῆς ἐν τῷ ὅρῳ τεχνολογήσας νῦν ταυτολογεῖν οὐκ ἀνέχεται· ἄξιον δὲ ἐκεῖνο πλείστης ἐπιστάσεως, τί δήποτε τὰ ἐν τῷ στοχασμῷ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, πρὸς τὰ τῶν ἄλλων ἁπασῶν στάσεων, ἅπερ ἐστὶν ἡ προβολὴ, τάξιν ἔχει διάφορον, καίτοι ἡ προβολὴ, καθὰ ἐν τῷ ὅρῳ διεξῆλθεν ὁ τεχνικὸς, οὐδὲν ἕτερόν ἐστιν ἢ τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, φημὶ καὶ ἐπὶ τῶν λοιπῶν στάσεων· πῶς οὖν ἐν [8] μὲν τῷ στοχασμῷ πέμπτην ἀπέλαβε τάξιν τουτὶ τὸ κεφάλαιον, τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους φημί; ἡ γὰρ προβολὴ κατὰ τὰς λοιπὰς στάσεις ἁπάντων ἡγεῖται τῶν κεφαλαίων, ἔστι δὲ ἀπολύσασθαι τὴν ἀπορίαν, ἣν τὸ ἐν τῷ στοχασμῷ διάφορον πρὸς τὰς ἄλλας τῶν στάσεων καταμάθωμεν. ἴδιον τοιγαροῦν τοῦ στοχασμοῦ τὸ ἕτερον μὲν ἔχειν τὸ πεπραγμένον, ἕτερον δὲ τὸ κρινόμενον· καὶ τὸ τὰ πεπραγμένα πάντως ἔχειν ἀνεύθυνα, ὥστε κεχωρίσθαι τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους τὰ ἐγκλήματα, τὰ γὰρ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους αὐτὰ τὰ πεπραγμένα ἐστίν· ἀνάγκη δὲ μετὰ τὴν διήγησιν προτείνειν τὸ τοῦ ἐγκλήματος ὄνομα, ὅπως ἃ ἐπὶ τοῖς πεπραγμένοις καὶ ἃ ἐν τῇ διηγήσει διεξερχόμεθα [9] εἰδεῖεν [10] οἱ δικα-

---

οἰκείῳ κεφαλαίῳ τῇ ἀντιλήψει. Πᾶσα οὖν ἀντίληψις μεταλήψει λύεται· ἡ δὲ μετάληψις συγχωρεῖ μὲν τὴν ἐξουσίαν, μέμφεται δὲ τὴν παράστασιν, οἷον ἀριστέα τις μοιχὸν ἐπὶ τῇ γυναικὶ εὑρὼν ἀπέκτεινε, καὶ κρίνεται δημοσίων ἀδικημάτων· ἐνταῦθα ἡ μετάληψις, ὅτι εἰ καὶ ἐξῆν μοιχὸν ἀνελεῖν, ἀλλ᾽ οὐ τὸν ἀριστέα· πρῶτον γὰρ μάχεται πρὸς τὴν ἐξουσίαν αὐτὴν, ὅτι οὐδ᾽ ἔξεστι μοιχὸν ἀνελεῖν, ἀλλὰ φόβου ἕνεκα πρόσκειται· ἔπειτα συνδραμόντες τῇ ἐξουσίᾳ τῇ περιστάσει λύομεν. In Par. 2. sunt haec inter Schol. min. 8 Mon. et Par. 1. εἰ. 9 Par. 1. ἐξερχόμεθα. 10 Mon. εἰ δεῖ. Post litteram ϛʹ. Par. 1. inter scholiorum maiorum contextum habet quaedam ad προβολὴν pertinentia: „Κυρίως προβολὴ τὸ αἴτιον. Οὐχ ὅτι ἰδιάζουσα αὕτη ἡ προβολὴ τῶν κατὰ τὰς ἑξῆς στάσεις, καὶ τῇ ἐν ὅρῳ μόνῃ παραπλησία, ἀλλ᾽ ἐπειδὴ οὔπω ταύ-

σται, ὅ τί ποτέ ἐστι τὸ ἐπαγόμενον ἔγκλημα· ἐν μὲν οὖν τῷ στοχασμῷ ἅτε κεχωρισμένον ἀπὸ τῶν πεπραγμένων ἔχοντες τὸ κρινόμενον εὐθὺς αὐτὸ ψιλῶς μετὰ τὴν διήγησιν ἐπιφέρομεν, οἷον ὅτι ἐπὶ τούτοις αὐτὸν παραπρεσβείας κρίνω ἢ ἀσεβείας ἤ τινος τοιούτου, τὴν δὲ ἀπόδειξιν ὕστερον ἐκ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους λαμβάνομεν, ἐπειδὰν εἰς τὴν τοῦ πράγματος ἐμβάλωμεν ἐξέτασιν· ἐν δὲ ταῖς λοιπαῖς τῶν στάσεων, αὐτῶν δὴ τῶν πεπραγμένων εὐθυνομένων, ἡνίκα τὴν διήγησιν διεξελθόντες τὸ ἔγκλημα φράζειν δεηθῶμεν, πάλιν ἀνάγκη τὰ πεπραγμένα λέγειν, εἴγε συμπλέκεται τῷ ἐγκλήματι, καὶ αὐτά ἐστι τὰ εὐθυνόμενα· ταῦτα δ' ἔτι ἀπ' ἀρχῆς ἄχρι τέλους, ἃ προβολὴν ὀνομάζομεν· οὕτως οὖν ἐπὶ μὲν τοῦ στοχασμοῦ τὴν πέμπτην ἔχειν τάξιν ἠδύνατο τὸ κεφάλαιον· ἐπὶ δὲ τῶν λοιπῶν ἐξ ἀνάγκης ἡγεῖται· δεδήλωται δὲ ἄρα καὶ ἡ διαφορὰ τῶν ἐν τῷ στοχασμῷ ἀπ' ἀρχῆς ἄχρι τέλους πρὸς τὴν προβολήν, καὶ ἑτέραν δέ τινα διαφορὰν αὐτῶν ἐν τῷ ὅρῳ δεδώκαμεν, ὅτι γε τὰ μὲν ἐκ τῶν περιστατικῶν ἀποδεικτικὰ λαμβάνομεν, ἡ δὲ προβολὴ λαμβάνεται μὲν ἀπὸ τῶν αὐτῶν, αὐξητικῶς δὲ καὶ ἀποδεικτικῶς.

έ. Τὰ μόρια τοῦ δικαίου καὶ ἡ ἀντίληψίς ἐστι καὶ

την, εἰ μὴ ἐν τῷ ὅρῳ ἐδίδαξεν, εἶπεν οὕτως, ὅτι, ὡς ἐν τῷ ὅρῳ εἰρήκαμεν, οὕτω τῇ προβολῇ χρηστέον· ἐκεῖ δὲ ἡμᾶς ἐδίδαξεν, ὅτι ψιλή ἐστι τῶν γενομένων διήγησις μετὰ βραχείας αὐξήσεως, καὶ τὸ διάφορον ἐν τούτῳ καθέστηκεν, ὅτι ἐν μὲν τῷ ὅρῳ ἐν τῷ κατ' αἴτησιν κοινὴ γίνεται ἡ προβολή, ἐν δὲ τῇ ἀντιλήψει ὁ φεύγων οὐδέποτε τούτῳ τῷ κεφαλαίῳ χρήσεται· ἔστι δὲ κυρίως προβολὴ τὸ αἴτιον. — Ἡ προβολὴ γίνεται, ὡς καὶ ἐν τῷ ὅρῳ· εἶπε γάρ, ὅτι αὐτὴ ἔχει τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους· φαμὲν δέ, οὐκ εἶναι τοῦτο διήγησιν, ἀλλὰ φάσιν (Cod. φύσιν) ψιλήν· εἰ γάρ ἐστι διήγησις, δύο ἔσονται διηγήσεις, ὅπερ ἐστὶν ἄτοπον. **Absunt haec a Par. 2. et Mon.**

γὰρ, ὡς ἔφαμεν, ἡ ἀντίληψις ἢ ἀπὸ νόμου ἢ φύσεως ἢ τέχνης ἤ τινος τῶν τοιούτων ἔχει τὴν ἰσχὺν, [11] ἐξ ὧν καὶ τὸ μόριον τοῦ δικαίου λαμβάνεται, ὅπερ οὕτω καλεῖται διὰ τὸ μέρος τι τοῦ δικαίου προβάλλεσθαι, ἐξ ἑνὸς γὰρ τούτου πάντως ἔχει τὴν ἐξέτασιν· τοῦ γὰρ κατηγόρου πολλῇ χρησαμένου τῇ ἐν προβολῇ καταφορᾷ, ὁ φεύγων [12] πρὸς τοῦτο μαχόμενος [13] ἀντιστήσει τῇ κατηγορίᾳ ἕν τι τούτων, διαλύων αὐτοῦ τὴν ἰσχὺν, ὥσπερ ἐν παραγραφικοῦ μοίρᾳ· φήσει γὰρ, ὡς ἄδικος ὁ κατήγορος καὶ οὐ δεῖ ἐπὶ τοιούτοις ἀγῶνας κροτεῖν, [14] ἐφ᾿ οἷς ἢ νόμος τὴν ἐξουσίαν παρέσχετο καὶ ἑξῆς· φύσιν δὲ ἀντιλήψεως τὸ κεφάλαιον ἔχον οὐκ ἐκλήθη ἀντίληψις, ἐπεὶ διαβολῆς ἕνεκα τὰ μόρια τοῦ δικαίου προτείνεται, οὐ τὴν πᾶσαν ἐξουσίαν προβαλλόμενα· οὐχ οὕτως οὖν ὠνόμασται διὰ τὸ μήπου τῆς ἐξουσίας τὸν φεύγοντα ἀντιλαμβάνεσθαι.

ϛ΄. Τὸ μόριον τοῦ δικαίου τὸ αὐτὸ, φησὶν, ἐστὶ τῇ ἀντιλήψει, πλὴν ὅσον ἡ ἀντίληψις ἐγκατάσκευός τέ ἐστι καὶ πλείονα ἔχει τὴν ἐργασίαν· ὅτου δὲ χάριν τὸ τοῦ δικαίου παρείληπται μόριον ἀνωτέρω δεδήλωται, καὶ νῦν οὐ χεῖρον εἰπεῖν· ἐπεὶ γὰρ κ. τ. λ. T. V. p. 315. v. 23.— 28. ἅμα δὲ καὶ ἵνα τοῖς τοῦ κατηγόρου λόγοις ἀκολουθῶν ὁ φεύγων ἐπὶ τῆς ἀπολογίας εὑρίσκηται· τοῦ γὰρ διώκοντος τὰ ἀπ᾿ ἀρχῆς ἄχρι τέλους διελόντος διχῇ κατά τε προβολὴν καὶ κατὰ τὴν τῆς πηλικότητος καὶ τοῦ πρός τι ἐξέτασιν, καὶ ἧττον μὲν αὐτοῖς ἐν τῇ προβολῇ χρω-

μέ-

11 Sqq. ἐξ ὧν καὶ τὸ μόριον usque ad διαλύων αὐτοῦ τὴν ἰσχύν. Par. 1. om. Est in Par. 1983. 12 ὁ φεύγων Par. 2. Mon. Par. 1983. om., recepi ex iis, quae sequuntur sub litt. ϛ΄. 13 Mon. μαχόμενα ἀντιστάσεως. 14 Mon. ἀγῶσι κρατεῖν. In Par. 2. et 1983. prima manu fuit ἀγῶσι, sed correctum ἀγῶνας.

μένου, ἐλέγομεν γὰρ δεῖν πεφεισμένως ἐν τῷδε τῷ κεφαλαίῳ χρῆσθαι τῇ αὐξήσει· ἐν δὲ τῇ πηλικότητι καὶ τῷ πρός τι τὴν αὔξησιν μετὰ πλείστης ὅσης ποιουμένου τῆς ἐργασίας, ἀντιτάττων ὁ ἀπολογούμενος φαίνεται καὶ αὐτὸς διχῇ τὴν ἀντίληψιν, τὸ μὲν μόριον τοῦ δικαίου τῇ προβολῇ, τὸ ἁπλούστερον τῷ ἧττον ἐγκατασκεύῳ, τὴν δὲ ἀντίληψιν, ἥπερ ἀγωνιστικωτέρα καὶ πλεῖον ἐξειργασμένη, πρὸς τὴν ὅλην ἀντικαθιστὰς τοῦ κατηγόρου αὔξησιν, φημὶ τὴν πηλικότητα καὶ τὴν κατὰ τὸ πρός τι κατασκευήν· ἣν μὲν οὖν ἔχει διαφορὰν τὸ μόριον τοῦ δικαίου καὶ ἡ ἀντίληψις, ὁ τεχνικὸς αὐτὸς ἡμῖν ἐδήλωσεν εἰπὼν, ὡς ταὐτὸν μέν ἐστι τῇ ἀντιλήψει, διαφέρει δὲ, ὅτι ἐνταῦθα μὲν ἁπλούστερον καὶ ἄνευ κατασκευῆς ἐν παραγραφικοῦ μοίρᾳ τίθεται κατ᾽ ἀρχὰς, ἐκεῖ δὲ, τουτέστιν ἐν τῇ ἀντιλήψει, ὡς ἑτέρως οἱονεὶ ἐγκατασκεύως καὶ τελεώτερον· ἐπεὶ δέ φησιν αὐτὸ ἐν παραγραφικοῦ τετάχθαι μοίρᾳ, ἀναγκαῖον εἰπεῖν, τίνι τοῦ παραγραφικοῦ διοίσει· ἡ γὰρ κοινωνία σαφὴς, ὅτι ἑκάτερον διαβάλλει τὸν ἀγῶνα, ὡς οὐδὲ ἐπὶ τούτῳ κρίνεσθαι· διαφέρει δὲ ἀλλήλων, καθὸ τὸ μὲν παραγραφικὸν διαβολῆς ἕνεκα μόνον [15] παραλαμβάνεται, τοῦτο δὲ καὶ τὸ μέγιστόν ἐστι τοῦ παντὸς ἀγῶνος, καὶ ὡς περὶ τῆς πάσης ἀπολογίας κεφάλαιον, καὶ ἔτι τὸ μὲν παραγραφικὸν ἀπό τινος λαμβάνεται τῶν περιστατικῶν, τὸ δὲ τοῦ δικαίου μόριον οὐχ οὕτως, ἀλλ᾽ ἀφ᾽ ὧν ἡ ἀντίληψις ἢ ἀπὸ νόμου ἢ ἀπὸ ἔθους, ἢ ἀπὸ φύσεως· εἰδέναι δὲ χρὴ, ὅτι γε καθάπερ ὁ διώκων ἀπὸ τῆς προβολῆς ἄρχεται, τοῦτον τὸν τρόπον ἐκ τούτου τοῦ κεφαλαίου ὁ φεύγων.

ζ. Μόρια καλεῖται δικαίου τὰ εἴδη τῆς ἀντιλήψεως· διὰ τοῦτο γὰρ καὶ μόρια, ἐπειδὴ κατὰ πάντα τὰ μέρη ἐξετάζεται, ἢ νόμον, ἢ ἔθος, ἢ φύσιν· ἐξ ἑνὸς γὰρ τούτων πάντως ἔχει τὴν ἐξέτασιν τὸ κεφάλαιον· τοῦ κατη-

15 Mon. ἐνενεγμένης. Parr. ἕνεκα μόνης.

γόρου γὰρ πολλῇ χρησαμένου καταφορᾷ ἐν τῇ προβολῇ, ὁ φεύγων πρὸς τοῦτο μαχόμενος ἀντιστήσει τῇ κατηγορίᾳ ἐπὶ τῶν κεφαλαίων αὐτῆς τὴν ἰσχὺν, ὥσπερ ἐν παραγραφικοῦ μοίρᾳ· φήσει γὰρ ὡς ἄδικος ὁ κατήγορος, καὶ οὐ δεῖ ἐπὶ τοιούτοις ἀγῶνα συγκροτεῖν, ἐφ᾽ οἷς ἢ νόμος ἢ φύσις τὴν ἐξουσίαν παρέσχετο, ἢ ἐφ᾽ οἷς πᾶσιν[16] ἀνθρώποις[17] εἴθισται καὶ νενόμισται.

η΄. Ἐνταῦθα, φησὶ,[18] χωρὶς κατασκευῆς τινος χρώμεθα ἐν παραγραφικοῦ τάξει τὴν εἰσαγωγὴν αὐτῶν ποιούμενοι, οὐ δίκαιον εἶναι λέγοντες ἐφ᾽ οἷς ἢ νόμος ἢ ἔθος ἢ φύσις ἢ τέχνη συγκεχώρηκε κρίνεσθαι, ἐν τῇ ἀντιλήψει δὲ πάσας τὰς κατασκευὰς τίθεμεν τελείαν τὴν ἐργασίαν τῶν τοῦ δικαίου μορίων ταύτῃ φυλάττοντες.

θ΄. Ὡς οὐ μέτρια ἠδίκησας τὴν πόλιν φοβήσας τοὺς ἐμπόρους τῇ γραφῇ καὶ τὴν ἔξωθεν ἡμῖν τῶν ἀναγκαίων ἀποκλείσας εὐπορίαν· οὐδενὸς γὰρ ἔτι τῶν πρώην ἡμῖν μέτεστιν.

ι΄. Ὅτι παραγραφικοῦ δύναμιν ἔχει τὸ μόριον τοῦ δικαίου δῆλον ἀφ᾽ ὧν δικαστικῶς αὐτὸ προηνέγκατο, οἷον εἰ μὴ δεῖ ἐπὶ τούτοις κρίνεσθαι· οὐδεὶς γὰρ ἀπολογίαν προτείνων ἀμφίβολον προτείνεται αὐτὴν, ἀλλὰ καθολικὴν ἀπόφασιν· τοῦτο δέ ἐστι τὸ ἀρνεῖσθαι μὴ εἶναι ὑπεύθυνον ἢ τὸ μὴ κεκωλῦσθαι τὸ πρᾶγμα, τὸ δὲ εἰ μὴ δεῖ ἐπὶ τούτοις κρίνεσθαι ἀμφιβολίας ἐχόμενόν ἐστι καὶ τὴν τῶν δικαστῶν ἐκκαλούμενον δοκιμασίαν, οὐδεὶς δὲ ὃ ἀπολογεῖται ἀμφίβολον κατασκευάζει· ἀλλ᾽ ἐνταῦθα οὐχ ὡς ἀπολογούμενος αὐτὸ λέγει, ἀλλ᾽ ὡς κοινὴν ζήτησιν τῶν δικαστῶν, εἰ δεῖ αὐτὸν ἐπὶ τούτοις κρίνεσθαι, ἵν᾽ ᾖ ἡ μὲν πρότασις τοῦ φεύγοντος, οὐ δεῖ με ἐπὶ τούτοις κρίνεσθαι, ἡ ἐπαγωγὴ δὲ τοῦ διώκοντος, ἀλλὰ δεῖ· ἡ ζήτησις δὲ τῶν δικαστῶν, εἰ δεῖ ἐπὶ τούτοις

16 Par. 1. πάλιν. 17 Mon. ἀνθρωπίνοις. 18 φησὶ Mon. om.

κρίνεσθαι, ἃ μηδεὶς κεκώλυκε νόμος· τὰ γὰρ μόρια τοῦ δικαίου ὁδός ἐστιν εἰς τὸ αἰτιᾶσθαι τὸν ἀγῶνα.

ιά. Εἴπομεν, ὅτι ἐμέρισε τὸ ὁρικὸν παραγραφικὸν, καὶ οὕτως εἶπε προσώπῳ· τουτέστιν ὅταν ἔχωμεν τὸ πρόσωπον εὐτελὲς καὶ ἀδύνατον πρὸς τὸ ἔγκλημα, τότε ἐμπίπτει· ἂν γὰρ ᾖ τὸ πρόσωπον δυνατὸν, ἐκλείπει. Ἄλλο. Ἰδοὺ ἐνταῦθα πίπτει τὸ ἀπὸ προσώπου παραγραφικὸν ὁρικόν· ἀσθενὲς γὰρ πρὸς τὸ πρόσωπον τὸ ἔγκλημα, ὅτι οὐκ ἔστιν ἰδιώτου ζωγράφου τὸ τὴν πόλιν ἀδικεῖν, ἀλλὰ στρατηγῶν, πρέσβεων καὶ ῥητόρων.

ιβ΄. Τρίτον ἐπὶ τούτοις κεφάλαιον ἀκολουθεῖ τὸ πρόσωπον [19] καὶ αὐτὸ μόνου τοῦ φεύγοντος· μεταφέρων γὰρ τὸ ἔγκλημα ἐπὶ τὴν ἰδίαν ποιότητα ἐρεῖ, ὅτι οὐκ ἐμὲ δεῖ δημοσίων ἀδικημάτων φεύγειν, καὶ τοῦτο δὲ παραγραφικοῦ χώραν ἔχει, καὶ ἐν τούτῳ γὰρ διαβάλλει τὴν γραφὴν ὁ φεύγων, ὡς οὐ δεῖ τὸν μηδὲν τῶν κοινῶν μεταχειριζόμενον δημοσίων εὐθύνεσθαι· καὶ ἔστι τῶν οὐκ ἀεὶ ἐμπιπτόντων, ἀλλὰ τότε ἐμπίπτει, ὅταν κρίνηται ἰδιώτης ἢ γυνὴ δημοσίων ἀδικημάτων, ἢ ῥήτωρ σιωπῶν καὶ μὴ πολιτευόμενος, ἢ ζωγράφος ἢ ποιητής· ἢ ὅστις ἁπλῶς μηδὲν πράττῃ δημόσιον· ἐπὶ δὲ τῶν ἐνδόξων προσώπων καὶ ἐν ἀρχαῖς ἐξεταζομένων οὐκ ἐμπεσεῖται· οἷον εἰ πρεσβευτὴς εἴη ἢ στρατηγὸς ἤ τις τῶν τοιούτων.

---

19 Sch. min.: Οἱ μὲν οὖν φασιν, ὅτι τοιαύτην ἀπείληφε προσηγορίαν, ἐπειδὴ ἀπὸ προσώπου ἔσχε τὰς ἀφορμάς· οἱ δέ γε μεταγενέστεροι διὰ τὴν προσηγορίαν καὶ τὴν φύσιν ἡμῖν τοῦ κεφαλαίου δηλοῦσιν· ὀνομάζουσι γὰρ αὐτὸ ὁρικὸν παραγραφικὸν ἀπὸ προσώπου· ἡ δὲ δύναμις αὐτοῦ τοιαύτη ἐστί· μετὰ τὸ μόριον τοῦ δικαίου ἐπάγομεν τὸ καλούμενον πρόσωπον οὕτως· οὐ δεῖ με κρίνεσθαι, ἐφ' οἷς οὐδεὶς κεκώλυκε νόμος, ἄλλως τε καὶ ζωγράφον ὄντα, τοῖς γὰρ ζωγράφοις οὐκ ἀνήκουσιν αἱ περὶ τῶν δημοσίων ἀδικημάτων γραφαί· τοῦτό ἐστι τὸ πρόσωπον.

ιγ'. Ἐπειδὴ τὰ κύρια τοῦ δικαίου παραγραφικοῦ τάξιν ἔχει, εἰκότως δεύτερον τέτακται τὸ πρόσωπον τελείας παραγραφῆς τάξιν ἔχον ἐν τῇ ἀντιλήψει· ἔστι δὲ τοιοῦτον, ὅτι ἑτέρων εἰσὶν αἱ τοιαῦται κατηγορίαι, καὶ οὐ δεῖ ἰδιώτας δημοσίων ἀδικημάτων κρίνεσθαι, ὡς ἐπὶ τοῦ ζωγράφου· ἐνταῦθα γὰρ τὰ μόρια τοῦ δικαίου τὸ λέγειν, ὅτι ἐπὶ τέχνῃ κρίνομεν, εἶτα τὸ πρόσωπον, ὅτι οὐ δεῖ ζωγράφον ὄντα ἐπὶ δημοσίοις ἀδικήμασι κρίνεσθαι, ἀλλὰ στρατηγοὺς καὶ ῥήτορας, καὶ γίνεται παραγραφικοῦ τελείου τάξις.

ιδ'. Τὸ κεφάλαιον τοῦτο οὐ καθ' αὑτὸ προοισόμεθα, ἀλλ' ἐπισυνάπτοντες τῷ τοῦ δικαίου μορίῳ, ὥστε καὶ τοῦτο τρόπον τινὰ παραγραφικοῦ μοῖραν ἐπέχειν ἡμῖν, ὥσπερ τὸ μόριον τοῦ δικαίου· οἱ γοῦν νεώτεροι σαφέστερον ὀνομάζουσι τόδε τὸ κεφάλαιον, τὴν φύσιν αὐτοῦ διὰ τοῦ ὀνόματος ἀκριβῶς ἐμφανίζοντες· καλοῦσι γὰρ αὐτὸ ὁρικὸν παραγραφικὸν ἐκ προσώπου· ὁρικὸν μὲν, ὅτι διορίζομεν μὴ δεῖν φάσκοντες μηδένα ζωγράφον τὸ δημόσιον ἀδικεῖν, ἀλλὰ ῥήτορα τυχὸν ἢ στρατηγὸν, παραγραφικὸν δὲ, ὅτι καθάπερ τὸ μόριον τοῦ δικαίου καὶ τοῦτο διαβολὴν ἔχει τοῦ ἀγῶνος· τὸ δὲ ἐκ προσώπου σαφές· τὴν γὰρ διαβολὴν ἐκ τοῦ προσώπου ποιούμεθα· ζωγράφον φάσκοντες οὐ χρῆναι δημοσίων κρίνεσθαι· χρησόμεθα οὖν πρῶτον μὲν τῷ τοῦ δικαίου μορίῳ, ὡς οὐ δεῖ ἐπὶ τοῖς [20] μὴ κεκωλυμένοις ἀπὸ τῶν νόμων εὐθύνεσθαι· ἔπειτα ἀπὸ τοῦ προσώπου ὁρικῷ παραγραφικῷ, ὡς εἰ καὶ ἔδει κρίνειν, ἐφ' οἷς μηδεὶς ἀπὸ τῶν νόμων κεκώλυται, ζωγράφον οὐκ ἐχρῆν δημοσίων κρίνεσθαι, ἀλλὰ στρατηγὸν ἢ ῥήτορα· εἰσφέρομεν γὰρ κατὰ ἀντιπαράθεσιν τὰ τὴν τοιαύτην κρίσιν ἐπιδεχόμενα πρόσωπα· ἐπεὶ δὲ ὁρικὸν αὐτὸ παραγραφικὸν ὠνόμασε, ζητητέον, τίνι διοίσει τοῦ καθαρῶς παραγρα-

20 Mon. ἀπὸ τῆς.

φικοῦ, ὅπερ ἐμάθομεν ἐν τῷ στοχασμῷ, καὶ ἔστι μὲν αὐτῶν πρώτη διαφορὰ, καθὸ τὸ μὲν οὐχ ἁπλῶς ἐστι παραγραφικὸν, ἀλλ' ὁρικὸν παραγραφικόν· μετὰ διορισμοῦ γὰρ χρώμεθα τῇ διαβολῇ· τὸ δὲ οὐχ οὕτως, ἀλλὰ κατὰ ψιλὴν τοῦ ἀγῶνος ἐκβολὴν γίνεται· δευτέρᾳ δὲ ἀλλήλων διαφορᾷ χωρισθήσονται τῇδε, ὅτι τὸ μὲν ἐκ προσώπου ὁρικὸν παραγραφικὸν, ἐπειδὰν ᾖ τὸ πρόσωπον ἐφαρμόττον τῷ πράγματι, τηνικαῦτα ἐλλείπει, οἷον εἰ στρατηγὸς δημοσίων ἀδικημάτων κρίνοιτο· οὐ γὰρ δυνατὸν εἰπεῖν, ὡς οὐ χρὴ δημοσίων τὸν στρατηγὸν κρίνεσθαι· τὸ γὰρ πρόσωπον τὴν τοιάνδε κρίσιν σφόδρα προσίεται, τὸ δὲ παραγραφικὸν οὐδὲν ἡ τοιαύτη βλάπτει [21] περίστασις, ὥστε καὶ ταύτῃ διενηνόχασι· μεμαθήκαμεν δὲ ἐκ τῆς διαφορᾶς, ὡς οὐδὲ τῶν ἀεὶ ἐμπιπτόντων ἐστὶ τοῦτο τὸ κεφάλαιον, καὶ ἔτι πότε ἐλλείπει· δῆλον γὰρ, ὡς κατὰ μίαν περίστασιν, τουτέστιν ὅταν ὑπάρχῃ τὸ πρόσωπον ἁρμόδιον καὶ προσφερὲς τῷ πράγματι, ὡς ἐπὶ τοῦδε τοῦ παραδείγματος· πόλιν συνεχῶς ἀφισταμένην στρατηγὸς κατέσκαψεν, ἀπέστησαν οἱ σύμμαχοι καὶ κρίνεται δημοσίων ἀδικημάτων· οὐ γὰρ ἕξει τῷ ἐκ τοῦ προσώπου παραγραφικῷ χρήσασθαι ὁ στρατηγὸς, ὅτι στρατηγὸν δημοσίων εὐθύνειν ἀνάρμοστον.

ιέ. Ὃν τρόπον ὁρικὸν παραγραφικὸν ἐκ προσώπου οἱ νεώτεροί φασι τὸ πρὸ τούτου, οὕτω καὶ τὸν ὅρον ὁρικὸν παραγραφικὸν ἐκ πράγματός φασιν.

ις'. Ὃν τρόπον ἐκ τοῦ προσώπου τὸ προκείμενον κεφάλαιον, οὕτως ἐκ τοῦ πράγματος τοῦτο λαμβάνεται· καλοῦσι γοῦν καὶ τοῦτο τῶν σοφιστῶν οἱ νεώτεροι ὁρικὸν παραγραφικὸν ἐκ πράγματος, καὶ τούτου τὴν φύσιν ἐναργῶς διὰ τοῦ ὀνόματος παριστάντες· καὶ γὰρ δὴ τοῦτο διαβάλλει τὸν ἀγῶνα μετὰ διορισμοῦ, κατὰ τὸ οὐχ ἁρμόζον τοῦ πράγματος· ἐπισυμπλέκειν δὲ αὐτὸ χρὴ τῷ

21 Mon. βλάπτεται.

ἐκ προσώπου παραγραφικῷ, καθάπερ ἐκεῖνο τῷ τοῦ δικαίου μορίῳ, οἷον ἐπὶ τοῦ ζωγράφου μόριον τοῦ δικαίου, ὅτι μάλιστα μὲν ἀπὸ ζωγραφίας οὐκ ἔδει κρίνειν· οὐ γάρ τις νόμος δίδωσι κρίσιν ἐνταῦθα· τὸ δὲ ἐκ προσώπου παραγραφικὸν, ὡς εἰ καὶ ἔδει, ἀλλ᾽ οὐ δημοσίων ἀδικημάτων τὸν ζωγράφον· καὶ τρίτον τὸ ἐκ τοῦ πράγματος παραγραφικὸν, ὡς εἰ καί τις διδοίη ζωγράφον κρίνεσθαι δημοσίων, τοῦτο οὐκ ἂν εἴη δημόσιον· ἔστι δὲ τὸ ἐκ τοῦ πράγματος ὁρικὸν παραγραφικὸν τοῦ ἐκ προσώπου δεύτερον τῇ τάξει κατὰ δύο τρόπους· πρῶτον μὲν καθὸ τὸ πρόσωπον δεῖ προϋπεῖναι τοῦ πράγματος, μὴ γὰρ ὑπόντος τοῦ πράττοντος οὐκ ἂν εἴη ποτὲ τὸ πραττόμενον, ἔπειτα καθὸ τὸ μὲν ἐκ προσώπου παραγραφικὸν ἐνστάσεως ἐπέχει τάξιν, τὸ δὲ ἐκ πράγματος ἀντιπαραστάσεως, γελοῖον δ᾽ ἂν φανείη ὂν, εἴ τις ἀντιστρέφων τῆς ἐνστάσεως τὴν ἀντιπαράστασιν προτέραν ποιήσαιτο· οἷον ὅτι μάλιστα μὲν τοῦτο δημόσιον οὐκ ἔστιν ἀδίκημα, εἰ δὲ καὶ ἦν, ζωγράφον οὐκ ἔδει κρίνειν δημοσίων; τοῦτο γὰρ ἄγαν ὑπόκουφον· εἰ γὰρ ὅλως τὸ πρᾶγμα εἶναι ἀληθὲς συγχωροῖτο, ὅ τί ποτ᾽ ἂν ᾖ τὸ ἠδικηκὸς πρόσωπον, οὐδὲν διοίσει· εἰκότως ἄρα τὸ ἐκ προσώπου ὁρικὸν παραγραφικὸν ἡγεῖται τοῦ ἐκ τοῦ πράγματος παραγραφικοῦ· ἔστιν οὖν ἑξῆς τρία ταῦτα τοῦ φεύγοντος κεφάλαια μετ᾽ ἀλλήλων ἀναπλεκόμενα, τὸ μόριον τοῦ δικαίου, τὸ ἐκ προσώπου ὁρικὸν παραγραφικὸν καὶ ἔτι τὸ ἐκ πράγματος· ζητητέον δὲ κἀπὶ τούτου τοῦ κεφαλαίου, πότερον τῶν διηνεκῶς ἐμπιπτόντων ἐστὶν, ἤ ποτε καὶ ἐλλείπει· ὡς μὲν ἐπὶ πλεῖστον ἐμπίπτει, ὅ τι γὰρ ἂν ᾖ τὸ ἀδίκημα, ἔνεστι τὸ μεῖζον ἐπινοεῖν καὶ ἐπαναβαίνοντας λέγειν, ὡς εἰ τόδε ἐπεποιήκειν, τότε ἂν ἀσεβείας ἐκρινόμην ἢ προδοσίας· ἔστι δὲ ὅμως ὅτε καὶ ἐλλείπει, ὅταν γὰρ ᾖ συγγενὲς καὶ λίαν πρόσφορον τὸ πρᾶγμα τῷ ἐπιφερομένῳ ἐγκλήματι, οὐκ ἂν ἔχοι χώραν τὸ κεφά-

λαιον, ὡς ἐπ' ἐκείνου τοῦ παραδείγματος· πόλιν συνεχῶς ἀφισταμένην κατεσκάψατο στρατηγὸς καὶ ἀποστάντων τῶν συμμάχων κρίνεται δημοσίων ἀδικημάτων· οὐ γὰρ δύναιτ' ἂν λέγειν, ὡς οὐκ εἴη δημόσιον ἀδίκημα ἡ τῶν συμμάχων ἀπόστασις· αὐτὸ γὰρ δήπου τὸ μέγιστόν ἐστι τῶν εἰς τὸ δημόσιον ἀδικημάτων. Καὶ τοῦτο μὲν ὡς οὐκ ἀεὶ ἐμπίπτει· χρὴ δὲ παρατηρεῖν ἀκριβῶς, ἐπειδὰν ἐμπέσῃ,[22] ὅπως μὴ μέλλοιμεν ἐκ τοῦ ἐλάττονος πειρᾶσθαι ἀνατρέπειν τὸ ὑποκείμενον ἔγκλημα, ἀλλὰ ἀπὸ τοῦ μείζονος ἀεί· ἂν γὰρ τὸ ἔλαττον προτείνωμεν, καθ' ἡμῶν αὐτῶν ἐκφέρομεν τὴν ἐπὶ τῷ μείζονι ψῆφον· γινέσθω δὲ σαφὲς ὃ λέγω ἐπὶ παραδείγματος. Ἀλκιβιάδης κωμάζων πρὸς τοὺς ἐκ Πύλου τριακοσίους ἐβόησεν, ὦ γενναῖοι, καὶ κρίνει αὐτὸν Κλέων ὕβρεως· εἰ γὰρ διὰ τοῦ ἐλάττονος διαλύειν πειρῷτο τὸ ἔγκλημα, μόνον οὐχ ἑαυτοῦ καταψηφιεῖται· οἷον εἰ λέγοι τηνικαῦτα ὀφείλειν ὕβρεως κρίνεσθαι, ἡνίκα διαβάλλοι πρός τινα ἢ λοιδορήσειε· λάθοι γὰρ ἂν αὐτὸς ἑαυτὸν καταδικάζων ἐπὶ τῷ μείζονι· πολὺ γὰρ δὴ μεῖζόν ἐστι τὰ δημόσια καὶ ἐν κώμῳ προπηλακίζειν τοῦ κρύφα διαβάλλειν καὶ λοιδορεῖσθαι· τί οὖν τὸ μεῖζον προτείνεσθαι δεῖ; ὅτι γε ὕβρεως κρίνειν προσήκει τὸν πληγὰς προστριψάμενον, τὸν χιτῶνα διαρρήξαντα, οὐ τὸν ἁπλῶς τι φθεγξάμενον, καὶ πανταχοῦ τὸ τοιόνδε παρατηρητέον, μήποτε λάθωμεν ἡμῶν αὐτῶν καταψηφιζόμενοι.

ιζ. Μετὰ τὸ πρόσωπον ἕπεται εὐθέως ὁ ὅρος· ἐρεῖ γὰρ ὁ λέγων, ὅτι οὐκ ἐμὲ δημοσίων δεῖ γραφὴν ὑπομεῖναι, ὅτι ἐκεῖνον δεῖ φεύγειν δημοσίων ἀδικημάτων τὴν πόλιν προδόντα καὶ τὰ τοιαῦτα, ὡς ἐπὶ τοῦ ἀποκτείναντος ἐπὶ τῇ γυναικὶ τὸν τρισαριστέα καὶ κρινομένου δημοσίων ἀδικημάτων· πρῶτον μὲν γὰρ ἐρεῖ, ὡς ὁ νόμος τὴν ἐξουσίαν παρέσχετο· ἔπειτα δὲ οὐκ ἐμὲ κρίνεσθαι δεῖ

22 Mon. ἐμπέσοι.

δημοσίων ἀδικημάτων, καὶ ὁ ὅρος εὐθύς· οὐ γὰρ προὔδωκα ναῦς ἢ στρατιώτας ἀπώλεσα, πλατύνεται δὲ καὶ οἷς εἰρήκαμεν ἐν ὅρῳ ἀπὸ τῶν λειπόντων· καὶ ἔστι τοῦτο τοῦ φεύγοντος· ταῦτα δὲ τὰ τρία κεφάλαια τὰ μόρια τοῦ δικαίου, πρόσωπα, ὅρος, παραγραφικοῦ τάξιν ἔχοντος λύειν τὴν προβολήν· ἀκολούθως δὲ καὶ μετὰ τάξεως καὶ τὸ πρῶτον παραγραφικὸν καὶ τὸ δεύτερον καὶ τὸ τρίτον παρῆκται· ἐπεὶ οὖν καὶ τοῦτο τόπον ἔχει παραγραφικοῦ, δέον ταῦτα πάντα συνάπτειν ἀλλήλοις τῷ ἰσχυρὸν ἀποφαίνειν τὸν φεύγοντα· ὅρα γὰρ τὴν ἰσχὺν ἀπὸ αὐτῆς ταύτης τῆς ἐξετάσεως· ἀπὸ τῶν τοῦ δικαίου μορίων, οὐ δεῖ με κρίνεσθαι· ἐφ' οἷς ἠκολούθησεν, ἢ νόμῳ ἢ φύσει ἢ ἔθει πεποίηκα· [23] ἔπειτα οὐ δεῖ με ἰδιώτην ὄντα δημοσίων κρίνεσθαι, [24] ὅ ἐστι τοῦ προσώπου· τρίτον ἐπὶ τούτοις αἱ τῶν δημοσίων γραφαί, ὅ ἐστι τοῦ ὅρου.

ιή. Τοῦ ἀνθορισμοῦ οὐκ ἐμνήσθη ἐνταῦθα· καίτοιγε τοῦ ὅρου εἰωθότος τῷ ἀνθορισμῷ λύεσθαι, ἐπειδὴ ὁ συλλογισμὸς οὐκ ἔστιν ἰδιάζον κεφάλαιον, ἀλλὰ συμπέρασμα τοῦ ὅρου· ὁ τεχνικὸς οὖν πολλάκις συλλογισμὸν ὠνόμακεν ἀντὶ ἀνθορισμοῦ, εἰδὼς ὅτι ταὐτόν ἐστιν· οὐκ εἴρηκε δὲ μᾶλλον τὸν ἀνθορισμόν, ἐπειδὴ τὰ κεφάλαια πρὸς ἀπόδειξιν σπεύδει, τὰ δὲ συμπεράσματα τὰς ἀποδείξεις ἔχει· εἰ οὖν ὁ συλλογισμὸς συμπέρασμά ἐστι τοῦ ἀνθορισμοῦ, εἰκότως κυριώτερόν ἐστιν πρὸς τὴν χρῆσιν· ἀναγκαῖος δὲ ὁ συλλογισμὸς εὑρίσκεται, ἔνθαπερ ὁ ὅρος· φύσει γὰρ μάχονται τὰ κεφάλαια ἀλλήλοις, οὔτε γὰρ ὁ ὅρος λυθείη πλὴν συλλογισμῷ, οὔτε συλλογισμὸς πλὴν ὅρῳ· [25] ἑκάτερος γὰρ ὑπ' ἀλλήλων λύεται μόνον· ὁ μὲν γὰρ συλλογισμὸς εἰς ταὐτὸν ἄγει

23 Mon. πεποιηκέναι. 24 κρίνεσθαι Mon. om. 25 Sch. min.: ἰστέον, ὅτι τοῦ φεύγοντος χρωμένου ὅρῳ καὶ συλλογισμῷ, ὁ κατήγορος παραλαμβάνων τῷ ὅρῳ τὸν συλλογισμὸν οὕτως ἀνατρέπει, πολλάκις δὲ καὶ μόνῳ τῷ συλλογισμῷ χρήσεται.

τὸ πεπραγμένον τῷ μὴ πεπραγμένῳ ἐκ τοῦ τέλους καὶ τῆς κοινότητος κατασκευάζων, ὅτι ἐξ ἀμφοτέρων ἓν καὶ τὸ αὐτὸ τέλος· οὐ γὰρ ὁ τρόπος τοῦ ἀδικήματος ἀναιρεῖ τὸ ἀδίκημα, ὡς εἴ τις μὴ ξίφει διαφθείροι [26] τινὰ, ἀλλὰ λίθῳ καὶ φάσκοι μὴ εἶναι φονεύς· ὁ δὲ ὅρος ἃ συλλογισόμεθα ταῦτα ὁρικῶς λύει, ἀπὸ τῶν γενῶν εἰς τὰ εἴδη διαιρῶν καὶ ταῖς διαφοραῖς χωρίζων, ὅτι δημόσιόν ἐστιν ὅταν ναῦς προδῷ, ὅταν στρατιώτας, συμμάχους, ὅταν ἐξείπῃ τὰ ἀπόῤῥητα, ὅτε λίποι [27] τὴν τάξιν.

ιθ΄. Ἀπορήσειεν ἄν τις, τί δήποτε παρῆκεν ὁ τεχνικὸς τὸν ἀνθορισμὸν, καίτοι ἀνωτέρω κατὰ τὴν ἀπαρίθμησιν τῶν κεφαλαίων συμπεριλαβὼν αὐτὸν, δι᾽ ὧν ἔφη καὶ τοῖς ἑπομένοις τῷ ὅρῳ μέχρι τοῦ πρός τι· ἕπεται δὲ τῷ ὅρῳ ὁ ἀνθορισμός· φανερὰ δὲ καὶ ἡ πρὸς τὴν ἀπορίαν ἀπάντησις· μίαν γὰρ οἶδε φύσιν ὁ τεχνικὸς τοῦ ἀνθορισμοῦ καὶ τοῦ συλλογισμοῦ· κοινὴ γὰρ ἀμφοῖν ἡ πρὸς τὸν ὅρον μάχη, εἰ καὶ διάφορος τῇ χρήσει τῶν ἐπιχειρημάτων· ὁ μὲν γὰρ ἀνθορισμὸς διΐστησι καὶ ἄντικρυς μάχεται· ὁ δὲ συλλογισμὸς ἄμφω συνάγων εἰς ταὐτὸν ὁμοίως τὸν ὅρον διασείει τοῦ φεύγοντος· ἔστι δὲ ἰσχυρότερός τε καὶ πιθανὸς μᾶλλον ὁ συλλογισμὸς, διὰ τοῦτο μίαν ἀμφοτέρων αὐτῶν ἐπιστάμενος φύσιν ῥητορικώτερόν πως τὸν συλλογισμὸν παρέλαβε τοῦτον καὶ ἠρκέσθη, ἅτε καὶ τοῦ ἀνθορισμοῦ ἐν αὐτῷ δυνάμει εὑρισκομένου· εἰ δέ τις ἐπαποροίη, τί δήποτε οὐκ ἐπὶ τῆς ὁρικῆς στάσεως τοῦτο ἐποίησεν, εἰδέτω, ὡς ἐκεῖ μὲν προηγούμενα ἦν τάδε τὰ κεφάλαια· εἴγε καὶ ὁρικὰ ὀνομάζεται καὶ [28] εἰκότως διεξοδικώτερον τὴν τούτων ἐξέτασιν ἐποιούμεθα· ἐνταῦθα δὲ ὡς ἐπείσακτα παραλαβόντες μόνοις χρώμεθα τοῖς ἰσχυροτέροις· ὁ οὖν

---

26 Par. 1. διαφθείρῃ. in Par. 2. prima manu διαφθείρει ut in Mon., per correct. διαφθείρῃ. scr. διαφθείροι. 27 Mon. λίπῃ. 28 Mon. καὶ om.

συλλογισμὸς, φησὶν, εἰς ταὐτὸν ἄγει τοῖς παρειμένοις τὸ πεπραγμένον, ὅτι μηδὲν διαφέρει, ὁμοίως γὰρ ἐκείνοις καὶ τοῦτο δημόσιον ἀδίκημα· πλειόνων γὰρ ὄντων τρόπων, καθ᾽ οὓς οὐκ εἰ μὴ κατὰ πάντα τις ἀδικήσει, διὰ τοῦτο ἂν ἀποφύγοι δικαίως, ἀλλ᾽ εἰ καὶ καθ᾽ ἕνα βλάπτει, τιμωρίαν ὑφέξει. ἐπιχειρήσει[29] δὲ καὶ ἕτερα φήσει, τουτέστι καὶ ἄλλοις ἐπιχειρήμασι χρήσθω τοῖς ἀναφαινομένοις ἐκ τῆς ὕλης τοῦ πράγματος.

κ΄. Γνώμη, φησὶν, εἰ ἐμπίπτοι, χρήσεται κατὰ τὸ λυσιτελοῦν ἑκάτερος· τὸ δὲ εἰ ἐμπίπτοι ἔφη, ἐπεὶ τριχῇ λαμβανομένης τῆς ἀντιλογίας ἢ ἀπὸ νόμου ἢ ἐξ ἔθους ἢ ἀπὸ φύσεως καθ᾽ ἕνα μόνον[30] ἐμπίπτει τρόπον[31] ἡ τοῦ νομοθέτου γνώμη, τουτέστιν ὅταν ἀπὸ νόμου λαμβάνηται ἡ ἀντίληψις. οὐ μὴν οὐδ᾽ ἐπὶ τῶν ἄλλων κενὸν ἀφίεμεν[32] τὸν τοῦ κεφαλαίου τόπον, μετὰ τὸν συλλογισμὸν ἐπὶ τὴν πηλικότητα μεταβαίνοντες· ἀλλ᾽ ἐὰν μὲν ἐξ ἔθους ἡ ἀντίληψις ᾖ, ἀντὶ τῆς τοῦ νομοθέτου γνώμης τὴν πολιτείαν, ἐν ᾗ τὸ ἔθος ἐστὶν, ἐξεταστέον, καθὸ ἂν ἑκατέρῳ λυσιτελῇ, ἂν δὲ ἀπὸ φύσεως τὴν φύσιν αὐτὴν καὶ τὰς ἐντεῦθεν ἀνάγκας, ὥστε μήποτε ἀργὸν ἡμῖν τὸν τοῦδε τοῦ κεφαλαίου γενέσθαι τόπον· χρήσεται δὲ οὐχ ὁμοίως, οὐδὲ πρὸς αὐτὸ τῶν μερῶν ἑκάτερον τῇ γνώμῃ τοῦ νομοθέτου, ἤγουν τοῖς ἀντὶ ταύτης παραλαμβανομένοις, οἷον ἐξετάσει πολιτείας ἢ φύσεως· ἀλλ᾽ ὁ μὲν φεύγων τὴν ἀντίληψιν ἐντεῦθεν ἐπισφραγιζόμενος καὶ βεβαιῶν, ὁ δὲ κατήγορος τὸν συλλογισμὸν, ὃν τρόπον ἐπὶ τῆς ὁρικῆς στάσεως, οἷον ἐπὶ τοῦ ἀνελόντος τὸν τρισαριστέα ὡς μοιχὸν καὶ κρινομένου δημοσίων ἀδικημάτων· ὁ μὲν γὰρ φεύγων τῆς ἀπὸ τοῦ νόμου ἐξουσίας

---

29 Sch. min.: *ἐπιχειρήσει δι᾽ ἐνθυμημάτων καὶ παραδειγμάτων, συντεινόντων εἰς ἀπόδειξιν.* Eadem verba Mon. post litteram *κ΄* addit: Paris. omittit. 30 Par. 1. *μέν.* 31 Mon. **πρόσωπον.** 32 Mon. *ἐναφίεμεν.*

ἀντιλαμβανόμενος παρἀλήψεται τὴν γνώμην τοῦ νομοθέτου πρὸς τοῦτο, ὡς ὁ νομοθέτης καθάπαξ τοὺς ἐπὶ μοιχείᾳ ἁλόντας, καὶ ὅλους τοὺς πονηροὺς δίκας ὧν ἂν ἁμάρτοιεν ὑπέχειν βούλεται. οὔκουν προσδιώρισεν, ὡς εἰ μὴ ἀριστεὺς εἴη· ὁ δὲ κατήγορος ἐν τῷ συλλογισμῷ εἰς ταὐτὸν ἄγων τοῖς παρειμένοις τὰ πεπραγμένα,[33] καὶ δείξας, ὡς οὐδὲν διαφέρει, ἄν τε τρισαριστέα τις ἀνέλῃ,[34] ἄν τε προδῷ τριήρεις, ἢ τὰ ἀπόῤῥητα τοῖς πολεμίοις ἐξείπῃ,[35] πρὸς τὴν ἐν τῷ συλλογισμῷ συναγωγὴν τῶν ἀδικημάτων χρήσεται τῇ τοῦ νομοθέτου γνώμῃ, ἐπιῤῥωννύων καὶ ἀποφανῶν ἰσχυρὰ διὰ τῶν νόμων τὰ ὑφ᾽ ἑαυτοῦ λεγόμενα, εἰ μὲν[36] ἔχοι ἰδιωτικώτερόν τινα νόμον, ἐκείνῳ[37] χρώμενος, εἰ δὲ ἀποροίη ἐπὶ τὴν καθόλου τῶν νομοθετῶν ἀνατρέπων γνώμην, ὡς πανταχοῦ τοὺς νομοθέτας ὁρῶμεν τῶν ἀριστέων ἀντεχομένους, καὶ τιμὰς ὁρίζοντας αὐτοῖς, καὶ μᾶλλον τῶν κοινῶν εὐεργετημάτων τὸ ἰδίᾳ βλάπτον παρορῶντας, ἄλλως τε κἂν εἴη τὸ περὶ τὴν πόλιν εὐεργέτημα μεῖζον τοῦ ἀδικήματος, καὶ ὅτι πλεῖον τοὺς ἀριστέας τῶν ἐπιδόντων τριήρεις ἐπαινοῦσιν οἱ νόμοι· ὥστε μεῖζον ἂν εἴη ἀδίκημα τρισαριστέα διαχρήσασθαι, ἢ πολλὰς προέσθαι τριήρεις· ὁμοίως[38] δὲ, κἂν ἐξ ἔθους ἢ φύσεως εἰλημμένη ἡ ἀντίληψις ᾖ, ὡς ἤδη καὶ ἡμῖν τετεχνολόγηται, καὶ τοῖς ἀρχαιοτέροις καλῶς ἔχειν ἔδοξεν, ὁ μὲν διώκων τὴν ἐξέτασιν τῆς πολιτείας ἢ τῆς φύσεως βεβαιωτικὴν τοῦ συλλογισμοῦ παραλήψεται, τοῦ δὲ ἀντιληπτικοῦ ὁ ἀπολογούμενος.[39]

κα΄. Τοῦτο πάλιν ὑπαιτίως εἶπεν· ἔφη γὰρ εἰ ἐμ-

---

33 τὰ πεπραγμένα Mon. om. 34 Mon. τρισαριστεύς τις ἄλλῃ. 35 Par. 1. ἐξείποι. 36 Mon. μετά. 37 Par. 1. ἐκεῖνο. Mon. ἐκείνως. 38 Mon. ὅμως. 39 Mon. addit: ἐπιχειρήσει δι᾽ ἐνθυμημάτων καὶ παραδειγμάτων συντεινόντων εἰς ἀπόδειξιν· quod est schol. minus ad vv. „καὶ ἐπιχειρήσει δηλαδή."

πίπτει, καὶ εἶπεν ὁ τεχνογράφος, ὅτι ἔχομεν καὶ νόμον καὶ ῥητὸν ἐν τῷ προβλήματι· ἀνάγκη τῇ διανοίᾳ λύεσθαι τὸ ῥητόν· ἡ μέντοι γνώμη τοῦ νομοθέτου, εἰ ἐμπίπτει, οὐ πρὸς τὸ ῥητὸν γίνεται, ἄλλο γάρ ἐστι γνώμη νομοθέτου καὶ ἄλλο ῥητόν· ἐμπίπτει δὲ ἡ γνώμη τοῦ νομοθέτου, ὅταν ἀπὸ νόμου λαμβάνηται ἡ ἀντίληψις· ἂν δὲ ἐξ ἔθους ἡ ἀντίληψις ᾖ, ἀντὶ τῆς τοῦ νομοθέτου γνώμης, ἐν ᾗ τὸ ἔθος ἐστὶν, ἐξεταστέον· ἂν δ' ἀπὸ φύσεως, τὴν φύσιν αὐτὴν καὶ τὰς ἐντεῦθεν ἀνάγκας, ὥστε μήποτε ἀργὸν ἡμῖν τὸν τοῦδε τοῦ κεφαλαίου γενέσθαι τόπον.

κβ'. Τοῦτο οὐ πάνυ ἀστείως εἴρηκε· νόμου γὰρ προκειμένου ἤτοι ῥητοῦ ἀνάγκη καὶ τὴν τοῦ νομοθέτου ψηλαφᾶσθαι γνώμην· ὁ μὲν γὰρ τῷ ῥητῷ, ὁ δὲ τῇ διανοίᾳ χρήσεται, ἥ ἐστιν ἡ τοῦ νομοθέτου γνώμη. ὥστε ῥητοῦ ἐμπεσόντος καὶ γνώμη ἐμπεσεῖται νομοθέτου, καὶ ὤφειλεν οὕτως εἰπεῖν, ῥητὸν νομικὸν, εἰ ἐμπίπτοι, ἀλλὰ μὴ γνώμη, ἀλλὰ κοινότερον τὸ ῥητὸν γνώμην ἐκάλεσε νομοθέτου, ἀπὸ τοῦ κυριωτέρου καὶ ποιητικοῦ καὶ αἰτίου τὸ ἀποτέλεσμα ὀνομάζων· καλῶς δὲ εἰ ἐμπίπτοι, οὐδὲ γὰρ ἀεὶ εὑρίσκεται· οὐδὲ γὰρ ἐφ' ἑκάστου τῶν ζητουμένων εὑρίσκεται νόμος, ἀλλ' οὐδὲ εἰ εὑρίσκοιτο, παντελῶς λυσιτελεῖ ἡμῖν· εἰ μὲν οὖν βλάπτοι, παραιτησόμεθα καὶ οὐκ ἐξετάσομεν, ἐμπίπτει δὲ τότε, ὅταν ὁ κατήγορος ἐν τῇ ἀντιλήψει ῥητὸν ἔχῃ προβάλλεσθαι, καθὸ κρίνει τὸν φεύγοντα, οἷον ὡς ἐπὶ τοῦ γεωργοῦ τοῦ τὸν υἱὸν ἀποκηρύττοντος· ἐν τούτῳ γὰρ διαβάλλοντος τοῦ παιδὸς τὴν ἀποκήρυξιν καὶ λέγοντος, ὡς ἐπ' ἄλλοις ἀποκηρύττειν ἐχρῆν, ὅταν ἀσελγαίνωσιν, ὅταν ὑβρίζωσιν, εὑρίσκεται νόμος ἐξ αὐτοῦ τοῦ πατρὸς προβαλλόμενος, ὅτι ἔξεστι τοῖς πατράσιν ἀποκηρύττειν τοὺς παῖδας· ἐμπεσόντος οὖν τοῦ νόμου τούτου ἐπὶ τὴν τοῦ νομοθέτου γνώμην ἀμφότεροι τρέψονται, πρὸς τὸ χρήσιμον ἑκάτερος· κοινὸν γὰρ ἀμφοῖν τὸ κεφάλαιον.

κγ'. Μετὰ τὴν τῆς γνώμης αἴτησιν εἰσάξει[40] ὁ κατηγορῶν τοιῶσδέ πως ἐπὶ τοῦ ζωγράφου· ἀλλ' εἴπερ μὴ δημοσίᾳ τὴν πόλιν ἀδικεῖν ἐβούλου, τίνος χάριν πρὸ τοῦ λιμένος ἔγραφες τὰ ναυάγια; μετὰ δὲ τὴν γνώμην εἰσάξει χρῶμα ἀντιστατικὸν ὁ φεύγων λέγων, ἀλλ' ὑπὲρ ὑμῶν[41] τε καὶ τῶν πλεόντων τὴν τοιάνδε πρὸ τοῦ λιμένος πεποίημαι γραφήν. ἵν' οἱ μὲν τοὺς χειμῶνας ὀῤῥωδοῦντες καὶ τὰ ναυάγια ἐν τοῖς προσήκουσι καιροῖς ναυτίλλοιντο· ἡ δὲ πόλις τὸν πλοῦν ἐκείνων ἐν τῷ δέοντι ποιουμένων μὴ τὰς ἐκ ναυαγίων ὀλοφύροιτο συμφοράς· καὶ λοιπὸν ἐκφράσει ἐνταῦθα τριηρῶν καταδύσεις, ναυτῶν ὄλεθρον καὶ τὰς ἐπὶ τούτοις τῶν οἰκείων συμφοράς· ἐπὶ τούτοις μετάληψις κινηθήσεται παρὰ τοῦ κατηγόρου δευτέρα, ὡς ἐνῆν ἑτέρῳ τρόπῳ[42] τῇ πόλει βοηθεῖν, συμβουλεύοντας, παραινοῦντας, τῶν ἀναγομένων ἐνίους ἰδίᾳ πείθοντας· ὁ δὲ φεύγων ἐπὶ ταῦτα πάλιν ἀντίληψιν κινήσει δευτέραν λέγων, ἀλλ' οὐδὲ εἷς κεκώλυκε νόμος, καὶ τὴν ἀπὸ τῆς τέχνης τῇ πόλει πορίζειν ἐπικουρίαν· ὅση γὰρ δύναμις ἑκάστῳ τῶν ἐνοικούντων, ταύτῃ βοηθεῖν ἐπάναγκες.

κδ'. Ἀπὸ τῶν κεφαλαίων τούτων, τῆς τε πηλικότητος καὶ τοῦ πρός τι, ὁ τόπος τῶν αὐξήσεων παραλαμβάνεται, καὶ ὅπως μὲν ταῦτα τὰ κεφάλαια γίνεται, ἐν τῷ ὅρῳ ἐγνώκαμεν· ἄξιον δὲ καὶ τοῦτο ζητῆσαι, εἰ ὥσπερ ὁ κατήγορος ἐπὶ τὸ μεῖζον τὸ ἔγκλημα φέρων τούτοις χρῆται τοῖς κεφαλαίοις, οὕτω καὶ ὁ φεύγων ἐπ' ἔλαττον ἄγων ταῦτα προβάλλεται· καὶ πῶς οἷόν τε τὸν καθάπαξ ἀδικεῖν μὴ[43] ὁμολογοῦντα τὸ ἔλαττον συγχωρεῖν, πρὸς ὅ φαμεν, ὅτι ἐπὶ μὲν τῶν ἄλλων ἀντιλήψεων, ὅταν μηδὲν ἐπισυμβῇ ἔξωθεν ἀδίκημα, ὁ μὲν διώκων ταῖς αὐ-

40 Mon. ἰσάζει ὁ. κατ. τοι ἐπιδέπως. 41 Mon. ἡμῶν, omisso sq. τῶν. 42 τρόπῳ Mon. om. 43 μὴ Mon. om.

ξήσεσι χρήσεται καὶ τοῖς κεφαλαίοις τούτοις, ὁ δὲ φεύγων οὐκέτι ταῖς μειώσεσιν, ἀλλὰ μηδὲν ἀδίκημα πάντη ἀγωνιεῖται εἶναι· ἐν αἷς δὲ ἐπισυμβέβηκέ τι, ἐν ταύταις ἡ μείωσις χώραν ἔχει. τοῦ γὰρ κατηγόρου πλεονάζοντος ταῖς αὐξήσεσι καὶ ἐκτραγῳδοῦντος τὸ ἐπισυμβεβηκὸς, ὁ μὲν [44] φεύγων βαρυνόμενος τῇ καταδρομῇ, ἐξ ἀνάγκης μειοῦν ἐπιχειρήσει, ὥσπερ ἐπὶ τοῦ ζωγράφου· ἐρεῖ γὰρ, ὅτι οὐδὲν μὲν ἠδίκησεν αὐτὸς, ἄλλως τε καὶ οὐδὲ μέγα τὸ γεγονός.

κέ. Ἡ πηλικότης καθάπερ ἐπὶ τῆς ὁρικῆς στάσεως μετὰ τὴν τοῦ νομοθέτου γνώμην παραλαμβάνεται, τὸ ὑποκείμενον ἔγκλημα αὔξουσα καθ᾽ αὐτό· τὴν δὲ κατὰ τὸ πηλίκον αὔξησιν ἐκ τῶν περιστατικῶν λαμβάνομεν, καθάπερ ἐν τῷ ὅρῳ δεδήλωται. τὴν γὰρ πᾶσαν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ἐξέτασιν ἐνταῦθα ποιητέον· τοῦτο δέ φησιν αὐτὸ τὴν προβολὴν, ἐν ἐκείνῃ γὰρ διηγηματικῶς μετὰ βραχείας αὐξήσεως τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους λαμβάνεται. Ἰστέον δὲ, ὡς τοῖς αὐξητικοῖς κεφαλαίοις, τῇ πηλικότητι δηλαδὴ καὶ τῷ πρός τι, ἐπὶ μὲν τῆς ὁρικῆς στάσεως ἑκάτερον τῶν μερῶν χρῆται, αὔξοντος μὲν τοῦ κατηγόρου, τοῦ δὲ φεύγοντος ἐπὶ τὸ μεῖον ἄγοντος· ἐπὶ δὲ τῆς ἀντιλήψεως ἐκ μονομεροῦς ὁ διώκων· γελοῖον γὰρ ἂν εἴη, τὸν φεύγοντα μειοῦν καὶ τὸ ἀδίκημα μικρὸν ἀποφαίνειν, δέον μὴ προσίεσθαι ὅλως, ὅπερ αὐτῷ παρέχεται ἡ ἀντίληψις· τὴν γὰρ ἐξουσίαν προβάλλεται τὸ ὅλως ἠδικηκέναι διακρουόμενος· ἐν μὲν οὖν [45] τῷ ὅρῳ ἅτε καὶ τοῦ φεύγοντος ὁμολογοῦντος [46] ἔλαττον μὲν, ἠδικηκέναι δὲ ὅμως, εἰκότως τὰ μειωτικὰ παραλαμβάνεται, οἷον ἐπὶ τοῦ κρινομένου ἱεροσυλίας ἐπὶ τῇ τῶν ἰδιωτικῶν ὑφαιρέσει χρημάτων· τοῦ γὰρ κατηγόρου φάσκοντος ταὐτὸν εἶναι,

---

44 μέν. Mon. om. 45 οὖν Par. 1. om. 46 ὁμολογοῦντος Mon. om.

ἄν τέ τις ἰδιωτικὰ ἐξ ἱεροῦ, ἄν τε ἱερὰ ὑφέληται χρήματα, τὸ κλέπτης εἶναι ὁμολογῶν ὁ φεύγων μειώσει τε[47] *καὶ ἔλαττον ἀποφανεῖ τὰ ἰδιωτικὰ ὑφελέσθαι χρήματα τοῦ ἅψασθαι τῶν ἀναθημάτων. ἐπὶ δὲ τῆς ἀντιλήψεως, ἔνθα μηδὲ ὅλως ὁμολογεῖται ἀδίκημα, πῶς ἂν ἔχοι τινὰ χώραν ἡ μείωσις;*

Τὸ πρός τι[48] *συγκριτικόν ἐστι κεφάλαιον, ὅτι μεῖζον τὸ πεπραγμένον, ἢ ἃ προβάλλεται ὁ φεύγων· λέγω δὴ τοῦ ναῦς προδοῦναι καὶ τείχη καὶ συμμάχους μεῖζον τὸ ἐν σπάνει τῶν ἀναγκαίων καταστῆσαι τὴν πόλιν· οὐκ ἐν πάσαις δὲ ταῖς ἀντιλήψεσιν ὁμοίως ἰσχύει τὸ κεφάλαιον, ἀλλ' ἐν αἷς ἐπισυμβέβηκέ τι· ἐν αἷς δὲ μὴ αὐτὸ καθ' ἑαυτὸ τὸ πεπραγμένον ἄτοπον*[49] *εἶναι δοκῇ,*[50] *μηδὲ ἐπισυμβεβηκὸς ἄτοπον, παντελῶς ἐξασθενεῖ τὸ κεφάλαιον, ὡς*[51] *ἐπὶ τοῦ φιλοσοφοῦντα τὸν υἱὸν ἀποκηρύττοντος ἄτοπον, εἰ παραβάλλοι τῷ μεθύοντι καὶ κυβεύοντι καὶ τὰ πατρῷα κατεδηδοκότι, καὶ ἐπὶ τοῦ Ἀλκιβιάδου τοῦ γράψαντος ἐν ἐκπώμασι τὰ περὶ Σικελίαν οὐ δύναται λέγειν ὁ κατήγορος, ὅτι μεῖζον τὸ γράψαι τοῦ προδοῦναι τὸ φρούριον. Ἕπεται, φησὶ, τούτοις τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους· αὔξων γὰρ τὴν ἀδικίαν ὁ κατήγορος τῶν πεπραγμένων ἅπτεται· τὸ οὖν ἐπὶ τούτοις ἐξηγητέον ἐν τούτοις· ἐν αὐτῇ γὰρ τῇ πηλικότητι καὶ τῷ πρός τι τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἐστὶν ἡ ἐξέτασις.*

κϛ'. Μετὰ τὴν πηλικότητα ἀκόλουθος ἡ κατὰ τὸ πρός τι ἐξέτασις, πρότερον γὰρ καθ' αὑτὸ διὰ τῆς πηλικότητος τὸ ὑποκείμενον αὐξήσαντες ἀδίκημα, οὕτω καὶ πρὸς τὰ μείζω παραβαλοῦμεν ἀντεξετάζοντες καὶ δεικνύν-

---

47 Mon. *μειώσηται καὶ ἔλ. ἀποφανῇ.* 48 *τὸ πρός τι* sqq. usque ad litt. *κϛ'.* inter sch. min. habent Parr. 49 *ἄτοπον* Par. 1. om. 50 Par. 1. *δοκεῖ.* 51 *ὡς* Mon. om.

τες, ὡς εἴη δεινότερον. καὶ τούτῳ δὲ τῷ κεφαλαίῳ μονομερῶς ὁ κατήγορος χρῆται, καθάπερ τῇ πηλικότητι, καὶ ἡ αἰτία πρόκειται· οὐ γὰρ ἔχει λόγον [52] ἐνταῦθα ἡ τοῦ φεύγοντος μείωσις τῷ μὴ προσίεσθαί τι ὅλως ἀδίκημα· ἔτι ζητητέον, εἰ τῶν ἀεὶ ἐμπιπτόντων τὸ κεφάλαιον, καί φαμεν, ὡς ὃν τρόπον ἐν τῷ ὅρῳ τὴν κατὰ τὸ μεῖζον αὔξησιν οὐκ ἀεὶ χώραν ἔχειν ἐφάσκομεν, ἀλλ' ἐπειδὰν ᾖ μὴ πάνυ ἀποδέον τοῦ παρειμένου τὸ πεπραγμένον, τοῦτον κἀπὶ τῆς ἀντιλήψεως, ὅταν μὲν τῶν κατὰ ἀντιπαράθεσιν εἰσφερομένων ἐγκλημάτων μὴ σφόδρα ἧττον ᾖ τὸ κρινόμενον, ἐμπεσεῖται τὸ πρός τι, ἡ κατὰ τὸ μεῖζον σύγκρισις, ὅταν δὲ ἄγαν ἔλαττον, τηνικαῦτα ἐξίσταται οὐ τὸ κεφάλαιον παντελῶς, ἀλλ' ἡ κατὰ τὸ μεῖζον ἐξέτασις· ἐπὶ τῶν τοιούτων γὰρ οὐ μεῖζον ἀλλ' ἴσον αὐτὸ ἀποφαίνειν ἀποπειρώμεθα, ὡς ἐπὶ τοῦδε τοῦ παραδείγματος· Ἀλκιβιάδης ἐν ἐκπώμασι φέρων τὰ περὶ Σικελίαν κρίνεται δημοσίων ἀδικημάτων. ἐπεὶ γὰρ ἀπίθανον τὸ λέγειν, ὡς εἴη [53] μεῖζον τὸ φέρειν ἐπὶ τῶν ἐκπωμάτων τὰ περὶ Σικελίαν τοῦ τείχη καθελεῖν ἢ ναῦς προδοῦναι, χρὴ πρότερον διὰ τῆς πηλικότητος αὐξήσαντα [54] τηνικαῦτα ἴσον ἐκείνοις ἀποφαίνειν· καὶ μετὰ τοῦτο ἴσως ἂν καὶ ἡ κατὰ τὸ μεῖζον παράθεσις χώραν λάβοι, ὡς πολὺ δεινότερον τό γε ὑπὸ σοῦ τοιαῦτα παροινεῖσθαι τοῦ τριηρῶν ἀφαιρεθῆναι τὴν πόλιν ἢ περιβόλων· τοῦτο δὲ οὐκ ἐγγυμναστέον, ἀλλ' ὅσον ἐφάψασθαι καὶ θᾶττον παραδραμεῖν· ἀλλὰ τὸ μὲν σαφῶς ἐν τῷ ὅρῳ δεδήλωται· ἐκείνῳ δὲ μάλιστα τὸν νοῦν προσεκτέον, ὅτι γε διῃρημένου τοῦ παντὸς ἀγῶνος κατά τε τὸ πρόσωπον καὶ κατὰ τὸ πρᾶγμα, καὶ τοῦ μὲν πράγματος ἐν τῷ ὅρῳ, φημὶ τῷ κεφαλαίῳ, καθεστῶτος, τοῦ δὲ προσώπου τῷ ὁμωνύμῳ κεφαλαίῳ, τουτέστι τῷ προσώπῳ, διπλῆν ἔχει

---

52 Mon. λέγειν. 53 Mon. εἴ τι. 54 Mon. αὐξήσεται την. ἴσον ἐν ἐκείνοις.

ἔχει ἐξέτασιν καὶ τὰ πρὸς ἐκεῖνα φερόμενα κεφάλαια, ἅπερ ἐστὶν ὁ συλλογισμὸς καὶ ἡ πηλικότης καὶ ἔτι τὸ πρός τι· πῆ μὲν γὰρ κατὰ τὸ πρόσωπον συλλογίσασθαι χρὴ, πῆ δὲ κατὰ τὸ πρᾶγμα, καὶ ἔτι τὴν αὔξησιν διχῆ κατά τε τὸ πρόσωπον καὶ τὸ πρᾶγμα ἐξεργαστέον· οἷον ἐπὶ τοῦ ζωγράφου τοῦ κρινομένου δημοσίων· πρῶτον μὲν γὰρ τῷ προσώπῳ χρώμενος ὁ φεύγων ἐρεῖ, μὴ δεῖν ζωγράφον[55] κρίνεσθαι δημοσίων, ἀλλὰ στρατηγὸν ἢ ῥήτορα καὶ ἐφ' οὓς ἂν ἔρχηται τὰ δημόσια· ἔπειτα τῷ ὅρῳ, ὡς οὐδὲ δημοσίων ἐχρῆν ἐπὶ τούτῳ κρίνεσθαι. δημόσια γάρ ἐστιν ἀδικεῖν τὸ καθελεῖν τεῖχος ἢ ἐξενεγκεῖν ἀπόῤῥητα, πρὸς ἄμφω οὖν ὁ κατήγορος διὰ τῶν ἐφεξῆς τριῶν ἀπαντήσει κεφαλαίων· πρῶτον μὲν τῷ συλλογισμῷ· κατὰ μὲν τὸ πρόσωπον, ὅτι οὐδὲν διαφέρει, ἄν τε ὑπὸ ζωγράφου, ἄν τε ὑπὸ στρατηγοῦ, ἄν τε ὑπὸ ῥήτορος ἀδικῆται· κατὰ δὲ τὸ πρᾶγμα, ὅτι ταὐτόν ἐστιν ἀδίκημα τῇ πόλει τὸ καθελεῖν τεῖχος καὶ διὰ πινακίου γραφῆς τοὺς ἐμπόρους ἐλαύνειν· ἀδικήματα γὰρ ἄμφω· ἔπειτα πηλικότητα, ὅτι μέγα τὸ ἀδίκημα· τὴν δὲ αὔξησιν κατὰ τὸ πρόσωπον ὁμοίως καὶ κατὰ τὸ πρᾶγμα ληψόμεθα, ὅτι τε ὑπὸ ζωγράφου τινὸς ἠδικήμεθα, καὶ ὑφ' ἑνὸς ἰδιώτου εἰς ἔσχατον ἡ πόλις ἅπασα ἐμβέβληται κίνδυνον· καὶ ἐκ τοῦ πράγματος, ὡς μέγα τὸ γεγονὸς, τῶν γὰρ ἀναγκαίων σπανίζοντες λιμῷ τάχα ἂν ἅπαντες διαφθαρείημεν· ἐν δὲ τῷ πρός τι καὶ μεῖζον ἀποφανοῦμεν, ὅτιπερ αἴσχιον ὑπὸ ζωγράφου ταῦτα παθεῖν ἢ ὑπὸ στρατηγοῦ, τηνικαῦτα μὲν γὰρ κακῶς ἐπεπόνθαμεν μόνον, νῦν δὲ καὶ μεγάλην αἰσχύνην ὠφλήκαμεν, καὶ ὅτι τῷ στρατηγῷ ἱκανὰ τὰ πρὸς ἀπολογίαν εὑρίσκεται, ἔκ τε τῆς τῶν κοινῶν διοικήσεως, οἷον ὅτι γνώμης ἥμαρτεν ἄνθρωπός γε ὢν καὶ περὶ τὴν διοίκησιν προσέπαισε τῶν κοινῶν· τῷ δὲ ζωγράφῳ τούτων μέτεστιν οὐδε-

---

55 Mon. γράφειν.

νός, ἀλλὰ δῆλός ἐστιν ἐξ ἐπιβουλῆς ἐλθὼν ἐπὶ τὸ κοινὸν ἀδίκημα. κατὰ μὲν τὸ πρόσωπον οὕτως· κατὰ δὲ τὸ πρᾶγμα, ὅτι πολὺ δὴ μεῖζον τοῦ προδοῦναι τριήρεις ἢ τείχη κατασκάψαι τὸ τὴν πόλιν ἐν σπάνει καταστῆσαι τῶν ἀναγκαίων, αἱ μὲν γὰρ νῆες καὶ τὰ τείχη κἂν ἀντικτηθεῖέν ποτε, ἡ δὲ τῶν ἀναγκαίων σπάνις αὐτὰ καταλύει καὶ διαφθείρει τὰ σώματα. [56] καὶ τοσαῦτα μὲν, ὅτι διπλῇ τῇ τούτων ἐξετάσει χρηστέον· ἐπεὶ δ' ἐφάσκομεν μὴ τῶν ἀεὶ ἐμπιπτόντων εἶναι τὸ κεφάλαιον, [57] τὸ πρόσωπον ἢ τὸν ὅρον, ἐπειδὰν τούτων θάτερον ἐκλείπῃ, συνεξίσταται δηλονότι καὶ [58] ἡ κατ' αὐτὸ τῶν προκειμένων τριῶν κεφαλαίων ἐξέτασις.

κζ΄. Μετὰ τὸ πρός τι, φησὶν, ἀναλαβεῖν προσήκει τὴν προβολήν· τοῦτο γάρ ἐστι τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους. ἐπὶ γὰρ τοῖς αὐξητικοῖς παραλαβεῖν αὖθις τὰ πεπραγμένα δεῖ, ἵνα ἔχοιεν, ἐφ' ὅτῳ αἱ αὐξήσεις ἐρείδοιντο. ὁ μέντοι Μινουκιανὸς διαφέρεται πρὸς τὸν τεχνικὸν περὶ τῆς τοῦ κεφαλαίου τάξεως· ὅς γε [59] τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, φησὶν, ἐκ τῶν περιστατικῶν λαμβάνεται, καὶ ἡ μετάληψις δὲ οὐχ ἑτέρωθεν· μεταλαμβανόμεθα γὰρ τῶν περιστατικῶν, ὧν ἂν ἡμῖν διδῷ ἡ ὑποκειμένη παράστασις· τῆς οὖν μεταλήψεως ἐξ ἀνάγκης τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους συναναλαμβάνεται.

κή. Ἰστέον, ὅτι καὶ τὰ ἀντιληπτικὰ προβλήματα κατὰ τέσσαρας γίνονται τρόπους, κατὰ νόμους καὶ ἔθος, κατὰ φύσιν καὶ κατὰ τέχνην· κατὰ νόμον μὲν ὡς ἐκεῖνο, τρισαριστέα τις μοιχὸν καταλαβὼν ἀπέκτεινε καὶ φόνου φεύγει, τὸν γὰρ νόμον φησὶ τὴν ἐξουσίαν δεδωκέναι. κατὰ ἔθος, ὡς μετὰ τὰ ἐν Χαιρωνείᾳ Φίλιππος ἀπέστειλε πρὸς Ἀθηναίους, αἵρεσιν διδοὺς ἢ τοὺς δισχιλίους λαβεῖν

---

56 Par. πρόσωπα. 57 τὸ κεφάλαιον Mon. om. 58 καὶ Mon. om. 59 Mon. οἵγε. Par. ὅσγε.

αἰχμαλώτους, ἢ τοὺς χιλίους νεκροὺς ἀνελέσθαι πρὸς ταφήν· ἔπεισε Δημοσθένης ἑλέσθαι τοὺς νεκρούς. ἀπέκτεινε Φίλιππος τοὺς χιλίους ζῶντας, καὶ κρίνεται δημοσίων ἀδικημάτων ὑπὸ Αἰσχίνου· ἔθος γὰρ ἦν παρ' Ἀθηναίοις τοὺς βουλομένους παριέναι καὶ συμβουλεύειν τὰ δοκοῦντα, ὡς ὁ Δημοσθένης φησίν· „ἐβόα μὲν ὁ κῆρυξ, τίς ἀγορεύειν[60] βούλεται, παρῄει δὲ οὐδείς." κατὰ τέχνην· οἷον ζωγράφος πρὸ τοῦ λιμένος ναυάγια ἔγραψε καὶ μηδενὸς πλέοντος κρίνεται δημοσίων ἀδικημάτων. ἄδειαν γὰρ αὐτῷ τοῦ γράφειν, ἃ βούλοιτο, φησὶν δεδωκέναι τὴν τέχνην. κατὰ φύσιν, ὡς Αἰσχίνης μετὰ τὰ ἐν Χαιρωνείᾳ ἕπεται Δημοσθένει[61] δακρύων καὶ κρίνεται ὑπ' αὐτοῦ ὕβρεως· φύσις[62] γὰρ ἀνθρώπῳ,[63] φησὶ, τῶν δακρύων τὴν ἐξουσίαν χορηγεῖ.

κϑ'. Πρὸς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, φησὶν, ἡ ἀντίληψις φέρεται, καθάπερ κἀν τῷ στοχασμῷ· καὶ γὰρ ἐκεῖ τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους τοῦ διώκοντος χρωμένου, ἀντιλαμβάνεται ὁ φεύγων ἐξουσίας τινὸς, καὶ ὅλως ὅσα περὶ τῆς ἐργασίας τοῦ ἀντιληπτικοῦ λέγειν ἐνῆν, ἐν τῷ στοχασμῷ προδιήνυσται· χρὴ δὲ τὴν ἀντίληψιν[64] μὴ γυμνῶς καὶ ἀναφανδὸν οὕτως εἰσφέρειν, τυραννικῶς τῆς ἐξουσίας ἀντιλαμβανομένους, ἀλλὰ πλαγίως μετά τινος προσχήματος, οἷον ὅτι οὐ δικαίως ὁ κατήγορος τοσοῦτον πλῆθος ἐρείδει τῶν κατ' ἐμοῦ λόγων μηδενὶ συμφερόμενος νόμῳ, ἀλλ' αὐτοκράτορι παῤῥησίᾳ ταῦτα μεμφόμενος καὶ κρίνειν ἀξιῶν ἐπὶ τούτοις, ἐφ' οἷς μηδεὶς κεκώλυκε νόμος· οὐκ ἀρκέσει δέ γε τοῦτο πρὸς τὸ θεραπεῦσαι τὴν ἀντίληψιν τραχεῖάν τε καὶ τυραννικὴν φαινομένην, ἀλλ' ἔτι καὶ κατὰ μίαν τῶν ἀντιθετικῶν πάν-

---

60 Par. 2. ἀπαγορεύειν. — pro cor. p. 285. 61 Mon. δημοσίων (ις). 62 Mon. φύσει. Par. 1. φύσει. 63 Mon. ἀνωφελῆ. omisso φησί. 64 Mon. τῆς ἀντιλήψεως.

τως εἰσενεχθήσεται, ὡς μικρὸν ὕστερον ἐπὶ τῆς ἀντιθέσεως,[65] φημὶ τοῦ[66] μετὰ τὴν ἀντίληψιν κεφαλαίου, εἰσόμεθα, ἐπεὶ οὐδὲ ἐκεῖνό με λέληθεν, ὥς τινες τῶν ἀξιολογωτάτων, οἷς προσεκτέον, οὐδὲ τὴν ἀντίθεσιν ἐπισυμπλεκομένην ἐξαρκεῖν ὑπειλήφασιν, ἀλλὰ μετά τινος, φησὶ, προθεραπείας[67] καὶ οἱονεὶ προκαταστάσεως εἰσενεκτέον τὸ ἀντιληπτικόν· τῆς γὰρ ἀντιλήψεως τριχῆ λαμβανομένης κατὰ νόμον, ἢ κατὰ ἔθος, ἢ κατὰ φύσιν, εἰ κατὰ νόμον λαμβάνεται, τὸν νόμον αὐτὸν πρότερον ἐγκωμιάσαι χρὴ, ὅτι φιλάνθρωπος καὶ τῆς πολιτείας εὖ μάλα προνενοημένος, καὶ μετὰ τοῦτο ἐπὶ τὴν ἐκείνου χωρεῖν ἐξουσίαν κατὰ τὸ ἀντιληπτικόν. εἰ δὲ κατὰ τὸ ἔθος ἡμῖν ἡ ἀντίληψις ᾖ, τὴν πολιτείαν πρότερον ἐπαινέσαι, ἐφ᾽ ἧς ἔχομεν τὸ ἔθος, εἰ δὲ κατὰ φύσιν παραλαμβάνεται ἡ ἀντίληψις, τηνικαῦτα τὰς ἐκ τῆς φύσεως ἀνάγκας ἀναθεωρεῖν καὶ ταύτας προεκτιθέναι μετ᾽ ἐγκωμίων, εἶθ᾽ οὕτως ἐμβάλλειν ἐπὶ τὴν ἀντίληψιν, ὅπως μὴ τῶν νόμων τοὺς ἀδικωτέρους ἢ τὰ τῶν ἐχθρῶν χείρω ἢ τῆς φύσεως τὰ ἡμαρτημένα δοκῶμεν ἐκλέγεσθαι, ἀλλ᾽ ἐκ τῶν ἐγκωμίων ἐπὶ ταῦτα τὸν δικαστὴν πρότερον καταστήσαντες τὴν ἀντίληψιν ἐπενέγκωμεν· ὅτι δὲ μετὰ ταύτην μίαν τῶν ἀντιθετικῶν παραληψόμεθα, ῥωννύντες ἑκατέρωθεν τῆς ἀντιλήψεως τὸ τυραννικὸν, εἴρηται.

Τῇ ἀντιλήψει[68] ἕπεται ἡ μετάληψις πάντως· ὡς γὰρ ἔφαμεν, πᾶσα ἀντίληψις μεταλήψει λύεται· γίνεται δὲ ἡ μετάληψις πρὸς τὴν πρᾶξιν, ὥσπερ ἐπὶ τοῦ τρισαριστέως μοιχὸν ἀποκτείναντος, χρωμένου γὰρ τῇ ἀντιλήψει τοῦ φεύγοντος, ὅτι ἐξῆν[69] μοι, ὁ κατήγορος μετα-

65 Par. 1. ἀναθέσεως. 66 Mon. τῆς. 67 Mon. Par. 2. θεραπείας. Par. 1. προθεραπείας. 68 Parr. τῇ ἀντιλήψει et sqq. usque ad ἅμα δὲ κατασκευάσει καὶ θέσιν inter schol. minora referunt: et litt. λ′ in contextu majorum incipit a: τοῦτό ἐστι τὸ κεφάλαιον. 69 Mon. ἐν τῷ μοι.

λαμβάνων φησὶν ἐν στάσει μὲν, ὅτι οὐκ ἔξεστιν, εἶτα ἀντιπαραστάσει, ὅτι εἰ καὶ ἔξεστιν, οὐκ ἀριστέα φονεύειν ἐχρῆν· εἴπομεν γὰρ, ὅτι πᾶσα μετάληψις κατὰ ἔνστασιν καὶ ἀντιπαράστασιν εἰσάγεται, καλῶς δὲ τὸ εἰ ἐγχωρεῖ· δοκεῖ γὰρ ἀναίσχυντον τὸ ἄντικρυς λέγειν, ὅτι οὐκ ἔξεστι φανερᾶς οὔσης τῆς ἐξουσίας, καὶ μάλιστα ἐπὶ τῆς κατὰ νόμον ἐξουσίας· ἐνταῦθα γὰρ μετὰ τὴν τοῦ νόμου ἀνάγνωσιν ἄπορος ἡ τῆς ἐνστάσεως χρῆσις· τότε γὰρ ἀναιδὲς ἀντιφθέγγεσθαι τῷ νόμῳ, μετριώτερον δὲ τῇ ἀντιπαραστάσει χρήσασθαι.

λ΄. Ἡ ἀντίληψις αὕτη μετὰ κατασκευῆς τίθεται τοῖς ἀπὸ τοῦ νόμου ἔχουσα τὴν ἐξουσίαν, διδοῦσα πράττειν ὅ τι ἂν βούλοιτο, εἰ ἐγχωροίη δὲ εἶπεν, ἐπειδὴ τῇ ἀπὸ νόμου καὶ τῇ ἀπὸ φύσεως ἀντιλήψει οὐ δυνατὸν ἀντιθεῖναι τὴν ἔνστασιν, ἀναιδὲς γάρ· τῇ ἀπὸ ἔθους δὲ καὶ ἀπὸ τέχνης δυνατὸν, ἡ δὲ ἀντίληψις αὕτη πρὸς τὴν μετάθεσιν κεῖται· ἅμα δὲ κατασκευάσει καὶ θέσιν. Τοῦτό ἐστι τὸ κεφάλαιον τὸ γνωρίζον τὴν στάσιν, τοῦ γὰρ κατηγόρου πολλῇ χρησαμένου καταφορᾷ ἐν τοῖς ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, ὁ φεύγων εὐθέως τὴν ἀντίληψιν προβάλλεται, τὴν ἐξουσίαν προφέρων· οὐχ ὡς ἔτυχε δὲ τούτῳ τῷ κεφαλαίῳ χρηστέον, ἀλλὰ μετά τινος μεθόδου· τυραννικὸν γὰρ ἄντικρυς λέγειν, ὅτι ἐξῆν μοι τοιαῦτα διαπράξασθαι, ἐφ᾽ οἷς ὡς ἀδικήμασι κρίνεται· ἄτοπον γὰρ ἀκμάσαντος τοῦ κατηγόρου ἐν ταῖς αὐξήσεσι καὶ καταδραμόντος λέγειν, ὅτι ἐξῆν μοι· ἀλλ᾽ ἐὰν ἀπὸ νόμου ἡ ἐξουσία τυγχάνῃ,[1] ἐρεῖ ὁ φεύγων, ὅτι εἰ μὲν ἄδειαν μὴ παρεῖχεν ὁ νόμος, καλῶς ἂν ἡ κατηγορία εἶχεν· ἐπειδὴ δὲ ἃ τοῖς νόμοις δοκεῖ, ταῦτά μοι πέπρακται, τίνα λοιπὸν χώραν ἔχει ἡ κατηγορία, ἄλλως τε οὐκ ἐμοῦ κατηγορεῖ μᾶλλον, ἢ τοῦ τεθεικότος τὸν νόμον· καὶ τὴν πολιτείαν διαβάλλει τὴν τῷ νόμῳ χρωμένην· καὶ τούτῳ

1 Mon. τυγχάνει.

τῷ τρόπῳ καὶ ἐπὶ τῶν ἄλλων εἰδῶν τῆς ἀντιλήψεως χρῆσθαι δυνήσεται, ὅτι ταῦτα μὲν, ἅ φησιν ὁ κατήγορος, εἰ μὴ συγκεχώρηται, ἴσως εἶχε χώραν ἡ καταδρομὴ, νῦν δὲ περιττῶς τοσούτῳ πλήθει λόγων πρὸς τὴν κατηγορίαν κέχρηται τῶν νόμων ἢ τῶν ἐθῶν ἢ τῆς φύσεως συγκεχωρηκότων.

λά. Φέρεται ἐξ ἀνάγκης ἡ μετάληψις ὑπὸ τοῦ κατηγόρου πρὸς τὴν ἀντίληψιν, πᾶσα γὰρ [2] ἀντίληψις μεταλήψει λύεται, καὶ καθάπαξ ἀντιπαρίστανται ἄμφω· ἔνθα γὰρ ἂν εὑρεθῇ ἡ ἀντίληψις, ἀντικειμένην πάντως τὴν μετάληψιν ἔχει. χρηστέον δὲ, φησὶ, τῇ μεταλήψει κατὰ ἔνστασιν καὶ ἀντιπαράστασιν· κατὰ ἔνστασιν δὲ, φησὶν, ὅταν ἐγχωρῇ, πότε δὲ χώραν ἡ ἔνστασις ἔχει καὶ πότε ἐκλείπει προσδιασαφῆσαι χρεών· ὅταν μὲν οὖν σαφῶς τι καὶ διαῤῥήδην ὁ νόμος ἀγορεύῃ, καὶ τοῦτο ὁ φεύγων ἐν τῇ ἀντιλήψει παρέχηται, τηνικαῦτα παραιτητέον τὴν ἔνστασιν· ἡ γὰρ πρὸς τὰ ὁμολογούμενα μάχη καὶ ἔνστασις ἀπίθανος οὐ ῥητορική· οἷον εἰ νόμος κελεύοι, [3] πάντα μοιχὸν ἀναιρεῖσθαι, εἶτα τρισαριστέα τινὰ μοιχὸν διαχρησαμένου τινὸς λέγοιμεν, ὡς μάλιστα μὲν οὐδὲ ἐξῆν μοιχὸν ἀναιρεῖν, βιαιότατόν ἐστι τὸ λεγόμενον· τούτῳ γὰρ φανερός ἐστι τῷ νόμῳ διαπληκτίζεσθαι· ὅταν δὲ μὴ φανερός τι ᾖ νόμος περὶ [4] τοῦ κρινομένου, τηνικαῦτα καὶ τῇ ἐνστάσει χρησόμεθα· οἷον νέος πλούσιος ὑποπτευθεὶς τυραννήσειν τὴν ἑαυτοῦ πᾶσαν οὐσίαν ἐξαργυρώσας κατεπόντισε καὶ κρίνεται βλάβης εἰς τὸν δῆμον· τοῦ γὰρ φεύγοντος τῶν νόμων ἀντιλαμβανομένου, ὡς τῶν ἰδίων ἕκαστον κύριον καθιστῶσιν, ὁ διώκων πάλιν ἐνστάσει χρήσαιτο ἂν διὰ τὸ ἀσαφὲς καὶ ἀόριστον τῶν νόμων, μάλιστα μὲν οὐδὲ κύριός ἐστι τῆς

---

2 πᾶσα γὰρ ἀντίληψις — — τὴν μετάληψιν Mon. om. 3 Mon. κελεύει. 4 Mon. παρά. Par. 2. περί.

ἑαυτοῦ βουλήσεως ἕκαστος, οὐδὲ τῶν χρημάτων, ἀλλ᾽ ὅπως ἂν οἱ νόμοι ἐπιτρέπωσιν, οὕτω χρηστέον καὶ ἡμῖν αὐτοῖς καὶ τοῖς χρήμασιν· ἔπειτα εἰ καὶ ὅλως ἔδει κατὰ τὸ αὐτόνομον χρῆσθαι, ἐπὶ καλῷ γοῦν ἔδει τῆς πολιτείας, κἂν ἐξ ἔθους δὲ ἢ φύσεως λαμβάνοιτο ἡ ἀντίληψις, τοῖς ὁμολογουμένοις οὐκ ἐνστησόμεθα· ἢν δέ τι που διχοῤῥεπὲς ᾖ, καὶ κατὰ τὴν ἔνστασιν ἀγωνιούμεθα.

λβ΄. Ἐπὶ τούτου, φησὶν, ἐπὶ τοῦ ζωγράφου, ἀντιστατικὴ γάρ ἐστιν, ἐπὶ δὲ τοῦ τρισαριστέως ἀντεγκληματικὴ, μετὰ δὲ τὴν μετάληψιν ἕπεται ἀντιθετικὸν ὑπὸ τοῦ φεύγοντος προβαλλόμενον· τοῦ γὰρ κατηγόρου χρησαμένου τῇ μεταλήψει καὶ εἰπόντος ἐν τῇ παραστάσει, ὅτι ἀλλ᾽ οὐ τρισαριστέα δίδωσιν ὁ νόμος [5] ἀναιρεῖν, ὁ φεύγων τὸ ἀντιθετικὸν προβαλλόμενος ἐρεῖ, ὅτι δικαίως ἀνῄρηται· τί γὰρ ὑπῆρχε μοιχῷ· καὶ τῷ κατηγόρῳ δέδωκε τὴν ἄδειαν τῆς καταφορᾶς, καὶ κοινὸν τόπον κατὰ μοιχείας ἐρεῖ. Ἰστέον δὲ, ὅτι ἡ ἀντίθεσις ἢ ἀντιστατικὴ ἢ ἀντεγκληματικὴ ἐν [6] ἀντιλήψει εὑρίσκεται· μεταστατικὴ δὲ ἢ συγγνωμικὴ οὔ· ἐναντίαν γὰρ φύσιν ἔχει ταῦτα τῇ ἀντιλήψει· οὐδεὶς γὰρ τὴν ἐξουσίαν προβαλλόμενος ἐφ᾽ οἷς ἔπραξε συγγνώμην αἰτεῖ.

λγ΄. Ἐπὶ τῆς ἀντιλήψεως ἐφάσκομεν τὸ ἀπ᾽ αὐτῆς τυραννικὸν κατὰ μίαν χρῆναι θεραπεύειν τῶν ἀντιθετικῶν· οἷον ἢ ἀντεισφέροντα ἕτερον εὐεργέτημα ἐκ τοῦ δοκοῦντος ἀδικήματος, ὅπερ ἐστὶ κατὰ ἀντίστασιν, ἢ παραιτουμένους συγγνώμην [7] ἢ μεθιστάντας τὴν αἰτίαν ἐφ᾽ ἕτερον, ὧν τὸ μὲν συγγνώμης, τὸ δὲ μεταστάσεως, ἢ ἀντεγκαλοῦντα τῷ πεπονθότι, ὡς ἀξίῳ παθεῖν ὃ πέπονθε. Κατὰ γοῦν τὸν τεχνικὸν πάντως κατὰ μίαν τούτων εἰσενεχθήσεται ἡ ἀντίληψις· οὐ γὰρ δὴ προσεκτέον Μινουκιανῷ εἰπόντι, ποτὲ μὲν ἐμπίπτειν ἀντιθετικὴν, ποτὲ

5 Mon. οἱ νόμοι. 6 Mon. ἐν om. 7 Mon. ἢ παραιτουμένη συγγνώμη, ἢ μεθιστάντα αἰτίαν ὑφ᾽ ἑτέρου.

δὲ γυμνὸν καθεστάναι τὸ ἀντιληπτικὸν ἀντιθέσεως· ἀεὶ γὰρ, ὡς ἔφην, κατὰ μίαν τῶν ἀντιθετικῶν προϊέναι χρὴ τὴν ἀντίληψιν, εἴπερ μέλλοιμεν παραδεχθῆναι ὑπὸ τῶν δικαστῶν· ἀναγκαῖον δὲ καθ᾽ ἑκάστην ἀντίθεσιν δοῦναι ἀντιλήψεως παραδείγματα· ἔστι τοίνυν κατὰ ἀντίστασιν μὲν ἀντιλήψεως παράδειγμα ὁ ζωγράφος, ὁ δημοσίων ἀδικημάτων κρινόμενος, ἐφ᾽ ᾧ πρὸ τοῦ λιμένος γράψας ἐξέθηκε τὰ ναυάγια, τῇ γὰρ ἀντιστάσει χρώμενος ἐρεῖ τι καὶ εὐεργετηκέναι τὴν πόλιν ἐντεῦθεν· τοὺς γὰρ πλέοντας δεδιδαχέναι, μὴ παρὰ καιρὸν ἐπιχειρεῖν τῇ θαλάττῃ, ὡς ἀναγκαῖον αὐτοῖς, εἰ παραβάλλοιντο, τοιούτοις περιπίπτειν κινδύνοις· κατὰ δὲ ἀντέγκλημα ἀντιλήψεως παράδειγμα ὁ τὸν τρισαριστέα ἐπὶ μοιχείᾳ ἀνελὼν, εἶτα δημοσίᾳ κρινόμενος· ἀντεγκαλέσει γὰρ τῷ τρισαριστεῖ, ὡς αὐτῷ τῆς ἀδικίας κατάρξαντι τῷ [8] διαφθεῖραι τὸ γύναιον· κατὰ συγγνώμην δὲ ἀντίληψις ἥδε. Κλέωνος τοὺς ἐκ Πύλου τριακοσίους εἰσάγοντος Νικίας ἐδάκρυσε καὶ κρίνεται ὑπὸ Κλέωνος ὕβρεως· τὴν γὰρ συγγνώμην προβαλεῖται φάσκων ἠλεηκέναι καὶ πεπονθέναι τι ἀνθρώπινον· ὑπόλοιπον ἔτι τῆς κατὰ μετάστασιν ἀντιλήψεως δοῦναι παράδειγμα· πόλεως συνεχῶς ἀφισταμένης ἔπεισε στρατηγὸς τὸν δῆμον τὰ τείχη καθελεῖν, καὶ τῶν συμμάχων ἀποστάντων κρίνεται δημοσίων ἀδικημάτων· τὴν μὲν γὰρ ἀντίληψιν κατὰ τὸ ἐξεῖναι συμβουλεύειν τὰ εἰκότα καὶ [9] δοκοῦντα λαμβάνει, τὴν δὲ μετάστασιν ἐπὶ τὸν δῆμον μεταφέρων τὴν αἰτίαν, ὅτι γε καὶ ὑμεῖς αἴτιοι τῆς καθαιρέσεως οἱ πεισθέντες, οὐ γὰρ ἀνηκόων ὄντων ὑμῶν καθελεῖν ἐτόλμων· καὶ ἔστιν ὥσπερ ἐν στοχασμῷ χρῶμα ἡ μετάθεσις τῆς αἰτίας, οὕτως ἐπὶ τῆς ἀντιλήψεως ἡ ἀντίθεσις· χρώζει γὰρ τὸ ὅλον τῆς ἀπολογίας τὸ τυραννικὸν συσκιάζουσα.

---

8 Mon. τοῦ. 9 εἰκότα καὶ Mon. om., idem habet λαμβάνειν.

λδ΄. Φέρεται πρὸς τὴν ἀντίθεσιν ἑτέρα μετάληψις· καὶ γὰρ αὖ πᾶσα ἀντίθεσις μεταλήψει λύεται, ὡς ἐπὶ τῶν ἀντιθετικῶν δεδείξεται, ἔνθα καὶ περὶ τῆς ἐργασίας τοῦ κεφαλαίου διαληψόμεθα. Ζητητέον δὲ, τίνι διοίσει ἡ μετάληψις ἥδε τῆς πρὸς τὴν ἀντίληψιν φερομένης· διαφέρει δ᾽ οὖν ἀλλήλων, καθὸ ἡ μὲν πρὸς τὸ πεπραγμένον αὐτὸ φέρεται, ἡ δὲ τῆς ἀντιθέσεως λυτικὴ πρὸς τὴν ποιότητα τοῦ πεπραγμένου· ἡ μὲν γὰρ ἀντίληψις ἐπ᾽ αὐτῷ τῷ πεπραγμένῳ τὴν ἐξουσίαν προβάλλεται, πρὸς ὃ φέρεται ἡ προτέρα μετάληψις, ἡ δὲ ἀντίθεσις χρώζει πως καὶ ποιότητά τινα τῷ πεπραγμένῳ δίδωσιν· οὐκοῦν καὶ ἡ πρὸς αὐτὸ φερομένη μετάληψις ἐξ ἀνάγκης κατὰ τὴν ποιότητα τῷ πεπραγμένῳ μάχεται, οἷον ἐπὶ τοῦ ζωγράφου· διὰ γὰρ τῆς ἀντιθέσεως εὐηργετηκέναι τι φάσκοντος τοῦ ἀπολογουμένου τὸ συμβεβηκέναι διὰ τῆς τῶν ναυαγίων γραφῆς, τῷ [10] πλεῖν μετὰ ἀσφαλείας ἐπιχειρεῖν, φέρεται πρὸς αὐτὸ ἡ μετάληψις, ὅτι ἑτέρως ἔδει συμβουλεύειν λόγους διαπέμποντα καὶ τοῖς ἐμπόροις ἰδίᾳ κοινολογούμενον.

λε΄. Δύο οὐσῶν ἀντιλήψεώς τε καὶ ἀντιθέσεως, ἀναγκαίως καὶ δύο μεταλήψεις ἐμπίπτουσιν, ἡ μὲν πρὸς τὴν ἀντίληψιν, ἡ δὲ πρὸς τὴν ἀντίθεσιν, καὶ ἡ διαφορὰ, ὅτι ἡ μὲν πρὸς τὴν ἀντίληψιν ἐνστάσει καὶ ἀντιπαραστάσει κατασκευάζεται, ὅτι οὐκ ἔξεστιν, εἰ δὲ ἄρα καὶ ἔξεστιν, οὐκ ἐπὶ τούτοις· ἡ δὲ πρὸς τὴν ἀντίθεσιν τὸν αὐτὸν τρόπον, οὐδὲ γὰρ λύει τὸ ἀντιστατικὸν, ἀλλ᾽ ἐρεῖ, ὅτι οὐχ οὕτως ἐχρῆν εὐεργετεῖν, ἐνῆν γὰρ καὶ ἄλλως διὰ συμβουλῆς, διὰ λόγου, καὶ ἄλλως· ἡ μὲν πρὸς τὴν ἀντίληψιν μάχεται τῇ ἐξουσίᾳ, ἡ δὲ πρὸς τὴν ἀντίθεσιν οὐ μάχεται, ἀλλὰ καὶ συντρέχει τῷ χρώματι ἀποδεχομένη [11] τὰ ὑπὲρ τῆς πόλεως· τὴν δὲ παράστασιν μέμ-

10 Mon. τό. Par. 2. τῷ. 11 Mon. ἀποδεχόμενος, scr. ἀποδεχομένη.

φεται, ὅ ἐστιν τὸν τρόπον, ὡς ἐπὶ τοῦ ζωγράφου ἡ ἀντίθεσίς ἐστιν, ὑπὲρ τῶν πλεόντων πεποίηκα· ἡ δὲ μετάληψις συγχωρήσασα, ὅτι ἀληθὲς τὸ λεχθὲν, διὰ τῆς ἀντιπαραστάσεως ἐκβάλλειν πειράσεται τὸν τρόπον τοῦ πεπραγμένου [12] μεμφομένη καὶ ἐπὶ τοῦ τρισαριστέως τοῦ φεύγοντος ἀντιπαραστάσει χρησαμένου καὶ λέξαντος ἀντεγκληματικῶς, ὅτι ἄξιος ἦν ἀποθανεῖν ὁ τρισαριστεὺς κώμοις καὶ μέθαις προσανέχων, ὁ κατήγορος δευτέρᾳ μεταλήψει χρήσεται λέγων, ὅτι εἰ τοιοῦτος ἦν, ἔδει δικαστηρίῳ παραδοῦναι καὶ μὴ αὐτοχειρίᾳ ἀναιρεῖν.

λϛ΄. Ἀντιλήψει πάλιν ὁ φεύγων χρήσεται δὴ [13] πρὸς τὴν τοῦ ἀπολογουμένου μετάληψιν· ἔφαμεν γὰρ ἀλλήλοις ἀντιτετάχθαι ἀεὶ τὰ κεφάλαια· τὴν δὲ αὐτὴν ἔχει διαφορὰν πρὸς τὴν προτέραν ἀντίληψιν, ἣν ἔχειν τὸ δεύτερον μεταληπτικὸν πρὸς τὸ πρότερον ἔφαμεν, ἡ μὲν γὰρ περὶ αὐτὸ καθέστηκε τὸ πεπραγμένον, ἡ δὲ περὶ τὴν τοῦ πεπραγμένου ποιότητα· ἰστέον δὲ κοινότερόν τι θεώρημα· μετὰ γὰρ τὸ ἀντιληπτικὸν τοῦτο κέχρηται πολλάκις καὶ μεταληπτικῇ αὐτὸς ὁ φεύγων, ὅπερ παραδοξότερον· ποῦ γὰρ ἑτέρωθεν μεταληπτικὸν παρὰ τῷ ἀπολογουμένῳ· ἀεὶ γὰρ ἡ μὲν ἀντίληψις τοῦ φεύγοντος, τοῦ δὲ διώκοντος ἡ μετάληψις· ἐνταῦθα μέντοι χρήσεταί ποτε καὶ μεταληπτικῇ ὁ φεύγων μετὰ τὸ δεύτερον ἀντιληπτικόν· πότε δὲ χρήσεται, καὶ δὴ λεκτέον· ὅταν τὸ πεπραγμένον οἷόν τε ᾖ διορθωθῆναι τῇ φύσει, τηνικαῦτα ἐμπεσεῖται τόδε τὸ κεφάλαιον, ἐπειδὰν δ' ᾖ τὸ πεπραγμένον ἀδιόρθωτον, ἐξίσταται· οἷον τοῦ μὲν προτέρου παράδειγμα ὁ ζωγράφος· πρῶτον μὲν γὰρ τῷ δευτέρῳ ἀντιληπτικῷ χρώμενος τῆς κατὰ τὸ συμβουλεύειν ἐξουσίας ἀνθέξεται· ὅτι ὃν τρόπον ἕκαστος δύναται συμβουλεύειν τῇ πόλει, ῥήτωρ μέν τις ὢν τοῖς λόγοις, ζωγράφος δὲ ἀπὸ τῆς τέχνης· ἔπειτα τῷ μετα-

12 Par. 1. τὸν τοῦ πεπρ. τρόπον. 13 δὴ Par. 1. om.

ληπτικῷ τὴν κρίσιν διαβάλλει, οἷον εἰ δέ τι ἡ πόλις ἐκ τοῦ τρόπου τῆς ἐμῆς ἐβλάπτετο συμβουλῆς, ἐχρῆν τὸ πινάκιον καθελεῖν καὶ μὴ συγχωρεῖν ἐπὶ τοῦ λιμένος ἐκκεῖσθαι, καὶ [14] οὐκ εἰς δικαστήρια νῦν εἰσάγειν καὶ δημοσίων κρίνειν· καθάπερ γὰρ ὁ κατήγορος τὸν τρόπον τῆς συμβουλῆς, οὕτως ὁ φεύγων τὴν κρίσιν διαβάλλει· ἐπιδέχεται γὰρ ἐπὶ τοῦδε τοῦ προβλήματος τὸ πεπραγμένον διόρθωσιν· ἠδύνατο γάρ τις ῥᾷστα ἐκ τοῦ λιμένος ἀνασπᾶσαι τὸ πινάκιον· τοῦ δὲ δευτέρου, φημὶ τοῦ τὴν διόρθωσιν ἀδύνατον ἔχοντος, ἀφ' οὗ καὶ ἐλλείπει τὸ μεταληπτικὸν, παράδειγμα τόδε· νέος πλούσιος τυραννήσειν ὑποπτευθεὶς τὴν οὐσίαν ἐξαργυρώσας κατεπόντωσε, καὶ κρίνεται δημοσίων ἀδικημάτων· οὐ γὰρ δυνατὸν εἰπεῖν, ὡς ἔδει μᾶλλον τὸ ἀργύριον ἐκ τοῦ βάθους ἀνέλκειν, ἀλλὰ μὴ γραφὴν κατ' ἐμοῦ τίθεσθαι.

λζ. Ἀναγκαίως, φησὶν, μεταλήψεως ἐμπεσούσης ἐπὶ τὴν ἐξουσίαν πάλιν ὁ φεύγων καταφεύξεται· τοῦ γὰρ κατηγόρου λέγοντος, ὅτι οὐχ οὕτως ἐχρῆν, ἐνῆν δὲ καὶ ἑτέρως εὐεργετεῖν, ὁ φεύγων ἐρεῖ, ὅτι ἀλλ' οὐδὲ τοῦτο κεκώλυται· εἰ δὲ καὶ ἑτέρως ἐνῆν, [15] ὃ δὲ μᾶλλον οἰκειότερον ἐμοὶ ὑπῆρχε καὶ δυνατῶς εἶχον ποιεῖν, τοῦτο ἔπραξα· ὁ ῥήτωρ εἰσηγείσθω τοῖς λόγοις τὸ δέον, ὁ ζωγράφος τῇ τέχνῃ, ἕκαστος ὡς δύναται [16] τὴν πόλιν εὐεργετείτω, μὴ μέμφου τοίνυν τὸν τρόπον, ἀλλ' ἐνθυμοῦ τὴν ὠφέλειαν· ἐξετάσει δὲ καὶ τὴν γνώμην τοῦ νομοθέτου ὁ τὸν τρισαριστέα ἀποκτείνας, ὅτι ὁ νομοθέτης τὴν ὕβριν τὴν κατὰ τῶν γυναίων γινομένην εἰδώς· καὶ ὡς μάλιστα τοῦτο τοῦ [17] συνοίκου ταράττει τὸν λογισμὸν, ὥσπερ θεραπεύων τὸν πάσχοντα αὐτῷ καὶ τὴν τιμωρίαν ἐνεχείρισεν.

Χρήσεται, [18] φησὶν, ὁ κατήγορος τῇ θέσει ἀνατρέ-

14 καὶ Mon. om. 15 Mon. νῦν. 16 Mon. βούλεται. 17 τοῦ Par. 1. om. 18 χρήσεται, φησὶν, ὁ κατήγορος — — — δυνάμει χρηστέον. et sqq. ἀκολούθως εἶπεν usque ad litt. λή. in-

πων, ὅτι οὐκ ἐπὶ τούτοις τῇ δυνάμει χρηστέον. Ἀκολούθως εἶπεν ἐκθετέον τὴν θέσιν, κατασκευαστικὴν οὖσαν τῆς ἀντιθέσεως· οὐδὲ γὰρ ἁπλῶς οὕτω τεθὲν τὸ ἀντιληπτικὸν ἰσχύει, διὰ δὲ τῆς ἀντιθέσεως τοῦ κεφαλαίου ἰσχυρὸν ἀποδειχθήσεται· ἡ οὖν θέσις ἀκολούθως ἐστὶ τοιαύτη, ὅτι πᾶς, καθὸ ἕκαστος δυνάμεως ἔχει, ὠφελεῖν χρὴ τὴν πόλιν· κατασκευάζεται δὲ ἐκ τῶν τοῦ συμφέροντος λογισμῶν, ὅτι χρήσιμον καὶ σύμφορον τὸ τοιοῦτον καὶ πλεῖστα δυνάμενον ἀγαθὰ προξενεῖν.

λή. Θέσιν εἶπε καὶ οὐ θέσεις πληθυντικῶς, καίτοι πολλάκις δύο ἐμπιπτουσῶν θέσεων, ὡς ἐπὶ τοῦ ζωγράφου· ἑκάτερον γὰρ τῶν μερῶν κέχρηται θέσει κατὰ τὸ ἁρμόζον, ὁ μὲν κατήγορος, ὅτι ταῖς τέχναις οὐχ ἁπλῶς χρηστέον ἐπὶ λύμῃ τῶν κοινῶν, ὁ δὲ φεύγων, ὡς ἂν οἷός τε ᾖ ἕκαστος, χρήσιμος τῇ πόλει [19] γίνεται. [20] ἰστέον δὲ, ὅτι δύο μὲν οὐκ ἀεὶ ἐμπίπτουσι θέσεις, μία δὲ πάντως, ἔνθεν οὐ πληθυντικῶς εἶπεν, ἀλλ' ἑνικῶς θέσιν πρὸς τὸ καθόλου καὶ διὰ παντὸς ἐμπίπτον ἐπιδών· ἀλλ' οὐκ εἰς τὸ ποτὲ μὲν ἐμπίπτον, ποτὲ δὲ ἐξιστάμενον· ἠπόρηται δὲ, πῶς ἡ θέσις εἶναι κεφάλαιον δύναται· τῶν γὰρ κεφαλαίων, φασὶ, τὰ προηγούμεοα ὑπὸ τοῦ διώκοντας εἰσφερόμενα ἐξ ἀνάγκης ἀντιθετικῶς [21] λαμβάνεται ὑπὸ τοῦ φεύγοντος, καὶ ἐκ τοῦ ἔμπαλιν, ὅσα προηγουμένως τῷ ἀπολογουμένῳ λαμβάνεται, ταῦτα γίνεται ἀντιθετικὰ τῷ διώκοντι· προηγούμενα δέ φημι τὰ πιστωτικὰ, τὰ δὲ λυτικὰ τῶν ἐναντίων· εἰ τοίνυν, φασὶν, ἡ θέσις κεφάλαιόν ἐστι προηγούμενον, οὐ γὰρ ἔνεστι δήπου λυτικὸν αὐτὸ φάναι, γινέσθω, φησὶ, καὶ ἀντιθετικόν· ἀλλὰ μὴν οὐδέποτε λαμβάνεται ἀντιθετικῶς, ἀλλ' ἀεὶ συγχωρεῖ μὲν ἐκείνην, ἀντεισάγει δὲ αὐτὸς ἑτέραν, εἴ-

---

ter scholia minora referunt Parr. 19 Par. 1. τῇ πόλει χρήσιμος. 20 Par. 1. γράφεται plenis litteris. 21 Mon. θετικῶς.

περ ἐμπίπτοι, οὐκ ἄρα, φησὶν, ἡ θέσις κεφάλαιον, καὶ ἀντιλέγειν οὐκ ἔχομεν· ἀλλὰ μὴν οὐδὲ ἐπίλογος εἶναι δύναται, εἴπερ κατασκευάζει τὸ ἀντιληπτικὸν μὲν τῷ φεύγοντι, τῷ δὲ κατηγόρῳ τὸ μεταληπτικὸν, καὶ τὸ πέρας ὡς εἰπεῖν τῶν ἀγώνων ἔχει· ἀπορήσειε τοίνυν ἄν τις, ποῦ τετάξεται, εἰ μηδ᾽ ἐν κεφαλαίοις μηδ᾽ ἐν ἐπιλόγοις χώρα τις αὐτοῦ λείπεται· ῥητέον οὖν, ὡς μέσην τινὰ τάξιν ἐπέχει· καὶ ἡ θέσις μεταξὺ πέπτωκε τῶν ἀγώνων καὶ τῶν ἐπιλόγων· καθάπερ ἐν ὅρῳ διήρηται περὶ τῆς τοῦ προσώπου ποιότητος· καὶ ταῦτα μὲν ὅσον παραστῆσαι τὴν φύσιν τῆς θέσεως· ἐπεὶ δ᾽ ἔφημεν ποτὲ μὲν δύο θέσεις ἐμπίπτειν, ποτὲ δ᾽ αὖ μίαν καὶ ταύτην οὐχ ὡρισμένως· οἷον παρὰ τῷ φεύγοντι πάντως ἢ τοὐναντίον, ἀλλὰ νῦν μὲν ὑπὲρ τοῦ φεύγοντος, αὖθις δὲ ὑπὸ τοῦ κατηγόρου λαμβάνεσθαι, ἀναγκαῖον προσδιασαφῆσαι τῶν εἰρημένων ἕκαστον, ἵνα μὴ ἀτάκτως μηδὲ ἀλόγως ἐπιχειρῶμεν ταῖς θέσεσιν, ἀλλ᾽ εἰδείημεν, πότε τοῦ ἀντιδίκου θέσει χρωμένου χρησόμεθα καὶ αὐτοὶ, καὶ πότερον ὑπερδραμούμεθα τὸ μὴ ἔχειν χρῆσθαι· ὅταν μὲν οὖν τὸ πεπραγμένον ἄδοξον ᾖ, τηνικαῦτα μόνος τὴν θέσιν παραλήψεται ὁ κατήγορος· εἰ γὰρ τὸ πεπραγμένον ἄδοξον, πέπρακται δὲ δῆλον ὑπὸ τοῦ φεύγοντος, οὐκ ἂν θέσις προσάπτοιτο τῷ ἀδόξῳ· τοὐναντίον γε μὴν τῇ κατηγορίᾳ τοῦτο ἁρμόσει· λεκτέον δὲ ἐπὶ παραδείγματος. Ἀλκιβιάδης κατελθὼν μετὰ τὰ κατὰ Κύζικον καὶ ἐν ἐκπώματι φέρων τὰ κατὰ Σικελίαν δημοσίων φεύγει· ἄδοξον γὰρ τὸ πεπραγμένον, οὐ μόνον τῷ δοκεῖν ὀνειδίζειν τῇ πόλει τὰς συμφορὰς, ἀλλὰ καὶ τῷ φέρειν αὐτὰς ἐπὶ τῶν ἐκπωμάτων· ἐλλείπει οὖν τὸ θετικὸν εἰκότως τῷ φεύγοντι, ἂν δὲ τὸ πεπραγμένον ἔνδοξον ᾖ, ἐπὶ τὸν ἀπολογούμενον ἡ θέσις μέτεισι καὶ μόνου τοῦ φεύγοντος γίνεται· οὐ γὰρ ἔνεστιν αὐτῇ τὸν κατήγορον χρῆσθαι· τῶν γὰρ ἐπαινουμένων πράξεων ἀπίθανος ἡ κατηγορία· παράδει-

γμα δὲ τοῦ λεγομένου παρέξομαι· Φιλίππου μετὰ τὰ ἐν Χαιρωνείᾳ παρέχοντος αἵρεσιν Ἀθηναίοις ἢ τοὺς χιλίους ἀνελέσθαι νεκροὺς, ἢ τοὺς αἰχμαλώτους λαμβάνειν, ἔπεισε Δημοσθένης τοὺς νεκροὺς ἀνελέσθαι, καὶ ἀποκτείναντος Φιλίππου τοὺς αἰχμαλώτους δημοσίων φεύγει· ἡ γὰρ συμβουλὴ σεμνοτάτη καὶ ὅσιον ἡ τῶν οἰχομένων ἀναίρεσις· οὐ γὰρ τοῖς ἀποβεβηκόσι προσεκτέον, ἀλλὰ καθ' αὐτὸ χρὴ τὸ πεπραγμένον σκοπεῖν· μόνῳ γοῦν ἐνταῦθα τῷ φεύγοντι τὸ θετικὸν ὑποστήσεται· εἰ δὲ τῶν μέσων εἴη τὸ πεπραγμένον τουτέστι οὔτε φανερῶς ἔνδοξον, οὔτε ἄδοξον, τηνικαῦτα ἡ θέσις ἑκατέροις ἁρμόσει καὶ ὑπ' ἀμφοῖν παραληφθήσεται, τῷ μηδ' ἕτερον ὑπὸ τῆς τοῦ πεπραγμένου δόξης πλεονεκτεῖσθαι· παράδειγμα δὲ ὁ ζωγράφος, πρὸ τοῦ λιμένος ἐκθεὶς τὰ ναυάγια· κέχρηται δὲ θέσει ὅ τε φεύγων καὶ ὁ διώκων ὁμοίως, διὰ τὸ μέσον τῆς πράξεως· ταῦτα μὲν οὖν περὶ τῆς εὑρέσεως ἡμῖν εἰρήσθω τῶν θετικῶν· ἰστέον δὲ, ὡς οὐ μόνον γενικῇ μιᾷ τινι θέσει χρηστέον, ἀλλὰ καὶ εἰδικῇ, πολλάκις ἐκ τῆς ὑποκειμένης ὑποθέσεως ἀναφαινομένῃ· οἷον ἐπ' ἐκείνου τοῦ παραδείγματος· τὰς Θήβας Ἀλεξάνδρῳ κατασκάπτοντι ὁ Ἰσμηνίας ἐπηύλησε καὶ μετὰ τὸν ἐνοικισμὸν κρίνεται· κατὰ γὰρ τὸ ἀντιστατικὸν φάσκων [22] εὖ πεποιηκέναι τὴν πόλιν, ἐξαιρῆσαι γὰρ διὰ τῶν αὐλῶν τὸ πολὺ τῆς μανίας καὶ τῆς ὀργῆς Ἀλεξάνδρου, διχῇ τὴν θέσιν παραλήψεται· κατὰ μὲν τὸ γενικὸν, ὡς κατὰ δύναμιν ἕκαστον τῇ πόλει προσήκει χρήσιμον γίνεσθαι, καὶ τοὺς ἐπιστήμονας εἰσφέρειν τὰς τέχνας εἰς τὰ κοινὰ τῇ πόλει λυσιτελοῦντας, [23] κατὰ δὲ τὸ τῆς ὑποθέσεως ἴδιον, ὅτι σεμνόν τι χρῆμα ἡ μουσικὴ καὶ τὰς θηριώδεις ἐπικόπτειν [24] ἐπιστάμενον ὁρμὰς καὶ διὰ ταῦ-

---

22 Mon. τὸ στατικὸν φεύγων. 23 Mon. λυσιτελοῦντα. scr. λυσιτελοῦντας. 24 ἐπικόπτειν Mon. om.

τα χρηστέον αὐτῇ· τοὺς δὲ τόπους, ἀφ᾽ ὧν αὐτὰς θέσεις κατεσκευάσαμεν, αὐτὸς ἡμῖν ὁ τεχνικὸς ἐδήλωσε διὰ τῶν προγυμνασμάτων, ἅ με οὐ λελήθασί τινες τῷ σοφωτάτῳ Λιβανίῳ περιτιθέντες ἄγαν ἐλλογίμως, ἵνα δὴ οὕτω φαίην· χρηστέον δὲ οὐ πᾶσιν ἐφεξῆς· ἢ γὰρ ἂν εἰς μῆκος ἄπρακτον ὁ λόγος ἐκτείνοιτο, ἐμάθομεν γάρ, ὡς μέτρον τελείου λόγου ἀποπληροῦν δύναται ἡ θέσις. Τὰ οὖν μάλιστα τῇ ὑποθέσει ἁρμόδια μόνα παραληψόμεθα, τἄλλα παρέντες ἕνεκα τοῦ πλῆθος τῶν λόγων ἀποφυγεῖν.

Τὴν ποιότητα, [25] φησὶν, καὶ τὴν γνώμην κἀπὶ τῆς ἀντιλήψεως [26] παραληψόμεθα, καθάπερ ἐν ὅρῳ· ὅσα τοίνυν ἁρμόζει περὶ τούτων εἰπεῖν, ἔξεστιν ἐκεῖθεν λαμβάνειν· ἡ ποιότης καὶ ἡ γνώμη παρὰ τοῦ φεύγοντος τέλεον ἀναιροῦνται· μελετῶνται δὲ πρὸς τὸ οἰκεῖον συμφέρον. — Διαίρεσιν λέγει [27] τὴν τῆς ὕλης καὶ εὑρέσεως ἀφορμὴν, ἣν αὐτὸς οὐκ ἐπαγγέλλεται ποιεῖσθαι, ἀλλ᾽ ὅσον τὴν φύσιν ἐνδείξασθαι τῶν κεφαλαίων.

λθ᾽. Καλῶς εἶπε τὸ „μεμαθήκαμεν ἐν ὅρῳ·“ ἐν ἀμφοτέραις γὰρ ταῖς στάσεσι, τῷ τε ὅρῳ καὶ τῇ ἀντιλήψει, τούτοις τοῖς κεφαλαίοις χρησόμεθα· ἡ ποιότης δὲ ἐξετάζεται ἀπὸ τῆς ποιότητος τῶν προσώπων· καὶ ἐκ μὲν τοῦ κατηγόρου κατὰ τοὺς ψεκτικοὺς τόπους προαχθήσεται, ἐκ δὲ τοῦ φεύγοντος κατὰ τοὺς ἐγκωμιαστικούς, οἷον ἐπὶ τοῦ τὸν τρισαριστέα μοιχὸν ἀποκτείναντος ἐρεῖ ὁ λέγων, ὅτι οὐ προτιμητέον ἕνα τῶν τυχόντων ἀνθρώπων ἀνδρὸς ἀριστέως καὶ τηλικαῦτα κατωρθωκότος, ἐκ δὲ τοῦ φεύγοντος, ὅτι οὐδὲν ἠδικηκότα ἄνθρωπον οὐδὲ ἄτιμον οὐ χρὴ [28] τῆς κοινῆς καὶ πᾶσι δοθείσης ἀποστερεῖν

25 τὴν ποιότητά φησιν etc. usque ad οἰκεῖον συμφέρον inter schol. min. referunt Parr. 26 κἀπὶ τῆς ἀντιλήψεως Par. 1. om. 27 διαίρεσιν λέγει —— ἐνδείξασθαι τῶν κεφαλαίων Par. 1. non habet. 28 Mon. οὐ γὰρ τῆς κοινῆς καὶ πᾶσα ἀποστῆσαι ἐξ.

ἐξουσίας· ἡ δὲ τοῦ πράγματος ποιότης κατὰ τοὺς ἐκ τῆς ἐκβάσεως θεωρηθήσεται τόπους· καὶ ἡ γνώμη δὲ ὁμοίως ἐξετάζεται, τίνι λόγῳ οὗτος τότε ἔπραξε, καὶ ἐπὶ τοῦ κατηγόρου τίνος ἕνεκα κατηγορεῖ.

μ΄. Ἤισθετο τῶν ἐπιχειρημάτων, ἃ ἐφ᾿ ἑκάστου τῶν κεφαλαίων παρέσχετο· καὶ ὅπως μὴ δόξῃ τὸ περὶ εὑρέσεως ἐπεισφέρειν τῇ πραγματείᾳ ἐπεσημήνατο· καὶ ἰστέον, ὡς ἐνταῦθα ὁμολογεῖται τὸ περὶ εὑρέσεως καὶ εἶναι Ἑρμογένους καὶ ἀναγκαίως τοῖς κεφαλαίοις συνάπτεσθαι.

μα΄. Διαιροῦντες, ἀντὶ τοῦ τὴν ἐργασίαν ποιούμενοι, ψιλῶς γὰρ μόνα τὰ κεφάλαια διεῖλε· σκόπησον δὲ τὴν λέξιν, καθ᾿ ἣν ἐκδέχεται τὸ ὄνομα· διαίρεσιν γὰρ λέγει τὴν τῆς ὕλης καὶ εὑρέσεως, ἣν οὐκ ἐπαγγέλλεται ποιήσειν αὐτὸς, ἐπεὶ διαίρεσιν καλοῦσι πᾶσαν τομὴν τοῦ περιέχοντος εἰς τὰ περιεχόμενα κοινῶς· εἰδικώτερον δὲ τὴν τῶν στάσεων εἰς τὰ κεφάλαια.

Cap. XXII.

Περὶ τῶν εἰδῶν τῆς ἀντιλήψεως.

α΄. Πληρώσας τῶν κεφαλαίων τὴν διαίρεσιν ἐπὶ τὸν τῶν εἰδῶν λόγον κεχώρηκεν.

β΄. Πανταχοῦ κατακολουθεῖν ὁ τεχνικὸς εἴωθεν ἑαυτῷ, ὃ πολλάκις ἔφην καὶ πρῶτον μὲν τὰ κεφάλαια καταλέγειν, ἔπειτα περὶ ἑκάστου τεχνολογεῖν, καὶ μετὰ ταῦτα τὴν περὶ τῶν εἰδῶν ποιεῖσθαι ἐξέτασιν· ἀκολούθως οὖν μετὰ τὴν τῶν κεφαλαίων τεχνολογίαν ἐπάγει τὰ εἴδη, καὶ πρώτην αὐτῶν εἰς ἁπλᾶ καὶ διπλᾶ ποιεῖται τὴν διαίρεσιν· ἠπορήκασι δέ τινες καὶ εἰς ἄπορον περιϊστάναι τὸν λόγον ἐπεχείρησαν, πῶς εἴδη καθεστάναι δύνανται τό-

τό τε ἁπλοῦν καὶ διπλοῦν· τὰ γὰρ εἴδη, φασὶν, ἐκ τοῦ αὐτοῦ τεμνόμενα εἴδους, πλεονεκτεῖν ἀλλήλων κατ᾿ αὐτὸ τὸ γένος οὐ βούλεται, [1] οἷον ἵππος καὶ ἄνθρωπος ὑπὸ τὸ αὐτὸ γένος, τουτέστι τὸ ζῶον, ἀνάγεται· ἀλλ᾿ οὔτε ἵππος ἀνθρώπου μᾶλλόν ἐστι ζῶον, οὔτ᾿ αὖ πάλιν ἄνθρωπος ἵππου· ἐνταῦθα δὲ, φασὶ, θάτερον τῶν εἰδῶν τοῦ ἑτέρου διπλάσιον φαίνεται· τὴν γὰρ ἀπὸ τοῦ γένους τομὴν εἰς ἁπλοῦν τε καὶ διπλοῦν ἐποιήσατο· πρὸς ὃ φαίημεν ἂν, ὅτι τὸ διπλοῦν ὄνομά τι νοητέον εἴδους δηλωτικὸν, ὃν τρόπον τὸ ἄνθρωπος καὶ τὸ ἵππος, τὸ μὲν λογικοῦ τινος περιστατικὸν, τὸ δὲ ἀλόγου τε καὶ χρηματιστικοῦ, ὥστε τὴν ἀντίληψιν, ὅπερ ἐστὶ γένος, εἰς δύο εἴδη τινὰ διῃρῆσθαι, ἴσα κατὰ τὸ γένος, καὶ μηδὲν ἔχοντα κατά γε τοῦτο πλέον ἀλλήλων, ἃ τέως μὲν ὑπῆρχεν ἀνώνυμά τε καὶ ἀνυπόστατα κατ᾿ οὐσίαν, καθάπερ ὁ ἄνθρωπος καὶ ὁ ἵππος, μήπω προσελθουσῶν αὐτοῖς τῶν διαφορῶν, ἀλλ᾿ ἐπινοίᾳ μόνον ἔτι νοούμενα· προσελθουσῶν δὲ τῶν διαφορῶν τὸ μὲν ἁπλοῦν, τὸ δὲ ὀνομασθῆναι διπλοῦν, ὥστε κατα τὴν διαφορὰν γίνεσθαι τὸ τοῦ διπλοῦ ὄνομα, πλεονεκτεῖν δὲ ἀλλήλων τὰ εἴδη κατὰ τὰς διαφορὰς οὐ κεκώλυται· ἐπεὶ καὶ τὸ ποσὸν ὅλως εἰς ἁπλοῦν καὶ διπλοῦν διαιρεῖται, καὶ οὐκ ἄν τις φαίη κατὰ τὸ γένος διαλλάττειν ἀλλήλων ταυτί, τὰ ἐκ τοῦ ποσοῦ τετμημένα, κατὰ δὲ τὴν προσελθοῦσαν διαφορὰν, ἵνα δὴ τὸ ποσὸν εἰς δύο τινὰ ὅμοια πρῶτον ὑποθώμεθα διῃρῆσθαι, εἶτα ἐκ τῶν προσγενομένων τὸ μὲν ἁπλοῦν, τὸ δὲ κληθῆναι διπλοῦν· τοῦτο μὲν οὖν οὕτως τὸ τοῖς πολλοῖς ἀπορούμενον, ὥς γέ μοι δοκεῖ, ἀπελυσάμεθα· ζητοῦσι δὲ καὶ ἕτερον ἐπὶ τούτῳ τό· πότε ἂν φήσαιμεν εἶναι τὴν ἀνωτέρω διαίρεσιν· τὴν γὰρ ἀντίληψιν τριχῇ διῃροῦμεν· κατὰ νόμον, κατὰ ἔθος καὶ κατὰ φύσιν· τί δὴ οὖν οὐκ εἰς ταῦτα μᾶλλον τὴν πρώτην διαί-

1 οὐ βούλεται — αὐτὸ γένος Mon. om.

ρεσιν, ἀλλ᾿ εἰς ἁπλοῦν τε καὶ διπλοῦν ἐποιήσατο· ἔφασαν δέ τινες, ὅτι γε τὰ περιεκτικώτερά τινων, καὶ ἐν ἑαυτοῖς παραλαμβάνονται ἕτερα προτιμότερα τῶν περιεχομένων τε καὶ εὑρισκομένων· τῇ κατὰ τὸ ἁπλοῦν τοίνυν καὶ διπλοῦν διαιρέσει συνεπιτρέχει τε καὶ περιείληπται καὶ ἡ εἰς τὰ προκείμενα τρία διαίρεσις, ἄν τε γὰρ ἁπλῆ τις ἄν τε διπλῆ ἀντίληψις εἴη, πάντως ἀφ᾿ ἑνὸς τῶν τριῶν ὥρμηται, ἀπὸ νόμου, ἢ ἀπὸ ἔθους ἢ ἀπὸ φύσεως· εἰκότως οὖν, φασὶ, κατὰ τὸ περιεκτικώτερον διεῖλε τὴν ἀντίληψιν, ἀλλ᾿ ἐξισάζων ὁ λόγος φαίνεται, τοιγαροῦν ἀνατρέψαντες κατὰ τὸ ἐναντίον ἐξελέγξαιμεν ἂν τὸ λεγόμενον· ἄν τε γὰρ ἐκ νόμου ἄν τε ἀπὸ ἔθους ἢ ἐκ φύσεως ληφθῇ ἡ ἀντίληψις, πάντα τρόπον ἢ ἁπλῆν αὐτὴν εἶναι ἢ διπλῆν ἀνάγκη, ὥστε μᾶλλον οὐκ αὐτή γε τῆς ἑτέρας, ἀλλ᾿ ἐκείνη ταύτης περιεκτική· ἔστιν οὖν ἑτέρως διαλῦσαι τὴν ἀπορίαν· ὁ γὰρ τεχνικὸς κατὰ τὸ προσεχὲς τῇ προκειμένῃ αὐτοῦ πραγματείᾳ τὴν διαίρεσιν ἔλαβε· προὔπέκειτο δ᾿ αὐτῷ τῶν κεφαλαίων ἡ διαίρεσις· τὸ μὲν οὖν ἁπλοῦν καὶ διπλοῦν διάφορον εἶχε τὴν τῶν κεφαλαίων χρῆσιν, περὶ δὲ νόμον ἢ ἔθος, ἢ φύσιν οὐδεμία διάφορος ἐκομίζετο διαίρεσις· οὐδὲ ἦν τι τὸ ἐξαλλάττον ἐντεῦθεν περὶ τὰ κεφάλαια, ὥστε μάλ᾿ ἀκριβῶς κατὰ τὸ ἁπλοῦν καὶ διπλοῦν διεῖλε τὴν ἀντίληψιν. Τί οὖν, ἐρεῖ τις, περὶ ἐκείνων φήσομεν; πρόδηλον δὲ, ὡς κατ᾿ ἐπιδιαίρεσιν αὐτὰ παραληψόμεθα, τοῦ γὰρ αὐτοῦ πράγματος οἷόν τε πολλὰς ἐξ ὑπαρχῆς διαιρέσεις ἐπινοεῖν, ἃς ἐπιδιαιρέσεις ὀνομάζειν εἰώθαμεν· ἀλλὰ πάλιν ἐπὶ τὸν τῆς διαιρέσεως ἰτέον λόγον· ἡ μὲν οὖν πρώτη διαίρεσις κατὰ τὸ ἁπλοῦν τε καὶ διπλοῦν εἴρηται· περὶ γὰρ τῶν κατ᾿ ἐπιπλοκὴν ὕστερον ἐροῦμεν· τούτων δ᾿ ἑκάτερον ὑποδιαιρεῖ διχῇ· καὶ πρῶτόν τε τὸ ἁπλοῦν, τῶν γὰρ ἁπλῶν, φησὶν, ἀντιλήψεων αἱ μὲν ἀπ᾿ αὐτῶν ἔχου-

σι [2] τῶν πεπραγμένων τὴν κρίσιν, αἱ δὲ ἀπ᾽ αὐτῶν τε τῶν πεπραγμένων καί τινος ἐπισυμβεβηκότος ἑτέρου· παρέσχετο δὲ ἀμφοῖν παραδείγματα· τοῦ μὲν προτέρου τὸν Ἀλκιβιάδην, ὡς μετὰ τὰ κατὰ Κύζικον ἐπανελθὼν ἐν ἐκπώμασι φέρων τὰ περὶ [3] Σικελίαν δημοσίων φεύγει· τοῦ δ᾽ ἑτέρου τὸν τὰ ναυάγια πρὸ τοῦ λιμένος ἐκθέντα ζωγράφον καὶ τῶν ἐμπόρων μὴ καταιρόντων κρινόμενον· οὐ γὰρ αὐτὸ ψιλῶς ἐστὶ τὸ πεπραγμένον τὸ τὴν κρίσιν ἔχον, καθάπερ ἐπὶ τοῦ Ἀλκιβιάδου· πρὸς δὲ καὶ τὸ ἔξωθεν ἐπισυμβὰν, φημὶ τὸ μὴ καταίρειν τοὺς ἐμπόρους, τοῦτο δὲ, φησὶ, τὸ εἶδος, τὸ ἕτερον ἔχον τι ἐπισυμβεβηκὸς, ἴδιον ἔχει παρὰ τὰ προειρημένα τὸ παραγραφικὸν κεφάλαιον, φύσει παραγραφικὸν καθεστώς· ἐπὶ γὰρ τῶν ἄλλων ἐν τάξει παραγραφικῇ τὸ μόριον παραλαμβάνομεν τοῦ δικαίου· καὶ αὐτίκα ζητήσειεν ἄν τις, τί δήποτε οὐκ ἐμνήσθη τοῦδε τοῦ κεφαλαίου ἐν τοῖς ἀνωτέρω, καίτοι λαβὼν ἐπὶ τῆς διαιρέσεως τὸ τοῦ ζωγράφου παράδειγμα. ὅπερ ἐκ τοῦ ἐπισυμβεβηκότος τὴν κρίσιν ἔχον καὶ τὸ παραγραφικὸν ἕξει κεφάλαιον, ὃ ἴδιον εἶναί φησι τῶν τοιούτων ἀντιλήψεων· ἀλλὰ πρός γε τοῦτο ῥητέον, ὡς ἐπὶ τῆς διαιρέσεως, οὐ τά τινος εἴδους, ἀλλὰ τὰ καθόλου τῆς ἀντιλήψεως ἡμῖν παρεδίδου κεφάλαια· τὸ οὖν ζωγράφου παράδειγμα πρὸς τὸ παραστῆσαι μόνον τὴν τούτων φύσιν παρέλαβε, τῷ σαφεστέραν εἶναι τὴν διαίρεσιν ἐπ᾽ ἐκείνου τοῦ προβλήματος· εἰκότως οὖν ἐκεῖ μὲν παρῆκεν, ὡς οὐ καθολικὸν, ἀλλ᾽ ἴδιόν τινος εἴδους τὸ κεφάλαιον· ἐνταῦθα δ᾽ ἐν ᾧ περὶ τῶν εἰδῶν ἐτεχνολόγει πρὸς ἀπόδειξιν τοῦτο παρέλαβε· τὸ παραγραφικὸν τοίνυν τοῦτο διαβολὴν τοῦ ἀγῶνος ἔχει, οἷον οὐδέ τινα κρίσιν ἐφ᾽ οἷς ἄλλοι ἔπραξαν· ἀτοπώτατον ἄρα τῶν ἐμπόρων μὴ καταιρόντων ἐμὲ κρίνεσθαι· εἰ

2 ἔχουσι τῶν πεπραγμ. τὴν κρίσιν, αἱ δὲ ἀπ᾽ αὐτῶν Mon. om. 3 Mon. παρά. Par. 2. περί.

γὰρ μὴ ἐπὶ τούτῳ, ἀλλ' ἐφ' οἷς τὴν ἀρχὴν αὐτὸς ἔπραξα κρίνεις, τηνικαῦτά σε ἀντιλέγειν ἔδει, ἡνίκα τὸ πινάκιον ἐξετίθετο· εἰ μὲν γὰρ ἀντεῖπας, καὶ ὅλως νῦν βιάζῃ περιφανῶς, εἰ δὲ οὐκ ἀντεῖπας, ἤτοι λογισάμενος καὶ βεβουλευμένος τι ἄμεινον ἐπεκρύψω καὶ κακόνους ἐξελέγχῃ περὶ τὴν πόλιν, ἢ καὶ αὐτὸς ἀγνοήσας τὸ μέλλον, οὐκ ἔχων λέγειν τὰ συμφερώτερα·[4] ὥστε οὐ μᾶλλον[5] ἐμοῦ σε δεῖ κατηγορεῖν σαυτοῦ, εἴγε παραπλησίως τὸ ἀποβησόμενον ἠγνόεις· ταῦτα δὲ ψιλὰ σχεδὸν ὁ τεχνικὸς ἐκ τοῖ ὑπὲρ Κτησιφῶντος ἔλαβεν· ἰσχυρότατον οὖν τὸ κεφάλαιον καθεστὼς πανταχοῦ σχεδὸν τοῦ λόγου παραληφθήσεται, τάξιν οὐκ ἔχον ὡρισμένην, ἀλλὰ καθὸ ἂν ἁρμόζῃ λαμβανόμενον· ἄξιον δὲ ζητεῖν πρῶτον μὲν, τίνι διοίσει τοῦ παρὰ τῷ φεύγοντι μεταληπτικοῦ, οὗ μικρῷ πρόσθεν ἐμνήσθημεν· καὶ γὰρ ἐκεῖνο διαβάλλει τὸν ἀγῶνα, ἔπειτα εἰ διενήνοχε τῶν δύο ὁρικῶν παραγραφικῶν, τουτέστι προσώπου καὶ ὅρου, καὶ τρίτον ἐπὶ τούτοις, εἰ ἄλλο τί ἐστι τὸ παραγραφικὸν τὸ ἐν τῷ στοχασμῷ· διαστεῖλαι γὰρ ἀφ' ἑκάστου τῶν προκειμένων δεῖ τὸ κεφάλαιον· τοῦ μὲν οὖν μεταληπτικοῦ τοῦ παρὰ τοῦ φεύγοντος διενήνοχε τῷ τὸ μὲν οὐκ ἀεὶ ἐμπίπτειν, ὡς εἴρηται, τὸ δὲ παραγραφικὸν ἐπὶ τούτου τοῦ εἴδους πάντα τρόπον ὑφεστάναι,[6] καὶ ἔτι καθὸ τὸ μὲν μεταληπτικὸν οὐ μόνον τὸν ἀγῶνα διαβάλλει, ἀλλὰ καὶ ἀντεισφέρει τρόπον ἕτερον, καθ' ὃν οὐδ' ἂν ἐδέησε δικαστηρίου· τὸ δὲ παραγραφικὸν ὅλον ἐπὶ τῆς διαβολῆς ἵσταται· τῶν δὲ ὁρικῶν παραγραφικῶν, ὧν τὸ μὲν ἐκ προσώπου, τὸ δὲ ἐκ τοῦ πράγματος λαμβάνεται, ταύτῃ χωρισθήσεται, ᾗ τὰ μὲν οὐχ ἁπλῶς παραγραφικά ἐστιν, ἀλλὰ μετὰ ὁρισμοῦ τινος προσφερόμενα, τὸ δὲ ψιλῶς κατὰ διαβολὴν, καὶ τὰ μὲν οὐκ ἀεὶ ἐμπίπτει, τὸ δὲ,

4 sic Parr. et Mon. 5 Par. 1. οὐ μᾶλλον om. 6 Par. 1. ἐφεστάναι. Mon. Par. 2. ὑφεστάναι.

ὡς ἔφημεν, διηνεκὲς ἐπὶ τοῦ εἴδους. Λείπεται καὶ ἀπὸ τοῦ ἐν τῷ στοχασμῷ παραγραφικοῦ διαστεῖλαι αὐτό· καὶ πρώτη μὲν διαφορὰ ἡ καὶ ἀπὸ τῶν εἰρημένων αὐτὸ διαστέλλουσα, ὅτι γε τὸ μὲν τῶν ἀεὶ ἐμπιπτόντων ἐστὶ, τὸ δὲ ἐν τῷ στοχασμῷ καὶ ἐλλείπει ποτέ· ἀλλὰ τοῦτο, φασὶν, οὐχ ἱκανὸν διαστέλλειν· τί γὰρ εἰ λάβοιμεν στοχασμὸν, ἐν ᾧ τὸ παραγραφικὸν οὐκ ἐξέλιπε, καὶ ἀντιπαραβάλοιμεν [7] αὐτὸν πρὸς τόδε τὸ παραγραφικόν; τηνικαῦτα γὰρ, φησὶν, οὐδὲν ἀλλήλων διοίσουσιν· πρὸς ὃ ῥητέον, ὡς εἰ καί τις παραλαμβάνοι [8] στοχασμούς τινας, ἐν οἷς τοῦτο ἐμπίπτει τὸ κεφάλαιον, οὐκ ἂν δύναιτο, ὡς ἐπὶ τῆς ἀντιλήψεως, εἶδός τι παραλαβεῖν τῷ παραγραφικῷ, οὗ [9] πάντως ἴδιον ἔσται, ὥστε πάλιν τοῦτο διασταλήσεται· ἕτεροι δὲ λίαν εὐδιάσειστον κομίζουσι τούτων διαφοράν· τὸ μὲν γὰρ ἐν τῷ στοχασμῷ παραγραφικὸν οὐ παντελῶς, φασὶ, [10] διαγράφει τὴν κρίσιν, ἀλλ' ἢ τὸν τρόπον, ἢ τὸ πρόσωπον ἢ τὸν χρόνον διαβάλλει, οὗ ἀναιρουμένου συνέστηκεν ἡ κρίσις· τὸ δὲ ἐν τῇ ἀντιλήψει, φασὶν, ὁλοσχερῶς ἐκβάλλει ἅπαντα [11] τὸν ἀγῶνα, καὶ εἰς τὸ παντελὲς παραγράφει [12] οὐδ' [13] ἐφ' ἑτέρου προσώπου ἢ χρόνου παρέχοντος αὐτῷ σύστασιν· καὶ τοῦτο μὲν ἀληθὲς, τὸ δὲ παρὰ τοῦ παραγραφικοῦ τοῦ ἐν στοχασμῷ γελοιότατον· κἀκεῖνο γὰρ δηλαδὴ πολλάκις διαβάλλει παντάπασι τὸν ἀγῶνα, κατ' οὐδένα τρόπον ἢ χρόνον χώραν αὐτῷ καταλιμπάνον, ὡς ὅταν ἀφ' ὧν ἕτεροι πεπράχασι κρινώμεθα· οἷον τρισαριστέως εἰκόνα ἔστησαν οἱ πολέμιοι, καὶ κρίνεται προδοσίας· τὸ γὰρ ὅλον τῆς κρίσεως διαβάλλει, τῷ φάσκειν αὐτὸν μὴ ὀφείλειν

7 Mon. ἀντιπαραμβάλλοιμεν αὐτὸ τὸ πρὸς τόδε. 8 Mon. παραλαμβάνοιτο. 9 Mon. Par. 1. οἱ Par. 2. οὗ. 10 φασὶ Par. 1. om. Idem διαγράφει. Mon. Par. 2. διαγράψαι. 11 Par. ἅπαντα ἐκβάλλει. 12 Mon. εἰς τὸ παντελῶς παραγραφικόν. 13 Par. 1. οὐ γάρ.

ἀφ' ὧν ἕτεροι πεποιήκασι, κρίνεσθαι· τοῦτο μὲν δὴ οὕτως εὐδιάλυτον· σαφεστάτη δὲ αὐτῶν εἴη ἂν αὕτη διαφορὰ, ᾗ τὸ μὲν τοῦ στοχασμοῦ παραγραφικὸν καθαιρετικὸν τοῦ περὶ προσώπου ἀξιώματος γίνεται, καὶ βλάπτει τὸν χρώμενον οὐ μετρίως, ἢν μὴ κατὰ μέθοδον αὐτό τινα μεταχειρίσηται, καθὰ ἐν τῷ περὶ αὐτοῦ λόγῳ παρεστήσαμεν, τὸ δὲ οὐχ οὕτως· τοὐναντίον γὰρ λαμπρῶς καὶ διαῤῥήδην ἐπαγωνιεῖται αὐτῷ ὁ φεύγων. Ἔτι κἀκεῖνο ἐπιστατέον ἔφασάν τινες, τὸ παραγραφικὸν τοῦτο μὴ ἀεὶ ἐμπίπτειν· τηνικαῦτα δὲ μόνον, ἡνίκα ἂν ἐλλείπῃ τὸ ὁρικὸν παραγραφικὸν ἐκ τοῦ πράγματος, λαμβάνεσθαι γὰρ αὐτὸ ἀντ' ἐκείνου· ὥστε, ἔνθα ἂν ἐκεῖνο εὑρίσκηται, τοῦτο ἐλλείπειν, εἴγε αὐτῷ ὕπεστι τὸ κυριώτερον, καὶ οὗπερ ἕνεκα [14] τοῦτο παραλαμβάνεται· ἰδοὺ γοῦν, φασὶν, [15] ἐπὶ μὲν τοῦ Ἀλκιβιάδου τοῦ φέροντος ἐν ἐκπώμασι τὰ περὶ Σικελίαν καὶ κρινομένου δημοσίων, ἐπειδὴ τὸ ὁρικὸν παραγραφικὸν ἐκ τοῦ πράγματος ὕπεστιν, ὅτιπερ οὐκ ἔστιν τοῦτο δημοσίᾳ ἀδικεῖν, οὐδ' ἐπὶ τούτοις εἰσὶν αἱ τῶν δημοσίων γραφαὶ, ἐκλείπει, φασὶ, τὸ παραγραφικόν· ἐπὶ δὲ τοῦ στρατηγοῦ τοῦ πείσαντος τὸν δῆμον καθελεῖν τὰ τείχη τῆς συνεχῶς ἀφισταμένης πόλεως, εἶτα τῶν συμμάχων ἀποστάντων κρινομένου δημοσίων ἀδικημάτων, ἐλλείψαντος τοῦ ὁρικοῦ παραγραφικοῦ ἐκ τοῦ πράγματος, οὐ γὰρ ἔνεστι λέγειν, ὡς ἡ ἀπόστασις τῶν συμμάχων οὐκ ἔστι δημόσιον ἀδίκημα, ὕπεστι τὸ παραγραφικὸν, οἷον ἐφ' οἷς ἕτεροι πεποιήκασιν, οὐ δεῖ με κρίνεσθαι· τί γὰρ ἐμὲ δεῖ κινδυνεύειν, εἰ ἐβουλήθησαν ἀποστῆναι οἱ σύμμαχοι· ἔστι δὲ τὸ ὅλον ἢ παραλογισμὸς ἢ ἀπολογία πολλή· ὅτι μὲν γὰρ ἐπὶ τοῦ στρατηγοῦ τὸ παραγραφικὸν, οὐδὲ τοῦτο ὑφίσταται, ἐπειδὴ τὸ ὁρικὸν παραγραφικὸν ἐκ τοῦ πράγματος ἐξέλιπε, πρόδη-

14 Mon. εἴγε αὐτὸ ὑπέστη τὸ κυρ. καὶ οὗ παρένεκα. 15 Par. 1. ἰδοὺ γάρ φησι.

λον ἐξ ὧν ἐπὶ τοῦ κατὰ τὸν ζωγράφον παραδείγματος ἀμφότερα ὕπεστι, τό τε ὁρικὸν παραγραφικὸν ἐκ τοῦ πράγματος, καὶ τὸ παραγραφικὸν, ὡς ἐπιδέδεικται· ὅτι δ' αὖ πάλιν οὐδὲ ἐπὶ τοῦ Ἀλκιβιάδου, τοῦ φέροντος τὰ περὶ Σικελίαν ἐπὶ τῶν ἐκπωμάτων καὶ κρινομένου δημοσίων διὰ τὸ ὑπεῖναι τὸ ὁρικὸν παραγραφικὸν ἐκ τοῦ πράγματος ἐξέστη τὸ παραγραφικὸν, εἰ καὶ κατὰ μικρὸν τὰ τοῦ τεχνικοῦ κατενόησαν ῥήματα, οὐκ ἂν ἠγνοήκεισαν τὸ οὕτω περιφανές· τὰς γὰρ ἁπλᾶς ἀντιλήψεις διεῖλεν ὁ τεχνικὸς διχῇ, εἴς τε τὰς ἐχούσας ἐκ μόνων τῶν πεπραγμένων τὴν κρίσιν, καὶ εἰς τὰς ἀπ' αὐτῶν τε τῶν πεπραγμένων καὶ ἔκ τινος ἑτέρου ἐπισυμβεβηκότος, ὧν καὶ ἴδιον εἶναι τὸ παραγραφικόν ἔφη κεφάλαιον· τὸ οὖν τοῦ Ἀλκιβιάδου παράδειγμα οὐδὲν ἔχον ἔξωθεν ἐπισυμβεβηκὸς εἰκότως οὐδὲ τὸ παραγραφικὸν ὑπεδέξατο· τοῦ γὰρ ἑτέρου αὐτὸ εἴδους εἶναι ἐφάσκομεν ἴδιον· τούτῳ δὲ τῷ παραγραφικῷ ἰσχυροτάτῳ ὄντι πανταχοῦ σχεδὸν τῶν ἀγώνων χρηστέον· καὶ πρὸ τῶν κεφαλαίων δὲ, φησὶν, παραληψόμεθα αὐτὸ τοῖς προοιμίοις ἐγκατασπείροντες· ἰστέον μέντοι, ὡς ὁ εὐκαιρότατος αὐτοῦ τόπος μετὰ τὴν πηλικότητά ἐστι καὶ τὸ πρός τι, ἀκμάζοντος ἤδη τοῦ κατηγόρου ἐν ταῖς αὐξήσεσι· τὴν δὲ δύναμιν τοῦ κεφαλαίου μάλιστα Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος παρέστησεν ἀντιληπτικοῦ τινος ἐμπεσόντος αὐτῷ· Αἰσχίνου γὰρ αἰτιωμένου ἐκ τῶν ἐπισυμβεβηκότων τὴν Δημοσθένους συμβουλίαν, ὡς πολλῶν τῇ πόλει συμφορῶν αἰτίαν γενομένην, αὐτὸς κατὰ τὸ ἐξεῖναι τὰ δοκοῦντα συμβουλεύειν ἀντιλαμβάνεται πρῶτον· ἔπειτα τῷ παραγραφικῷ χρησάμενος τὴν ἐπὶ τούτῳ κατηγορίαν παντελῶς διεσείσατο· λέγει γὰρ οὕτως· εἰ μὲν γὰρ ἦν σοι πρόδηλα τὰ μέλλοντα, Αἰσχίνη, [15] μόνῳ τῶν ἄλλων, ὅτε ἐβουλεύετο ἡ πόλις περὶ τούτων, τότε ἔδει προλέγειν

16 Mon. *Αἴσχινες.* — pro cor. p. 294. cfr. Vol. IV. p. 633.

εἰ δὲ μὴ προῄδεις, τῆς αὐτῆς ἀγνοίας ὑπεύθυνος εἶ τοῖς ἄλλοις. ὥστε τί μᾶλλον ἐμοῦ σὺ ταῦτα κατηγορεῖς ἢ ἐγὼ σοῦ, τοσοῦτον γὰρ ἀμείνων ἐγώ σου πολίτης γέγονα, εἰς αὐτὰ ταῦτα ἃ λέγω, καὶ οὔπω περὶ τῶν ἄλλων διαλέγομαι, ὅσον ἐγὼ μὲν ἔδωκα ἐμαυτὸν εἰς τὰ πᾶσι δοκοῦντα συμφέρειν, οὐδένα κίνδυνον ὀκνήσας ἴδιον οὐδ' ὑπολογισάμενος,[17] σὺ δ' οὐδέτερα εἶπας βελτίω τούτων. οὐ γὰρ ἂν τούτοις ἐχρῶντο· οὐδ' εἰς ταῦτα χρήσιμον οὐδὲν σεαυτὸν παρέσχες καὶ τὰ ἑξῆς· καὶ μὴν ὁ Θουκυδίδης ἐν τῇ Περικλέους δημηγορίᾳ μετὰ πολλοῦ ἀξιώματος παρέλαβεν αὐτό· καὶ γὰρ ἐκεῖ ἀντιληπτικὸν ἦν τὸ ὅλον, αἰτίαν ἔχοντος Περικλέους, ὡς πεπεικότος τὸν δῆμον πολεμεῖν οὐκ ἐν συμφέροντι, συνέβη γὰρ ἐντεῦθεν δῃωθῆναι[18] τὴν γῆν καὶ τὸν λοιμὸν ἐνσκῆψαι· ταῦτα τοιγαροῦν ἐπ' αὐτῆς ἔφη τῆς λέξεως·[19] „ὑμεῖς δὲ μήτε ὑπὸ τῶν τοιῶνδε πολιτῶν παράγεσθε, μήτ' ἐμὲ δι' ὀργῆς ἔχετε, ᾧ καὶ αὐτοὶ ξυνδιέγνωτε πολεμεῖν· καὶ εἰ ἐπελθόντες οἱ ἐναντίοι ἔδρασαν, ἅπερ εἰκὸς ἦν μὴ ἐθελησάντων ὑμῶν ὑπακούειν, ἐπιγεγένηταί τε πέρα ὧν προσεδεχόμεθα, ἡ νόσος ἥδε, πρᾶγμα μόνον δὴ τῶν πάντων ἐλπίδος κρεῖσσον γεγενημένον, καὶ δὴ δι' αὐτὴν οἶδ' ὅτι μέρος τι μᾶλλον ἔτι μισοῦμαι οὐ δικαίως, εἰ μὴ καὶ ὅταν[21] παρὰ λόγον τι εὖ πράξητε[22] ἐμοὶ ἀναθήσετε·“ φησὶ δὲ καὶ ἕτερον εἶναι ἴδιον κεφάλαιον τούτου[23] τοῦ εἴδους τὸ συγγνωμονικὸν, ὅπερ, φησὶν, μέσον τῆς ἀντιλήψεως καὶ τῆς ἀντιθέσεως κείσεται. προτετάχθω δὲ αὐτὸ τὸ χρήσιμον τοῦ τεχνικοῦ.

Εἴδη λέγει[24] τῆς ἀντιλήψεως πλείονα, ὧν τὰς μὲν ἁπλᾶς φησιν, τὰς δὲ διπλᾶς· περὶ τῶν διπλῶν δὲ ποιεῖ-

17 Mon. ἀπολογησ. 18 Mon. δυνηθῆναι. 19 II. 64. 20 Mon. ὅ. 21 Par. 1. ὅτι. 22 Mon. πράξηται, ἐμοὶ ἀναθήσεται. 23 Par. 1. τοῦδε. 24 εἴδη λέγει sqq. usque ad litt. γ'. inter sch. min. referunt Parr.

ται πρῶτον τὸν λόγον, τὴν δὲ ἁπλῆν μὲν, ἔχουσαν δέ τι ἐπισυμβεβηκός· τὴν οὖν πάντῃ ἁπλῆν ἀπ᾽ αὐτοῦ τοῦ πεπραγμένου τὴν κρίσιν ἔχειν φησὶν, καὶ τοῖς προειρημένοις μόνοις τέμνεσθαι κεφαλαίοις κατὰ τὰ ἐμπίπτοντα, ὡς ἐπὶ τοῦ τὸν ἀριστέα μοιχὸν καταλαβόντος καὶ ἀποκτείναντος καὶ φόνου κρινομένου, καὶ ὡς ἐπὶ τοῦ Ἀλκιβιάδου· ἐνταῦθα γὰρ ἐπ᾽ αὐτῷ μόνῳ κρίνεται τῷ γράψαι τὰς συμφοράς. κατὰ τὰ ἐμπίπτοντα δὲ εἶπεν· ἔστιν γὰρ ὅτε οὐ πάντῃ [25] ἐμπίπτει.

Καλῶς εἶπεν ἐπ᾽ αὐτοῦ τε τοῦ πεπραγμένου, ἀντὶ τοῦ οὐκ ἐπ᾽ αὐτῷ τῷ γεγενημένῳ, συμβαίνει γὰρ μηδὲν γεγενῆσθαι δεινὸν, ὡς ἐπὶ τοῦ βουλεύσαντος δέξασθαι Παυσανίαν, ὡς δὲ ἐπὶ τοῦ ζωγράφου· ἐπὶ τούτου γὰρ καὶ ἐπ᾽ αὐτῷ τῷ πεπραγμένῳ κρίνεται, καὶ τῷ ὕστερον συμβάντι.

γ΄. Ἁπλῶς λέγει, ἔνθα ἐστὶν ἓν πρᾶγμα ζητούμενον καὶ ἓν πρόσωπον τὸ κρινόμενον· διπλᾶς δὲ καλεῖ, ἔνθα ἔχομεν δύο πράγματα καὶ δύο τὰς ἀντιλήψεις· γίγνονται δὲ καὶ ἐπιπλοκαί τινες· τοῦτο πρὸς τῷ τέλει [26] τῆς στάσεως διδάξει· εὑρίσκονται δὲ καὶ τρεῖς ἀντιλήψεις, καὶ ἀνάγκη καὶ τρία εἶναι χρώματα· [27] δείκνυσι δὲ καὶ τὴν διαφοράν· ἐν γὰρ ταῖς ἄλλαις, φησὶν, ἕνα ἔχομεν κατήγορον, ἐνταῦθα δὲ δύο ἀλλήλων κατηγοροῦντας, καὶ δείκνυσι διάφορον τὴν διαίρεσιν πρὸς τὰ εἴδη γιγνομένην.

δ΄. Τὸ ἀπ᾽ αὐτοῦ ἀντὶ τοῦ ἐπ᾽ αὐτῷ τῷ γινομένῳ πράγματι ἐπιδέχεται κατηγορίαν, ὡς ἐδίδαξεν ἐπὶ τοῦ πλάσματος. οἷον Ἀλκιβιάδης μετὰ τὰ κατὰ Κύζικον. ἰδοὺ ἐνταῦθα ἐπ᾽ αὐτῷ τῷ πραχθέντι κρίνεται Ἀλκιβιάδης. καὶ τοῦτο μὲν εἶδος τῶν ἁπλῶν· ἔστι δὲ ἕτερον εἶδος ἡ καλουμένη ἐπισυμβεβηκυῖα, ὅταν παρ᾽ αὐτὰ μὲν

25 Mon. πάντα. 26 Mon. πρὸς τὸ τέλος τ. στ. διδάσκει. 27 Par. 1. χρώματα εἶναι.

μὴ ἔχῃ τὸ γεγενημένον δεινὸν, ὕστερον δὲ μετὰ τὸ πραχθὲν ἐπισυμβεβηκὸς, ὡς ἔστι τὸ παράδειγμα τοῦ ῥήτορος· μετὰ Χαιρωνείαν ἔπεμψε Φίλιππος καὶ τὰ ἑξῆς. ἰδοὺ ἐνταῦθα τὸ ζήτημα καθ᾽ ἑαυτὸ μὲν οὐδὲν ἔχει δεινὸν, ὕστερον δὲ μετὰ τὴν συμβουλὴν Δημοσθένους ἐπισυνέβη·[28] ἀνεῖλε γὰρ ὕστερον τοὺς αἰχμαλώτους Φίλιππος. εἴπομεν δὲ καὶ ἄλλο παράδειγμα, Παυσανίας Φίλιππον ἀνελὼν, γέγονε δ᾽ οὗτος ἐρώμενος Φιλίππου, καθὰ καὶ Αἰσχίνης λέγει, κατέφυγεν εἰς Ἀθήνας· συνεβούλευσε Δημοσθένης Ἀθηναίοις δέξασθαι. Ἰδοὺ αὐτὸ καθ᾽ ἑαυτὸ οὐκ ἔχει δεινὸν οὐδὲν, μετὰ ταῦτα ἠπείλησε πόλεμον αὐτοῖς Ἀλέξανδρος, καὶ κρίνεται δημοσίων ἀδικημάτων Δημοσθένης, ἰδοὺ ἐνταῦθα ἐπισυμβεβηκυῖα γέγονεν ἀντίληψις.

ε΄. Καλῶς εἶπε „κατὰ τὰ ἐμπίπτοντα,“ οὐ γὰρ ταῦτα ἀεὶ ἐμπίπτει. ἐμφαίνει δὲ τὸ ὁρικὸν παραγραφικὸν διπλοῦν τυγχάνον. τὸ μὲν ἀπὸ προσώπου, τὸ δὲ ἀπὸ τοῦ πράγματος· οὐ γὰρ δύναται λέγειν ὁ Ἀλκιβιάδης, ὅτι οὐκ ἠδυνάμην ἀδικεῖν· ἔνδοξον γὰρ καὶ δυνατὸν τὸ πρόσωπον· τὸ ἀπὸ τοῦ πράγματος δὲ μόνον ἐμπέπτωκεν, οἷον ἀλλ᾽ οὐ τριήρεις προδέδωκα, οὐ τεῖχος καθεῖλον, οὐ συμμάχους ἀπώλεσα, καὶ τοῦτο μάλιστα ἴδιον κεφάλαιον, ὅταν ὁ κρινόμενος αὐτὸ μὲν, ὃ ἔπραξε, δημόσιον τυχὸν σιωπᾷ, ὃ δὲ μὴ ἐποίησε τοῦτο προβάλλεται.

ς΄. Ἐπισυμβεβηκότος ἀντὶ τοῦ ἐπ᾽ αὐτῷ τῷ γενομένῳ πράγματι. συμβαίνει δὲ γὰρ μηδὲν γεγενῆσθαι κακὸν, ὡς ἐπὶ τοῦ ζωγράφου· ἐκ γὰρ τοῦ συμβάντος ἐπὶ τῇ γραφῇ τὴν κρίσιν ὑπέχει, ἐπισυμβεβηκὸς δὲ ὠνόμασται τοῦτο τὸ εἶδος, εἰ μὴ γὰρ ἡ ἀπορία συνέβη γενέσθαι τῶν εἰσπλεόντων, οὐκ ἂν ὁ ζωγράφος ἐπὶ τὸ δικαστήριον εἵλκετο.

ζ΄. Θαυμάσιον εἶπε· πρῶτον γὰρ ἐμπίπτει· τί οὖν

28 Par. 1. συνέβη.

διαφέρει τοῦ ὁρικοῦ παραγραφή; ὅτι τὸ ὁρικὸν παραγραφικὸν ἔχει ἅμα καὶ παραγραφικὸν, ὅ ἐστι διαβολὴν τοῦ πράγματος. ὁμοῦ δὲ καὶ ὁρίζεται· τὸ μέν τοι παραγραφικὸν διαβάλλει μόνον, οὐκέτι δὲ ὁρίζεται. προτέτακται οὖν κατὰ φύσιν τῶν κεφαλαίων· δύναται οὖν καὶ μετὰ ταῦτα τίθεσθαι καὶ οὐ κεκώλυται, ὥσπερ παρὰ τῷ ῥήτορι ἐν τῷ περὶ στεφάνου.

Καλῶς τὸ ἐν ταῖς τοιαύταις, τουτέστι ταῖς ἐπισυμβεβηκυίαις· οὐ γὰρ καθόλου ἐν πάσῃ τῇ ἀντιλήψει τὸ συγγνωμονικὸν ἀναγκαίως ἐμπίπτει, ὅτι ἠγνόουν τὸ μέλλον, τὸ δὲ πρὸ τοῦ ἀντιθετικοῦ σημαίνει τοῦ χρήματος· εἰρήκαμεν δὲ πολλάκις, ὅτι πάντως κατὰ μίαν γίνεται τῶν ἀντιθετικῶν· διὰ τί δ' ἀπὸ μόνων τούτων γίνεται εὐλόγως· τί γάρ ἐστι χρῶμα; αἰτία τοῦ πραχθέντος· τί δὲ ἀντίθεσις; τὸ τῷ ὁμολογουμένῳ ἀδικήματι αἰτίαν ἀντιτιθέναι εὔλογον· ἐπειδὴ οὖν τὸ χρῶμα αἰτίαν ἔχει, καὶ ἡ ἀντίθεσις δὲ ἀντιτίθησι τῷ ἀδικήματι αἰτίαν, ἀναγκαίως τὸ χρῶμα κατὰ μίαν τῶν ἀντιθετικῶν ἐστι· τοῦ δ' ἐμπίπτοντος εἶπεν, ἐπειδὴ οὐκ ἔστι πολλάκις τὸ χρῶμα καὶ τὸ αὐτὸ, ἀλλὰ ποτὲ μὲν ἀντιστατικὸν ἢ ἀντεγκληματικὸν, ποτὲ δὲ συγγνωμονικόν· παρατηρητέον δὲ, ὡς οὐ πάντα λέγει συγγνωμονικὸν, ἀλλὰ δῆλον, ὅτι τὸ ἀπὸ τῆς ἀγνοίας γινόμενον μόνον, ὅτι οὐδεὶς οἶδε τὸ μέλλον.

η΄. Ἴδιον μὲν τοῦ κεφαλαίου τούτου τὸ πρὸ πάντων τάττεσθαι τῶν ἄλλων κεφαλαίων· διαβολὴ γάρ ἐστι τῆς κατηγορίας· καὶ ἀναγκαίως ὁ κρινόμενος πρὸ τῆς ἀπολογίας διαβάλλει πρῶτον τὴν κατηγορίαν· κατὰ φύσιν οὖν προτέτακται πάντων τῶν ἄλλων κεφαλαίων· δύναται δὲ καὶ ἐν τῷ μέσῳ καὶ ἐν τῷ τέλει, καὶ ὅλως ὃν ἂν τρόπον λυσιτελῇ, [29] τὸ δὲ λυσιτελὲς ὁ ῥήτωρ σκοπήσει πρὸς τὴν τοῦ πράγματος ὕλην.

---

29 λυσιτελῇ, τὸ δὲ Mon. om.

θ'. Τὴν συμβουλὴν αἰτιωμένου ἐνταῦθα τοῦ Αἰσχίνου, ὅτι τοιαῦτα ἀπήντησεν ἐκ τῆς Δημοσθένους πολιτείας, ἡ περὶ Χαιρωνείαν ἧττα, καὶ οἱ χίλιοι νεκροὶ, καὶ οἱ δισχίλιοι αἰχμάλωτοι, ὁ Δημοσθένης τὸ παραγραφικὸν εἰσήγαγεν οὕτως. Ὅρα δὲ, πῶς τὴν δύναμιν τοῦ κεφαλαίου δηλοῖ ὁ τεχνικὸς, τῷ καλουμένῳ διλήμματι χρησάμενος, καὶ διπλοῦν ἀνθ' ἁπλοῦ τὸ παραγραφικὸν ποιῶν, οἷον, εἰ μὲν ἐπὶ τοῖς ὕστερον γεγενημένοις οὐ δεῖ με ἐφ' οἷς ἕτερος πεποίηκεν εὐθύνεσθαι. οὐ μὴν χωρὶς ἐργασίας τινὸς τοῦτο παρείληπται· ἀλλὰ προσλαβὼν ὁ τεχνογράφος τὴν τοῦ Φιλίππου ποιότητα τὸν λόγον διὰ ταύτης ἐπιῤῥώννυσι· τί γὰρ προσέθηκην „οὐδ' εἰ γένει προσήκοντες εἶεν·" μήτι γε δὴ πόλεμον. Ὅρα [30] ὅτι ἐπὶ τῶν τοιούτων, ἐφ' ὧν ἐστιν ἐπισυμβεβηκός τι, ὅτι τὰ πεπραγμένα κρίνεται οὐχ οὕτω δι' αὐτὰ, ὡς διὰ τὰ ἐπισυμβάντα ἐκείνοις· τῷ μὲν διὰ τὸ μηδένα εἰσπλεῖν καὶ σπάνιν εἶναι· τῷ δὲ διὰ τὸ ἀνῃρῆσθαι τοὺς δισχιλίους. Ποίαις; ταῖς ἐχούσαις ἐπισυμβεβηκός τι· εἰς δύο γὰρ τὰς ἁπλᾶς ἀντιλήψεις διεῖλεν· εἴς τε τὰς ἐχούσας ἐκ μόνων [31] τῶν πεπραγμένων τὴν κρίσιν, καὶ εἰς τὰς κρινομένας ἐκ μόνων τῶν πεπραγμένων καί τινος ἐπισυμβεβηκότος· ἐν οὖν ταῖς ἐχούσαις ἐπισυμβεβηκός τι ἴδιον ἔφη κεφάλαιον εἶναι περὶ τὰ προειρημένα τὸ παραγραφικόν· τὸ οὖν τοῦ Ἀλκιβιάδου παράδειγμα οὐδὲν ἔχον ἔξωθεν ἐπισυμβεβηκὸς οὐδὲ τὸ παραγραφικὸν ἐδέξατο. Τὸ ἕτερον μέρος τοῦ παραγραφικοῦ· δῆλον δὲ ὡς ἀπὸ χρόνου τοῦτο· διὰ τῆς ἐρωτήσεως δὲ εἰς ἀπορίαν καθίστησι τὸν κατήγορον. Πάλιν καὶ τοῦτο διεῖλεν, ἢ γὰρ ἔχων [32] τι βέλτιον εἰπεῖν καὶ χρήσιμον τῇ πόλει παρῆκας. ἢ οὐδὲν εἶχες εἰπεῖν βέλτιον· καὶ ἐπὶ τούτῳ πάλιν ἐφ' ἑκάτερον τὸ

30 Ὅρα ὅτι usque ad litt. ι inter sch. min. referunt Parr.
31 ἐκ μόνων πεπρ. τὴν κρ. καὶ εἰς τὰς κρινομένας Mon. om.
32 Mon. ἔχων om.

ἄπορον. εἰ μὲν οὖν[33] ἔχων τι βέλτιον εἰπεῖν παρῆκας, δύσνους εἶ τοῖς κοινοῖς· καὶ δικαιότερον αὐτόν σε διδόναι δίκην· εἰ δὲ μηδὲν εἶχες εἰπεῖν τῆς ἀγνοίας ὑπεύθυνος εἶ τῶν ὕστερον ἀποβεβηκότων. ὥστε ἢ καὶ σὲ δεῖ δοῦναι δίκην, ἢ ἀμφοτέρους ἀγνοήσαντας ἀφίεσθαι.

ι. Δυσὶ κεφαλαίοις λέγει[1] τοῦτο τὸ εἶδος τῆς ἀντιλήψεως πλεονάζειν, παραγραφικῷ καὶ συγγνωμονικῷ· καλῶς δὲ προσέθηκεν ἐν ταῖς τοιαύταις ἀντιλήψεσιν· οὐδὲ γὰρ ἐν πάσῃ ἀντιλήψει τὸ συγγνωμονικὸν ἐμπίπτει κεφάλαιον, ἀλλ' ἐπὶ τούτων μόνων τῶν ἐπισυμβεβηκός τι ἐχόντων, ἐπειδὴ γὰρ ὕστερον συνέβη τὸ δεινὸν, ἀναγκαίως εὑρίσκεται τὸ συγγνωμονικὸν, ἀπὸ τῆς ἀγνοίας. χώραν δέ φησιν ἔχειν τὸ κεφάλαιον πρὸ τοῦ ἀντιθετικοῦ, τουτέστι τοῦ χρώματος· προθεραπείᾳ γὰρ τὸν ἀκροατὴν δεῖ πρῶτον ὑπάγεσθαι. οἷον ὅτι ἠγνόουν καὶ οὐδεὶς ἀνθρώπων οἶδε τὸ μέλλον· καὶ τότε ἐπαγαγεῖν χρῶμα, ὃ οὐδὲν ἕτερόν ἐστιν, ἢ αἰτία τοῦ πραχθέντος· πρὸ τοῦ ἀντιθετικοῦ οὖν, ὡσανεὶ ἔλεγε πρὸ τοῦ χρώματος, ὅ ἐστι πρὸ τοῦ ἀντικαταστατικοῦ· ἐπειδὴ δὲ καὶ τὸ χρῶμα αἰτίαν ἔχει, καὶ ἡ ἀντίθεσις ἀντιτίθησι τῷ ἀδικήματι αἰτίαν, ἀναγκαίως τὸ χρῶμα ἀντίθεσιν εἶπεν.

ιά. Ἔτι, φησὶ, καὶ συγγνωμονικὸν κεφάλαιον τοῦ μέλλοντος ἀγνοίᾳ προβαλλόμενον πάντως ἐπὶ τούτου τοῦ εἴδους ἐμπεσεῖται· ἴδιον καὶ τοῦτο κεφάλαιον καθεστὼς παρὰ τὰ ἐκπίπτοντα ἐπὶ τοῦ ἑτέρου εἴδους τῶν ἁπλῶν· τάξις δὲ, φησὶ, τῷ συγγνωμονικῷ τὸ πρὸ τῆς ἀντιθέσεως παντελῶς εἰσφέρεσθαι· ζητεῖ οὖν ἐνταῦθα Παῦλος ὁ καθ' ἡμᾶς, πῶς τὸ συγγνωμονικὸν λέγει πρὸ τῆς ἀντιθέσεως τάττεσθαι, ὡς δὴ τοῦ συγγνωμονικοῦ οὐκ ὄντος ἀντιθετικοῦ· ὁρῶμεν γὰρ τὴν ἀντίθεσιν τετραχῆ λαμβανομένην, ἤτοι κατὰ τὸ ἀντιστατικὸν, ἢ τὸ ἀντεγκληματικὸν, ἢ μεταστατικὸν, ἢ συγγνωμονικόν· καὶ τού-

---

33 Mon. τοι. 1 λέγει Par. 1. om.

των ἐπὶ τῆς ἀντιθέσεως τὰ παραδείγματα δέδοται· τί οὖν ἐνταῦθα ὥσπερ ὑπεξαίρων τῆς ἀντιθέσεως τὸ συγγνωμονικὸν ἔφη πρὸ τῆς ἀντιθέσεως αὐτὸ λαμβάνεσθαι; οὐ μὴν τὴν ἀπορίαν ἄλυτον καταλέλοιπεν, ἀλλ' ἄριστα τὴν φύσιν ἀναθεωρήσας τοῦ εἴδους οὕτω τὸ προσιστάμενον ἀπελύσατο· ἐπὶ τῶν ἀντιλήψεων τούτων, φησὶν, οὐκ ἐν τοῖς πεπραγμένοις μόνοις ἡ κρίσις ἵσταται, ἀλλὰ καὶ ἐν τῷ συμβεβηκότι, καθὰ δεδήλωται, καὶ τό γε πλέον ἐν τούτῳ ἀνάγκη. δεῖ οὖν περὶ ἑκατέρου τὸν φεύγοντα ποιεῖσθαι λόγον καὶ ἄμφω θεραπεύειν τό τε ἐπισυμβεβηκὸς καὶ τὸ πεπραγμένον· πρὸς μὲν οὖν τὴν ἐκ τῶν πεπραγμένων κατηγορίαν ἡ ἀντίληψις φέρεται· τὸ δ' ἐπισυμβεβηκὸς ἔμεινεν ἂν λυποῦν καὶ προσιστάμενον· ἵνα οὖν μὴ τοῦτο γένηται, φέρεται [2] καὶ πρὸς ἐκεῖνο τὸ συγγνωμονικὸν τοῦτο κεφάλαιον τῶν ὕστερον συμβεβηκότων ἄγνοιαν προβαλλόμενον, ἐπεὶ δὲ τὴν ἐκ τῆς ἀντιλήψεως ἀπολογίαν αὐστηροτέραν πως ἢ τραχυτέραν ἐφάσκομεν εἶναι, ἐπανατρέχομεν εἰς ἐκείνην, καὶ διὰ τῆς ἀντιθέσεως αὐτὴν θεραπεύομεν. εἰκότως οὖν τὸ συγγνωμονικὸν τοῦτο ἴδιον ἔργον ἀποπληροῦν καὶ πρὸς ἄλλο τι φερόμενον ἐχωρίσθη τῆς ἀντιθέσεως. ἡ μὲν γὰρ ἀντίθεσις ἐν παντὶ εἴδει ἀντιλήψεως εὑρίσκεται, [3] τὸ δὲ οὐκ ἐν παντὶ, ἀλλ' ἐπὶ τῶν ἐχουσῶν συμβεβηκός τι ἔξωθεν ἀντιλήψεως. ἔτι δὲ ἀκολούθως ζητεῖ, πῶς δύναιτο ἂν τὸ συγγνωμονικὸν χώραν ἔχειν· ἡνίκα τοῦ ἀντιστατικοῦ λαμβάνομεν τὴν ἀντίθεσιν· τὸ μὲν γὰρ ἀντιστατικὸν εὐεργέτημα εἰσφέρει, τὸ δὲ συγγωμονικὸν, ὡς εἴρηται, προβάλλεται ἄγνοιαν· ἠλιθιώτατον δὲ, προΐσχεσθαι ἄγνοιαν ἐπ' εὐεργετήματι, ὥσπερ ἀκούσιον βουλομένους ἐπιδεικνύναι τὸ εὐεργέτημα· καὶ τοῦτο δὲ ἐκ τῆς ἀνωτέρω διαιρέσεως ἀπολέλυται· εἰ γὰρ πρὸς ἕτερον μὲν φέρεται ἡ ἀντίληψις, τουτέστιν πρὸς τὸ πεπραγμένον, πρὸς ἄλ-

2 φέρεται Mon. om. 3 εὑρίσκεται Mon. om.

λο δὲ τὸ συγγνωμονικὸν, πρὸς γὰρ τὸ ἐπισυμβεβηκὸς κομίζεται, ἡ δὲ ἀντίθεσις ἐπὶ τῆς ἀντιλήψεως παραλαμβάνεται, τὸ τυραννικὸν αὐτῆς ὑπομαλάττουσα[4] καὶ θεραπεύουσα, οὐδὲν κωλύσει τό τε συγγνωμονικὸν ἀεὶ καὶ τὸ ἀντιστατικὸν ὑφεστάναι. κατ' ἄλλο γὰρ καὶ ἄλλο φερόμενα μάχην οὐκ ἐγείρει πρὸς ἄλληλα, ἡ μὲν γὰρ ἀντίθεσις ἐπὶ τῶν πεπραγμένων λαμβάνεται, ὅτι ἐπ' ὠφελείᾳ τοῦτο ἔδρων τῆς πόλεως, τὸ δὲ συγγνωμονικὸν τοῦ ἐπισυμβεβηκότος δεινοῦ προτείνεται ἄγνοιαν, οἷον οὐκ ἠπιστάμην τοῦτο ἀποβήσεσθαι μέλλον· ἐκεῖνο δὲ ἐπιστῆσαι ἄξιον, ὡς ἀδύνατον ἐπὶ τοῦ προκειμένου εἴδους, φημὶ τοῦ κατ' ἐπισυμβεβηκὸς, τὴν ἀντίθεσιν ληφθῆναι κατὰ συγγνώμην, ἀλλ' ἢ κατ' ἀντίστασιν ἢ μετάστασιν ἢ κατὰ τὸ ἀντεγκληματικὸν καὶ τὴν αἰτίαν οὐ χεῖρον[5] εἰπεῖν· πᾶσα γὰρ συγγνώμη ἢ ἄγνοιαν[6] προβάλλεται ἢ βίαν, ὥστε κατ' οὐδέτερον ἐνταυθοῖ ἁρμόζειν ἠδύνατο· εἰ μὲν γὰρ ἄγνοιαν προβάλλοιτο ἐπὶ τῷ πεπραγμένῳ, πρὸς γὰρ τοῦτο ἡ ἀντίθεσις, τὸ συγγνωμομονικὸν ἀναιρεῖ κεφάλαιον, ὅπερ ἐστὶν ἴδιον τῶν κατ' ἐπισυμβεβηκὸς ἀντιλήψεων. ὁ γὰρ ὅλως[7] ἐπ' αὐτῇ πράξει ἄγνοιαν προτεινόμενος, οἷον ὅτι μεθύων καὶ παράφορος ὢν ἔπραττον ταῦτα οὐκ εἰδὼς, οὐκ ἂν δύναιτο πάλιν τοῦ συμβεβηκότος ἄγνοιαν προΐσχεσθαι· πολὺ γὰρ δήπουθεν πρότερον ὁ τὴν πρᾶξιν ἀγνοῶν καὶ τὸ ἐπισυμβησόμενον, ὥστε τὸ ὅλον τοῦ εἴδους ἂν διαφθείροι τὸ τοῦ ἐπισυμβεβηκότος ἀναιρουμένου. εἰ δὲ κατὰ μίαν λαμβάνοιτο ἡ ἐν τῇ ἀντιθέσει συγγνώμη, οἷον ὅτι ἐβιάσθη ὑπὸ τῆς φύσεως ἢ τινος ἑτέρου, μάχεται πάλιν τῷ συγγνωμονικῷ κεφαλαίῳ. οὐ γάρ ἐστιν ἄμφω λέγειν, ὡς καὶ ἐβιάσθη καὶ ἀγνοῶν ἔπραξε. διδομένης γὰρ τῆς βίας ἄφυκτος ἦν ἡ πρᾶξις, κἂν τὸ μέλλον ἠπίστατο. Παῦ-

4 Mon. ὑπερμαλάττουσα. 5 Par. 1. εἰπεῖν οὐ χεῖρον. 6 ἢ ἄγνοιαν Mon. om. 7 Mon. λόγος.

λος μὲν οὖν ὁ ἡμέτερος τὴν φύσιν οὕτω κατὰ τρόπον διέγνω τοῦ κεφαλαίου, μόνος δὴ τῶν πώποτε τοῖς εἰρημένοις ἐπιστὰς [8] θεωρήμασιν. ἔτι δὲ κἀκεῖνο λεγέσθω, ὅ φησι διαῤῥήδην αὐτὸς ὁ τεχνικός· ὅτι γε οὐ ψιλῶς καὶ ἀνακεκαλυμμένως εἰσφέρειν δεῖ τὸ κεφάλαιον, ἀλλὰ μεταχειριζομένους, ὡς προσήκει· τοῦτο δέ φησιν οὐ παντὸς ἔργον, μόνου δὲ τοῦ καὶ τὴν ὕλην ῥητορικὴν τέχνην ἠκριβωκότος. οὐ γὰρ αὐτόθεν χρὴ τὴν ἄγνοιαν εἰσφέρειν, οἷον ὅτι τὸ μέλλον ἠγνοηκὼς ἦλθον ἐπὶ τὴν πρᾶξιν, ἀλλ᾽ ἐπὶ τὸ καθολικώτερον ἀναγαγόντα τὸν λόγον, ὡς οὐδεὶς οἶδε τὸ μέλλον· οὐκοῦν οὐδὲ ἐγὼ ἀγνοήσας ὑπεύθυνός εἰμι καὶ ὅλως κατὰ τὸ ἁρμόζον ἑκάστοτε αὐτὸ μεταχειριούμεθα· ὁ γοῦν Δημοσθένης [9] μετὰ πολλοῦ ἀξιώματος φαίνεται χρησάμενος τῷ κεφαλαίῳ τῷδε ἐν τῷ περὶ τοῦ στεφάνου ἀντιληπτικῆς ἐμπεπτωκυίας ζητήσεως. τὴν γὰρ δαιμονίαν ἀπόφασιν εἰς τὸ καθόλως λαβὼν ἀξιωματικώτερον ἐποιήσατο συγγνωμονικόν· καί φησιν οὕτως· [10] „τότε δ᾽ οὖν τὰ μὲν ἤμελλεν, ὡς ἐδόκει, τῶν δεινῶν, τὰ δὲ ἤδη παρῆν, ἐν οἷς τὴν προαίρεσίν μου σκόπει τῆς πολιτείας, μὴ τὰ συμβάντα συκοφάντει· τὸ μὲν γὰρ πέρας, ὡς ἂν ὁ δαίμων βουληθῇ, πάντως γίνεται· ἡ δὲ προαίρεσις αὐτὴ τὴν τοῦ συμβούλου διάνοιαν δηλοῖ. μὴ δὴ τοῦτ᾽ ἀδίκημα θῇς [11] ἐμὸν, εἰ συνέβη Φιλίππῳ κρατῆσαι τῇ μάχῃ, ἐν γὰρ τῷ θεῷ τὸ τούτου τέλος ἦν οὐκ ἐν ἐμοὶ, ἀλλ᾽ ὡς οὐχ [12] ἅπαντα, ὅσα ἐνῆν, κατὰ ἀνθρώπινον λογισμὸν εἱλόμην, καὶ τὰ ἑξῆς. ἔπειτα τῷ συγγνωμονικῷ τὴν ἀντίθεσιν συνάπτει· μετὰ

γὰρ

---

8 Mon. ἐπίσταται. 9 Sch. min. habent: καὶ Δημοσθένης γὰρ μετὰ κ. τ. λ. Vol. V. p. 323. v. 6—15. Οὐ γὰρ ἱκανὸν τὸ διελεῖν· οὐχ ἱκανόν φησι τὸ διελεῖν δύνασθαι μόνον, ἀλλὰ καὶ χρήσασθαι δηλονότι καλῶς. 10 pro cor. p. 292. 11 Mon. θείς. 12 Par. 1. οὐχ ὥς.

γὰρ τὸ συγγνωμονικὸν ἕπεται ἡ ἀντίθεσις· οὕτω γοῦν κατὰ τὸ ἀντιστατικὸν καὶ εὐεργέτημά τι ἀποβεβηκέναι φησίν·[13] „ἀλλ᾽ ἐκεῖνο λογίζου καὶ ὅρα, εἰ μετὰ τοσούτων συμμάχων ἀγωνιζομένους οὕτως εἵμαρτο πρᾶξαι, τί χρὴ προσδοκᾷν, εἰ μηδὲ[14] τούτους ἔσχομεν συμμάχους, ἀλλὰ Φιλίππῳ προσέθεντο· ὑπὲρ οὗ τότε ἐκεῖνος πάσας ἀφῆκε φωνάς· καὶ εἰ νῦν τριῶν ἡμερῶν ὁδὸν ἀπὸ τῆς Ἀττικῆς τῆς μάχης γενομένης, τοσοῦτον ὁ κίνδυνος καὶ φόβος περίεστι τῇ πόλει, εἴπου τῆς χώρας ταὐτὸ τοῦτο τὸ πάθος συνέβη, τί προσδοκῆσαι ἐχρῆν; ταῦτα ἱκανὰ πρὸς τὴν τοῦ συγγνωμονικοῦ κεφαλαίου τεχνολογίαν.

ιβ. Διαλεχθεὶς περὶ τοῦ παραγραφικοῦ πρότερον κεφαλαίου ὁ τεχνικὸς μέτεισι νυνὶ καὶ ἐπὶ τὸ συγγνωμονικόν, ἀλλὰ περὶ τούτου πέντε ζητεῖται κεφάλαια, καὶ ἔστι πρῶτον, ὅτι φησὶν ὁ τεχνικὸς τοῦτο τίθεσθαι τὸ κεφάλαιον πρὸ[15] τοῦ ἀντιθετικοῦ, μὴ προσθεὶς τὴν αἰτίαν, δι᾽ ἣν πρὸ τοῦ ἐμπίπτοντος ἀντιθετικοῦ τίθησιν αὐτό· χρὴ τοίνυν γινώσκειν, ὅτι οὐκ ἀλόγως οὐδὲ χωρὶς αἰτίας τοῦτο ἔφη ὁ τεχνικός, ἀλλὰ πάντως μετά τινος αἰτίας, καὶ ταύτην σεσιώπηκεν. ἔστι δὲ ἡ αἰτία τοιαύτη· ἡ ἀντίληψις πρὸς τὸ πεπραγμένον φέρεται· ὁμοίως δὲ καὶ ἡ ἀντίθεσις χρῶμά ἐστι τοῦ πεπραγμένου, οἷον ἔξεστί μοι πρᾶξαι ὃ ἂν βούλωμαι, ἀλλὰ καὶ ὑπὲρ τῶν ἐμπόρων τοῦτο πεποίηκα, ἵνα μὴ ὡς ἔτυχε πλέωσιν εἰδότες, ποίοις κινδύνοις ὑπόκεινται· ταῦτα οὖν ἀμφότερα πρὸς αὐτὸ φέρονται τὸ πεπραγμένον· ἀλλ᾽ ἐν ταῖς τοιαύταις ἀντιλήψεσιν, ἐν αἷς περί[16] τινος ἀποβεβηκότος ἡ κρίσις γίνεται, ἄτοπόν τι εὑρίσκετο, ταττόντων ἡμῶν ταυτὶ ἐφεξῆς τὰ δύο κεφάλαια, τό τε ἀντιληπτικόν φημι καὶ τὸ ἀντιθετικόν· ἐδοκοῦμεν γὰρ ἂν παρὰ τοῦ πεπραγμένου ἀπολογεῖσθαι, τὸ κατεπεῖγον καὶ μᾶλλον ἀναγκαῖον, καὶ

13 p. 293. 14 Mon. μὴ ἐπὶ τούτους. 15 πρὸ τοῦ ἀντιθετικοῦ Mon. om. 16 Mon. παρά.

περὶ οὗ πᾶσα συνίσταται ἡ κρίσις ἐῶντες ἀναπολόγητον, τουτέστι τὸ ἀποβεβηκός, λοιπὸν ἀνεσκιῤῥοῦτο ταῖς γνώμαις τῶν δικαστῶν, ὅτι περὶ τοῦ πεπραγμένου ἔχομεν ἀπολογεῖσθαι. περὶ δὲ τοῦ ἀποβεβηκότος καὶ περὶ οὗ ἡ κρίσις ἀποροῦμεν λέγειν τι. τοῦ γὰρ φεύγοντος λέγοντος, ὅτι ἔξεστί μοι ὅταν βούλωμαι ζωγραφῆσαι, ἀπεκρίνατο ὁ κατήγορος, καὶ τί τοῦτο πρὸς τὸ ἐν σπάνει τῶν κοινῶν καθίστασθαι τὴν πόλιν. καὶ λοιπὸν ἐδόκει παρὰ τοῦ παρέργου ἀπολογεῖσθαι, αὐτὸ τὸ ἀναγκαῖον κατεπεῖγον ἐῶν, εἴπερ ἐν τοῖς τοῦ πράγματος ἐνδιέτριβε[17] κεφαλαίοις· εὐλόγως οὖν μεταξὺ τοῦ τε ἀντιληπτικοῦ καὶ τοῦ ἀντιθετικοῦ τίθησι τὸ συγγνωμονικὸν, ὅπερ ἀπολογίαν ἔχει οὐ τοῦ πεπραγμένου, ἀλλὰ τοῦ ἀποβεβηκότος καὶ λοιπὸν εὐπρόσδεκτος ὁ λόγος, κοινὴν ἔχων ἀπολογίαν τοῦ τε πεπραγμένου καὶ τοῦ ἀποβεβηκότος· ἔστω τοίνυν ἡ ἀκολουθία τοῦ λόγου καὶ ἡ ἁρμονία τοιαύτη· ἔξεστί μοι γράψαι, ὃ ἂν βούλωμαι, εἰ γάρ τι ἀπέβαινεν ἐκ τούτου δυσχερὲς ἠγνόουν. ἡ γὰρ τοῦ μέλλοντος γνῶσις, ἀνθρωπείαν ὑπερβαίνουσα φύσιν, ἀλλὰ καὶ ὑπὲρ τῶν ἐμπόρων τοῦτο πεποίηκα· ἐσκόπουν γὰρ τὸ ἐκ τοῦ παρόντος ἀναφερόμενον χρήσιμον, καταφρονήσας τῆς ἐκ τοῦ μέλλοντος ἀδηλίας. οὕτως ὁ φεύγων ἐργάσεται τὰ κεφάλαια, μεταξὺ τιθεὶς τὸ συγγνωμονικὸν τοῦ τε ἀντιληπτικοῦ καὶ τοῦ ἀντιθετικοῦ· καὶ αὕτη μὲν, φησὶν, ἐστὶν ἡ κατὰ φύσιν αὐτοῦ τάξις. ἔστι δὲ καὶ ἑτέρα κατ᾽ οἰκονομίαν· ὡς καὶ αὐτός φησιν ὁ τεχνικός· μεταχειριεῖται δὲ αὐτὸ, ὡς προσήκει, ὁ καὶ τῆς ὅλης τέχνης[18] τῆς ῥητορικῆς ἐπιστήμων· οὐ γὰρ ἱκανὸν τὸ διελεῖν μόνον εἰδέναι, ὅπερ καὶ μόνον τουτὶ[19] τὸ βιβλίον ἐπαγγέλλεται, ὁ δὲ νοῦς τοῦ τεχνικοῦ τοιοῦτος, ὁ γινώσκων τὴν τέχνην τὴν ῥητορικὴν ἀκριβῶς σκοπείτω τὴν ἐμπίπτουσαν ὑπόθεσιν·

17 Par. 1. διέτριβει 18 τέχνης Par. 1. om. 19 Mon. τοῦτο.

καὶ χρήσεται τῷ συγγνωμονικῷ, ὅπου δ' ἂν νομίσῃ προσήκειν, οὐ γὰρ ἐξαρκέσει, φησὶν, τὸ γινώσκειν τὴν διαίρεσιν μόνον, ἀλλὰ καὶ χρὴ προσφυῶς τιθέναι τὰ κεφάλαια κατὰ τὴν προσήκουσαν ἑκάστης ὑποθέσεως οἰκονομίαν. τοσαῦτα περὶ τοῦ πρώτου κεφαλαίου. τὸ δέ γε δεύτερόν ἐστι τοιοῦτον· ἀποροῦσι γὰρ λέγοντες, εἰ μία τῶν ἀντιθετικῶν ἐστιν ἡ συγγνώμη· δῆλον ὅτι ἐμπεριέχεται τῇ ἐμπιπτούσῃ ἀντιθέσει ἐν ἀντιλήψει καὶ τὸ συγγνωμονικόν. πῶς οὖν φαμεν ἐμπίπτειν τὸ συγγνωμονικὸν ἰδίᾳ κεφάλαιον τὸ ἐμπεριεχόμενον τῇ ἀντιθέσει; φαμὲν οὖν, ὅτι οὐκ ἔστι τὸ αὐτὸ συγγνωμονικὸν τὸ ἐν τῇ ἀντιθέσει καὶ τὸ ἰδίᾳ ταττόμενον· πρῶτον, ὅτι ἡ μὲν ἀντίθεσις πρὸς τὸ πεπραγμένον φέρεται· αὐτοῦ γάρ ἐστιν, ὡς εἴρηται, χρῶμα· τὸ δὲ συγγνωμονικὸν οὐ τοῦ πεπραγμένου ἐστὶν, ἀλλ' ἀπολογία ὑπὲρ τοῦ ἀποβεβηκότος· δευτέρα δὲ αὐτῶν διαφορὰ, ὅτι ἡ μὲν ἀντίθεσις ἀεὶ ἐμπίπτει ἐν τῇ ἀντιλήψει, τὸ δὲ συγγνωμονικὸν οὐκ ἐμπίπτει, εἰ μὴ ὅτε παρά τινος ἀποβεβηκότος ἡ κρίσις ᾖ· καὶ αὕτη ἂν εἴη τούτων ἡ διαφορά. Τρίτον δέ ἐστι κεφάλαιον, ὅτι, φασὶν, ἀντιστατικοῦ ἐμπίπτοντος τοῦ ἀντιθετικοῦ οὐ δύναται ἐμπίπτειν τὸ συγγνωμονικόν· ἡ δὲ αἰτία αὕτη· τὸ ἀντιστατικὸν, φασὶν, ἑκούσιον ὑποφαίνει τὸ πεπραγμένον· ἐν γὰρ τῇ ἀντιστάσει ὁμολογεῖ ὁ φεύγων τὸ πεπραγμένον καὶ ἑκουσίως φησὶ πεποιηκέναι καὶ βουλῆς προϋποκειμένης· ἐν δὲ τῷ συγγνωμονικῷ ἀκουσίως φησὶ πεποιηκέναι· ὥστε μάχεται τό τε ἀντιστατικόν φημι, καὶ τὸ συγγνωμονικόν· καὶ οὐκ ἂν δύναιντο [20] ἅμα ἐμπίπτειν καὶ εὑρίσκεσθαι· πῶς γὰρ ἂν ἐπὶ ἑνὸς καὶ τοῦ αὐτοῦ εἴποι [21] ὁ φεύγων τὸ ἑκουσίως ἐποίησα καὶ ἀκουσίως· ταῦτα γὰρ φανερῶς ὡς τῶν μαχομένων ἂν εἴη· οὕτω μὲν οὖν ἐπιχειροῦσιν· ἰστέον δὲ, ὅτι εἰ ἐπὶ ἑνὸς καὶ τοῦ αὐτοῦ ἀμφότερα ἐφέρετο, χώραν

20 Mon. δύνωνται, scr. δύναιντο. 21 Mon. ἔπη.

εἶχεν αὐτοῖς ὁ λόγος. ἄτοπον γὰρ ἐπὶ τοῦ αὐτοῦ λέγειν, ὅτι ἑκὼν ἐποίησα καὶ πάλιν ἄκων· νυνὶ δὲ οὐκ ἐπὶ τοῦ αὐτοῦ φέρεται ἀμφότερα, ἀλλὰ τὸ μὲν ἀντιστατικὸν πρὸς τὸ πεπραγμένον ἐστὶν, ὡς ἤδη καὶ ἀνωτέρω ἐμάθομεν, τὸ δὲ συγγνωμονικὸν πρὸς τὸ ἀποβεβηκός· οὐδὲν δὲ ἄτοπον γινώσκειν μὲν τὸ πεπραγμένον, ἀγνοεῖν δὲ τὸ μέλλον. προβάλλεται μὲν γὰρ ἐπὶ τοῦ πεπραγμένου τὸ ἑκούσιον, ἐπὶ δὲ τοῦ ἀποβεβηκότος τὸ ἀκούσιον. Τοσαῦτα καὶ περὶ τοῦ τρίτου κεφαλαίου· τὸ δέ γε τέταρτον κεφάλαιόν ἐστι καλλίστη σημείωσις, ἥν τινες παραδιδόασιν ἡμῖν τῶν τεχνικῶν, ὅτι συγγνωμονικοῦ ἐμπίπτοντος τοῦ ἀντιθετικοῦ, οὐκ ἐμπίπτει τὸ συγγνωμονικόν· περιττὸν γὰρ ἔσται τιθέμενον. λοιπὸν ἐκ διαιρέσεως προφέρουσι τὸν λόγον. ἡ συγγνώμη ἢ ἐξ ἀγνοίας γίνεται ἢ ἐκ βιαίου πάθους· οἷον ἠγνόουν τὸ παρὸν, ἔρως με ἠνάγκασεν, ὀργή μου ἐκράτησεν, ἐμέθυον· οὕτως οὖν γίνεται ἡ συγγνώμη· εἰ μὲν οὖν ἄγνοιαν προβαλεῖται, περιττόν ἐστι τὸ ἕτερον ἐπιφέρειν συγγνωμονικόν· καὶ σιωπῶν γὰρ κατορθώσει τὴν ἐπὶ τοῖς [22] ἀποβεβηκόσιν ἄγνοιαν· ὁ γὰρ τὰ παρόντα φάσκων ἀγνοεῖν πολὺ μᾶλλον ἔμφασιν δίδωσιν, ὅτι τὸ μέλλον ἠγνόηκεν. εἰ δὲ ἔκ τινός φησι βιασθῆναι πάθους, ἔτι μᾶλλον οὐ δυνήσεται χρήσασθαι τῷ συγγνωμονικῷ· λέγων γὰρ, ὅτι ἠγνόησα τὸ μέλλον, ἔμφασιν δίδωσιν. ὡς εἰ [23] ἄρα ᾔδει τὸ μέλλον, οὐκ ἂν ἐποίει, ἀλλὰ τοῦτο λέγειν ἀδύνατον. εἰ γὰρ ἀνάγκη ἐστὶν ἡ βιασαμένη ποιεῖν, δῆλον ὅτι πάντως ἐποίει. καὶ οὐκ ἦν ἐν αὐτῷ ποιεῖσθαι καὶ μή. δέδεικται ἄρα ὡς τοῦ ἀντιθετικοῦ συγγνωμονικοῦ ἐμπίπτοντος τουτὶ τὸ συγγνωμονικὸν οὐχ εὑρίσκεται, καὶ

22 Mon. ἀπὸ τῆς. Sch. min.: οὐδεὶς οἶδε τὸ μέλλον· οὐκ ἀπὸ πάντων λέγει τὸ συγγνωμονικὸν, ἀλλ᾽ ἀπὸ τῆς ἀγνοίας μόνης. οὐδεὶς γὰρ ἀγνοίας ὑπέχει δίκην. 23 εἰ Par. 1. om. pro ᾔδει Mon. εἴδη.

ἐν τούτοις τὸ τέταρτον κεφάλαιον. Τὸ δέ γε πέμπτον καὶ τελευταῖόν ἐστι τοῦτο· ὅτι βλάπτειν δοκεῖ τὸν κεχρημένον αὐτῷ τὸ συγγνωμονικόν. δοκεῖ γάρ πως ἐξ ἀπορίας δικαιολογιῶν καταφεύγειν ἐπ' αὐτό· καὶ ὥσπερ ἀγνοίας ἐμφαίνειν γνωρίσματα· τὸ γὰρ λέγειν, ὅτι ἠγνόουν τὸ μέλλον, οὐκ ἐπιστήμονος ἀλλ' εὐήθους ἀποφαίνει τεκμήριον. τὸ γοῦν τοιοῦτον παραμυθησόμεθα ἐπὶ τὸ καθόλου ἀνάγοντες τὸν λόγον οὕτως· οὐ τὴν ἀνθρωπείαν ὑπερβαίνει φύσιν ἡ γνῶσις τῶν μελλόντων, θείας γὰρ ἂν εἴη μᾶλλον προγνώσεως τοῦτο. καὶ ταῦτα λέγων ἔμφασιν δίδωσι τοῖς δικασταῖς νοεῖν. οὐκοῦν οὐδὲ ἐγώ, οἷα δὴ ἄνθρωπος, τὸ μέλλον ἐπίσταμαι· τοῦτον ἄρα παραμυθησόμεθα τὸν τρόπον τὸ συγγνωμονικὸν ἢ καὶ ἄλλως, ὥσπερ καὶ Αἰσχίνης ἐποίησεν οὐ προφανῶς λέγων, ὅτι ἠγνόησα, ἀλλ' ἑτέροις εὐσχήμοις ὀνόμασι τὸ τοιοῦτον δηλῶν· φησὶ γάρ, ὅτι ἃ ἤκουσα ταῦτα ἀπήγγειλα, ἅπερ ἀκήκοα, ταῦτα εἶπον, καὶ σκόπει πῶς δι' ἑτέρων ὀνομάτων τὸ αὐτὸ κατώρθωσεν· ἐν τούτοις καὶ τὸ πέμπτον κεφάλαιον καὶ ὁ περὶ τοῦ συγγνωμονικοῦ λόγος. Πληρώσας δὲ ὁ τεχνικὸς τὴν τῶν ἁπλῶν ἀντιλήψεων διδασκαλίαν μέτεισι καὶ ἐπὶ τὰς διπλᾶς.[24] καὶ ἐχρῆν μὲν καὶ ἐνταῦθα τῇ τῶν ἁπλῶν διαιρέσει χρήσασθαι καὶ λέγειν, ὅτι καὶ τῶν διπλῶν ἀντιλήψεων αἱ μέν εἰσι περὶ αὐτοῦ, ἔχουσαι τοῦ πεπραγμένου τὴν κρίσιν, αἱ δὲ περί τινος ἀποβεβηκότος, ὁ δὲ οὐχ οὕτως ἔφη· τοῦτο γὰρ ὡς πρόδηλον καὶ ὁμολογούμενον εἴασεν· ἑτέρᾳ δὲ μᾶλλον διαιρέσει κέχρηται λέγων, ὅτι τῶν δ' αὖ διπλῶν ἡ μέν ἐστι κατὰ συμπλοκήν, ἡ δὲ κατὰ διαίρεσιν· κατὰ συμπλοκὴν μέν, ὅταν δυοῖν ὄντοιν ἐγκλημάτοιν μὴ δύνηται χωρὶς

---

24 Sch. min.: τὸν τῶν ἁπλῶν ἀντιλήψεων πληρώσας λόγον, ἐπὶ τὰς διπλᾶς μετελήλυθεν, δύο δὲ τούτων εἴδη ἀποφαίνεται, τό τε κατὰ σύνθεσιν, καὶ τὸ κατὰ διαίρεσιν.

ἑκάτερον εἶναι αὐτῶν ἔγκλημα. μετὰ δὲ τῆς ἑτέρας συμπλοκῆς, οἷον ταῖς πάντων γνώμαις τις ἀντιλέγων, καὶ οὐδὲν αὐτὸς ἀποφαινόμενος δημοσίων φεύγει· ἐνταῦθα οὐ δύναται χωρὶς θάτερον εἶναι ἑτέρου· οὐ γὰρ ἔτι συστήσεται· οἷον ταῖς πάντων γνώμαις τις ἀντιλέγων δημοσίων φεύγει· τοῦτο οὕτως λεγόμενον οὐ συνίσταται· δέδοται γὰρ τῷ βουλομένῳ τοῖς συμβουλεύουσιν ἀντειπεῖν, καὶ οὐδεὶς ἐπὶ τούτῳ κρίνεται. ἔτι μηδὲν αὐτὸς ἀπαφαινόμενος δημοσίων φεύγει. καὶ τοῦτο ὁμοίως ἀσύστατον. ἔξεστι γὰρ τῷ βουλομένῳ ἡσυχίαν ἄγειν καὶ μηδὲν ἀποφαίνεσθαι· καλεῖται οὖν τοῦτο τὸ εἶδος κατὰ συμπλοκὴν, ἐπεὶ μὴ δύναται θάτερον τοῦ ἑτέρου χωρὶς εἶναι· ἐμπίπτουσι δὲ δύο ἀντιλήψεις πρὸς ἑκάτερον, ἐξουσίαν προβαλλομένου τοῦ φεύγοντος, οἷον ἔξεστί μοι πᾶσιν ἀντειπεῖν, ὅτε μοι κακῶς λέγειν δοκοῦσι, καὶ πάλιν, ἔξεστί μοι μηδὲν ἀποφαίνεσθαι, καὶ δύο ἀντιθέσεις· ὁμοίως πρὸς τὸ πρῶτον ἀντεγκληματικὸν ἀντιλέγω. ἄξιοι γάρ εἰσι· τί γὰρ κακὰς ἀποφαίνονται οἱ συμβουλεύοντες γνώμας· τουτέστιν ἄξιοί εἰσιν ἀντιλέγεσθαι· τί γὰρ ἐν τῷ παραινεῖν ἁμαρτάνουσι· πρὸς δὲ τὸ δεύτερον διχῶς ἀπολογητέον· αἰτία γάρ ἐστιν, ὡς εἴρηται, τοῦ πεπραγμένου ἡ ἀντίθεσις· οὐδὲν αὐτὸς ἀποφαίνομαι, ἵνα μὴ καὶ αὐτὸς ἁμαρτάνων περὶ τὴν γνώμην ὀφθείην τοῖς αὐταῖς ἔνοχος, οἷσπερ καὶ οἱ ἕτεροι· καὶ πάλιν οὕτως, ὡς ὁ τεχνικὸς ἔφη, οὐ λέγω, οὐ γὰρ χρὴ περὶ τῶν μὴ κατεπειγόντων ἀποφαίνεσθαι· τοιοῦτον μέν ἐστι τὸ κατὰ συμπλοκὴν εἶδος· τὸ δὲ κατὰ διαίρεσίν ἐστιν, ὅταν δύο ἐγκλήματα ᾖ δυνάμενα καὶ χωρὶς ἀλλήλων κρίσιν ἐπιδέχεσθαι, οἷον πολλάς τις ἀμείβων γυναῖκας καὶ πολλοὺς τιθέμενος παῖδας κακοῦ βίου κρίνεται· ἐνταῦθα καὶ χωρὶς ἀλλήλων δύναται ταῦτα συνίστασθαι· οἷον πολλάς τις ἀμείβων γυναῖκας κακοῦ βίου κρίνεται, πολλούς τις παῖδας τιθέμενος κρίνεται κακοῦ βίου. ταῦτα γὰρ καὶ

οὕτως χωρὶς ἀλλήλων τιθέμενα [25] συνίστασθαι δύναται. ἔστι δὲ τοῦ μὲν προτέρου εἴδους ἴδιον τοῦτο· ὁ μὲν γὰρ κατήγορος συνάψει ἀμφότερα, καὶ κοινὴν αὐτῶν ποιήσεται τὴν διαίρεσιν, καθ᾽ ἕκαστον κεφάλαιον συνάπτων τὰ δύο. οἷον ἀντεῖπε πᾶσι, καὶ τὸ δὴ μέγιστον, ὅτι οὐδὲν αὐτὸς ἀπεφήνατο· οὕτως οὖν ὁ κατήγορος ἐργάσεται παράλληλα τιθεὶς ἀμφότερα. τὸ γὰρ συνάπτειν αἴτιόν ἐστι συστάσεως· ἔφαμεν γάρ, συμπλεκόμενα μᾶλλον συνίσταται, ὁ δὲ φεύγων τοὐναντίον σπεύσει διαχωρίζειν ἀπ᾽ ἀλλήλων τὰ ζητούμενα. καὶ ἰδίᾳ ἑκατέραν ποιήσεται τὴν διαίρεσιν, ὡσπερεὶ δύο συντιθεὶς λόγους· καὶ τοῦτο εἰκότως· ὅσον γὰρ ἡ συνάφεια τῆς συστάσεως αἰτία γίνεται, τοσοῦτον ἡ διαίρεσις καὶ ὁ χωρισμὸς αἴτιος τῆς ἀσυστασίας. ἐδείξαμεν γάρ, πῶς διαχωρίζομεν, ἃ οὐκέτι συνίστασθαι δύναται. σπεύσει οὖν ὁ φεύγων ἀσύστατον ἀπεργάσασθαι· [26] τοιαύτη μὲν οὖν ἡ τοῦ πρώτου εἴδους ἐργασία· καὶ τοῦτο αὐτοῦ τὸ ἴδιον· τοῦ δέ γε δευτέρου εἴδους ἐστὶν ἴδιον πάλιν τὸ τὸν μὲν κατήγορον ἀμφότερα συνάπτειν, καὶ παράλληλα τιθέναι τὰ ἐγκλήματα, τὸν δὲ φεύγοντα τοὐναντίον διαιρεῖν καὶ διαχωρίζειν. εἴποι τις ἄν, ὅτι οὐδὲν διενήνοχε τοῦτο τοῦ προτέρου εἴδους· καί φαμεν, ὅτι διαφέρει τὸ δεύτερον εἶδος τοῦ πρώτου μεθοδικῶς τε καὶ διαιρετικῶς. μεθοδικῶς μέν, ὅτι, ὡς ἔφαμεν, ἐν τῷ προτέρῳ εἴδει οὐ δύναται διαχωρίζεσθαι ἀλλήλων τὰ ἐγκλήματα· οὐκ ἔτι γὰρ ἂν συστήσεται ἡ ζήτησις. ἐν δὲ τῷ δευτέρῳ εἴδει καὶ χωρὶς ἀλλήλων ὄντα συνίστασθαι δύναται, διαιρετικῶς δέ, ὅτι ἐν μὲν τῷ κατὰ συμπλοκὴν εἴδει συνάπτει ὁ κατήγορος, ὡς ἔφαμεν, συστάσεως ἕνεκα, καὶ διαχωρίζει ὁ φεύγων ἀσυστασίας χάριν, καὶ γὰρ ἂν καὶ τοῦτο χωρὶς συνίσταται, ἀλλὰ διὰ τοῦ αὐξῆσαι· μᾶλλον γὰρ ἂν εἴη

25 Mon. χωρὶς τιθέμενος, sine ἀλλήλων. 26 Par. 1. ἐργάσασθαι.

βαρὺ, εἰ ἄμφω συνάψομαι, ὁ δὲ φεύγων πάλιν διαχωρίζει οὐ τῆς ἀσυστασίας ἕνεκα, ἐπεὶ καὶ διαχωριζόμενα οὐδὲν ἧττον συνίσταται, ἀλλὰ διὰ τὸ μειῶσαι· εἰ γὰρ συναπτόμενα ἐμποιοῦσι αὔξησιν, δῆλον ὅτι διαλυόμενα μείωσιν ποιοῦσιν, ὅτι γὰρ πρὸς αὔξησιν συνάπτονται καὶ πρὸς μείωσιν διαιροῦνται, αὐτός που μεμαρτύρηκεν ὁ τεχνικὸς εἰπών· „αὐξήσεως μὲν ἕνεκα συμπλέκονται ὑπὸ τοῦ κατηγόρου, μειώσεως δ᾽ αὖ χάριν διαιροῦνται ὑπὸ τοῦ φεύγοντος·“ τοσαῦτα καὶ περὶ τῶν δύο τούτων εἰδῶν· εἶτα συμπεραίνειν μέλλων λέγει, ἔφην δύνασθαι εἶναι καὶ πλείονα εἴδη τῶν ἀντιλήψεων· αὐτίκα τῶν προειρημένων τοῦτο διαφέρει· οἷον γραψάμενοι μοιχείας τινὲς ἀλλήλους καὶ καθυφέντες τὰς γραφὰς ἤμειψαν τὰς γυναῖκας, καὶ φεύγουσι κακοῦ βίου· τοῦτο τὸ προκείμενον εἶδος διαφέρει τῶν προειρημένων, εἴγε δύο τοῦτο ἔχει πρόσωπα καὶ ἀντιλήψεις τέσσαρας, ἔξεστι γάρ μοι, φησὶ, γράψασθαι, καὶ ἔξεστι πάλιν ἀναιρεῖσθαι ἤτοι καθυφεῖναι τὰς γραφάς· ἔτι ἔξεστιν ἀποβάλλεσθαι τὴν σύνοικον καὶ ἔξεστιν ἀγαγέσθαι, ἣν ἂν βούληταί τις· δύο δὲ πρὸς τοῦτο φέρονται ἀπορίαι· καὶ πρώτη αὕτη· εἰ διπλῆν, φησὶ, καλοῦμεν ἀντίληψιν τὴν δύο ἔχουσαν ἀντιλήψεις, τί μὴ τὸ προκείμενον εἶδος τετραπλῆν εἴπομεν ἀντίληψιν, ἐπεὶ τέσσαρας, ὡς εἴρηται, ἔχει ἀντιλήψεις· καὶ λέγομεν, ὅτι τὸ ὑπὲρ τὸ ἓν διπλοῦν εἰώθασιν οἱ τεχνικοί καλεῖν εἶδος, κἂν τριπλοῦν ᾖ κἂν τετραπλοῦν· οὕτως γὰρ καὶ ἐν τῷ ὅρῳ, κἂν τριπλοῦν εὑρεθείη, διπλοῦν ὅμως καλοῦμεν· καὶ τοῦτο συμβέβηκε καὶ ἐπὶ τῶν ἄλλων· ἐπὶ γὰρ τοῦ ἱματίου δίπλωσόν φαμεν τὸ ἱμάτιον, καίτοιγε πολλῶν γενομένων πλοκῶν ἐν τῇ διπλώσει τοῦ ἱματίου, ἀλλ᾽ ὅμως δίπλωσόν φαμεν· οὕτως οὖν καὶ ἐπὶ τῶν πολλαπλῶν στάσεων· διπλοῦν γὰρ καλοῦμεν εἶδος, ὅπερ ὅταν ὑπερβαίνῃ τὸ ἕν· καὶ ἐν τούτοις ἡ πρώτη ἀπορία καὶ ἡ πρὸς αὐτὴν λύσις· δευτέραν λέγουσιν ἀπορίαν ταύτην, ὅτι οὐ συνίσταται,

φασὶ, τουτὶ τὸ πρόβλημα, ἀνάγεται γὰρ ἐπὶ τὸ ἐξισάζον, ἑκατέρου αὐτῶν τὰς αὐτὰς προβαλλομένου δικαιολογίας· φαμὲν οὖν, εἰ μὲν ἀλλήλους ἔκριναν οἱ μοιχεύσαντες, τότε ἂν ὑπὸ τὸ ἐξισάζον εἶδος ἀνήγετο· νυνὶ δὲ αὐτοὶ μὲν ἀμφότεροι ὑπόκεινται κρινόμενοι,[27] ἕτερος δὲ αὐτοὺς ὁ κρίνων· καὶ οὐ ταῖς αὐταῖς χρήσονται δικαιολογίαις ὅ τε κρινόμενος καὶ ὁ κατήγορος· οὐκ ἄρα οὖν ἐξισάζοι· εἶτα ταῦτα εἰρηκὼς ὁ τεχνικὸς πρὸς τῷ τέλει φησὶν, ὅτι· ἔστι δε καὶ ἄλλα εἴδη, ἃ περιττὸν ἂν εἴη λέγειν νῦν, πᾶσαν γὰρ ἀντίληψιν τοῖς προειρημένοις ἑπόμενος ὀρθῶς ἄν τις διαιροίη· φασί τινες, πότερόν εἰσιν ἕτερα εἴδη ἀντιλήψεων, ἢ οὔ· εἰ μέν εἰσι, πῶς παρῆκεν αὐτὰ ὁ τεχνικὸς,[28] οὐδὲν περὶ αὐτῶν εἰρηκώς; εἰ δὲ οὐκ εἰσὶ, πῶς ἐμνήσθη λέγων, ὅτι εἰσὶ καὶ ἄλλα εἴδη; φαμὲν οὖν, ὅτι εἰσὶ καὶ ἕτερά τινα, ἀλλ' οὐ κυρίως εἴδη, τρόποι δὲ μᾶλλον ἀντιλήψεων, ὥσπερ ἔχει τοῦτο· ζωγράφος μηδέποτε ζωγραφήσας τοὺς θεοὺς κρίνεται ἀσεβείας· ἐφ' οἷς γὰρ οὐ πεποίηκεν, ἡ κρίσις, ὅπερ οὐκ ἐνῆν τοῖς προειρημένοις εἴδεσιν· ὡς οὖν εἴρηται, οὗτοι τρόποι εἰσὶν ἀντιλήψεων, οὐκ εἴδη διάφορα· οὐ γὰρ οἶδεν εἶδος ὁ τεχνικὸς, εἰ μὴ τὸ διάφορον κατὰ τὴν διαίρεσιν τῶν κεφαλαίων· ἐμνήσθη οὖν, ἵνα μή τις νομίσῃ αὐτὸν ἀγνοεῖν, καὶ ἐν τούτοις ἡ ἀντίληψις.

Διαζευχθέντα[29] γὰρ οὐ δύναται ὡς ἀδίκημα ἐπιδέχεσθαι κρίσιν, εἰ μὴ ἀλλήλοις εἶεν συνημμένα. Αἱ ἀντιλήψεις αὗται ὑπὸ τὸ μὴ κεκωλυμένον, τουτέστιν ὑπὸ τὸ ἔθος, αἱ δὲ δύο ἀντιθέσεις ὑπὸ τὸ ἀντεγκληματικόν. Δύο ἀντιλήψεων οὐσῶν διπλαῖ εὑρίσκονται αἱ ἀντιθέσεις· ἑκατέρα γὰρ τῶν ἀντιλήψεων ἀποδώσει τὸ χρῶ-

---

27 Par. 1. κρινόμενοι. Mon. οἱ νόμοι. 28 Par. 1. ὁ τεχνικὸς αὐτά. 29 διαζευχθέντα γὰρ — — κατεπειγόντων συμβουλεύειν inter sch. min. referunt Parr.

μα· οἷον ἀντιλέγω μὲν, ἐφ' οἷς οὐ τὰ δέοντα λέγουσιν οἱ συμβουλεύοντες· οὐκ ἀποφαίνομαι δέ· οὐ γὰρ ἀναγκαῖον περὶ τῶν μὴ κατεπειγόντων συμβουλεύειν.

Τουτέστι τὸ [30] περὶ τῆς μεταχειρίσεως· [31] τὸ δ' ἀπολογουμένους διελεῖν, ἵνα διαλύσῃ τὴν κατηγορίαν, ὁ δὲ κατήγορος συμπλέκῃ, ἵνα τῇ συμπλοκῇ ποιήσῃ δυνατὸν τὸ ἔγκλημα. Ἴδιον, φησὶν, τοῦ εἴδους τούτου τὸ τοὺς ἀπολογουμένους ἰδίᾳ ἑκάτερον ποιεῖσθαι τὸν λόγον καὶ χωρίζειν· ἐὰν γὰρ διέλῃς, καὶ εἴπῃς, ταῖς πάντων γνώμαις ἀντιλέγει τις, ἢ τὸ ἕτερον οὐ δύναται κρίσιν ἐπιδέξασθαι, τὸν κατηγοροῦντα δὲ τοὐναντίον συμπλέκειν δεῖ, ὅτι οὔτε αὐτός τι λέγει, καὶ τὰ τῶν ἄλλων ἀνατρέπει· οὕτω γὰρ κρίσιν ἐπιδέχεται· ὁ μὲν γὰρ χωρίζων τὸ ἀνεύθυνον συνιστᾷ, ὁ συμπλέκων δὲ τὸ ὑπεύθυνον.

ιγ΄. Περὶ τοῦ διπλοῦ εἴδους ζητήσαιμεν ἄν· πρῶτον μὲν, πῶς δύο ἁπλῶν συνιουσῶν ἀντιλήψεων διπλοῦν τι καλοῦμεν εἶδος καὶ οὐ μᾶλλον δύο ἁπλῶς· διήκει δὲ ἡ ζήτησις καὶ εἰς τὰς ἄλλας τῶν στάσεων· καὶ γὰρ διπλοῦν τινά φαμεν στοχασμὸν καὶ διπλοῦν ὅρον ἐκ τῆς συνόδου τῶν ἁπλῶν, καὶ ἕτερόν φαμεν εἶδος παρὰ τὰ ἁπλᾶ, τί μὴ καὶ τριπλοῦν φαμεν τρία συνάγοντες καὶ τετραπλοῦν καὶ ἐπ' ἄπειρον οὕτως ἐκβαίνοντες; ῥητέον δὲ πρὸς μὲν τὸ πρότερον, ὅτι πρὸς ἓν ἄμφω πέρας συντείνει, καὶ ἓν ἐξ ἑκατέρων ἀποτελεῖται· διὰ γοῦν τοῦτο διπλοῦν φαμεν τὸ εἶδος, ὡς ἕνωσιν τῶν δύο ἀναδεξάμενον καὶ οὐ δύο ἁπλᾶ· οὐ γὰρ διέστηκεν ἀλλήλων πρὸς ἄλλο καὶ ἄλλο φερόμενα· πρὸς δὲ ἓν ἄμφω συννένευκεν, ἡ δὲ πρὸς τὸ δεύτερον ἀπάντησις τοιαύτη· παντὸς ἀγῶνος ἓν καθεστάναι πέρας ἀνάγκη τὸ κατασκευαζόμενον· τὰ δὲ ἄλλα πρὸς ἀπόδειξιν τούτου καὶ

---

30 τὸ Mon. om. 31 Sch. pertinet ad: ἀλλ' ἴδιον τοῦ εἴδους τούτου, τὸ δεῖν ἀπολογουμένους μὲν διελεῖν. In Parr. sequitur post litt. ιζ΄.

πίστιν φέρεσθαι, κατασκευαστικὰ γενόμενα, ὥστε κἂν ἐπ' ἄπειρόν τις ἀνελθὼν πλῆθος ἁπλῶν συναγάγοι πρὸς μίαν ὑπόστασιν, εἰς δύο διαιρεθήσεται πάντως, ὅσαπερ ἂν ᾖ τὰ ἁπλᾶ, ἑνὸς μὲν τοῦ κατασκευαζομένου ὄντος, τῶν δὲ ἄλλων ἁπάντων εἰς κατασκευὴν φερομένων· διὸ δὴ πάντα κοινῷ ὀνόματι διπλᾶ καλεῖται, πρὸς δύο ἐξ ἀνάγκης διϊστάμενα μέρη, πρὸς οἷς καὶ τὸ διπλοῦν ἐπὶ τοῦ πολλαπλασίου συνεχῶς εἴρηται· αὐτίκα γοῦν διπλοῦν χιτῶνα λέγομεν τὸν οὐ μίαν διπλόην, πολλὰς δέ γε δεξάμενον· καὶ δίπλωσόν φαμεν τὸ ἱμάτιον εἰς πολλὰ συνελίττειν [32] προστάττοντες, τῶν δὲ διπλῶν ἀντιλήψεων, τὸ μέν τι καλεῖται κατὰ συμπλοκὴν, τὸ δὲ κατὰ διαίρεσιν, καὶ τέθεικεν αὐτῶν παραδείγματα, τοῦ μὲν κατὰ συμπλοκήν· ταῖς πάντων, φησὶ, γνώμαις ἀντιλέγων τις οὐδὲν αὐτὸς ἀποφαίνεται καὶ δημοσίων φεύγει· συμπλέκεται γὰρ ἐνταυθοῖ τὰ δύο, τὸ πᾶσιν ἀντιλέγειν καὶ τὸ μηδὲν εἰσηγεῖσθαι λυσιτελέστερον· ἰδίᾳ γὰρ οὐδ' ἕτερον σύστασιν [33] δύναιτο ἂν ἐπιδέχεσθαι· οὐδὲ γὰρ ὁ πᾶσιν ἀντιλέγων ὑπεύθυνός ἐστιν, ὅταν ἕτερα αὐτὸς εἰσηγήσηται· οὔτ' αὖ πάλιν ὁ μηδὲν ἀποφαινόμενος μηδὲ ἀντιλέγων, φησὶν, ἐπὶ τῷ ἀπράγμονι βίῳ κρίνοιτο ἂν, συνιόντα δὲ ὁμοῦ κρίσιν ἐπιδέχεται τῷ μηδὲν αὐτὸν εἰσφέρειν, καὶ ταῦτα πᾶσιν ἐναντιούμενον· δύο γὰρ ἀντιλήψεις ἐμπεσοῦνται, φησὶν, ὅτι τε λέγειν ἔξεστι καὶ ὅτι τὸ μηδὲν ἀποφαίνεσθαι οὐ κεκώλυται· εἰ δὲ ἀντιλήψεις δύο, σαφὲς ὅτι καὶ ἀντιθέσεις τοσαῦται· ἑκάτερον γὰρ τῶν ἀντιλήψεων ἰδίαν ἕξει ἀντίθεσιν· ληφθήσονται δὲ ἄμφω κατὰ τὸ ἀντιστατικὸν, ἡ μὲν προτέρα, ὡς τοῦ κοινοῦ συμφέροντος εἵνεκα δεῖ ἀντιλογιῶν πρὸς ἅπαντας ἐρχομένων, ἡ δὲ δευτέρα, ὡς βουλευμάτων ἀπορίᾳ τὴν σιωπὴν ἄγω καὶ οὐ καθάπερ οὗτοι [34] εἰκῇ τὸ ἐπιτυχὸν ἀπο-

32 Mon. Par. 2. συνελίττειν προστάττοντες. Par. 1. συνελίττοντες. 33 σύστασιν Par. 1. om. 34 οὗτοι Mon. om.

φαίνομαι· διαφόρως δὲ, φησὶν, ὁ φεύγων καὶ ὁ διώκων τῷ λόγῳ χρήσονται, ὁ μὲν φεύγων διαστήσας ἑκάτερον τῶν ἐγκλημάτων ἰδίᾳ περὶ ἑκατέρου ἀπολογήσεται, διαλύων τὴν κατηγορίαν καὶ ἀσύστατον δεικνύς· ἔφαμεν γὰρ, ὡς τούτων ἑκάτερον ἰδίᾳ λεγόμενον ἀσύστατον γίνεται· ὁ δὲ κατήγορος τοῦτο αὐτὸ φυλαττόμενος ἄμφω κατὰ συμπλοκὴν προάγει· ἔστιν οὖν τοῦτο ἴδιον τοῦ ὑποκειμένου εἴδους· τὸ διαιρεῖν μὲν καὶ διϊστάναι τὸν φεύγοντα, συμπλέκειν δὲ τὸν διώκοντα.

ιδʹ. Ἐν τούτοις ὃ ἂν χωρίσῃς, ἀνεύθυνόν ἐστι· καὶ γὰρ τὸ ἀντιλέγειν ταῖς πάντων γνώμαις οὐ κεκώλυται· καὶ τὸ μηδὲν ἀποφαίνεσθαι οὐκ ἀδίκημα εἶναι νενόμισται· συμπλακέντα δὲ ἄμφω καὶ ἑνωθέντα ἀδικήματος λαμβάνει σύστασιν· τὸ ἀντιλέγειν μὲν καὶ συκοφαντεῖν τοὺς συμβουλεύοντας, αὐτὸν δὲ μήτε [35] ἃ γινώσκει λέγειν, μήτε εἰσηγεῖσθαί τι τῶν συμφερόντων.

ιέ. Καὶ γὰρ αὗται δύο αἱ ἀντιλήψεις εἰσὶν, ὅταν ἄμφω προβάλληται τὸ ἐξεῖναι [36] ἀντιλέγειν καὶ ἐξεῖναι μὴ λέγειν· ἐπειδὴ καὶ ἐπ' ἀμφοῖν κρίνεται, ἐφ' οἷς ἔπραξε καὶ ἐφ' οἷς οὐκ ἔπραξεν.

ιςʹ. Ἐπὶ τὸ ἕτερον μετῆλθε τῶν διπλῶν εἶδος, ὃ καλεῖται κατὰ διαίρεσιν, [37] ὅτι καὶ χωρὶς ἀλλήλων τὰ ἐγκλήματα δύνανται κρίσιν ἐπιδέχεσθαι· οἷον πολλάς τις ἀμείβων γυναῖκας καὶ πολλοὺς τιθέμενος παῖδας κακοῦ βίου κρίνεται· καὶ γὰρ τὸ συχνὰς ἀμείβειν γυναῖκας κρίσιν ἐπιδέχεται, καὶ μὴν καὶ τὸ πολλοὺς εἰσποιεῖσθαι παῖδας, κἀνταῦθα δὲ ὁ μὲν κατήγορος συμπλέξει, ὁ δὲ φεύγων διαιρήσει· διαφέρει δὲ τοῦ μὲν κατὰ συμπλοκήν·

35 Mon. μήτε ἂν ἅ. 36 ἐξεῖναι ἀντιλ. Mon. om. 37 Schol. minor. κατὰ διαίρεσιν, ὅταν μία ἑκάστη τῶν ἀντιθετικῶν ἀντιλήψεων ἰσχυρὰ ᾖ, καὶ ἐπειδὴ ἑκάτερον τῶν ἐν τῷ ζητήματι δύναται καὶ ἰδίαν γραφὴν ἀναδέξασθαι, καλεῖται κατὰ διαίρεσιν.

πρῶτον μὲν αὐτῷ τούτῳ· τὸ μὲν καθὸ δύναται εἰς δύο ἁπλᾶ συνεστῶτα διαιρεῖσθαι· τὸ δὲ κατὰ συμπλοκὴν οὐχ οἷόν τε διαιρεθῆναι· τὴν γὰρ σύστασιν ἐν τῷ συμπλέκεσθαι λαμβάνει· ἔπειτα καὶ τούτῳ διενηνόχασιν, ἐν ᾧ καὶ μάλιστα δοκοῦσι κοινωνεῖν, φημὶ τῷ συμπλέκειν τὸν διώκοντα ἐπ' ἀμφοῖν τοῖν εἰδοῖν, διϊστάναι δὲ τὸν ἀπολογούμενον· ἐν μὲν γὰρ τῷ κατὰ συμπλοκὴν ἔδει τε συμπλέκειν καὶ διϊστάναι, ὅτι τὸ μὲν πρὸς σύστασιν, τὸ δὲ πρὸς διάλυσιν γίνεται τοῦ παντὸς ἀγῶνος, καθὰ ἐπ' αὐτοῦ τοῦ εἴδους ἐδείξαμεν, ἐν δὲ τῷ κατὰ διαίρεσιν οὐχ οὕτως· μένει γὰρ κἂν τῇ συμπλοκῇ κἂν τῇ διαστάσει ὁ ἀγὼν οὐδὲν ἧττον συνεστώς· ἀλλὰ τῷ μὲν κατηγόρῳ ἕνεκεν αὐξήσεως ἡ τῶν ἐγκλημάτων συμπλοκὴ, τῷ δὲ ἀπολογουμένῳ πρὸς μείωσιν γίνεται ἡ διάστασις.

ιζ. Ἐν ἑκατέραις, φησὶ, ταῖς τε κατὰ σύνθεσιν καὶ ταῖς κατὰ διαίρεσιν, ἀμφότερα συλλήψεται τὰ ἀντιληπτικὰ ὁ κατήγορος· ἐκεῖ μὲν διὰ τὸ ἑκάτερον αὐτῶν ἰδίᾳ, ὡς εἴρηται, μὴ εἶναι γραφῆς ἄξιον· ἐν ταῖς κατὰ διαίρεσιν δὲ, ἵνα σφοδροτέραν ἀπεργάσηται τὴν κατηγορίαν· ὁ φεύγων δὲ ἐν ἀμφοτέραις διαιρήσει τὴν ἀπολογίαν, ἐκεῖ μὲν δεῖξαι βουλόμενος, ὅτι μάτην ὁ κατήγορος τὴν κατ' αὐτοῦ πεποίηται γραφὴν, ἐνταῦθα δὲ σαθρότερον τῶν ἀντιληπτικῶν ἑκάτερον ἰδίᾳ δεῖξαι σπουδάζων· αὐξήσεως οὖν ἕνεκα μόνης ὑπὸ τοῦ διώκοντος συμπλέκεται, ὑπὸ δὲ τοῦ φεύγοντος διαιρεῖται.

ιή. Εἰσὶ καὶ ἕτεροι, φησὶν, ἀντιλήψεως τρόποι· περὶ ὧν παραιτεῖται λέγειν· καί τινες τοῦ τεχνικοῦ ὥσπερ ἐντεῦθεν ἐπιλαμβάνεσθαι ἠξίωσαν· εἰ μὲν γὰρ, φασὶν, οὐκ ἔδει λέγειν περὶ αὐτῶν, τί τὴν ἀρχὴν ἐμνήσθη; εἰ δὲ λέγειν ἐχρῆν, ἐξήμαρτε παραλιπὼν ἃ δέον εἰπεῖν· πρὸς οὓς φαίημεν ἂν, ὅτι καθὸ μὲν [38] οὐχ ἥρμοττεν [39] ὁ λό-

38 καθὸ μὲν Mon. om. 39 Mon. ἥμαρτεν.

γος τῇ προκειμένῃ πραγματείᾳ, κατὰ τοῦτο παρῆκε, καθὸ δὲ αὐτὸ τοῦτο ἐχρῆν εἰδέναι, ὅτι παρεῖταί τινα, εἰκότως ἐμνήσθη, ὅπως ἂν μὴ ταραττώμεθα, ἐπειδὰν ἔξω τι τούτων ἀκούσωμεν·[40] τίνος δὲ χάριν τὸν περὶ τούτων παρεπέμψατο λόγον, αὐτὸς ἀποδίδωσι τὴν αἰτίαν· πᾶν γάρ, φησίν, ὅ τι ἂν παρὰ ταῦτα εὑρεθείη τοῖς προκειμένοις εἴδεσιν ὁμοίως διαιρεθήσεται· ὥστε τὸν περὶ ἐκείνων λόγον παντελῶς εἶναι τῇ πραγματείᾳ τῇδε ἀνάρμοστον· πρόκειται γὰρ αὐτῷ περὶ τῆς τῶν κεφαλαίων διαιρέσεως λέγειν· οὐδὲν δὲ κοινὸν περὶ τὴν[41] διαίρεσιν ἐκείνοις συνέβαινε· δέδωκε δὲ παράδειγμα ἑτέρου εἴδους παρὰ τὰ προειρημένα· γραψάμενοί τινες μοιχείας ἀλλήλους καὶ καθυφέντες τὰς γραφάς, ἤμειψαν τὰς γυναῖκας, καὶ φεύγουσι κακοῦ βίου· πολὺ γὰρ τὸ διάφορον ταύτης πρὸς τὰς εἰρημένας ἀντιλήψεις· πρῶτον μὲν γὰρ δύο ἐστὶ πρόσωπα κρινόμενα· ἔπειτα τέτταρά ἐστιν ἀντιληπτικὰ συμπεπλεγμένα, ὅτι γράφεσθαί τινας ἔξεστι· δεύτερον καὶ τὸ ἀναιρεῖσθαι γραφὰς οὐ κεκώλυται· πρὸς τούτοις τὸ γαμεῖν, ὅθεν βούλεταί τις ἐπ' ἐξουσίας ὄν· τέταρτον, ὅτι καὶ ἀποβάλλεσθαι τὴν οὖσαν οὐ κεκώλυται· καὶ ταύταις τῶν κρινομένων ἑκάτερος χρήσεται· δῆλον δέ, ὡς καὶ ὁ κατήγορος ἰσάριθμα παραλήψεται μεταληπτικά· ἡ δὲ μέθοδος, φησίν, ἐκ τῶν ἔμπροσθεν ἤδη σεσαφήνισται· εἰ γὰρ ἀντιλήψεις τοσαῦται, δῆλον ὡς καὶ ἀντιθετικὰ οὐχ ἧττονα ἐμπεσεῖται, καὶ ὅτι μεταληπτικά· εἰσὶ δὲ ἕτεροι τρόποι ἀντιλήψεως· οἷον τὸ κρίνεσθαί τινα ἐφ' οἷς μὴ πεποίηκεν, ὡς ἐπὶ τοῦδε τοῦ παραδείγματος· ζωγράφος μηδέποτε γράφων θεοὺς κρίνεται ἀσεβείας, καὶ ἄλλοι συχνοί, οὓς ἐν τῇ μεθόδῳ περὶ τῆς ἀντιλήψεως τεχνολογοῦντες ἀνελλιπῶς διεξήλθομεν.

ιθ'. Ὁ Μινουκιανὸς ἕτερον εἶδος ἀντιλήψεώς φησι[42]

---

40 Mon. ἀκούσαιμεν. 41 Mon. περιττήν. 42 φησὶ Mon. om., recepi ex Par. 2.

τὸ μὴ κεκωλυμένον· τρία γὰρ τὰ γενικὰ εἴδη τῶν ἀντιλήψεων, νόμος, φύσις, ἔθος· ὅταν οὖν, φησὶ, μὴ ἔχωμεν ἓν τῶν τριῶν προβάλλεσθαι, προβαλλόμεθα [43] τὸ μὴ κεκωλυμένον, εἰ γὰρ μὴ κεκώλυκε, δέδωκεν, ἀναφέρεται [44] δὲ καὶ τοῦτο εἰς τὸν νόμον· τὰ γὰρ κωλυόμενα πάντως ἀπὸ νόμου κωλύονται· ἔστι δὲ καὶ ἄλλα, φησίν· βούλονταί τινες ἄλλο εἶδος εἶναι, ἐφ' ᾧ τις οὐ πεποίηκε, κρινόμενος δὲ ποιῆσαι· πανταχοῦ γὰρ ἐφ' οἷς τις ἔπραξε κρίνεται· ἔστιν οὖν καὶ ἕτερον εἶδος, ἐφ' ᾧ οὐ πεποίηκεν, ὡς ὀφείλων ποιεῖν ὁ ζωγράφος πάντα τὰ ἐν Μαραθῶνι, τὸν Πᾶνα οὐκ ἐποίησε συμμαχοῦντα τοῖς Ἀθηναίοις, καὶ κρίνεται ἀσεβείας· ἰδοὺ ἐνταῦθα ἐφ' ᾧ οὐκ ἐποίησε [45] κρίνεται.

Ἐν ἀρχῇ [46] τῶν εἰδῶν ἔφη τούτων, ὅτι ἐνδέχεται καὶ πλείονας τρόπους εὑρίσκεσθαι, οὐ προηγουμένως οὐδὲ γενικῶς, ἀλλὰ κατ' ἐπιπλοκήν. Δύο, φησὶ, πρόσωπά ἐστι τὰ κρινόμενα, πολλαὶ δὲ ἀντιλήψεις· οἷον γραφὰς κατά τινων ἐπιφέρεσθαι ἔξεστιν καὶ πάλιν ἀναιρεῖσθαι ταύτας· ὁμοίως ἄγεσθαι γυναῖκας, ὅθεν ἂν δοκῇ τινι, ταυτὶ γὰρ πάντα δοκεῖ ἐξεῖναι καὶ μὴ κεκωλύσθαι.

Τῶν πολλῶν τούτων, φησὶν, ἀντιλήψεων, ὧν [47] ὁ φεύγων προβάλλεται, ἀνάγκη τῷ κατηγόρῳ λῦσαι ἑκάστην. Ἐπειδὴ εἶπε [48] περὶ πάσας τὰς προειρημένας μεθόδους, περὶ τῶν ἄλλων οὐδὲν ἂν καινότερον εὑρεθείη, ἀλλὰ τοῖς αὐτοῖς διαιρεῖται κεφαλαίοις, διὰ τοῦτο οὐδὲ ἐν εἴδεσιν ἑτέροις ταῦτα τέτακται, εἴδους γάρ ἐστιν ἴδιον τὸ διαλλάττουσαν ἐπιδεῖξαι διαίρεσιν, τοῦτο δὲ ταῖς αὐ-

---

43 προβαλλόμεθα. Mon. om. 44 Par. 1. ἀφαίρεται. 45 Mon. οὐ πεποίηκε. 46 Ἐν ἀρχῇ τῶν εἰδῶν etc. et δύο φησὶ πρόσωπα — — μὴ κεκωλύσθαι pertinent ad Sch. minora. etiam Par. 1. in maiorum contextum recepit, sed locis diversis. Ad: ἔξεστι γαμεῖν, ὅθεν βούλεταί τις Sch. min. εἰς τὸ μη κεκωλυμένον τρέχει. 47 ὧν Mon. om. 48 εἶπε Par. 1. om.

ταῖς διαιρεῖται μεθόδοις. Ἔτι φησὶν καὶ ἄλλα εἴδη ὑπό τινων ἐπινενοημένα· ἔργον δ᾽ ἂν εἴη καθέκαστον ἐπεξιέναι· ἀπὸ γὰρ τούτων κἀκεῖνα ἐπιγνωσόμεθα ῥᾳδίως. [49]

Cap. XXIII.

Περὶ τῶν ἀντιθετικῶν, ἀντιστάσεως,[1] ἀντεγκλήματος, μεταστάσεως, συγγνώμης.

ά. Προσηκόντως ὁ τεχνογράφος αἰσθόμενος τῆς τῶν κεφαλαίων κοινωνίας συνῆψε τῇ ἀντιλήψει τὰς ἀντιθετικάς, τέως τὸν περὶ τῆς πραγματικῆς λόγον ἀναβαλλόμενος· τῆς γὰρ δικαιολογίας εἰς δύο μερισθείσης, εἴς τε ἀντίληψίν φημι καὶ ἀντίθεσιν, ἡ μὲν ἀντίληψις κατὰ χώραν ἔμεινεν οὐ διαιρουμένη, καθ᾽ ἑαυτὴν δὲ τυγχάνουσα στάσις, ἡ δὲ εἰς τέτταρα ὥςπερ ἀπὸ γένους τῆς ἀντιθέσεως εἴδη τέμνεται, λέγω δὴ τὴν ἀντίστασιν καὶ μετάστασιν καὶ ἀντέγκλημα καὶ συγγνώμην. Διὸ ταύτας μετὰ τὴν ἀντίληψιν ἔταξε· πρεπόντως δὲ ἁπάσας συνήγαγε τὰς ἀντιθετικάς, καὶ κοινῇ τὸν περὶ αὐτῶν λόγον ἀποδίδωσι, τῶν ἄλλων ἰδίᾳ περὶ ἑκάστης διαλαβών· ἑνὸς γὰρ ὄντος τοῦ παραλλάττοντος κεφαλαίου τοῦ ἑκάστης ἰδίᾳ τῆς στάσεως, περίεργον τὸ λέγειν περὶ ἑκάστης τὰ αὐτὰ κεφάλαια τιθέμενον.

β. Τῶν ἀντιθετικῶν ἁπασῶν κοινὴν ποιεῖται διαίρεσιν· τοῖς γὰρ αὐτοῖς κέχρηνται κεφαλαίοις, πλὴν ὅσον ἀφ᾽ ἑνὸς κεφαλαίου διαστέλλονται ἀπ᾽ ἀλλήλων, ὅπερ

ἐστὶν

---

49 In Mon. sequitur: τοῖς προειρημένοις ἑπόμενος ὀρθῶς ἄν τις διαιροίη. quod Par. habet ad marg. ad indicandum diversum verborum ordinem apud Hermogenem.

1 Mon. ἀναστάσεως.

ἐστὶν ὁμώνυμον τῇ στάσει αὐτῇ [2] τοῦ ζητήματος· οἷον ἡ ἀντίστασις διενήνοχε τῶν ἄλλων τριῶν κατὰ διαίρεσιν τῶν ἀντιστατικῶν κεφαλαίων, καὶ αὖ πάλιν τῷ συγγνωμονικῷ· ἡ συγγνώμη καὶ τὸ ἀντέγκλημα τῷ ἀντεγκληματικῷ, ἔτι δὲ τῷ μεταστατικῷ ἡ μετάστασις· τοῦτο δὲ οὐ περὶ τὰς ἀντιθετικὰς μόνας συμβέβηκεν, ἀλλ' ἔστι καὶ ἐπ' ἄλλων ἰδεῖν στάσεων κοινωνίαν τῆς διαιρέσεως· ἡ γοῦν ἀντινομία καὶ ἡ κατὰ ῥητὸν καὶ διάνοιαν στάσις μίαν λαμβάνουσι διαίρεσιν, ἑνὶ κεφαλαίῳ διοριζόμεναι· ἡ δὲ τάξις τῆς ἀντιθέσεως εὖ μάλα ἔχουσα φαίνεται· καὶ αὕτη πρὸς τὰς εἰρημένας ἤδη τῶν στάσεων καὶ τῶν ἀντιθετικῶν πρὸς ἀλλήλας· ὅτι μὲν γὰρ μετὰ τὸν στοχασμὸν καὶ τὸν ὅρον καὶ τὴν ἀντίληψιν εὐκαίρως ἡ ἀντίθεσις τέτακται, ὡδί πως ἂν καταμάθοιμεν. Τὴν τάξιν ἔλαβεν ὁ τεχνικὸς ἀπὸ τοῦ μᾶλλον ἀτελοῦς ἀρξάμενος, καὶ προβαίνων κατὰ μέρος ἐπὶ τὸ τελεώτερον· ὁ μὲν στοχασμὸς παντελῶς ἀφανὲς ἔχων τὸ κρινόμενον πρόδηλον, ὡς ἔστιν ἀτελὴς καὶ παντάπασιν· ὁ δὲ ὅρος ἐξ ἡμισείας καὶ αὐτὸς ἀτελής, ἐπεὶ τὸ μὲν αὐτοῦ πέπρακται, τὸ δὲ λείπει, ἡ δὲ ἀντίληψις οὐδὲν ἔχει ἐλλεῖπον, ἀλλὰ τέλειον ἐν αὐτῇ τὸ πεπραγμένον· περὶ γὰρ τῆς ποιότητος μόνη ἡ πᾶσα συνίσταται ἀμφισβήτησις, πότερον ἀδίκημα τὸ πραχθέν, ἢ οὐκ ἀδίκημα· ἐν δὲ τῇ ἀντιθέσει πρὸς τῷ καὶ τὸ πεπραγμένον εἶναι τέλειον καὶ ἡ ποιότης αὐτὴ [3] ὡμολόγηται· οὐ γὰρ μόνον ἅπαν τὸ πεπραγμένον ὁ φεύγων δέχεται, ἀλλά τι καὶ ἀδίκημα ὁμολογεῖ τὴν αἰτίαν τοῦ πεπραγμένου μόνην προϊσχόμενος· οἷον ὅτι διὰ τὸ μειζόνως εὐεργετῆσαι ἠδίκουν, ὅπερ ἦν ἀντιστάσεως, ἢ ὅτι ὁ πεπονθὼς αὐτὸς ἑαυτῷ κατέστη τοῦ ἀδικήματος αἴτιος, καὶ γίνεται ἡ στάσις ἀντέγκλημα· οὕτως καθάπερ ὁδῷ τινι αἱ προειρημέναι στάσεις ἐπὶ

2 Par. 1. αὐτῇ τῇ στάσει. 3 αὐτή. Par. 1. om., Mon. habet αὐτήν.

τὴν ἀντίθεσιν κατηντηκέναι δοκοῦσιν· εἰ δέ τις λέγει, καὶ ἐν ὅρῳ πολιτικὸν τέλειον προσδέχεσθαι ἀδίκημα τὸν φεύγοντα, ὡς ἐπὶ τοῦ ὑφελομένου τὰ ἰδιωτικὰ χρήματα, καὶ κρινομένου ἱεροσυλίας τήν τε κλοπὴν τέλειον οὖσαν ἀδίκημα ὁ φεύγων προσίεται, καὶ ἐν ἀντιλήψει δὲ τέλειον εἶναι τὸ ἀδίκημα, ὥστε μηδὲν ἔχειν πλέον τῶνδε τῶν στάσεων τὴν ἀντίθεσιν, [4] ῥητέον, ὡς ἐν ὅρῳ μὲν καὶ ἀντιλήψει κἂν τέλειόν τι ὑποκείμενον ᾖ ἢ οὐ προσδέχεται αὐτὸ ὡς ἀδίκημα ὁ φεύγων, καθάπερ ἐν ἀντιλήψει, ἢ εἴπερ προσδέξεται, οὐ τοιοῦτον δέχεται, οἷον ἐπάγει ὁ κατήγορος, ὥσπερ ἐπὶ τοῦ ὁρικοῦ προβλήματος· ὁ μὲν γὰρ διώκων ὡς ἱερόσυλον κρίνει· ὁ δὲ φεύγων κλέπτης εἶναι ἀξιοῖ δέχεσθαι· ἔστι δὲ καὶ ἑτέρα τῆς τάξεως αἰτία, πολὺ τῆς εἰρημένης ἀμείνων τάχα ἂν δόξασα· αἱ μὲν γὰρ προκείμεναι στάσεις κατὰ μάχην καὶ ἔνστασιν τὴν ὅλην ἔχουσιν ἀμφισβήτησιν, ἐν γὰρ ἐκείναις αὐτῇ ἐνίσταται ὁ φεύγων τῇ τοῦ κατηγόρου φωνῇ, ἡ δὲ ἀντίθεσις κατὰ ἀντιπαράστασιν γίνεται· ὁ γὰρ φεύγων δέχεται μὲν τὸ ἐπιφερόμενον ὑπὸ τοῦ διώκοντος· ἔξωθεν δέ τι παρίστησιν αὐτῷ· οἷον ὅτι εἰ καὶ ἀδίκημα τὸ γενόμενον, ἀλλ᾽ οὖν ἕνεκα μείζονος εὐεργετήματος ἐπράξατο· ὥσπερ δὲ πᾶσα ἔνστασις προτέρα κατὰ φύσιν τῆς ἀντιπαραστάσεως, οὕτω τῆς ἀντιθέσεως προηγοῖντο ἂν εὐλόγως αἱ προειρημέναι τῶν στάσεων, καὶ αὕτη μὲν ἡ τάξις τῆς ἀντιθέσεως. Ὡς δὲ καὶ ἐπ᾽ αὐτῶν τῶν ἀντιθετικῶν ἑκάστῃ τὴν προσήκουσαν ἀπένειμε τάξιν, ἤδη λεκτέον· πρώτην γάρ τοι παρέλαβε τὴν ἀντίστασιν· εἰκότως· καὶ γὰρ ταύτῃ μόνῃ τῶν ἀντιθετικῶν ἀγαθόν τι ἀποβέβηκεν· ὅπου δὲ ἀγαθὴ πρᾶξις καὶ εὐεργέτημα, ἐκεῖσε καὶ μείζων ἡ παῤῥησία· τὸ δὲ πλείονα παρέχον τὴν παῤῥησίαν προτερεύειν δίκαιον τῶν οὐχ ὧδε ἐχόντων· πρὸς τούτοις καὶ μία φύσις ἦν τῶν ἐφεξῆς τριῶν

4 Mon. τῶν δὲ στάσεων ἀντίθεσις.

ἀντιθετικῶν· ὥστε μὴ δύνασθαι μεταξὺ αὐτῶν τετάχθαι τὴν ἀντίστασιν· ἴδιον γὰρ τῶν τριῶν τοῦτό ἐστι, τὸ φέρειν πρὸς ἄλλο τι τὴν αἰτίαν, μεμαθήκαμεν γὰρ ἐν τῇ μεθόδῳ τὴν ἐπίγνωσιν τῶν ἀντιθετικῶν· ἢ γὰρ εἰς αὐτὸν ὁ φεύγων τὸ ὅλον ἀναφέρει ἢ εἴς τι τῶν ἔξωθεν. κἂν μὲν εἰς ἑαυτὸν, ποιεῖ τὴν ἀντίστασιν· εἰ δὲ εἴς τι τῶν ἔξω, πάλιν ὑποδιαιροῦμεν· εἰ γὰρ εἰς αὐτὸν τὸν πεπονθότα μεταφέρει τὴν αἰτίαν, ἀντέγκλημα γίνεται, εἰ δὲ ἐπί τι ἄλλο, αὖθις ὑποδιελεῖν ἀναγκαῖον· ἢ γὰρ εἰς ὑπεύθυνον μεθίστησι, καὶ ποιεῖ μετάστασιν, ἢ εἰς ἀνεύθυνόν τι καί γίνεται συγγνώμη· σαφὴς οὖν κἀντεῦθεν ἡ τάξις τῶν ἀντιθετικῶν· δεῖ γὰρ πρώτην μὲν εἶναι τὴν ἀντίστασιν, εἴγε τὸ ἐφ᾽ ἑαυτὴν ἄγειν τὴν ὅλην αἰτίαν πολὺ δήπου κυριώτερόν ἐστι τοῦ ἐπί τι τῶν ἔξωθεν μεταφέρειν· δεύτερον δὲ εἰκότως ἂν εἴη τὸ ἀντέγκλημα· πάλιν γὰρ τὸ μεθιστάνειν τὴν αἰτίαν ἐπ᾽ αὐτὸν τὸν πεπονθότα τοῦ ἐπί τινα φέρειν ἄλλον [5] μεῖζόν ἐστι καὶ προσεχέστερον τῇ ὑποθέσει· ὅτι δὲ ἡ μετάστασις κατὰ λόγον πρὸ τῆς συγγνώμης τέτακται, σαφές· ἡ μὲν γὰρ εἰς ὑπεύθυνον ἀναπέμπει τὴν αἰτίαν, ἡ δὲ εἰς ἀνεύθυνον καὶ κρίσιν οὐχ ὑφιστάμενον. τοσαῦτα περὶ τῆς τάξεως τῶν ἀντιθετικῶν, δήλη γὰρ ἐντεῦθεν ἥ τε φύσις ἑκάστης καὶ ἡ ἰδιότης γεγένηται.

γ΄. Πληθυντικῶς προήνεγκεν „αἱ ἀντιθετικαὶ," πασῶν γὰρ μία καθέστηκε διαίρεσις· ἡ προβολὴ δὲ πρότασίς ἐστιν τοῦ ἐγκλήματος· μετρίαις δὲ ταῖς αὐξήσεσι προαχθήσεται τοῖς ἀπ᾽ ἀρχαῖς ἄχρι τέλους, φυλαττομένης τῆς οἰκείας αὐξήσεως· γίνεται δὲ ἡ αὔξησις τῇ προβολῇ ἐκ τῶν παρὰ τῆς στάσεως [6] μορίων.

δ΄. Περὶ τοῦτο τὸ χωρίον πολλὰ διάφορα ἐναντιοῦνται τῷ τέλει. Ὁ μὲν γὰρ Ἁρποκρατίων ἀνταποφαίνε-

5 post ἄλλον in Mon. sq. δεῖ. 6 Par. 1. ἐκ τῶν τῆς παραστάσεως μορίων.

ται πρὸς τὸ „ἔστιν ὅτε", λέγων ἀεὶ ἐμπίπτειν τὸ ὁρικόν· ἕτεροι δὲ ἀποροῦσιν, εἰ ὅλως οἷόν τε ὅρον ἐπὶ τῆς ἀντιθέσεως εὑρίσκεσθαι· οὗτοι μὲν οὖν τῷδε τῷ λόγῳ [7] κέχρηνται· πᾶς ὅρος, φασὶν, ἢ ἐπὶ ἀτελέσι λαμβάνεται, [8] ἢ ἐφ' ᾧ μηδὲ προσδεχόμεθά τι ὅλως ἀδίκημα· οἷον εἰ καὶ τὸ καὶ [9] τὸ ἔπραξα, τότε ἂν εὐθυνόμην· ἐπὶ δὲ τῆς ἀντιθέσεως, τελείου ὄντος καὶ ὁμολογουμένου τοῦ ἀδικήματος, πῶς ἂν δύναιτο, φασὶν, ὅρος παραλαμβάνεσθαι· φήσαιμεν δ' ἂν πρὸς αὐτοὺς, ὅτι συμβαίνει ποτὲ κἀπὶ τῆς ἀντιθέσεως μὴ πάνυ περιφανὲς εἶναι τὸ ἀδίκημα, μηδ' ἰσόῤῥοπον τῇ ἐπαγομένῃ κρίσει· ἐφ' οὗ ἠδύνατο ἂν δήπουθεν χώραν ἔχειν τὸ ὁρικὸν, εἰ καὶ μὴ τοσαύτην, ὅσην ἐπὶ τοῦ ὅρου καὶ τῆς ἀντιλήψεως· παράδειγμα δὲ τοῦ λεγομένου ὁ ῥήτωρ· ὅσον ὑπὸ τοῖς πολεμίοις γενόμενος, ἐγκώμιον αὐτῶν διεξελθὼν ἀφείθη, καὶ ἐπανελθὼν κρίνεται δημοσίᾳ· τὸ γὰρ ἀδίκημα ἐνταῦθα οὐ σφόδρα φανερόν· ὥστε εἰκότως ἂν παραληφθείη, πεφεισμένως μέντοι καὶ ὅσον ἐπιδραμεῖν· μεμαθήκαμεν οὖν ἐνταῦθα, οὐ μόνον ὅτι ὑφεστάναι δύναται τὸ κεφάλαιον, ἀλλὰ καὶ πότε μὲν ἐμπίπτει, πότε δὲ ἐξίσταται· ὅταν γὰρ μὴ σφόδρα ᾖ τὸ ἀδίκημα φανερὸν, ἐμπίπτει τὸ ὁρικόν· ὅταν δὲ τὸ ἀδίκημα ὑπάρχῃ περιφανέστατον, τότε ἐλλείπει· ὁ δὲ Ἁρποκρατίων, ὡς ἔφην, τῶν ἀεὶ ἐμπιπτόντων εἶναί φησι τὸ κεφάλαιον, καὶ πιστοῦται τὸν λόγον ἐκ μιᾶς τῶν ἀντιθετικῶν τῆς καλουμένης ἀντιστάσεως, ἐν ᾗ ὑπόκειταί τι πάντως· εἰσενεχθήσεται γὰρ τὸ ὁρικὸν ἐκ συλλογισμοῦ τοῦτον τὸν τρόπον, ὡς ἀδικῶν βλάπτει, ὁ δὲ βλάπτων οὐκ ὠφελεῖ, ἐγὼ δὲ ὠφέλησα, οὐκ ἄρα ἄδικος· εἰ οὖν, φησὶν, εὐεργέτημα δεῖ πάντως ὑπεῖναι, χώραν δὲ πολλὴν ἔχει [10] ἐπὶ πάσης τοιαύτης παραστάσεως ὁ εἰρημένος συλλογισμὸς, κατάδηλον, ὡς καὶ

---

7 par. 1. τῷδε κέχρηνται λόγῳ. 8 Par. 1. inserit φησίν. 9 Mon. καὶ τὸ semel tantum ponit. 10 ἔχει Mon. om.

τὸ ὁρικὸν ἀεὶ ἐμπεσεῖται· λέληθε δὲ οὗτος ἑαυτὸν τῆς ἀντιθέσεως ἓν μόνον παραλαβὼν εἶδος· τὰ δὲ ἄλλα χαίρειν ἐάσας, εὐεργέτημα γὰρ ἐπὶ μόνης τῆς ἀντιστάσεως ὕπεστιν, οὐ μὴν οὐδὲ ἐν τῇ [11] ἀντιστάσει τῶν ἀεὶ ἐμπιπτόντων τὸ ὁρικὸν δύναται· ὅτι γὰρ μεῖζον πολὺ τὸ ἀδίκημα τοῦ εὐεργετήματος, τό τε ἀναγκαίως ἐλλείπει τὸ ὁρικόν· τοσοῦτον οὖν ἔδει φάναι τὸν Ἁρποκρατίωνα, ὡς τὸ ὁρικὸν, εἰ ἐμπίπτει, ἐν ἀντιστάσει κατὰ τὸ ἀδίκημα καὶ τὸ εὐεργέτημα λαμβάνεται διοριζόμενον, τί μέν ἐστιν ἀδικεῖν, τί δὲ εὐεργετεῖν, καὶ ταῦτα μὲν ὅσον διαλῦσαι τὰ ἠπορημένα· τὴν δὲ ἁρμόζουσαν τῶν κεφαλαίων τεχνολογίαν ἀποδώσομεν ἐν τῷ προσήκοντι τόπῳ γενόμενοι.

έ. Ὅρῳ λέγει παραγραφικῷ· σπανίως δὲ ἐνταῦθα ἐμπίπτει, ἐπειδὴ δῆλόν ἐστι τὸ πεπραγμένον, ὡς εἰπεῖν γὰρ ἐν τοῖς ἀμφιβόλοις ἐμπίπτει.

ϛ΄. Τὰ ἑπόμενα τῷ ὅρῳ συλλογισμός ἐστιν, ὃς ἐναντίος ἐστὶ τῷ ὅρῳ, γνώμη νομοθέτου, εἰ ῥητὸν ἐμπίπτει, πηλικότης, πρός τι· τοῖς ἑπομένοις δὲ εἶπε τῷ ὅρῳ, μέχρι γὰρ τούτου ἐν παραγραφικοῦ μοίρᾳ τετάξεται τὰ κεφάλαια.

ζ. Διάνοιαν ἐνταῦθα λέγει τοῦ φεύγοντος, ὅτι μὴ μόνον σκόπει τὸ γεγενημένον, ἀλλὰ καὶ ποίᾳ διανοίᾳ πεποίηκα.

ή. Οἷον ἀλλὰ ἐπὶ συμφέροντι [12] πεποίηκα, ἢ ὅτι ἄξιος ἦν παθεῖν, ἢ ὅτι οὐκ ἐγὼ, ἀλλ᾽ ὁ πρύτανις, ἢ ὅτι φόβῳ ἡττήθην.

ϑ΄. Συγκριτικὴν ἔχει δύναμιν τοῦτο· καὶ ὁ μὲν κρινόμενος λέξει, μεῖζον εἶναι τὸ εὐεργέτημα τοῦ ἀδικήματος, ὁ δὲ κατήγορος τὸ ἐναντίον, ὅτι μεῖζον τὸ ἀδίκημα τοῦ εὐεργετήματος· δεύτερον δὲ τὸ πρός τι παραλαμβάνεται, ἀνωτέρω μὲν πρὸς τὸν ὅρον παραλαμβανόμενον

11 τῇ Par. 1. om. 12 Par. 1. οἷον ἀλλὰ καὶ συμφέρον τι.

πρὸς λύσιν αὐτοῦ· ἐνταῦθα δὲ ἀμφοτέρων ἐστὶ τὸ κεφάλαιον· ὁ μὲν γὰρ τὴν βλάβην μείζονα δεικνύει, ὁ δὲ τὴν εὐεργεσίαν, ὅταν ἀντιστατικὸν ᾖ τὸ ζήτημα, ἂν δὲ ἀντεγκληματικὸν, ὁ μὲν τὴν τιμωρίαν τοῦ ἀδικήματος, ὁ δὲ τὸ ἁμάρτημα ὑπερβαίνειν φήσει, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως.

ί. Καὶ τοῦτο κοινὸν ἀμφοῖν· τὸ κεφάλαιον δὲ τοῦτο ἀεὶ τῷ πρός τι ἀκολουθεῖ· καὶ ἐμπίπτοντος μὲν τοῦ πρός τι τοῦ δευτέρου, ἐμπίπτει καὶ αὐτό· ἐκλείποντος δὲ συνεκλείπει· ἐκλείπει δὲ τὸ πρός τι, ἐφ᾽ ὧν οὐκ ἔστιν εὐεργεσία τὸ πραχθέν· βίαιος δὲ ὅρος εἴρηται, ὅτι ἐν τούτῳ ἑκάτερος τῶν ἀγωνιζομένων βιάζεται, ὁ μὲν δεῖξαι, ὅτι οὐδόλως βλάβη τὸ γεγονὸς, ὁ δὲ, ὅτι οὐδόλως ὠφέλειά τις συνέβη.

ιά. Ἡ θέσις ἀκολουθεῖ πρὸς τὴν μετάληψιν, λέγοντος τοῦ φεύγοντος, ὅτι δεῖ τὸν στρατηγὸν ἢ τὸν ὁντινα-δήποτε ᾧ δύναται τρόπῳ τὴν εὐεργεσίαν ἐπιδείκνυσθαι.

ιβ΄. Τοῦ φεύγοντος τῇ θέσει χρωμένου ὁ κατήγορος τῇ δευτέρᾳ χρήσεται μεταλήψει, [13] τὸν τρόπον τῆς πράξεως αἰτιώμεος· ἐν μὲν γὰρ τῇ πρώτῃ τὴν πρᾶξιν μέμφεται· ἐπὶ δὲ τῇ δευτέρᾳ τὸν τρόπον τῆς πράξεως· οὐδὲ τοῦτο ἀεὶ ἐμπίπτει, ἀλλ᾽ ἐπὶ μὲν τῶν δημοσίων ἐμπίπτει, ἐπὶ δὲ τῶν ἰδιωτικῶν οὔ.

ιγ΄. Ταῦτα τὰ κεφάλαια ἔχεται ἀλλήλων· ἀλλὰ πῶς ἀντίληψις ἐν ἀντιθετικαῖς ἐμπεσεῖν δύναται; πῶς γὰρ ἐρεῖ ὁ ὑπεύθυνος, ὅτι ἐξῆν μοι, ἀλλὰ τότε ἐμπίπτει, ὅτε τὸ πρόσωπον τὴν ἐξουσίαν αὐχεῖ· οὐ γὰρ ἀπὸ τοῦ πράγματος γίνεται, ἀλλ᾽ ἀπὸ τοῦ προσώπου· οἷον ὅτι ἐξῆν μοι πατέρι ὄντι πράττειν ὃ βούλομαι καὶ στρατηγῷ τὸ τεῖχος καθελεῖν.

ιδ΄. Ἐκ τῶν πολλῶν ταῦτα πρόδηλα.

ιέ. Ἡ προβολὴ ἀφήγησίς ἐστι ψιλὴ τῶν πραγμά-

13 Par. 1. ἀντιλήψει.

των, διήγησιν ἔχουσα τῶν πεπραγμένων μετὰ μετρίας αὐξήσεως· τὴν γὰρ τελείαν αὔξησιν τοῖς οἰκείοις φυλάξομεν κεφαλαίοις· μετὰ δὲ τὴν διήγησιν χρησόμεθα τῇ προβολῇ ἐν προτάσεσιν· ἀπὸ τῶν συμβεβηκότων δὲ εἶπε, τουτέστιν ἅπερ ἔχει ἡ ὕλη τοῦ πλάσματος· τίς δὲ ἡ προβολὴ, σκοπήσωμεν ἐπὶ ἀντιστάσεως· ὡς ἐπὶ τοῦ σκάψαντος στρατηγοῦ τὸ τεῖχος· ἡ προβολή· μέγα ἠδίκησας κατασκάψας τὸ τεῖχος, ἐπὶ ἀντεγκλήματος δὲ, ὡς ἐπὶ τοῦ πορνεύοντα τὸν υἱὸν ἀποκτείναντος ἀριστέως· ἡ προβολή· τὸ μέγιστόν σοι πέπρακται τῶν ἀνηκέστων κακῶν· αὐτόχειρ ἐγένου καὶ ταῦτα τοῦ παιδὸς οὐδὲ τῆς φύσεως φεισάμενος· ἐπὶ μεταστάσεως δὲ, ὡς ἐπὶ τοῦ πρεσβευτοῦ, ἠδίκησας τὴν πόλιν τὸν νόμον παραβὰς, καὶ παρασχὼν καιρὸν τοῖς πολεμίοις καθ᾽ ἡμῶν τῷ μὴ πρεσβεῦσαι περὶ ὧν ἠπειγόμεθα· συγγνώμης δὲ, ὡς ἐπὶ τοῦ αἰχμαλώτου γενομένου ῥήτορος καὶ ἀναγκασθέντος ἐπιτάφιον εἰπεῖν τῶν τεθνηκότων πολεμίων· δεινά σοι τετόλμηται τοὺς ἡμετέρους ἐχθροὺς ἐπαινέσαντι καὶ κολακεύσαντι τοὺς πολεμίους τοὺς ὅλῃ τῇ πόλει δυσμενεῖς.

ιϛ΄. Ἡ προβολὴ, φησὶν, ἐν τῷ ὅρῳ καὶ ἀντιλήψει προτεχνολογηθεῖσα νῦν ἐστι φανερὰ, λαμβάνεται γὰρ, φησὶν, ἀπὸ τῶν συμβεβηκότων, τουτέστιν ἐκ τῆς ἐν τῷ πράγματι περιστάσεως, καὶ ὅτι πᾶσα προβολὴ διηγηματική ἐστι, μετρίαν τινὰ λαμβάνουσα ἐκ τῶν περιστατικῶν αὔξησιν, ὃ δῆλον ἤδη πολλάκις γεγένηται· τὴν δὲ προβολὴν ταύτην, φημὶ τὴν ἐν ταῖς ἀντιθετικαῖς ὁ Μητροφάνης βούλεται τὸ παράπαν μὴ εἶναι αὐξητικήν· ἀλλ᾽ ὥσπερ σύντομον διήγησιν καὶ συγκεφαλαίωσιν καθεστάναι τοῦ ἀδικήματος, τὴν δὲ αὔξησιν τοῖς ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ἀποδίδωσι· διαφέρει οὖν τῶν ἄλλων προβολῶν, καθὸ μηδὲ ὅλως αὕτη ἐστὶν αὐξητικὴ, ἐκείνων εἰ καὶ πεφεισμένων, ἀλλ᾽ οὖν αὐξητικῶν οὐσῶν.

Πάλιν διάνοια. [14] γρ. τῷ δὲ ὁρικῷ, ὁμοίως δὲ γράφει καὶ ἐν [15] τοῖς ἐφεξῆς δυσίν. Αὕτη [16] κοινή ἐστιν ἀμφοτέρων· τοῦ μὲν φεύγοντος ἐπαινοῦντος τὴν διάνοιαν, ἐφ' οἷς ἐποίησε, τοῦ δὲ κατηγόρου κακύνοντος. Τοῦ κατηγόρου αὕτη· ὅταν γὰρ ὁ φεύγων ἐπαινέσῃ τὸ γεγενημένον, ὡς χρηστὸς ἢ ὡς ἄξιου συγγνώμης ἢ ὡς ἄξιου παθεῖν τοῦ πεπονθότος, ἢ ὡς οὐχὶ αὐτὸς ποιήσας τῇ μεταλήψει χρήσεται ὁ διώκων, ἐπὶ τῆς ἀντιστάσεως μὲν ἄλλως ἐχρῆν ἀνενεγκεῖν τῷ δήμῳ, μὴ αὐτεξουσίως πρᾶξαι· ἐπὶ ἀντεγκλήματος δὲ, ὅτι σωφρονίζειν ἔδει, τύπτειν, ὑβρίζειν· ἐπὶ τῆς μεταστάσεως διαμαρτύρασθαι, ἐλέγχειν· ἐπὶ δὲ συγγνώμης καταψεύσασθαι, ἢ ἄλλο τι ποιῆσαι ἐχρῆν.

ιζ. Μετὰ τὴν προβολὴν, ἥ τις τοῦ κατηγόρου ἐστὶν, ἀεὶ ὁ φεύγων τῷ ὅρῳ κέχρηται λέγων, οὐ τοῦτο δημόσιόν ἐστιν ἀδίκημα· οὐκ ἀεὶ δὲ ἐμπίπτει· τότε γὰρ ὅρῳ χρώμεθα, ὅταν ἢ ἀτελοῦς ὄντος τοῦ πεπραγμένου τὴν ἰδιότητα ζητῶμεν· ἢ τελείου ὄντος τῷ ἀνευθύνῳ ἰσχυριζάμεθα, καὶ λέγωμεν ἐφ' ἑτέροις εἶναι τὰς τοιαύτας γραφάς· ἔνθα δὲ τέλειον καὶ ὑπεύθυνον, τίνα χώραν ἔχει ὁ ὅρος· ἀλλ' ἂν μὲν ἰδιωτικὸν ᾖ τὸ πεπραγμένον, οὐκ ἐμπίπτει, δημοσίου δὲ ὄντος ἐμπίπτει· καὶ ἐπὶ τούτων οὐ πάντων, ἀλλ' ὅτε οὐ σφόδρα λυμαίνεται τῇ πόλει τὸ ἀδίκημα, ὡς ἐπὶ τοῦ ῥήτορος ἐπιτάφιον εἰπόντος τῶν πολεμίων· ἐνταῦθα δὲ ὅρῳ χρήσασθαι δύναται· λέξει γὰρ, ἐπ' ἄλλοις αἱ δημόσιαι γραφαὶ, ὅταν τείχη τις καθέλῃ, ὅταν συμμάχους προδῷ. Μητροφάνης δέ φησιν, ὅτι ὅταν ἐκλείπῃ ὁ ὅρος μὴ ἔχει περίστασιν τὸ κεφάλαιον· τότε παραγραφικῶς αὐτῷ χρησόμεθα, καὶ παραληψόμεθα καινότερόν τι εἶδος παραγραφικοῦ ἐν τῇ

---

14 πάλιν διάνοια Par. 1. om. sq. τῷ δὲ ὁρικῷ lectio varians est pro τῷ δὲ ὁριστικῷ. Signum usitatum γρ. Mon. om. 15 Mon. ἐν om. 16 sc. ἑτέρα διάνοια. Est inter Sch. min. in Par. 1.

ἀντιστάσει λέγοντες, ὅτι οὐ δεῖ ἐφ᾽ οἷς εὐεργετήσας φαίνομαι κρίνεσθαι· ἰστέον δὲ, ὅτι ὅτε ἐκλείπει, ἀπὸ τοῦ φεύγοντος μὲν ἐκλείπει, εἰσάγεται δὲ ἀπὸ τοῦ κατηγόρου· διὸ καί τινες τῶν τεχνικῶν εἶπον, μηδὲ ἐκλείπειν αὐτὸ παντελῶς τῷ ἐκ τοῦ κατηγόρου εἰσάγεσθαι· ἀλλὰ πῶς εἰσάγεται, μάθωμεν, ἐπὶ ἀντιστάσεως μὲν, ὡς ἐπὶ τοῦ κατασκάψαντος τὸ τεῖχος στρατηγοῦ ἐρεῖ ὁ κατήγορος· ὅτι τοῖς μὲν ἄλλοις, ὅσοι δήποτε ἠδίκησαν, ἔξεστιν εἰπεῖν, ὡς οὐ δημόσιον ἀδίκημα τὸ γεγονὸς, τοῦτο δὲ ὡμολόγηται ὅτι δημόσιον· ἡ γὰρ βλάβη τοῦ τείχους τῆς πόλεώς ἐστι κοινή· καὶ ἐπὶ μεταστάσεως ἐπὶ τοῦ πρεσβευτοῦ· ὅτι οἱ μὲν ἄλλοι δύνανται λέγειν, ὡς οὐ δημόσιον τὸ ἀδίκημα· ἐν τούτῳ δὲ, ὅτι πρεσβευτὴς δημόσιον πρόσωπον· ἥ τε χρεία δημοσία, δι᾽ ἣν ἐξῄει· καὶ ἐπὶ ἀντεγκλήματος· οἷον συνεχῶς ἀφισταμένην πόλιν ἐπέμφθη χειρωσόμενος ὁ στρατηγός· ἑλὼν κατέσκαψε καὶ δημοσίων φεύγει· ὁ τοίνυν ὅρος, οὐ δύνῃ λέγειν, ὡς οὐ δημόσιον τὸ γεγονός·[17] πόλις γὰρ ἡ παθοῦσα, καὶ κοινῇ πᾶσαν ἔβλαψας τὴν πέμψασάν σε πόλιν· ἀπεστέρησας γὰρ αὐτὴν συμμαχίδος καὶ ὑπηκόου πόλεως καὶ εἰς τὸ χεῖρον ἡμῖν τὸ πρᾶγμα περιέστησας· ὥστε μηδὲ κεκτῆσθαι τοῦ λοιποῦ· καὶ ἐπὶ συγγνώμης, οἷον, μήτηρ ἀριστέως πεσόντος ἐν τῇ μάχῃ τοῦ υἱοῦ ἐξῆλθε χοὰς ἐποίσουσα τῷ ἀριστεῖ, συνελήφθη, καὶ βασανισθεῖσα τὰ ἀπόῤῥητα ἐξεῖπεν· ἀνέζευξαν[18] οἱ πολέμιοι καὶ δημοσίων φεύγει. ὁ ὅρος· οὐκ ἐξόν σοι λέγειν, ὅτι δημόσια ἠδίκησας· προδέδωκας γὰρ ὅσον ἐπί σοι τὴν πόλιν προδοῦσα τὰ ἀπόῤῥητα· εἰ δέ ἀνέζευξαν οἱ πολέμιοι, τῆς τύχης τὸ ἔργον· οὕτως ἀπὸ τοῦ κατηγόρου· ἀπὸ γὰρ τοῦ φεύγοντος, ἀπὸ τῶν τοιούτων παντάπασιν ἐκλείπει.

---

17 Par. 1. τὸ ἀδίκημα. 18 Par. 1. εἰ δὲ ἀνέζευξαν omisso οἱ πολέμιοι.

ιή. Πῶς μὲν ὑφεστάναι ὅρος ἐν ἀντιθέσει δύναται, καὶ πότε ἐμπίπτει, μικρὸν ἀνωτέρω δεδήλωται· νῦν δὲ ἐπειδή φησιν ὁμοίως εἶναι τὴν χρῆσιν τοῦ ὁρικοῦ, ἐπί τε τῆς ἀντιλήψεως καὶ τῆς ἀντιθέσεως, ἀναγκαῖον ζητῆσαι, περὶ ποίου φησὶν ὁρικοῦ· δύο γὰρ ἐν τῇ ἀντιλήψει παρελάβομεν, ἓν ἀπὸ τοῦ πράγματος, καὶ ἕτερον ἀπὸ τοῦ προσώπου. ἐνταῦθα τοίνυν τοῦ ὁρικοῦ τοῦ ἀπὸ τοῦ πράγματος λέγει· τὸ γὰρ ἀπὸ προσώπου ἐν ἀντιθέσει οὐδέποτε χώραν ἔχει. ὁ δὲ Μητροφάνης φησὶ, μετὰ τὸ ὁρικὸν τοῦτο ἁρμόζειν, καὶ τὸ παραγραφικὸν ὁ αὐτὸς προσεπενόησεν, ὡς ἐν τῷ στοχασμῷ· τοῦτο δὲ οὐκ ἐπὶ πάσης ἀντιθετικῆς ἀλλ᾿ ἐπὶ μόνης τῆς ἀντιστάσεως, ἐν ᾗ καὶ πάντως τι ὑπόκειται εὐεργέτημα· τὸ γὰρ πέμπτον παραγραφικὸν γίνεται, ὡς ἔφαμεν, ἐν τῷ στοχασμῷ, ὅταν ἐφ᾿ οἷς δέον τιμᾶσθαι, ἐπί τούτοις μηδὲ κρίνεσθαι λέγωμεν. χρησόμεθα οὖν αὐτῷ, φησὶν, ἐν τῇ ἀντιστάσει εὐκαίρως, ὅτι τὸν εὐεργετήσαντα τὴν πόλιν, καὶ ᾧ διὰ τοῦτο πολλὰς ἐχρῆν ὀφείλεσθαι τιμὰς, οὐ δίκαιον ὡς τὰ κοινὰ λυμαινόμενον κρίνεσθαι· φήσαιμεν δ᾿ ἂν, παντάπασιν ἀνάρμοστον εἶναι τὸ παραγραφικὸν καθάπαξ ἐπὶ πάσης ἀντιθετικῆς· ἐν μὲν τῷ στοχασμῷ παραλαμβάνεσθαι δύναται τὸ ἀφανὲς εἶναι τὸ κρινόμενον· μὴ γὰρ ὄντος φανεροῦ τοῦ ἀδικήματος οὐκ ἂν δοκοίη βίαιον εἶναι τὸ παραγραφικόν· ἐν δὲ τῇ ἀντιθέσει, καὶ καταφανοῦς καὶ ὁμολογουμένου τοῦ ἀδικήματος ὄντος, παντελῶς ἀπίθανον καὶ οὐ ῥητορικὸν φανεῖται τοῖς φανεροῖς καὶ ὁμολογουμένοις ἐναντιούμενον· τί οὖν, ἐρεῖ τις, τὸ ὁρικὸν οὐ καὶ αὐτὸ καθέστηκε παραγραφικὸν, ὡς ἐν ἀντιλήψει δεδήλωται· πρὸς ὃν ῥητέον, ὅτι τὸ ὁρικὸν οὐχ ἁπλῶς παραγραφικόν· καὶ τοῦτο παραλαμβάνεσθαι δύναται, τῷ συσκιάζεσθαί πως αὐτὸ διὰ τοῦ ὁρισμοῦ καὶ οὐ καθαρὸν εἶναι παραγραφικόν· ἔφαμεν δὲ, ὡς καὶ αὐτῷ μετρίως χρησόμεθα, καὶ ὅσον ἐπιδραμεῖν. Λείπεται

περὶ τῆς τάξεως τοῦ κεφαλαίου [19] διαλαβεῖν· ἐν μὲν τῇ ἀντιλήψει διαφόρως παραλαμβάνεται· ὑπὸ μὲν τοῦ διώκοντος περὶ τὴν ἀντίληψιν· πρὸ δὲ τῆς ἀντιλήψεως ὑπὸ τοῦ φεύγοντος· ἐν δὲ τῇ ἀντιθέσει ὑπ᾽ ἀμφοῖν ὁμοίως τάττεται· ἡ δὲ αἰτία, καθ᾽ ἣν ἐν ἀντιλήψει παρὰ μὲν τῷ κατηγόρῳ τὸ ἀντιληπτικὸν τοῦ ὁρικοῦ προτάττεται, παρὰ δὲ τοῦ φεύγοντος μετατάττεται, περιφανὴς ἐν τῷ ἁρμόττοντι τόπῳ γεγένηται· τοῦ γὰρ ἀντιληπτικοῦ τυραννικοῦ καθεστάναι δοκοῦντος, ὁ μὲν διώκων εὐθὺς ἐν ἀρχῇ τῶν ἀγώνων διαβάλλειν βουλόμενος τὴν ἀπολογίαν κέχρηται αὐτῷ πρώτῳ· ὁ δὲ φεύγων ἐκ τοῦ ἐναντίου τὸ τυραννικὸν ἐκτρεπόμενος ἀφ᾽ ἑτέρων ἄρχεται κεφαλαίων.

ιθ'. Ἀκριβῶς προσέθηκε τὸ καθάπερ ἐν ἀντιλήψει χρηστέον τῷ ὅρῳ. ἀντιδιαστέλλει γὰρ αὐτὸ πρὸς τὴν ἐν ὅρῳ χρῆσιν· ἐν μὲν γὰρ τῷ ὅρῳ περὶ ἰδιότητος οὔσης τῆς ζητήσεως, συνεκτικώτατον τὸ κεφάλαιόν ἐστιν· ἐν δὲ τῇ ἀντιλήψει, ἅτε τελείου ὄντος τοῦ πεπραγμένου παραγραφικοῦ χώραν ἔχει· αὕτη οὖν ἁρμόττει ἡ χρῆσις κᾂν ταῖς ἀντιστατικαῖς.

κ'. Μετὰ τὴν πηλικότητα καὶ τὸ πρός τι τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους· αὔξων γὰρ ὁ κατήγορος τὸ πραχθὲν δηλονότι θήσει αὐτό· καὶ τοῖς παρακολουθοῦσι τούτοις τόποις χρήσεται τοῖς περιστατικοῖς καλουμένοις. εἰ δὲ μὴ ἐμπίπτει τὸ ὁρικὸν, εὐθέως μετὰ τὴν προβολὴν συνάψομεν τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, ἐν μὲν τῇ προβολῇ ὥσπερ προτάσεις τιθέντες, ἐνταῦθα δὲ τὰς κατασκευὰς συνάπτοντες οὐ διηγηματικῶς ἀλλ᾽ εἰς ἕκαστον ἐπιχειροῦντες· ἀμέλει ἐν τῷ ἀριστεῖ τῷ πορνεύοντι τὸν υἱὸν ἀποκτείναντι, τὸ ὁρικὸν οὐκ ἐμπέπτωκεν. ὡς ἐπὶ τὸ πλεῖστον γὰρ ἐκεῖ ἐμπίπτει, ὅπου δημοσίων φεύγει τις, ὁ δ᾽ ἀριστεὺς φόνου φεύγει, οὐ δημοσίων· μετὰ τὴν προ-

19 Mon. τοῦ κεφαλαίου, Par. 1. τούτων.

βολὴν οὖν τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους κατασκευάσεις, αὔξων λοιπὸν καὶ ἐξαίρων τὸ ἔγκλημα μετὰ κατασκευῆς καὶ πίστεως, οὐχ ὡς ἐν τῇ προβολῇ ἐν διηγήσεως καὶ προτάσεως τάξει, τὰ δὲ ἀπ' ἀρχῆς ἄχρι τέλους ἐνταῦθα. οὐχ ὡς ἐν στοχασμῷ τὰ σημεῖα τοῦ ἐγκλήματός εἰσιν, ἀλλ' αὐτὸ τὸ ἔγκλημα.

κά. Ὁ Μητροφάνης, καθὰ ἔφην ἐν τοῖς ἔμπροσθεν, τὴν προβολὴν οὐ βούλεται ἐν ταῖς ἀντιθετικαῖς αὐξητικὴν εἶναι, ἀλλὰ ψιλὴν τοῦ ἀδικήματος μνήμην, τοῖς γὰρ ἀπ' ἀρχῆς ἄχρι τέλους τὴν αὔξησιν ἐπὶ τῶν ἀντιθετικῶν ἀποδίδωσιν. ὁ μέν τοι Ἑρμογένης οὐχ οὕτως, ἀλλὰ πανταχοῦ κατακολουθῶν ἑαυτῷ τὴν μὲν προβολὴν αὐξητικὴν εἶναι βούλεται, τὰ δὲ ἀπ' ἀρχῆς ἄχρι τέλους ἀποδεικτικά. ὅταν γὰρ λέγῃ τὰ ἀπ' ἀχῆς ἄχρι τέλους ταὐτὰ εἶναι τῇ προβολῇ, σαφὲς ὅτι κατὰ τὴν ὕλην, ἀλλ' οὐ κατὰ τὴν διαχείρησιν τῶν κεφαλαίων, οἶδε τὴν ταυτότητα· μία μὲν γὰρ αὐτῶν ἡ ὕλη, φημὶ τὰ περιστατικά· διάφορον δὲ ἡ χρῆσις. τὰ μὲν γὰρ ἀποδεικτικῶς, ἡ δὲ προβολὴ αὐξητικῶς πρόεισι· μετὰ τὴν αὔξησιν τοίνυν τὴν ἀπ' ἀρχῆς ἄχρι τέλους ἔφη παραλαμβάνεσθαι· τουτέστι μετὰ τὴν προβολήν· οὐ γὰρ τῶν ἀεὶ ἐμπιπτόντων ὁ ὅρος. ὥστε ἐξ ἀνάγκης ἕπεται τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους τῇ προβολῇ.

κβ'. Τοῦ κατηγόρου τῇ προβολῇ χρησαμένου καὶ διὰ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους αὐξήσαντος τὸ ἔγκλημα, ὁ φεύγων, φησὶν, ἀντιθήσει τὴν διάνοιαν, τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους τῇ διανοίᾳ λύων·[20] τίς δὲ ἡ τῆς διανοίας ἐργασία, ὁ τεχνικὸς δεδήλωκε, τὸ παράδειγμα παραθεὶς ἀντεγκλήματος ἐπὶ τοῦ πορνεύοντα τὸν υἱὸν ἀποκτείναντος ἀριστέως καὶ φόνου κρινομένου· πρῶτον μὲν γὰρ ἀξιώσει, φησὶ, μὴ τὸ πεπραγμένον ψιλῶς

---

20 Mon. λέγων.

ἐξετάζειν, ἀλλὰ μεθ᾽ ἧς πέπραχε γνώμης, ἔπειτα δὲ λύσει τὰς αἰτίας, ἃς εἰκότως ἂν ὑποπτεύσειεν, ὅτι οὐ δύσνους ὢν τῷ παιδὶ τοῦτο πεποίηκεν, οὐδ᾽ ἀπαιδίᾳ συνέχεσθαι σπουδάζων ἐπὶ πέρας ἤγαγε τὸ βούλημα, οὐ μὴν οὐδὲ ἄλλως ἐπεβούλευον [21] τῷ παιδί, ἀνόνητον γάρ· οὕτω δὲ καὶ ἐπὶ ἀντιστάσεως, ὡς ἐπὶ τοῦ σκάψαντος στρατηγοῦ τὸ τεῖχος· εἰ μὲν γὰρ καθ᾽ ἑαυτὸ τὸ πραχθὲν ἐξετάζειν τις βούλοιτο, οἷον τὸ διελεῖν τὸ τεῖχος δεινὸν, καιρὸν ἂν τοῦ διαβάλλειν ἔχοι· εἰ δὲ τὴν γνώμην, μεθ᾽ ἧς, καὶ τὴν αἰτίαν, δι᾽ ἣν, σκοπήσειέν τις ἂν, εὕροι μείζω ταύτης εὐεργεσίαν.

κγ΄. Τοῖς ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, φησὶν, ἀντιτάξει τὴν διάνοιαν· τοῦτο γὰρ ἡμῖν καθολικὸν ἔστω παράγγελμα· ὡς τῶν πραγμάτων τά τε ὑφ᾽ ἡμῶν· κακῶς πεπρᾶχθαι δοκοῦντα διὰ τῆς γνώμης χρὴ συνιστάναι, τά τε ἔνδοξα τῶν ἐναντίων τῇ γνώμῃ διαβάλλειν. τοῦ διώκοντος τοίνυν διὰ τῆς προβολῆς καὶ διὰ τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ἀκμάσαντος τῇ κατηγορίᾳ, χρήσεται ὁ φεύγων ἀναγκαίως τῇ διανοίᾳ, κελεύων μὴ τὸ γεγονὸς μόνον ἐξετάζειν, ἀλλὰ καὶ μεθ᾽ ἧς γνώμης ἐπράχθη, παραληπτέον δὲ τὴν διάνοιαν κατὰ τρόπους ὀκτὼ, περὶ ὧν αὐτίκα εἰρήσεται· παράδειγμα ὁ στρατηγὸς ὁ τὸν λιμένα χώσας καὶ νενικηκὼς τὴν ναυμαχίαν, τῶν στρατιωτῶν οὐ δυναμένων καταφεύγειν εἰς αὐτόν· πρῶτον μὲν γὰρ διηγηματικῶς τὴν γνώμην ἐκθήσεται· οἷον ὅτι βουλευομένῳ [22] μοι, τίνα τρόπον τῶν πολεμίων ἐπικρατήσαιμεν, τουτὶ μόνον ἀξιόχρεων ἐφαίνετο πρὸς νίκην στρατήγημα· δεύτερον δὲ τοὺς δικαστὰς ἐπὶ τὴν διάνοιαν προάξεται· μετὰ τὴν ἔκθεσιν τῆς γνώμης, ὅτι καὶ ὑμᾶς οὖν ἄξιον ἐνθυμηθῆναι τὰ τηνικαῦτα παρεστῶτα, καὶ ἰδεῖν ὡς οὐκ

21 Mon. et Parr. ἐπεβούλευον. in Par. 2. man. recentior super ον scripsit ε. 22 Mon. βουλομένῳ.

ἐνῆν ἄλλως νικᾷν· τρίτον ἐπὶ τούτοις ἀνελεῖν δεῖ τὰς αἰτίας, οἷον ὅτι οὐ καταπροδοῦναι βουλόμενος τὰ κοινὰ, οὐδὲ τοῖς ἐναντίοις χαριζόμενος, ταῦτα ἔδρων· τέταρτον πιστώσασθαι προσήκει τὴν ὅλην διάνοιαν· ἡ δὲ πίστις ἀπὸ τῆς κατὰ πρόσωπον λαμβάνεται ποιότητος· οἷον ὅτι καὶ γὰρ ἀναγκαίως εἶχέ μοι διὰ πάντων τὸ κοινῇ συμφέρον ἑλέσθαι στρατηγῷ τε ὄντι καὶ τὰ περὶ τῆς πόλεως πεπιστευμένῳ· ἔτι δὲ πέμπτος τρόπος, ὁ ἀπὸ τῆς κρίσεως τῶν δικαζόντων, ὅτι καὶ ὑμεῖς οὐκ ἄλλην περὶ ἐμοῦ γνώμην ἔχοντες, ἀλλ᾽ εὔνουν με παρὰ τὴν πόλιν ἐπιστάμενοι στρατηγὸν ἐχειροτονήσατε· ἕκτος ἀπὸ τῶν παραδειγμάτων, εἰ ἔχοι διεξιέναι τινὰ αὐτοῦ περὶ τὴν πόλιν ἀνδραγαθήματα· οἷον ὅτι καὶ γὰρ τὸν ἔμπροσθεν χρόνον ἅπαντα εὔνους ὢν ὑμῖν διετέλεσα, χρήματα εἰσφέρων καὶ προκινδυνεύων ὑπὲρ τῆς πόλεως· ἕβδομος ὁ ἐκ τοῦ ἐναντίου, ἐν ᾧ κατὰ πιθανὴν ἀπολογίαν ἐπιχειρήσει· οἷον ὅτι καὶ μὴν εἰ προΐεσθαι τὰ κοινὰ ἐβουλόμην καὶ λυμήνασθαι[23] τὴν πόλιν, ἑτέρως ἂν ἐπεβούλευον, λανθάνειν πειρώμενος, καὶ οὐχ οὕτω περιφανῶς τὸν λιμένα κατεχώννυον, πᾶσιν ἐμαυτὸν ἐπίδηλον καθιστάς· εἶτα καὶ ἐπιπλέκειν δεῖ παραδείγματα, καθ᾽ οὓς ἕτεροι τρόπους τὴν πόλιν ἠδίκησαν. χρηστέον δὲ οὐ μόνον οἰκείοις, ἀλλὰ καὶ ξενικοῖς παραδείγμασιν· οἷον ὅτι καθάπερ ὅδε καὶ ὅδε τυχὸν βουλεύσασθαι βουληθέντες τῇ πόλει λεληθότως προὔδωκαν, οὕτως ἂν κἀγὼ κεκρυμμένως ἐνεχείρουν τῇ καθ᾽ ἡμῶν βλάβῃ· εἰ δέ τις ζητοίη, πῶς οὐκ ἐνταῦθα ὄγδοον τρόπον, τὸν ἀπὸ τῶν παραδειγμάτων τούτων λαμβάνομεν, ὥσπερ ὁ ἕκτος ἡμῖν τρόπος τὰ ἐξ ἡμῶν αὐτῶν ἐγένετο παραδείγματα, ῥητέον, ὡς ἐκεῖνα μὲν κεχωρισμένα τοῦ πρὸ αὐτῶν τρόπου, ἰδίας εἴληχε τάξεως· ἡ γὰρ τῶν δικαστῶν κρίσις ἄλλο τι παρ-

23 Par. 1. διαλυμήνασθαι.

ἔστησε παρὰ τὰ κατωρθωμένα ἡμῖν. ταῦτα δὲ τῷ ἀπὸ τοῦ ἐναντίου προσώπῳ εἰκότως ἐπισυμπλέκεται· εἴ γε καὶ τὸ ἐναντίον, ἀφ' ὧν οὐκ ἐπράξαμεν, λαμβάνεται· καὶ τὰ παραδείγματα δὲ ὁμοίως, ἀφ' ὧν οὐχ ἡμεῖς, ἀλλ' ἕτεροι πεποιήκασιν· ἐπὶ γὰρ τῶν ἄλλων, ὡς ἔφην, παραδειγμάτων οὐχ οὕτως, εἴπερ ἕτερόν τι ἡ κρίσις τῶν δικαστῶν, καὶ ἕτερα τὰ ὑφ' ἡμῶν πεπραγμένα, ὄγδοος τοίνυν τρόπος ὁ κατὰ τὸ ἀναγκαῖον, ὅτι οὐδ' ἐνῆν ἄλλως διαβοηθῆσαι τοῖς πράγμασιν, ἀλλ' ἔδει παντὶ τρόπῳ τὸν λιμένα χωσθῆναι· τοσαῦτα περὶ τῆς διανοίας τοῦ φεύγοντος.

κδ'. Οὐκ ἀποχρήσει, φησὶ, τῷ φεύγοντι πρὸς ἀπολογίαν τὰς ὑποπτευομένας αἰτίας ἐκβάλλειν, ἀλλ' ἀνάγκη καὶ τὴν ἀληθῆ αἰτίαν, δι' ἣν πέπρακται τὸ πεπραγμένον, προστιθέναι· οἷον εἰ λέγοι, οὐ διὰ τόδε πεφόνευκα, ἀλλὰ διὰ τόδε. διόπερ ἀληθῶς πεφόνευκε καὶ ὁ στρατηγός· ὅτι οὐ διὰ προδοσίαν ἢ ἐπιβουλὴν οὐδὲ τὸ βούλεσθαι χαρίζεσθαι τὸ τεῖχος τοῖς πολεμίοις διέκοψα, ἀλλ' εὐνοίᾳ τῇ πρὸς ὑμᾶς.

κέ. Ἐπισυνάπτει τῇ διανοίᾳ ὁ φεύγων καὶ τὴν ἀντίθεσιν, χρώμενος δύο ἑξῆς κεφαλαίοις· ἀντεγκληματικὸν δέ ἐστιν ἐπὶ τοῦ ὑποκειμένου αὐτοῦ προβλήματος ἡ ἀντίθεσις, ἀριστεὺς πορνεύοντα τὸν υἱὸν ἀπέκτεινε, καὶ φεύγει φόνου· ἀντεγκαλέσει γὰρ τῷ παιδὶ ὡς ἀξίῳ τοῦ πεφονεῦσθαι, καὶ τόπον ἐρεῖ κατὰ πόρνου· καθόλου γὰρ πᾶσα ἀντεγκληματικὴ ἀντίθεσις τοπικὴ γίνεται, τουτέστι διὰ τοῦ κοινοῦ τόπου συμπληροῦται, χρωμένων ἡμῶν ἀνελλιπῶς τῇ πάσῃ διεξόδῳ τοῦ κοινοῦ τόπου, καὶ τοῦτο ἐπιστατέον, ὡς ἄρα κἂν τοῖς ἀγῶσι χρώμεθα πολλάκις τοῖς ἐπιλογικοῖς· τὴν μὲν οὖν ἀντεγκληματικὴν ἀντίθεσιν οὕτω κατασκευάσομεν, τὴν δὲ ἀντιστατικὴν, διὰ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους τὸ εὐεργέτημα δι' αὐτῶν αὔξοντες. ὁμοίως δὲ κἂν τῇ μεταστατικῇ τοῖς ἀπ' ἀρχῆς

ἄχρι τέλους χρηστέον, ἐπειδὰν εἴς τι πρᾶγμα μεθιστῶμεν τὴν αἰτίαν, οἷον ἐπὶ τοῦ πρεσβευτοῦ, ὃς δέον εἴσω τριάκοντα ἡμερῶν ἐξιέναι, παρὰ τοῦ ταμίου[24] τὰς χιλίας δραχμὰς οὐ λαβὼν ἔμεινε καὶ κρίνεται· τὴν γὰρ αἰτίαν εἰς τὸ μὴ εἰληφέναι τὰς δραχμὰς μεταφέρων τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους διεξέρχεται, ὅπως αὐτὸς μὲν παρηνώχλει, ὁ δὲ ταμίας ἀνεβάλλετο. ἐὰν δὲ κατὰ νόμον ἡ μετάστασις γίνηται, τὸν νόμον διεξελθεῖν προσήκει πλατύτερον, ἔτι δὲ καὶ τὴν συγγνωμικὴν ἀντίθεσιν δι᾽ αὐτῶν προοισόμεθα, ὡς ἐπὶ τῶν δέκα στρατηγῶν τῶν διὰ τὸν χειμῶνα μὴ ἀνελομένων τὰ σώματα· ἐπεξελθεῖν γὰρ ὥσπερ ἐν ἐκφράσει διὰ πάντων χρὴ τῶν ἐμπιπτόντων ἐκ τῆς περιστάσεως.

κϛ´. Μὴ νομίσῃς, φησὶν, ἐπὶ τούτου μόνου τοῦ προβλήματος τοῦτο γενέσθαι, ἀλλ᾽ ἐν παντὶ ἀντεγκλήματι ἡ ἀντίθεσις τοπικὴ γίνεται· ὥσπερ γὰρ ἐπὶ τούτου, οὕτω καὶ ἐπὶ τοῦ στρατηγοῦ, τοῦ κατασκάψαντος τὴν ἀποστᾶσαν πόλιν μετὰ τὸ ἀντεγκαλέσαι τοὺς νεωτερισμοὺς, εὐθὺς τὸν κατὰ τῶν στασιαζόντων τόπον ἐπεξελεύσεται.

κζ´. Ἐρεῖ, φησὶ, καὶ ἀντικαταστατικὸν,[25] ὅτι καὶ συνενήνοχεν, ἐρεῖ γὰρ μετὰ τὸ εἰπεῖν ὅτι ἄξιος ἦν, ἐν δευτέρῳ· ὅτι καὶ ὑπὲρ αὐτοῦ τοῦ παιδὸς ἐποίησα· ἀπήλλαξα γὰρ αὐτὸν αἰσχύνης καὶ ἀδοξίας· βελτίων γὰρ θάνατος μᾶλλον, ἢ ὁ μετ᾽ αἰσχύνης βίος· ἴσως δ᾽ ἐρεῖ, ὅτι καὶ τοὺς ἄλλους σώφρονας πεποίηκα· δεύτερον δὲ τὸ ἀντιστατικὸν ἐν τῷ ἀντεγκλήματι τέθεικεν· οὐ γὰρ προφανές ἐστιν τὸ εὐεργέτημα ἐνταῦθα, καθάπερ ἐν τῇ ἀντιστάσει· ἐκ πρώτης οὖν αὐτὸ εἰσάγων, ἀσθενέστερος εἰς ἀπολογίαν ἐτύγχανε. μετὰ δὲ τὸ δεῖξαι δίκαιον τὸν φόνον τότε πιθανὸν δείκνυται τοῖς ἀκούουσι τὸ ἀντιστατικόν.

Τοῦ

24 Mon. τοῦ ποταμίου omisso παρά. 25 Par. 1. ἀντιστατικόν.

Τοῦ κατηγόρου[26] *χρωμένου διὰ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους, οἷον ὅτι υἱὸν πεφόνευκας τὴν φύσιν ἠγνοηκὼς ἀγριώτερος θηρίου γενόμενος, ὁ φεύγων μετὰ τὴν διάνοιαν τῷ ἀντεγκλήματι χρήσεται, ὅτι ἄξιος ἦν, καὶ προαναιρήσει τὰς τοῦ διώκοντος μεταλήψεις. ἐρεῖ γὰρ, ὅτι παρῄνουν παύσασθαι, καὶ οὐκ ἔπειθον, καὶ ἐπὶ τῆς μεταστάσεως, ὅτι ἀπῄτουν, καὶ οὐ παρεῖχεν ὁ ταμίας, ἐγκειμένου μου σφόδρα· καὶ ἐπὶ τῆς*[27] *ἀντιστάσεως, ὅτι ὠφελείας χάριν πεποίηκα τὴν εὐεργεσίαν πρόδηλον ἐργασάμενος, καὶ ἐπὶ τῆς συγγνώμης ὁμοίως χρησόμεθα· γενικῶς δὲ εἶπεν ἡ ἀντίθεσις, τουτέστι τὸ ἀντιθετικόν· ἐπειδὴ γένος ἡ ἀντίθεσις τῶν τεσσάρων στάσεων· εὑρίσκεται δὲ τὸ ἀντιθετικὸν πρὸς τὴν στάσιν, εἰ ἀντίστασις, ἀντιστατικὸν, εἰ ἀντέγκλημα, ἀντεγκληματικὸν, εἰ μετάστασις, μεταστατικόν, εἰ συγγνώμη, συγγνωμονικόν. Ἵνα μὴ ψιλῶς εἴπῃ, ὅτι ἄξιος ἦν, καθόλου ποιήσεται τὸν λόγον κατὰ πόρνου, ὡς μοιχοῦ, ὡς ἀνδροφόνου· τῷ γὰρ καθόλου ἐπιχειρήματι βεβαιώσεται τὸ ἔγκλημα· ἀνῄρηται γὰρ τὸ φορτικὸν τῆς καταδρομῆς τῷ μὴ κατὰ τοῦ ἑαυτοῦ παιδὸς, ἀλλὰ τῷ κατὰ παντὸς πόρνου τὸν ἀριστέα διαλέγεσθαι.*

Γρ. καὶ οὕτως· ἐρεῖ δέ τι καὶ ἀντιστατικὸν ὡς ὑπὲρ αὐτοῦ πεποίηκε τοῦτο τοῦ παθόντος.[28]

κή. Ἐμπέπτωκε, φησὶ, καί τι ἀντιστατικὸν ἐπὶ τοῦ ἀριστέως τοῦ τὸν παῖδα ἀνελόντος ἐπὶ μοιχείᾳ,[29] *καὶ κρινομένου, καὶ γὰρ λυσιτελεῖν αὐτῷ φησι τὸ πεφονεῦσθαι, τηλικούτου αἴσχους ἀπηλλαγμένῳ καὶ οὐκ ἐπὶ τούτου, φησὶ, τοῦ προβλήματος μόνου τοῦτο συμβέβηκεν, ἀλλὰ πᾶσαι αἱ ἀντιθετικαὶ ἀλλήλαις συμπλέκονται, καὶ οὐκ ἀλλήλαις μόνον, ἀλλὰ καὶ ἑτέραις τῶν στάσεων,*

---

26 Haec et sqq. usque ad litt. *κή.* inter schol. min. habent Parr. 27 *τῆς* Par. 1. om. 28 Par. 1. *πεπονθότος.* 29 Mon. *ἐπὶ πόρνου.*

οἷον στοχασμῷ καὶ ἀντιλήψει. ὁ Μητροφάνης μέντοι τὰς μὲν ἄλλας τῶν ἀντιθετικῶν συνομολογεῖ, καθά φησιν ὁ τεχνικὸς ἀλλήλαις ἐπισυμπλέκεσθαι, τὸ δὲ ἀντέγκλημα σημειοῦται μόνον, ὡς οὐχ οἷόν τε ὂν ἐπισυμπλακῆναι ἀντιστάσει, καίτοι τῆς ἀντιστάσεως τῷ ἀντεγκλήματι συμπλεκομένης. καὶ ἄξιον ἄγασθαι τὸν ἄνδρα τῆς ἀκριβείας, πάνυ γε τὸ παρατήρημα τοῦτο δεόντως ἀνιχνεύσαντα· ἤρνηται γὰρ ἡ φύσις ἐπὶ τῆς ἀντιστάσεως τὸ ἀντεγκληματικὸν, καθά φησιν αὐτὸς ὁ Μητροφάνης· οὐ γὰρ ἂν εὕροι τις ἐν ἀντιστάσει ἀντεγκληματικὸν ἐπισυμπλέκειν. πῆ μὲν γὰρ περὶ ἄψυχον ἢ ἄλογον ἐγένετο τὸ ἀδίκημα· ὥστε μὴ οἷόν τε τοῖς τοιούτοις ἀντεγκαλεῖν· περὶ ἄψυχον μὲν, ὡς ἐπὶ τοῦ στρατηγοῦ τοῦ τὸν λιμένα χώσαντος· οὐ γὰρ ἂν τῷ λιμένι δήπουθεν ἀντεγκαλοίη ὡς ἀξίῳ κεχῶσθαι· περὶ δὲ ἄλογον, ὡς ἐπ' ἐκείνου τοῦ παραδείγματος· ἵππος ἐξέφερε τὸν ἱππέα εἰς τοὺς πολεμίους, βαλών τις τῶν στρατιωτῶν ἀπέκτεινε τὸν ἵππον, καὶ κρίνεται ὑπὸ τοῦ [30] δεσπότου βλάβης, οὐδὲ γὰρ ἐνταῦθα τῷ ἵππῳ δυνατὸν ἀντεγκαλεῖν ὡς ἀξίῳ ἀπεκτονῆσθαι· πῆ δὲ ἄψυχον μὲν ἢ ἄλογον οὐκ ἔστι τὸ πεπονθὸς, ἡ δὲ περίστασις τὸ ἀντεγκληματικὸν οὐ προσίεται· οἷον ἐπὶ τοῦδε τοῦ παραδείγματος· τύραννος ᾔτησεν ἐκ πόλεως ἀστυγείτονος μειράκιον ὡραῖον, πόλεμον ἀπειλῶν, εἰ μὴ λάβοι· προσήκαντο τὸν πόλεμον πολιορκοῦντος τοῦ τυράννου τὴν πόλιν· ὁ πατὴρ ἀποκτείνας τὸ μειράκιον ἀπὸ τῶν τειχῶν ἔῤῥιψεν· ἀνέζευξαν οἱ πολέμιοι· καὶ κρίνεται ὁ πατὴρ φόνου· τὸ μὲν γὰρ πεπονθὸς οὐκ ἄψυχον, οὐδ' ἄλογον, ἡ δὲ παράστασις ἤρνηται παντελῶς τὸ ἀντεγκληματικὸν, τῷ μηδὲν ὑπὸ τοῦ μειρακίου γεγενῆσθαι ἀδίκημα. ὡς μὲν οὖν οὐκ ἐπιπλέκεται ἀντιστάσει ἀντέγκλημα, οἴομαι δεδηλῶσθαι· τὰς

30 Mon. τῆς.

γὰρ ἄλλας μετ᾿ ἀλλήλων ἐπιπλοκὰς πᾶσαι αἱ ἀντιθετικαὶ σφόδρα προσίενται· ὅπου γε οὐ μόνον σὺν δύο ἀλλήλαις ἐπιπλέκονται, ἀλλ᾿ ἔσθ᾿ ὅτε καὶ πλείους· οἷον ἐπὶ παραδείγματος· νόμος, νύκτωρ μὴ ἀνοίγεσθαι τὰς πύλας· αἰχμαλώτους νυκτὸς ἀποδράντας ἐκ τῶν πολεμίων καὶ καταφυγόντας ἐπὶ τὸ τεῖχος ὁ στρατηγὸς οὐκ εἰσδέχεται· εἶτα τῶν πολεμίων ἐπικαταλαβόντων καὶ διαχρησαμένων αὐτοὺς κρίνεται δημοσίων ἀδικημάτων· πρῶτον μὲν γὰρ τῷ μεταστατικῷ χρήσεται, μεθιστὰς τὴν αἰτίαν ἐπὶ τὸν νόμον, ἔπειτα τῷ ἀντιστατικῷ, ὅτι καὶ πρὸς ὠφέλειαν ἡ τῶν πυλῶν ἀπόκλεισις γέγονεν· ἦ γὰρ ἂν ἐπεισέδραμον [31] σὺν τοῖς αἰχμαλώτοις οἱ πολέμιοι· τρίτον τὸ συγγνωμονικὸν παραλήψεται τῆς μελλούσης τύχης ἄγνοιαν προβαλλόμενος, ὡς ἠγνόει τοὺς πολεμίους καταδραμουμένους αὐτῶν· ἐντεῦθεν ἀπορία μεγίστη κινεῖται, πῶς ἄν τις διαγνοίη τὴν στάσιν τῶν τοιῶνδε ζητημάτων ὁμοῦ τοσούτων ἐμπεπτωκότων· τί γὰρ ἂν μᾶλλον ἐκ τοῦ μεταστατικοῦ μεταστάσεως λεχθείη τὸ προκείμενον ζήτημα, καὶ οὐκ ἀντιστάσεως ἐκ τοῦ ἀντιστατικοῦ, ἢ ἐκ τοῦ συγγνωμονικοῦ συγγνώμης; ὁ μὲν οὖν Ἁρποκρατίων εἰς τοσοῦτον ἧκεν ἀπορίας, ὥστε παραλαβεῖν τεσσαρεσκαιδεκάτην στάσιν ἐπὶ τῆς τοιαύτης τῶν ἀντιθετικῶν συμπλοκῆς· ἣν ὀνομάζει ἀντίθεσιν, τῷ κοινῷ τῶν ἀντιθετικῶν ὀνομάτων χρώμενος· γελοιότατον δ᾿ ἂν εἴη τὸ τυραννικῶς πρὸς τὰς ἀπορίας ἀποφαίνεσθαι τοῖς ὑπὸ τῶν παλαιῶν ἀνδρῶν παραδεδομένοις ἀντινομοθετοῦντα· ἀλλ᾿ ἐκείνων ἐπὶ σχήματος μενόντων τὰ προσιστάμενα χρὴ καθ᾿ ἕτερον ἀπολύεσθαι τρόπον· ἑτέραν μὲν οὖν ἐπὶ ταῖς παραδεδομέναις οὐ μήποτε παραδεξόμεθα στάσιν· λεκτέον δὲ μέθοδον, καθ᾿ ἣν τὰ τοιαῦτα διακρινοῦμεν τῶν ζητημάτων· φανήσεται

---

31 Par. 1. ἐπέδραμον.

δὲ οἶμαι λίαν ἀρίστη· τὸ γὰρ ἰσχυρότερον χρὴ σκοποῦντα ἀπ' ἐκείνων λαμβάνειν τὴν στάσιν, τὸ δὲ ἰσχυρὸν οὕτω θεωρητέον· ἀναιροῦντες ἕκαστον τῶν ἐμπεπτωκότων ἀντιθετικῶν, ὅπερ ἂν εὕροιμεν ἐκ τοῦ ἀναιρεῖσθαι λυποῦν τὴν ἀπολογίαν, τοῦτό γε δήπου νομιοῦμεν ἰσχυρότερον, καὶ τὴν στάσιν ἀπὸ τούτου ληψόμεθα, τὰ δ' ἄλλα κεφαλαίων πληρώσει τόπον, οἷον γινέσθω τὸ λεγόμενον σαφὲς ἐπὶ παραδείγματος· νόμος νύκτωρ μὴ ἀνοίγεσθαι τὰς πύλας· αἰχμαλώτους νυκτὸς ἀποδράντας ἐκ τῶν πολεμίων καὶ καταφυγόντας ἐπὶ τὸ τεῖχος ὁ στρατηγὸς οὐκ εἰσδέχεται· εἶτα τῶν πολεμίων ἐπικαταλαβόντων καὶ διαχρησαμένων ἐπικρίνεται δημοσίων ἀδικημάτων· τρία γὰρ ἐνταυθοῖ ὡς ἔφαμεν ἐμπέπτωκε· τὸ μεταστατικὸν μεταφέρον τὴν αἰτίαν ἐπὶ τὸν νόμον, τὸ ἀντιστατικὸν, ὅτι ἐπεισέδραμον ἂν οἱ πολέμιοι· τὸ συγγνωμονικὸν, ὅτι τὸ συμβησόμενον ἠγνόουν· εἰ ἀνέλωμεν οὖν τὸ συγγνωμονικὸν, καταφανὲς, ὅτι καὶ μετὰ τὴν τούτου ἀναίρεσιν ἔτι μένει τὰ τῆς ἀπολογίας ἰσχυρά· ἔτι δὲ τὸ ἀντιστατικὸν ἀνελόντες ἴδωμεν τὸν αὐτὸν τρόπον· ἀλλ' οὐδὲ τοῦτο ἀναιρούμενον τοῦ ἀπολογουμένου διαφθείρει τὴν ἰσχύν· ἀναιρείσθω τοίνυν τὸ μεταστατικόν· μὴ μεταφέροντος γὰρ αὐτοῦ τὴν αἰτίαν ἐπὶ τὸν νόμον, εὐθὺς ὁρῶμεν τὴν ὅλην ἀπολογίαν χωλεύουσαν· καὶ τὸν φεύγοντα κατὰ παροιμίαν ἀπὸ λεπτῆς μίτου τὴν ἄγκυραν ἐξημμένον· οὐ γὰρ ἀρκέσει τὸ ἀντιστατικὸν λίαν ἐνταυθοῖ φαινόμενον ἀσθενές· οὐδὲ μὴν τὸ συγγνωμονικὸν ἀξιόχρεως ἔσται ἀπολογία· λάβωμεν δὲ καὶ καθ' ἑτέραν μέθοδον τὸ ὑποκείμενον θεώρημα, κατὰ τὸν ἐν τῇ διανοίᾳ τοῦ φεύγοντος ὄγδοον τρόπον, τὸν ἀπὸ τοῦ ἀναγκαίου παραλαμβανόμενον, ὡς ἐπὶ αὐτοῦ ἐδηλώσαμεν τοῦ κεφαλαίου· οἷον ὅτι οὐδὲ ἄλλως ἐνῆν τὸ πεπραγμένον γενέσθαι, ἢ οὕτως ὡς ἐπράχθη· δοκεῖ οὖν καθάπερ τις ἐρώτησις ἐκ δικαστῶν ἀναγκαίως φέρεσθαι, καὶ πῶς οὐκ

ἐνῆν ἑτέρως τόδε τι πραχθῆναι· εἶτα ἐκ τῆς ἀντιθέσεως ἡ ἀπάντησις, καὶ ὅπερ ἂν ἁρμόσῃ μᾶλλον καὶ ἀκόλουθον φανείη τῇ ἐρωτήσει πρῶτον εὐθὺς ἐκδραμὸν ἀπ᾽ ἐκείνου χαρακτηριοῦμεν τὴν στάσιν· προεκδραμεῖται δὲ δηλονότι τὸ ἰσχυρόν. Ὅπως μὲν οὖν τὰς ἀντιθετικὰς ἀλλήλαις ἐπισυμπλεκομένας διακρινοῦμεν, σαφὲς ἤδη γεγένηται· ἔτι δὲ ἀναγκαῖον αὐτὰς ἀπὸ τῶν ὁμωνύμων διαστεῖλαι κεφαλαίων, ἵνα ἴδωμεν, τί τέ ἐστιν αὕτη τε ἡ ἀντίστασις, καὶ τί τὸ ἀντιστατικὸν κεφάλαιον; καὶ τί μὲν ἀντέγκλημα, τί δὲ κεφάλαιον ἀντεγκληματικὸν, κἀπὶ τῶν ἄλλων ὁμοίως· ταυτὶ γὰρ δὴ τὰ κεφάλαια οὐ μόνον ταῖς ἀντιθετικαῖς, ἀλλ᾽ ἔτι καὶ ἑτέραις τῶν στάσεων ἐπισυμπλέκεται· καὶ πρῶτόν γε ἡμῖν λεγέσθω περὶ τοῦ ἀντιστατικοῦ, τίνι τῆς ἀντιστάσεως διοίσει· ὁρῶμεν γὰρ αὐτὸ οὐ μόνον ταῖς ἀντιθετικαῖς, ὡς ἔφη, ἁπάσαις συμπλεκόμενον, ἀλλὰ καὶ στοχασμῷ καὶ ἀντιλήψει· στοχασμῷ μὲν, ὡς ἐπὶ τοῦδε τοῦ παραδείγματος· νέος πλούσιος πολέμου καταλαβόντος τὴν πόλιν, [32] χιλίους ὁπλίσας τῶν ἑαυτοῦ ἐπεξῆλθε τοῖς πολεμίοις, καὶ νικήσας κρίνεται τυραννίδος ἐπιθέσεως· ὅτι γὰρ στοχασμὸς, κατάδηλον ἀφ᾽ ὧν περὶ τὴν οὐσίαν τὸ ὅλον ἐστὶ τῆς ζητήσεως· ἐρεῖ δὲ τὸ ἀντιστατικὸν ὡς εὖ πεποιηκὼς εἴη τὴν πόλιν· ἐν δὲ τῇ ἀντιλήψει παρέλαβεν ἤδη τὸ ἀντιστατικὸν ὡς ἐπὶ τοῦ ζωγράφου, ὃς ναυάγια γράψας πρὸ τοῦ λιμένος ἐξέθηκε, καὶ μὴ καταιρόντων τῶν ἐμπόρων κρίνεται δημοσίων ἀδικημάτων· φησὶ γὰρ ὑπὲρ τῶν πλεόντων τοῦτο πεποιηκέναι, ἵνα φυλάττοιντο εἰδότες, οἷς εἰκὸς περιπίπτειν αὐτοὺς, εἰ παρὰ καιρὸν πλέοιεν· διαφέρει δ᾽ οὖν τῆς ἀντιστάσεως τὸ ἀντιστατικὸν κεφάλαιον, καθὸ ἐν μὲν ἀντιστάσει ὁμοίως ἄμφω, τό τε ἀδίκημα καὶ τὸ εὐεργέτημα, ὁμολογεῖσθαι βούλεται· τὸ δὲ ἀντιστατικὸν θά-

32 Mon. τὴν πόλιν om. idem habet ὁπλίτας.

τερον πάντως ἔχει ἀμφισβητούμενον, ἤτοι τὸ εὐεργέτημα ἢ τὸ ἀδίκημα· καὶ σαφὲς ὃ λέγω ἐκ τῶν δεδομένων παραδειγμάτων· τὸ μὲν γὰρ νενικηκέναι τοὺς πολεμίους ὁμολογούμενον· τὸ δὲ εἰ τυραννήσει νέος πλούσιος ὢν ἀμφιβάλλεται· καὶ αὖ πάλιν τὸ μὲν μὴ καταίρειν τοὺς ἐμπόρους κατάδηλον, ἀμφισβητούμενον δ' εἰ ἐπ' ὠφελείᾳ τοῦτο ἐγένετο· ἀλλὰ μὴν καὶ ἐπὶ τῶν ἀντιθετικῶν, ἐφ' ὧν ἐμπέπτωκε τὸ ἀντιστατικὸν, ἔξεστι τὸ τοιοῦτον κατιδεῖν· ἀριστεὺς πορνεύοντα τὸν υἱὸν ἀπέκτεινε, καὶ κρίνεται φόνου· στάσεως μὲν γάρ ἐστιν ἀντεγκληματικῆς, ἐπισυμπλέκεται δὲ τὸ ἀντιστατικὸν κεφάλαιον, ὡς καὶ ὠφέληται ὁ παῖς, τῆς ἐντεῦθεν αἰσχύνης ἀπαλλαγείς· κἀνταῦθα γὰρ τὸ ἕτερον ἀμφισβητεῖται· τὸ μὲν γὰρ ἀδίκημα φανερὸν, ἡ τοῦ παιδὸς ἀναίρεσις, εἰ δὲ τοῦτο ἦν ἀπαλλάττειν αἰσχύνης ἀμφίβολον, οὐ μὴν ἐν τῇ ἀντιστάσει ἦν οὕτως, ἀλλ' ἄμφω ὁμολογεῖται, ὡς ἐπὶ τοῦ στρατηγοῦ τοῦ τὸν λιμένα χώσαντος, καὶ μετὰ τὸ νικῆσαι κρινομένου· ἥ τε γὰρ νίκη σαφὴς καὶ τὸ ἀδίκημα δῆλον· φημὶ τὸ τὸν λιμένα κεχῶσθαι· καὶ αὕτη μὲν ἀντιστάσεως διαφορὰ πρὸς τὸ ἀντιστατικὸν κεφάλαιον. ἐπεὶ δὲ καὶ ἡ κατὰ ῥητὸν καὶ διάνοιαν στάσις δοκεῖ πως κοινωνίαν ἔχειν πολλὴν πρὸς τὴν ἀντίστασιν τῷ ὑποκεῖσθαι καὶ ἐπὶ ταύτης εὐεργέτημα καὶ ἀδίκημα, χρὴ καὶ περὶ τούτου διαλαβεῖν· ἐκκείσθω δὲ εἰ βούλει ῥητοῦ καὶ διανοίας παράδειγμα· νόμος τὸν ἀνιόντα ξένον ἐπὶ τὸ τεῖχος τεθνάναι· πολέμου καθεστῶτος ἀνελθὼν ξένος ἠρίστευσε, καὶ ὑπάγεται τῷ νόμῳ· ἔχομεν κἀνταῦθα εὐεργέτημα μὲν τὴν ἀριστείαν, ἀδίκημα δέ τὴν τοῦ νόμου παράβασιν· καὶ δή τινες ἐβουλήθησαν διορίσαι τὸ ῥητὸν καὶ τὴν διάνοιαν ἀπὸ τῆς ἀντιστάσεως τοιαύτῃ τινὶ διαφορᾷ· ὅπου, φησὶν, ὑπόκειται νόμος, ἐκεῖ πάντως ῥητὸν καὶ διάνοια, ὅπου δὲ φύσις, τουτέστιν ὅπου μὴ κα-

τὰ νόμον, ἀλλὰ κατὰ φύσιν ἐστὶ τὸ ἀδίκημα, χρὴ [33] ἐκεῖνο ἀντιστάσεως ἀποφαίνεσθαι· τὸ μὲν οὖν δεύτερον ἀληθές· τὸ δὲ πρότερον διέψευσται· εἴ τι μὲν γὰρ κατὰ φύσιν ἔχει τὸ ἀδίκημα, τοῦτο ἀντίστασις· οὐ μὴν εἴ τι κατὰ νόμον, τοῦτο ῥητὸν καὶ διάνοια· ἐνδέχεται γὰρ καὶ κατὰ νόμον γενέσθαι ἀντίστασιν· παράδειγμα τούτου· νόμος τῆς ἱερᾶς ὕλης μὴ ἅπτεσθαι, στρατηγὸς ἐπιτεθέντων τῇ πόλει κατὰ θάλατταν πολεμίων τεμὼν τὴν ἱερὰν ὕλην ἐναυπηγήσατο, καὶ ναυμαχήσας ἐνίκησε· καὶ μετὰ τὴν νίκην κρίνεται ἀσεβείας· [34] τοῦτο γὰρ καὶ νόμον ὑποκείμενον ἔχει καὶ ἀντιστάσεως ὁμολογεῖται εἶναι. διαφορὰ οὖν αὕτη γένοιτ' ἂν ἀκριβεστάτη τοῦ ῥητοῦ καὶ τῆς διανοίας πρὸς τὴν ἀντίστασιν, ὅτι ἐν μὲν τῷ ῥητῷ καὶ τῇ διανοίᾳ ἐκ νόμου ὥρμηται τὸ διάστημα, οὗ ἀναιρουμένου πᾶσα ἡ ζήτησις διαφθείρεται, ἐν δὲ τῇ ἀντιστάσει κατὰ φύσιν ἐστὶ τὸ ἀδίκημα, κἂν νόμος προσῇν, ὥστε καὶ ἀναιρουμένου τοῦ νόμου μένειν ἔτι τὴν ζήτησιν, τῇ φύσει γινωσκομένου τοῦ ἀδικήματος, ὡς ἐπὶ τοῦ στρατηγοῦ, ὃς νόμῳ κωλύοντι τῆς ἱερᾶς ἅπτεσθαι ὕλης τεμὼν αὐτὴν τριήρεις ἐναυπηγήσατο, καὶ νικήσας τὴν ναυμαχίαν κρίνεται· καὶ γὰρ ἂν ἀνέλῃ τις τὸν κωλύοντα [35] νόμον, οὐδὲν λυμανεῖται [36] τῇ ζητήσει· μένει γὰρ ἔτι ἀδίκημα φαινόμενον, ἡ τῆς ἱερᾶς ὕλης τομή· καὶ περὶ μὲν ἀντιστάσεως ταῦτα ἔχομεν· ὡσαύτως δὲ καὶ περὶ τοῦ ἀντεγκλήματος διαληπτέον, τίνι διοίσει τοῦ ἀντεγκληματικοῦ κεφαλαίου καὶ ἀντεγκληματικοῦ στοχασμοῦ· διαφέρει οὖν τοῦ μὲν κεφαλαίου, καθὸ τὸ μὲν ἀντέγκλημα, φημὶ ἡ στάσις, ἑκάτερον τῶν ἐγκλη-

33 χρὴ ἐκεῖνο ἀντιστάσεως ἀποφαίνεσθαι — — — ἔχει τὸ ἀδίκημα Par. 1. om. 34 κρίνεται ἀσεβείας usque ad καὶ νικήσας τὴν ναυμαχίαν Par. 1. om. 35 Par. 1. τὸν νόμον τὸν κωλύοντα. 36 Mon. λυμῆναι. Parr. λυμανεῖται. tum Mon. τὴν ζήτησιν. Par. 1. τῇ ζητήσει. Par. 2. τῷ ζητήματι. — v. 24. Mon. ὡς, scr. ὡσαύτως.

ματων ὁμολογούμενον ἔχει, τό τε ὑπὸ τοῦ κατηγόρου κατὰ τοῦ φεύγοντος φερόμενον, καὶ τὸ ὑπὸ τοῦ φεύγοντος τῷ πεπονθότι ἀντεγκαλούμενον· οἷον ἀριστεὺς πορνεύοντα τὸν υἱὸν ἀπέκτεινε καὶ κρίνεται φόνου· καὶ γὰρ ὅτι ἀνεῖλεν, ὡμολόγηται, καὶ ὅτι πορνεύοντα· τὸ δὲ ἀντεγκληματικὸν κεφάλαιον οὐχ οὕτως κ. τ. λ. T. V. p. 330. v. 5 — 13. *ἔπειτα ἐν μὲν τῷ ἀντεγκλήματι διακέκριται ὁ διώκων καὶ ὁ φεύγων, ἀμφότεροι γὰρ ὁμοίως κατηγοροῦσι, καὶ ἀπολογοῦνται ἀμφότεροι· τρίτον ἐπὶ τούτοις, ὅτι ἐν μὲν τῷ ἀντεγκλήματι αὐτὸς ὁ πεπονθὼς ἀντεγκαλεῖται, ἐν δὲ τῷ ἀντεγκληματικῷ στοχασμῷ ἕτερον μὲν τὸ πεπονθὸς, ἕτερον δὲ οἱ ἀντεγκαλοῦντες ἀλλήλοις· ὅπως μὲν οὖν ἀλλήλων διενηνόχασιν, ταῦτα δεδηλώσθω διὰ τοσούτων· ζητήσειε δ' ἄν τις, δι' ἣν αἰτίαν οὐ λέγομεν καὶ ἀντιστατικὸν στοχασμὸν, ὥσπερ καὶ ἀντεγκληματικόν· καί τοι καὶ τῆς ἀντιστάσεως ἐπισυμπλεκομένης τῷ στοχασμῷ, πρόδηλος δὲ τῆς ἀπορίας ἡ λύσις· ἡ μὲν ἀντίστασις παντὶ στοχασμῷ ἐπισυμπλέκεσθαι δύναται ἁπλῷ τε καὶ διπλῷ, ἔτι καὶ συνεζευγμένῳ· τὸ δὲ ἀντέγκλημα ἑνὶ μόνῳ ἐπισυμπλέκεται εἴδει, φημὶ τῷ διπλῷ, ἔνθεν καὶ τὴν ὀνομασίαν αὐτοῦ δέδωκεν ἰδίως ἐπ' ἐκείνου. Λείπεται περὶ μεταστάσεως ἔτι καὶ συγγνώμης εἰπεῖν, εἴπερ καὶ ταύτας τῶν ὁμωνύμων δεῖ χωρισθῆναι κεφαλαίων· ἡ μὲν οὖν μετάστασις καὶ ἡ συγγνώμη φανερὰν καὶ ὁμολογουμένην ἔχειν βούλονται τὴν αἰτίαν, ἐφ' ἣν τὸ ἀδίκημα μεταφέρουσιν· οἷον ἐπὶ μὲν τῆς μεταστάσεως ὡμολόγηται τὸν ταμίαν αἴτιον γεγενῆσθαι τοῦ μὴ ἐξελθεῖν τὸν πρεσβευτήν, ἐπὶ δὲ τῆς συγγνώμης, ὅτι βασανίζοντες οἱ πολέμιοι ἠνάγκασαν τὸν πρεσβευτὴν τὰ ἀπόῤῥητα ἐξειπεῖν· τὸ μέντοι μεταστατικὸν καὶ συγγνωμονικὸν κεφάλαιον ἀμφιβαλλομένην ἔχει τὴν αἰτίαν· παραδείγματα δὲ ἀμφοῖν ἐκ τοῦ παραπρεσβείας ληψόμεθα· τοῦ μεταστατικοῦ μὲν, δι' ὧν Αἰσχίνης τὴν αἰ-*

τίαν τῆς τῶν Φωκέων ἀπωλείας μεθίστησιν ἐπὶ τὴν Λακεδαιμονίων ἀναχώρησιν· τοῦ δὲ συγγνωμονικοῦ, δι' ὧν ἠπατῆσθαί φησιν ὑπὸ τοῦ Φιλίππου· οὔτε δὲ τὸ Λακεδαιμονίους ἀναχωρῆσαι αἴτιον ὁμολογεῖται τῆς Φωκέων ἀπωλείας· ὅπου γε αὐτὸς Αἰσχίνης εὐθύνεται ὡς ἀπολέσας Φωκέας· οὐδὲ μὴν τὸ τῆς ἀπάτης φανερόν· δεδωροδοκηκέναι [37] γὰρ αὐτόν φησιν ὁ Δημοσθένης καὶ οὐκ ἀπατῆσαι.

κθ'. Ἵνα μὴ ταραχθῶμεν, εἰ ἑνὸς ὄντος τοῦ προβλήματος δύο στάσεων εἴδη ἐμπίπτει, καθόλου ἀποφαίνεται τὰς ἀντιθετικὰς δι' ἄλλων μελετᾶσθαι· καὶ γὰρ ἐν ἀντιστάσει εὕροις ἀντεγκληματικὸν, ἐνδέχεται γὰρ εἰπεῖν, ὅτι ὠφελείας χάριν πεποίηκεν· ἄλλως τε δὲ αὐτὸς τὴν αἰτίαν παρέσχετο· εὕροις δὲ καὶ μεταστατικόν· ὡς ἐπὶ τοῦ κατασκάψαντος τὸ τεῖχος· μετὰ γὰρ τὸ ἀντιστατικὸν ἐρεῖ, ὅτι ὑμεῖς αἴτιοι τοῦ διακόψαι τὸ τεῖχος· καὶ ἐν μεταστάσει ἀντιστατικὸν, ὡς ἐπὶ τοῦ κρινομένου Ἀρχιδάμου δημοσίων, νοσούντων Ἀθηναίων ἀναζεύξαντος· μετὰ γὰρ τὸ μεταστατικὸν, οἷον ἡ νόσος, οὐκ ἐγὼ, αἴτιος τῆς ἀναχωρήσεως, λέξει ὡς καὶ συνενήνοχεν ἡ ἀναχώρησις· εὕροις ἂν καὶ ἐν συγγνώμῃ [38] ἀντιστατικὸν, ὡς ἐπὶ τῆς ἐκφερούσης χοὰς, καὶ φόβῳ τῶν πολεμίων τὰ ἀπόῤῥητα ἐξειπούσης καὶ κρινομένης ἀναζευξάντων τῶν πολεμίων· συγγνώμης ἐνταῦθα τὸ ζήτημα, καὶ ἀντίθεσις συγγνωμονικὴ δηλονότι· ἀλλὰ δύναται προσπλέξαι καὶ ἀντιστατικόν· ὅτι καὶ τὴν πόλιν ὠφέλησα πολιορκίας ἀπαλλάξασα καὶ πολέμων.

λ'. Οὐ τοῦτο, φησὶ, θαυμαστὸν, εἰ ἀλλήλαις αἱ ἀντιθετικαὶ ἐπιπλέκονται, ἀλλὰ δὴ καὶ ταῖς ἄλλαις στάσεσιν· πολλάκις γὰρ καὶ στοχασμὸς ἐμπίπτει ἐν ταῖς ἀντιθετικαῖς, ὡς ἐπὶ τοῦ στρατηγοῦ τοῦ κατασκάψαντος τὴν συν-

37 Mon. δεδωρηκέναι et ἠπατῆσθαι. 38 Mon. συγγνώμης sine ἐν.

εχῶς ἀφισταμένην πόλιν, καὶ κρινομένου δημοσίων· λέγοντος γὰρ τοῦ φεύγοντος, ὅτι ἄξιοι ἦσαν, τί γὰρ ἀφίσταται, ὁ κατήγορος στοχαστικὸν κινήσει νόημα λέγων, ὅτι ἐνίων οὐ πάντων ἦν ἀπόστασις.

λά. Ἡ πρώτη διάνοια τοῦ φεύγοντός ἐστιν ἡ μαχομένη πρὸς τὴν προβολήν·[39] ἡ δευτέρα δὲ τοῦ κατηγόρου· διὰ τοῦτο δὲ τοῦ διώκοντος ὀνομάζεται, ἐπειδὴ αὐτὸς τὴν τοῦ φεύγοντος ἐξετάζει γνώμην, οἷον ὅτι οὐκ ὠφελῆσαι βουλόμενος, ἀλλὰ προδοῦναι τὸ τεῖχος ἔτεμες, οὕτως γὰρ τὴν ἰσχὺν λύσει τῆς ἀντιθέσεως· καὶ ἐν μεταστάσει, ὅτι τὴν ἔξοδον ἀνεβάλλου καὶ τὴν πρεσβείαν, τοῖς ἐχθροῖς μὲν τὸν καιρὸν χαριζόμενος, ἡμᾶς δὲ βλάψαι τῷ βραδεῖ βουλόμενος, καὶ ἐν [40] ἀντεγκλήματι, οὐχ ἵνα ὠφελήσῃς τὴν ἀποστᾶσαν πόλιν κατέσκαψας, ἀλλ' ἵνα ἔρημον τὴν πόλιν τῶν συμμάχων ποιήσῃς· καὶ ἐπὶ συγγνώμης, ὅτι οὐ φόβῳ ἐξεῖπεν ἀπόῤῥητα, ἀλλὰ προδοῦναι ζητοῦσα καὶ κακῶς ἀπολέσαι βουλομένη τὴν πόλιν.

λβ'. Ἐκ τοῦ πρός τι γε [41] χρήσιμον τῷ κατηγόρῳ λαμβάνεσθαι· ὀνομάζουσιν αὐτὴν ἐκ τοῦ διώκοντος, ἐπεί τοι δῆλον, ὡς καὶ αὐτὴ τοῦ φεύγοντος· οὐ γὰρ τὴν ἑαυτοῦ διάνοιαν ἐξετάζει ὁ κατήγορος, τῆς δὲ τοῦ φεύγοντος καταστοχάζεται· ἀλλ' ἐπειδήπερ, ὡς ἔφην, τῷ κατηγόρῳ χρησιμεύει, διάνοιαν αὐτὴν τοῦ διώκοντος ὀνομάζουσιν· οὐκ ἀεὶ δὲ, φησὶν, ἐμπίπτει, ἀλλ' ἔστιν ὅτε. προσδιορίσαι δὲ ἀναγκαῖον, πότε ἐμπίπτει καὶ πότε ἐξίσταται· ὅταν μὲν γὰρ ἡ τοῦ προσώπου ποιότης, ἢ νὴ Δία γε ἡ τοῦ πράγματος παρέχει τῆς διανοίας πιθανὴν ἐξέτασιν, τηνικαῦτα χρησόμεθα· ἐπειδὰν δὲ φαίνηται ἡμῖν ἐναντία ἡ τούτων ποιότης, ἐξετάσομεν τὴν διάνοιαν διὰ τὸ ἀπίθανον· οὐ μὴν παντελῶς τὸ κεφάλαιον ὑπερ-

---

39 Mon. προελθοῦσαν. 40 Mon. εἰ. Par. 1. om. 41 γε Par. 1. om., est in Par. 2. et Mon.

δραμούμεθα, ἀλλ' ἑτέρως αὐτὸ θεραπεύσομεν, ὅταν ἐκλείπῃ κατὰ φύσιν· χρηστέον γὰρ τηνικαῦτα τῷ πηλίκῳ· οἷον ὡς οὐ μέγα ἦν τὸ κατεπεῖγον ἀνελεῖν τὸν παῖδα, ἢ τόδε τι ποιῆσαι· καὶ οὕτως οὐκ ἀναγκαῖον δεικνύντες τὸ πεπραγμένον, διασείσαιμεν ἂν τὴν τοῦ φεύγοντος διάνοιαν, ἐκείνου τὸ ἀναγκαῖον προβαλλομένου, ὡς οὐδὲ ἐγχωροῦν ἄλλως ἢ οὕτω ποιεῖν. Καὶ ταῦτα μὲν περὶ τῆς εὑρέσεως τοῦ κεφαλαίου, κατασκευάζεται δὲ ἀπὸ τῶν αὐτῶν τρόπων, ἀφ' ὧν καὶ ἡ τοῦ φεύγοντος διάνοια.

λγ'. Θαυμασίως τοῦτο ἐπεσημήνατο· παῖς γὰρ ὁ φονευθεὶς ὑπὸ πατρὸς, ὥστε ἄτοπον ἐκείνου λέγοντος, ὅτι ἄξιος ἦν, τὸν κατήγορον λέγειν, ὅτι οὐκ ἐπὶ ταύτῃ τῇ διανοίᾳ τὸν παῖδα πεφόνευκας, αἰσχύνης ἕνεκα, ἀλλ' ἐπιβουλεύων· δῆλον γὰρ, ὅτι πατὴρ ὢν μὴ μεγάλου τινὸς πλημμεληθέντος τὸν παῖδα οὐκ ἂν διεχρήσατο· αὕτη οὖν ἡ δευτέρα διάνοια, ἢ ἀπὸ τοῦ κατηγόρου, ἐκλείπει, ὡς ἐπὶ τοῦ τὸν υἱὸν φονεύσαντος ζητήματος, ἢ ἀπὸ τοῦ φεύγοντος· προείπομεν δὲ, ὅτι οὐκ ἀεὶ ἐμπίπτει, εἰ μὴ, ὅταν ἔνδοξον ἔχωμεν πρόσωπον, ἢ εὐεργεσία τις πρόκειται ἐν τῷ προβλήματι, δύναται γὰρ τότε ὁ διώκων διαβάλλειν τὴν γνώμην.

λδ'. Ἡ μετάληψις πρὸς τὴν ἀντίθεσιν φέρεται· πᾶσα γὰρ ἀντίθεσις ὡς διωρισμένη πολλαχοῦ μεταλήψει λύεται· δύο δὲ οὐσῶν μεταλήψεων ἐν ταῖς ἀντιθετικαῖς, ἡ μὲν ἀπὸ τοῦ πράγματος, ἡ δὲ λαμβάνεται ἀπὸ τοῦ προσώπου· ἀλλὰ περὶ μὲν τῆς ἀπὸ τοῦ προσώπου μικρὸν ὕστερον λέξομεν, περὶ δὲ τῆς ἀπὸ τοῦ πράγματος καὶ δὴ τεχνολογητέον· γίνεται τοίνυν αὕτη κατὰ δύο τρόπους· ἢ κατὰ αὐτὸ τὸ πρᾶγμα, ἢ κατὰ τρόπον τοῦ πράγματνς, οἷον ὅτι οὐκ ἐχρῆν τόδε τι ὅλως πραχθῆναι, ἢ οὐχ οὕτως ἐχρῆν· συστήσομεν δὲ τὴν μετάληψιν τρόπους εἰσφέροντες ἑτέρους, δι' ὧν ἐξῆν τὸ δέον πράττειν χωρὶς τοῦ δεινόν τι ἐργάσασθαι· οἷον ἐπὶ τοῦ

στρατηγοῦ τοῦ τὴν συνεχῶς ἀφισταμένην πόλιν κατασκάψαντος· ἐροῦμεν γάρ, ὡς οὐ κατασκάπτειν ἐχρῆν ἀλλὰ φυλακὴν καθιστάναι· καὶ πάλιν ἐπὶ τοῦ ἀριστέως τοῦ τὸν παῖδα πεφονευκότος ἐπὶ πορνείᾳ, ὡς παραινεῖν ἔδει καὶ φυλάττειν, ὅπως ἂν τοῦ λοιποῦ μηδὲν ἐξαμάρτοι, οὐ παραχρῆμα φονεύειν· εἶτα ἐν ὑποδιαιρέσει τὴν αἰτίαν συστήσομεν, δεικνύντες, τί μὲν ἀγαθὸν ἀπέβαινεν, εἰ τοῦτον ἐπράχθη τὸν τρόπον, ὅνπερ ἡμεῖς φαμὲν, τί δὲ φαῦλον δι᾽ ὧν ἔπραξεν ὁ φεύγων ἐκβέβηκεν, ὡς ἐπὶ τοῦ στρατηγοῦ τὴν πόλιν κατασκάψαντος ἐπὶ τῇ συνεχεῖ ἀποστάσει· φήσομεν γὰρ, ὡς φυλακῆς μὲν ἐγκαθισταμένης τῇ πόλει συμμάχους τε ἂν εἴχομεν τοὺς νῦν ἀφεστῶτας, καὶ φιλανθρωπίας δόξαν ἐφερόμεθα, νῦν δὲ τοὐναντίον ἅπαν· συμμάχων τε γὰρ ἀπεστερήθημεν, καὶ ἀπανθρωπίας οὐ διεφύγομεν ἔγκλημα.

λέ. Ἐπὶ τούτοις ἀκολούθως ἡ μετάληψις παρὰ τοῦ κατηγόρου· εἰπὼν γάρ, ὅτι οὐκ ἐπὶ ταύτῃ τῇ διανοίᾳ τόδε πεποίηκας· ἐὰν ἄρα ἐμπέσῃ, συνάψει τὴν μετάληψιν λέγων, ὅτι ἄλλως τε οὐδὲ οὕτως ὠφελῆσαι ἔδει τὴν πόλιν· ἐὰν ἀντιστατικὸν μελετῶμεν, ἀλλ᾽ ἐκκλησίαν συναγαγεῖν, παραινέσαι τὰ δέοντα, καὶ οὕτω τὴν νίκην περιποιῆσαι τῇ πόλει· καὶ ἐπὶ ἀντεγκλήματος, ἐχρῆν οὐ φονεύειν τὸν υἱὸν ἀλλ᾽ ἐπιτιμᾷν, τύπτειν, συμβουλεύειν, διδάσκειν, προτρέπειν· καὶ ἐπὶ μεταστάσεως οὐκ ἀναβάλλεσθαι τὸν καιρὸν τῆς πρεσβείας ἐχρῆν, ἀλλ᾽ ἑτέρωθεν ἐπινοήσαντα καὶ παρασκευασάμενον ἐφόδιον [42] ἐξελθεῖν· καὶ ἐπὶ συγγνώμης, ὅτι ἐχρῆν σε τὰ μὴ ὄντα πλάσασθαι καὶ εἰπεῖν ὡς ἀπόῤῥητα.

λς'. Μετὰ τὴν μετάληψιν τὸ πρός τι παραλαμβάνεται ἐξ ἑκατέρου τοῦ μέρους· ὁ μὲν γὰρ κατήγορος ἐρεῖ, ὅτι μεῖζόν ἐστι κακὸν ἡ κατασκαφὴ τοῦ τείχους ἢ τὸ νικῆσαι τοὺς πολεμίους, εὐαλώτους γὰρ ἡμᾶς ἔχουσι τὸ

42 Mon. ἔφοδον.

λοιπὸν ἅπαντα χρόνον, ὃν ποτε βούλοιντο· ὁ δὲ φεύγων ἐρεῖ, μικρὸν μὲν τοῦ τείχους ἔβλαψα μέρος, ὃ πάλιν ἀναλώμασι ῥᾷον οἰκοδομηθήσεται, τοὺς δὲ πολεμίους ἐπικρατοῦντας καὶ πολέμῳ φθείροντας ἀπεωσάμην·[43] οὐκ ἐν πάσῃ δὲ ἀντιθετικῇ ἐμπίπτει τὸ πρός τι, ἀλλ᾽ ὅπου ἂν εὑρεθείη ἀντιστατικόν· ἐπὶ γὰρ τοῦ πρεσβευτοῦ τοῦ μὴ ἐξελθόντος διαλαβεῖν τὰ ἐφόδια, ποῖον ἔχομεν εἰπεῖν ἀντιστατικόν· οὐκοῦν συνεκλείπει καὶ τὸ πρός τι· ἐπὶ δὲ τῆς ἐπὶ καιρὸν μεταστάσεως, ὅπου Ἀρχίδαμος κρίνεται, ἀναζεύξας ἀπὸ τῆς Ἀττικῆς, διὰ τὸ λιμώττοντας εὑρεῖν τοὺς Ἀθηναίους, ἐμπίπτει ἀντιστατικὸν, ὅτι δὴ εὐηργέτησα, ἵνα μὴ μεταλάβῃ τὸ στράτευμα τοῦ νοσήματος, ὅθεν τὸ πρός τι ἐμπίπτει, ὅτι μεῖζον τοῦ δῃῶσαι τὴν Ἀττικὴν τὸ μὴ νοσῆσαι τὸ ἡμέτερον στράτευμα, ὥστε εὐεργέτηκα πλέον, ἤπερ ἠδίκηκα· δῆλον οὖν, ὅτι ἐφ᾽ οἷς ἐστιν εὐεργεσία τὸ πρός τι ἐμπίπτει.

Οὗτος[44] τῇ προσηγορίᾳ γνωρίζεται· ἑκάτερον γὰρ βιάζεται ὡς ἐπὶ τοῦ στρατηγοῦ· ὁ μὲν διώκων, ὅτι εἰ τῶν νικώντων ἐστὶ τὸ φυλάξαι τὰ ὄντα, καὶ προσλαβεῖν τι τῶν πολεμίων, ἡμεῖς ἡττήμεθα τὰ τῶν νενικημένων παθόντες, καὶ τὴν οὖσαν ἀσφάλειαν ἀπολέσαντες· οὕτω δὲ καὶ ὁ φεύγων βιάσεται, ὅτι εἰ κώλυμα τῶν πολεμίων τὸ τεῖχος· τοῦτο δὲ καθηρέθη, καὶ νενίκηκα, οὐ καθεῖλον· ἀλλ᾽ ἀνέστησα τοῖς ἔργοις· τοῦτο δὲ τὸ κεφάλαιον ἀεὶ τῷ πρός τι ἀκολουθεῖ καὶ ἐπιλείποντος ἐπιλείπει καὶ εὑρισκομένου συνευρίσκεται.

Ἐπὶ τούτοις ἀκολουθεῖ ἡ μετάληψις παρὰ τοῦ κατηγόρου· εἰπὼν γὰρ, ὅτι οὐκ ἐπὶ ταύτῃ τῇ διανοίᾳ τόδε πεποίηκας, ἐὰν ἄρα ἐμπέσῃ, συνάψει τὴν μετάληψιν λέγων, ὅτι ἄλλως τε οὐδὲ οὕτως ὠφελῆσαι ἔδει τὴν πόλιν, ἐὰν ἀντιστατικὸν μελετῶμεν· ἀλλ᾽ ἐκκλησίαν συναγαγεῖν,

---

43 Mon. ἀπωσάμην. 44 sc. ὁ βίαιος ὅρος. in Parr. haec usque ad litt. λζ'. inter sch. min. sunt.

παραινέσαι τὰ δέοντα, καὶ οὕτω τὴν νίκην περιποιῆσαι τῇ πόλει. καὶ ἐπὶ ἀντεγκλήματος ἐχρῆν οὐ φονεύειν τὸν υἱὸν, ἀλλ' ἐπιτιμᾷν, τύπτειν, συμβουλεύειν, διδάσκειν, προτρέπειν· καὶ ἐπὶ μεταστάσεως οὐκ ἀναβάλλεσθαι τὸν καιρὸν τῆς πρεσβείας ἐχρῆν, ἀλλ' ἑτέρωθεν ἐπινοήσαντα καὶ παρασκευασάμενον ἐφόδιον ἐξελθεῖν, καὶ ἐπὶ συγγνώμης, ὅτι ἐχρῆν σε τὰ μὴ ὄντα πλάσασθαι καὶ εἰπεῖν ὡς ἀπόῤῥητα.

λζ. Τὸ πρός τι, φησὶ, κοινόν ἐστι τοῦ διώκοντος καὶ τοῦ φεύγοντος· ὡς μὲν οὖν συγκριτικὸν τὸ κεφάλαιον σαφές· λαμβάνεται δὲ ἐν μὲν ἀντιστάσει κατὰ τὸ ἀδίκημα καὶ τὸ εὐεργέτημα, τοῦ μὲν διώκοντος τὸ ἀδίκημα μεῖζον, τοῦ δὲ φεύγοντος τὸ εὐεργέτημα ἀποδεικνύντος· ἐν δὲ ἀντεγκλήματι κατὰ τὴν [45] τιμωρίαν καὶ τὸ ἀδίκημα· οἷον ὅτι μείζων ἡ τιμωρία τοῦ ἀδικήματος, ὡς ἐπὶ ἀριστέως τοῦ τὸν πορνεύοντα υἱὸν ἀποκτείναντος· ἔστι γὰρ ἁμάρτημα μὲν ἡ πορνεία· τιμωρία δὲ ὁ φόνος. ἐπὶ δὲ τῆς μεταστάσεως τὸ πρός τι κατὰ τὸ πραχθὲν καὶ τὸ μὴ γεγενημένον λαμβάνεται, ἀντιπαραβαλλομένης τῷ πραχθέντι ὑπὸ τοῦ φεύγοντος τῆς, δέον γενέσθαι, μὴ γεγονυίας πράξεως, οἷον ἐπὶ τοῦ στρατηγοῦ τοῦ μὴ εἰσδεξαμένου τοὺς αἰχμαλώτους· παραβάλλομεν γὰρ τῷ πραχθέντι τουτέστι τῷ [46] ἀποκλεῖσαι τοὺς αἰχμαλώτους τὸ μὴ γινόμενον· τοῦτο δέ ἐστι τὸ εἰσδέξασθαι, οἷον ὅτι λυσιτελέστερον καὶ ἄμεινον τὸ δέξασθαι, ἢ ὅτι τὸ πείθεσθαι τοῖς νόμοις ὠφελιμώτερον· ἔτι δὲ ἐν συγγνώμῃ, καθότι ἂν τῶν μερῶν ἡ ὑποκειμένη διδῷ παράστασις, τὸ πρός τι παραληφθήσεται· οἷον ἐπὶ τοῦ πρεσβευτοῦ, ὃς μαστιζόμενος ὑπὸ τῶν πολεμίων τὰ ἀπόῤῥητα ἐξεῖπε καὶ κρίνεται δημοσίᾳ· ἐπὶ τούτῳ γὰρ ὁ διώκων χρήσαιτο ἂν τῷ πρός τι· φάσκων ἧττον καθεστάναι δεινὸν τὴν ἐκείνου τελευτὴν τοῦ ἐξενεχθῆναι τὰ

45 τὴν Mon. om. 46 Mon. et Par. 1. τό.

τῆς πόλεως ἀπόῤῥητα· καὶ ἑτέρωθι πάλιν ὁ φεύγων χρήσεται· ἔστι δὲ ὅτε καὶ ἄμφω δύνανται [47] τὸ πρός τι παραλαβεῖν· ὡς ἐπ᾽ ἐκείνου προβλήματος· ὁ ἁλοὺς παρανοίας ὑπὸ τοῦ παιδὸς δεδέσθω, ἐδέδετό τις, ἔλυσεν αὐτὸν ὁ τοῦ παιδὸς παῖς, καὶ ἀποκηρύττεται.

λή. Κοινὸν, φησὶ, κεφάλαιον, ὁ βίαιος ὅρος ἐστί· βίαιον δὲ αὐτόν φασί τινες ὀνομάζεσθαι, ὅτι τοὺς τῶν τελείων πραγμάτων ὅρους τοῖς ἀτελέσι προσφέρει, τοῦτο δέ ἐστι βιάζεσθαι τὴν φύσιν· οἷον εἰ τὴν χῶσιν τοῦ λιμένος ἅλωσιν τῆς πόλεως εἶναι φαίημεν· καὶ ταῦτα εὐεργετήματος ἐνόντος τοῦ πεπραγμένου, καὶ πάλιν ὁ φεύγων, εἰ μὴ χῶσιν τοῦ λιμένος λέγει, ἀλλὰ ποίησιν καὶ βεβαίαν κτίσιν· τοῦτο δὲ γελοιότατον· πᾶς γὰρ ἐντεῦθεν παρὰ τοῖς ῥήτορσιν ὅρος βίαιος ἂν κληθείη· εἴγε ἀνάγκη πάντα ῥητορικὸν ὅρον παρ᾽ ἀτελῶν εἶναι πραγμάτων, ὡς ἐπὶ τῆς ὁρικῆς δεδήλωται στάσεως· ταύτῃ γὰρ αὐτὸν τοῦ παρὰ τοῖς φιλοσόφοις διαφέρειν ἐφάσκομεν· ἢ ὁ μὲν τέλειος καὶ παρὰ τελείων ἐστὶν, ὁ δέ γε ῥητορικὸς τέλειος περὶ ἀτελῶν· καλεῖται τοίνυν βίαιος ὅρος, ὅτι πάσης ἀντιθέσεως ὁμολογούμενον ὑπὸ τοῦ φεύγοντος τὸ ἀδίκημα ἐχούσης, καὶ πάλιν ὑπὸ τοῦ διώκοντος τὸ εὐεργέτημα, ἢ τὴν αἰτίαν ἐφ᾽ ἣν μεθίστησιν ὁ φεύγων, καὶ τοῦτο καθόλου πάσης ἀντιθέσεως ἔχειν [48] βουλομένης, ὁ βίαιος ὅρος ἀπαρνεῖται βιαστικώτερον παρὰ τὴν φύσιν τῆς ἀντιθέσεως· ὅτι οὐδὲ νίκη τὸ πεπραγμένον, καὶ ὅτι οὐδὲ χωσθῆναι τὸν λιμένα τοῦτό ἐστιν. Καὶ πόθεν μὲν ὠνόμασται βίαιος ὅρος, δεδήλωται· ἰστέον δὲ, ὡς οὐ πανταχοῦ ὁμοίως αὐτῷ χρησόμεθα, ἀλλ᾽ ἔνθα μὲν τὸ πιθανὸν ἡμῖν παρέχεται ἡ παράστασις, αὐτὸ ἕκαστον κατ᾽ εἶδος ἐξετάσομεν, λέγοντες μὴ εἶναι τοῦτο νίκην, ἢ μὴ εἶναι τοῦτο κατασκαφήν· ἂν δὲ ἀπίθανον φαίνηται τὸ μὲν κατ᾽ εἶδος ἐξετάζειν παριτέον·

47 Mon. et Par. 1. δύνασθαι. 48 ἔχειν Par. 1. om.

ἐπὶ δὲ τὸ γενικώτερον δραμούμεθα, οἷον ὡς οὐκ ἔστι νίκη τὸ βλάπτειν, ἢ οὐκ ἔστιν ἀδίκημα τὸ ὠφελεῖν· ταῦτα γὰρ καθολικώτερα ὄντα ἐπικρύπτει τὸ ἀπίθανον τῶν κατ' εἶδος, καὶ ὅλως μετὰ τὰ γενικὰ χώραν ἕξομεν καὶ τοῖς ἰδίοις χρῆσθαι· λάβωμεν οὖν τὸν λόγον ἐπὶ παραδείγματος· νόμος, [49] νύκτωρ μὴ ἀνοίγεσθαι τὰς πύλας, αἰχμαλώτους ἀποδράσαντας ἐκ τῶν πολεμίων ὁ στρατηγὸς οὐκ εἰσδέχεται· [50] καὶ τῶν πολεμίων ἐπικαταλαβόντων καὶ διαχρησαμένων αὐτοὺς κρίνεται δημοσίων· τῷ μὲν [51] φεύγοντι πιθανὸν τὸ τοῦ βιαίου ὅρου, ὅτι οὐδὲν αὐτοὺς ἠδίκησα φυλάττων τὸν νόμον· τῷ δὲ κατηγόρῳ ἀπίθανον τὸ λέγειν, ὡς οὐδὲ φυλάξαι τὸν νόμον τοῦτό ἐστιν· ἂν γὰρ ἐπὶ τοῦ ὑποκειμένου λαμβάνῃ τὴν [52] φυλακὴν, φανερῶς ὁ νόμος πεφύλακται· δεῖ οὖν ἐπὶ τὸ γενικώτερον ἀνελθεῖν, ὡς οὐκ ἔστι φυλάττειν νόμους τὸ τὴν πόλιν συμφορῶν ἀναπιμπλάναι, καὶ μετὰ τὴν τοῦ γενικωτέρου διέξοδον λάβοι ἄν τινα χώραν καὶ τὸ εἰδικόν.

Ἡ θέσις [53] ἀκολουθεῖ πρὸς τὴν μετάληψιν λέγοντος τοῦ φεύγοντος· τοῦτο γάρ ἐστι τὸ κεφάλαιον, ὅτι δεῖ τὸν στρατηγὸν παντὶ τρόπῳ τὴν εὐεργεσίαν ἐνδείκνυσθαι· ἐξεταστέον δὲ τὴν θέσιν τοῖς ἐμπίπτουσι τελικοῖς, ὅτι δίκαιον τοῦτο τὸ πράττειν τὸν στρατηγὸν, ὅ τι ἂν ἡγεῖται καλὸν καὶ ὅ τι συμφέρον τοῦτο τῇ πόλει· ἢ ὅτι καὶ πρέπον καὶ δυνατὸν, καὶ ὡς ἂν ὁ καιρὸς διδῷ.

λθ'. Ὁμοίως καὶ ἡ θέσις ἀμφοῖν ἐστι, τοῦ τε διώκοντος καὶ τοῦ φεύγοντος· χρὴ δὲ αὐτὴν ἐπὶ τὸ γενικώτερον ἀναγαγεῖν· καὶ καθόλου ἐν πάσαις ἀντιθετικαῖς. τὰ γὰρ μερικώτερα παραιτητέον· ἐπειδὴ πάντων ὑπόκει-

ται

---

49 *νόμος* Mon. om. 50 Mon. *εἰσέρχεται.* 51 Par 1. *γάρ.* 52 Mon. *λαμβάνηται.* 53 *ἡ θέσις ἀκολουθεῖ* usque ad litt. *λθ'.* inter sch. min. est in Par. 1.

ται τὸ ἀδίκημα ἐν τῇ ἀντιθέσει· τὸ δὲ ἐπὶ τοῖς ἀδικήμασιν αὐτοῖς θέσιν περαίνειν εὔηθες· οὐ γάρ ἐστι λέγειν, ὡς δέον κατασκάπτειν τεῖχος· ἐπὶ τὸ γενικώτερον οὖν ἀναδραμόντας χρὴ προάγειν τὴν θέσιν, ὅτι δεῖ τὸν στρατηγὸν πάνθ᾽ ὃν ἂν ἐγχωρῇ τρόπον εὖ ποιεῖν τὴν πόλιν καὶ ἀκόντων ἐνίοτε τῶν πολιτῶν, δι᾽ ἄγνοιαν τοῦ βελτίστου· εἶτα καὶ συγκριτικῶς τὴν θέσιν προοισόμεθα, ὅτι βλάπτειν μικρὰ ἀντὶ μεγάλων προσήκει, κοινὸν γάρ φησι τοῦτο ἐν πάσῃ ἀντιθέσει, τουτέστι κατὰ σύγκρισιν τῶν ἡττόνων πρὸς τὰ μείζω τὴν θέσιν προφέρεσθαι. καὶ ὅλως τὸ πρός τι ἐπαναλαμβάνειν· ἐν μὲν ἀντιστάσει καθὰ πρόκειται, ὅτι μικρὰ προϊεμένους χρὴ μεγάλα εὐεργετεῖν, ἐν δὲ ἀντεγκλήσει, ὡς ἐπὶ τοῦ ἀριστέως τοῦ τὸν πεπορνευκότα υἱὸν ἀνελόντος, ὅτι οὐ μείζους τῶν ἁμαρτημάτων τὰς τιμωρίας λαμβάνειν δεῖ· τοῦτο γάρ ἐστιν ἄρχειν ἀδικίας, καὶ ἐκ τοῦ ἐναντίου ὁ φεύγων. ἐπὶ δὲ μεταστάσεως, ὅτι φυλακτέον τοὺς νόμους· καὶ ὡς μείζων οὐκ ἂν γένοιτο ὠφέλεια τῆς ἐκείνων φυλακῆς· ὅτι οὐδὲν ἂν δεινότερον εἴη τοῦ συμφορῶν ἀναπιμπλάναι τηλικούτων τὴν πόλιν, ὡς ἐπὶ τῶν ἀποκλεισθέντων αἰχμαλώτων· ἐν δὲ συγγνώμῃ, οἷον ὅτι χρὴ τὸ κοινῇ λυσιτελοῦν πρὸ τοῦ ἰδίᾳ συμφέροντος τίθεσθαι. μεῖζον γὰρ τὸ τῇ πόλει συνοῖσον κατὰ τὸ παράδειγμα τοῦ πρεσβευτοῦ, ὃς τοῖς πολεμίοις τὰ ἀπόρρητα ἐξεῖπε μαστιζόμενος· οὕτω γὰρ ὁ διώκων ἐνταῦθα προοίσεται τὴν θέσιν.

μ΄. Ἐλέγομεν τὴν μετάληψιν[1] διχῇ, πῇ μὲν πρὸς τὸ πρᾶγμα, πῇ δὲ πρὸς τὸ πρόσωπον φέρεσθαι· περὶ μὲν

1 Sch. min. a Mon. omissa: τοῦ φεύγοντος χρησαμένου τῇ θέσει, ὁ κατήγορος τῇ δευτέρᾳ μεταλήψει χρήσεται, τὸν τρόπον διαβάλλων τῆς πράξεως· λέγει γάρ, ὅτι ἔδει σε μετὰ γνώμης τοῦ δήμου καθελεῖν τὸ τεῖχος, καὶ μὴ ἀπὸ ἰδίας ἐξουσίας τοῦτο ποιεῖν· οὐκ ἔστι δὲ τῶν ἀεὶ ἐμπιπτόντων, ἀλλ᾽ ἐπὶ μὲν τῶν δημοσίων ἐμπεσεῖται. εἰ δὲ ἰδιωτικόν, διατί ἀπαιτεῖται ἀνενεγκεῖν τῷ δήμῳ.

οὖν τῆς κατὰ τὸ πρᾶγμα διείληπται ἡμῖν ἀνωτέρω, νυνὶ δὲ ὁ λόγος περὶ τοῦ κατὰ πρόσωπον μεταληπτικοῦ· χρήσεται δ' αὐτῷ ὁ διώκων μόνος. δῆλον γὰρ, ὡς πᾶσα μετάληψις τοῦ κατηγόρου ἐστί· μεταλήψεται οὖν τὸ πρόσωπον, οἷον ὅτι οὐκ αὐτὸν ἐχρῆν ἑαυτῷ παράταξιν ἐπιτρέπειν, ἀλλὰ κοινοῦν τοῖς ταξιάρχαις, τῷ δήμῳ, τοῖς λοχαγοῖς. Τοῦ φεύγοντος χρησαμένου τῇ θέσει ὁ κατήγορος τῇ δευτέρᾳ μεταλήψει χρήσεται, τὸν τρόπον διαβάλλων τῆς πράξεως· λέξει γὰρ, ὅτι ἔδει σε μετὰ γνώμης τοῦ δήμου καθελεῖν τὸ τεῖχος, καὶ μὴ ἀπὸ ἰδίας ἐξουσίας τοῦτο ποιεῖν· οὐκ ἔστι δὲ τῶν ἀεὶ ἐμπιπτόντων, ἀλλ' ἐπὶ μὲν τῶν δημοσίων ἐμπεσεῖται. εἰ γὰρ ἰδιωτικὸν, διατί ἀπαιτεῖται ἀνενεγκεῖν τῷ δήμῳ. ἐμπεσεῖται δὲ καὶ, ὅταν ἐνδημῶν ἐν τῇ πόλει τύχῃ ὁ κρινόμενος· εἰ γὰρ ἐν ἀποδημίᾳ ἂν ἐποίησέ τι, οὐ δύναται λέγειν ὁ κατήγορος, ὅτι ἐχρῆν ἀνακοινοῦσθαι καὶ ἐπὶ τοῦ ῥήτορος τοῦ ἀναγκασθέντος ἐγκώμιον τῶν κεφαλαίων εἰπεῖν· διὰ γὰρ τὸ πόῤῥω εἶναι οὐχ οἷόν τε ἀνενεγκεῖν τῷ δήμῳ.

μά. Μεταλήψεως γινομένης ἀκολουθεῖ ἡ ἀντίληψις παρὰ τοῦ φεύγοντος, ὅτι ἐξῆν στρατηγῷ τὰ δοκοῦντα πρὸς τὸ λυσιτελοῦν διαπράττεσθαι. πῶς δὲ ὁμολογῶν ἔγκλημα εἶναι τὸ πεπραγμένον ἀντιλήψει δύναται χρῆσθαι; τυραννικὸν γὰρ δοκεῖ· ἀλλ' οὐκ αὐτῷ τῷ πεπραγμένῳ προσάγει τὴν ἐξουσίαν, ἀξίωμα ἔχοντος ὅτι στρατηγός.

μβ'. Πᾶσα μετάληψις ἀντιλήψει λύεται· φέρεται οὖν

ἐμπεσεῖται δὲ καὶ ὅταν ἐν δήμῳ τῇ πόλει τύχοι ὁ κρινόμενος· εἰ γὰρ ἐν ἀποδημίᾳ ὧν ἐποίησεν, οὐ δύναται λέγειν ὁ κατήγορος, ὅτι ἐχρῆν ἀνακοινοῦσθαι, καὶ ἐπὶ τοῦ ῥήτορος, τοῦ ἀναγκασθέντος ἐγκώμιον τῶν πολεμίων εἰπεῖν· διὰ γὰρ τὸ πόῤῥω εἶναι οὐχ οἷόν τε ἀνενεγκεῖν τῷ δήμῳ. Ἡ ποιότης καὶ ἡ γνώμη ὡς γίνεται. Περιττὸν οἰόμενος τὸ λέγειν περὶ τῶν αὐτῶν πολλάκις, ἠρκέσθη τοῖς ἐν ὅρῳ τεχνολογηθεῖσιν αὐτῷ περὶ τῆς ποιότητος καὶ γνώμης· ὁμοίως γὰρ κἀνταῦθα χρησόμεθα.

εἰκότως πρὸς τὸ μεταληπτικὸν τοῦ προσώπου ἡ ἀντίληψις· ὅτι ἐξῆν μοι καὶ μόνῳ βουλεύεσθαι ὑπὲρ τῶν κοινῶν· ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ἀριστέως τοῦ πορνεύοντα τὸν υἱὸν ἀνελόντος· ὅτι δεινὸν, εἰ μηδὲ περὶ τοῦ παιδὸς βουλευσαίμην πατήρ γε ὤν.

μγʹ. Τοῦτο ἐπὶ τοῦ ἀνῃρηκότος τὸν παῖδα πορνεύοντα· ἔστιν δὲ τὸ νόημα ἐν ἤθει, ὅτι μέγιστον ἀγαθὸν, εἰ μὴ ἐξῆν πατρὶ ὄντι βουλεύσασθαι περὶ τοῦ παιδὸς, ὃ θέλει.

μδʹ. Καθολικὸν τοῦτο παράγγελμα· οὐδὲ γὰρ πάντα τὰ κεφάλαια ἐμπίπτει ἀεί. Ἐν ταῖς προλαβούσαις στάσεσι καλῶς ὁ τεχνογράφος ἐδίδαξεν ἡμᾶς αὐτάς τε τὰς στάσεις καὶ τὰ εἴδη τῶν στάσεων, ἐν δὲ ταῖς ἀντιθετικαῖς παντάπασιν ἀποσιωπᾷ τὰ εἴδη, τὴν ἐναντίαν τοῖς ἄλλοις τεχνογράφοις ἰών. ἔλεγον γὰρ εἴδη εἶναι τῶν ἀντιθετικῶν τὸ μὲν ἰδιωτικόν, τὸ δὲ δημόσιον, τὸ δὲ μικτὸν, πάνυ εὔηθες τοῦτο ποιήσαντες, ταῦτα γὰρ οὐκ εἴδη στάσεων ποιεῖ, ἀλλ' εἴδη τυγχάνει φράσεως. ἴσμεν γὰρ, ὅτι ἄλλως ἑρμηνευτέον τὰ δημόσια πράγματα, ἄλλως δὲ τὰ ἴδια. φησὶν οὖν, ὅτι ἐσφάλησαν οἱ νομίσαντες εἴδη διάφορα τὸ εἶναι δημοσίαν καὶ ἰδιωτικήν. οὐδὲ γὰρ τοῦτο διάφορον εἶδος ποιεῖ, ἀλλ' ἡ διάφορος διαίρεσις· ἐν ταῖς ἀντιθετικαῖς οὖν οὐδεμία διαφορὰ, ἀλλὰ πασῶν μία διαίρεσις καὶ τὰ αὐτὰ κεφάλαια, ἐξαλλάττοντος μόνον καθ' ἑκάστην ἀντιθετικὴν τοῦ ὁμωνύμου τῇ στάσει κεφαλαίου. δυσὶ δὲ ἁμαρτήμασι Μινουκιανὸν ὑποβάλλει, κακῶς τε τὸ περὶ στάσεων τέχνην ἐπιγράψαντα ῥητορικὴν, καὶ νῦν ἀκαίρως εἴδη τῶν ἀντιθετικῶν παραδιδόντα.

μςʹ. Τὸ χωρίον ὅλον πρὸς Μινουκιανὸν ἀποτείνεται· ἐκεῖνος γὰρ ταῦτα εἴδη ἐτεχνολόγει κατὰ τὸ δημόσιον καὶ ἰδιωτικὸν καὶ μικτόν. παραδείγματα δὲ τοῦ μὲν δημοσίου ὁ τὸν λιμένα χώσας στρατηγὸς, τοῦ δὲ ἰδιωτικοῦ ὁ τὸν ἵππον λαβὼν τὸν ἐκφέροντα ἐπὶ τοὺς πολεμίους τὸν ἱππέα, καὶ κρινόμενος ὑπὸ τοῦ δεσπότου βλάβης·

μικτοῦ δὲ παράδειγμα· τύραννος μειράκιον ὡραῖον ἐξ ἀστυγείτονος πόλεως ᾔτησε πόλεμον ἀπειλῶν, εἰ μὴ λάβοι, προσήκαντο τὸν πόλεμον, πολιορκοῦντος τοῦ τυράννου τὴν πόλιν, ὁ πατὴρ ἀποκτείνας τὸ μειράκιον ἀπὸ τῶν τειχῶν ἔῤῥιψεν· ἀνέζευξαν οἱ πολέμιοι καὶ κρίνεται ὁ πατὴρ δημοσίᾳ· τοῦτο γὰρ μικτόν ἐστιν· ἰδιωτικὸν μὲν, καθὸ φαίη ἂν ὁ πατὴρ, αἰσχύνης ἀπηλλάχθαι τὸ μειράκιον· δημόσιον τῷ πολιορκίας ἠλευθερῶσθαι τὴν πόλιν. καὶ τὰ μὲν προκείμενα παραδείγματα ἀντιστατικὰ, τῇ δ' αὐτῇ κἀπὶ τῶν ἄλλων ἀντιθετικῶν χρῆται διαιρέσει· ἀνασκευάζει τοιγαροῦν τὸν λόγον ὁ τεχνικὸς διχῇ κατὰ τὸ ἀσύμφορόν τε καὶ ἀδύνατον. κατὰ μὲν τὸ ἀσύμφορον, ὡς περιττὸν τοῖς περὶ διαιρέσεως γράφουσιν παραλαμβάνειν εἴδη μηδεμίαν ἔχοντα διαφορὰν περὶ τὴν τῶν κεφαλαίων διαίρεσιν· εἴληπται γὰρ τὸ ἀσύμφορυν κατὰ τὸ περιττόν· κατὰ δὲ τὸ ἀδύνατον, ὅτι τὸν μὴ πρότερον τὰς ὑποθέσεις καὶ τὰ κεφάλαια ἐπιστάμενον οὐχ οἷόν τε δήπου ταῦτα γινώσκειν, τὸ ἰδιωτικόν φημι καὶ τὸ δημόσιον, τί τέ ἐστι καὶ διὰ τίνων προσάγεται· ὅμοιον δέ φημι κἂν τῷ περὶ εἴδους καὶ τρόπου πεπόνθασι λόγῳ· καὶ γὰρ τούτων ἐν τῷ περὶ διαιρέσεως οἱ περὶ τὸν Μινουκιανὸν ἐμνήσθησαν πάντα συγχέοντες. παραπλησίως γὰρ ἀδύνατον εἴδη καὶ τρόπους ἐπίστασθαι τὸν οὐκ εἰδότα, τί μὲν δημόσιον, τί δὲ ἰδιωτικόν.

Σημείωσαι, ὅτι [2] τινὲς τὸ τῆς ῥητορικῆς μέρος τὸ περὶ διαιρέσεως μόνον διαλαβὸν [3] τέχνην ῥητορικὴν ἐπέγραψαν, ὧν ἐστι καὶ Μινουκιανός.

μζ. Ἰδιωτικὸν λέγει, ὡς ἐπὶ τοῦ τὸν ἵππον τὸν [4] τὸν ἴδιον δεσπότην ἐξαγαγόντα τοῖς πολεμίοις ἀποσφά-

---

2 Est sch. min. ad: τῶν ἐπιγραψαμένων τέχνην ῥητορικήν. Mon. σημείωσαι om. 3 Mon. διαλαβών. Par. 1. διαλαμβάνον. 4 Mon. τὸν alterum om.

ξαντος καὶ κρινομένου βλάβης· δημόσιον δὲ, ὡς ἐπὶ τοῦ σκάψαντος στρατηγοῦ τὸ τεῖχος· μικτὸν δὲ, ὡς ἐπὶ τούτου· τύραννος ἐξ ἀστυγείτονος πόλεως [5] μετεπέμψατο μειράκιον ὡραῖον, ἀπειλῶν πόλεμον εἰ μὴ λάβοι. οὐκ ἔδωκεν ἡ πόλις· ἐστράτευσεν ὁ τύραννος, πολιορκίας οὔσης ὁ πατὴρ σφάξας τὸν παῖδα ἔῤῥιψε πρὸ τοῦ τείχους. θεασάμενος ὁ τύραννος ἀνεχώρησε καὶ κρίνεται δημοσίων ὁ πατὴρ ἀδικημάτων· αὕτη γὰρ μικτὴ τυγχάνει· ἔχει γὰρ καὶ ἴδιον ἀδίκημα τὸν φόνον τοῦ παιδός· καὶ δημόσιον ὅτι τὴν πόλιν ἠδίκησεν, ὑπὲρ οὗ γὰρ εἵλετο πόλεμον ἡ πόλις, καθάπερ ἆθλον αὐτὸν ποιουμένη, τοῦτον παρὰ [6] γνώμην τῆς πόλεως ἐφόνευσε· καὶ τὸ ἀντιθετικὸν κεφάλαιον τοιοῦτον· ὅτι καὶ τῇ πόλει συνήνεγκε τὸ τελευτῆσαι τὸ μειράκιον, ἀπήλλακται γὰρ πολέμου καὶ πολιορκίας, καὶ αὐτῷ τῷ παιδί.

μή. Τούτου καὶ κατ᾽ ἀρχήν που τῆς πραγματείας ἐπεμνήσθη, πρὸς Μινουκιανὸν φερόμενος ἄντικρυς· φησὶ δὲ οὕτως, εἴδους γὰρ ἕνεκα προβλημάτων καὶ τρόπου περίεργον ἂν εἴη λέγειν ἐν τῷ παρόντι· ὁ μὲν οὖν τεχνικὸς κατὰ τοὺς εἰρημένους λόγους τὰ εἴδη τῶν ἀντιθετικῶν οὐ προσίεται· προσθείημεν δ᾽ ἂν ἡμεῖς, ὅτι οὐ μόνον γε [7] τῷ περιττῷ καὶ τῷ ἀδυνάτῳ τῆς διδασκαλίας, ἀλλ᾽ οὐδὲ κατὰ φύσιν ἀφιστάναι δύναται· πρῶτον γὰρ τὰ ἐκ διαφόρων γενῶν εἴδη κοινωνεῖν ἀλλήλοις οὐ δύναται τὸ δὲ ἰδιωτικὸν καὶ δημόσιον οὐκ ἀντιθέσεως μόνης, ἀλλὰ κοινὸν ἁπάσης φαίνεται στάσεως· ἔπειτα ἐν ταῖς προειρημέναις τῶν στάσεων εἴδη τοιαῦτα οὐ παραλαβόντες, καίτοι τοῦ δημοσίου καὶ τοῦ ἰδιωτικοῦ ἐν πάσαις εὑρισκομένων, τί δή ποτε ἐπὶ τῆς ἀντιθέσεως παρειλήφασιν; [8] ἢ εἴπερ ἐνταῦθα, τί μὴ καὶ πρότερον πολὺ ἐπ᾽

---

5 Mon. πόλεμον. 6 Mon. περί. 7 Par. 1. ὅτι γε οὐ μόνον. 8 Par. 1. προειλήφασιν.

ἐκείνων. τρίτον ἐπὶ τούτοις τὰ διαιρούμενα τὴν εἰς τὰ κεφάλαια διαίρεσιν ἢ τομῇ διενήνοχεν ἀλλήλων, ἢ ὕλῃ. τομῇ μὲν, ὡς τὸ ἁπλοῦν καὶ τὸ διπλοῦν· κεχώρισται γὰρ ἀλλήλων τῇ διαφόρῳ περὶ τὰ κεφάλαια διαιρέσει· ὕλῃ δὲ, ὡς κατὰ κρίσιν καὶ κατὰ αἴτησιν· διάφορος γὰρ ἡ ὕλη. πῇ μὲν τιμωρίας, πῇ δὲ δωρεᾶς ὑποκειμένης· πῶς οὖν δύναιτο ἂν εἴδη παραλαμβάνεσθαι τὸ δημόσιον καὶ τὸ ἰδιωτικὸν, οὐδὲ κατὰ τομὴν ἀλλήλων διαφέροντα· μία γὰρ ἀμφοῖν ἀλλήλων διαίρεσις, καὶ κατὰ τὴν ὕλην. καὶ γὰρ ἰδιωτικὸν γίνεται καὶ κατὰ κρίσιν καὶ κατὰ αἴτησιν, καὶ αὖ πάλιν δημόσιον· μόνου γαρ ταῦτα τοῦ ποσοῦ διενήνοχε· καθὸ τὸ μὲν ἐφ᾽ ἑνὸς, τὸ δὲ ἐπὶ πολλῶν διήκει· τὸ δὲ ποσὸν διαφορὰν εἴδους οὐ κατεργάζεται.

Τοῦτό[9] φησιν, ὅτι ὁ μήπω δυνηθεὶς εἰδέναι τὴν στάσιν τοῦ ζητήματος ἢ τὰ κεφάλαια, πῶς δύναται οὗτος, περὶ χαρακτήρων εἰπεῖν ἢ τρόπων.

μθ΄. Τινές φασιν, ὧν καὶ ὁ τεχνογράφος, τούτῳ διαφέρειν τὴν μετάστασιν τῆς συγγνώμης, τῷ ὑπευθύνῳ καὶ ἀνευθύνῳ· τὸ μὲν γὰρ εἰς ὑπεύθυνόν τι δυνάμενον γενέσθαι πρόσωπον ἢ πρᾶγμα ἀναφέρον τὴν αἰτίαν μεταστατικόν φασι, τὸ δὲ εἰς ἀνεύθυνον συγγνωμονικόν· τινὲς δὲ καὶ τὰ εἰς ἀνεύθυνον καὶ ὑπεύθυνον ἀναφέροντα μεταστατικά φασι· τὰ δὲ εἴς τι πάθος τῆς ψυχῆς συγγνωμονικά· ἐμάθομεν δὲ ἐν τῇ μεθόδῳ, ὅτι περὶ τούτων ἠμφισβήτουν ὅ τε Μινουκιανὸς καὶ ὁ Ἑρμογένης· ὁ μὲν Ἑρμογένης ὅτι συγγνωμονικὸν γίνεται, ὅτε μετάστασίς ἐστιν ἐπί τι ἀνεύθυνον, ὁ δὲ, ὅτε ἐπὶ ψυχῆς ἀναφέρεται πάθος· ἐνταῦθα οὖν, ὡς οἷα αἰσθόμενος τῆς ἀληθείας συγχωρεῖ τῷ Μινουκιανῷ καλῶς εἰρηκέναι.

ν΄. Τὴν συγγνώμην καὶ τὴν μετάστασιν ἔφη αὐτὸς

9 Inter sch. min. est in Parr.

ἐν τῇ μεθόδῳ διαφέρειν ἀλλήλων κατὰ τὸ ὑπεύθυνον καὶ ἀνεύθυνον. ἂν μὲν γὰρ ὑπεύθυνον ᾖ τὸ δεχόμενον τὴν αἰτίαν, γίνεται μετάστασις, ἂν δὲ ἀνεύθυνον, συγγνώμη· τινὲς δὲ, ὧν καὶ Μινουκιανὸς ἐν τοῖς μάλιστα, οὐχ οὕτως διαστέλλουσιν αὐτάς· ἀλλ' ἁπλῶς τὰ μὲν εἴς τι τῶν ἔξωθεν μεθιστάντα τὸ ἀδίκημα πάντα μεταστατικὰ εἰρήκασιν εἶναι, ἄν τε χειμὼν, ἄν τε βάσανος, ἄν τε ἄλλο τι τοιουτότροπον ᾖ· τὰ δὲ εἰς ἴδιόν τι πάθος τῆς ψυχῆς μόνα συγγνωμονικὰ εἶναι ὡρίσαντο· ἰστέον μέντοι, ὡς περὶ τῆς βασάνου διαφέρεται πρός γε τοὺς ἄλλους ἅπαντας ὁ Μινουκιανός· οἱ μὲν γὰρ συγγνωμονικὸν τὸ τοιοῦτόν φασιν, τῷ ψυχικὸν ἐντεῦθεν πάθος κινεῖθαι, τὸν φόβον·[10] ὁ δὲ Μινουκιανὸς τῇ μεταστάσει προσνέμει τὴν βάσανον, ὡς τῶν ἔξωθεν οὖσαν· δοκοῦσι δ' οὖν οἱ μὲν ἄλλοι κατὰ τοῦτο συμβαίνειν τῷ τεχνικῷ, ἢ καὶ τὰ μάλιστα καθ' ἑκατέραν[11] ἔννοιαν· δῆλον γὰρ, ὡς κατ' αὐτὸν συγγνώμη ἔσται ἡ βάσανος τῷ εἶναι ἀνεύθυνον· ὁ δὲ Μινουκιανὸς καὶ κατὰ τοῦτο ἐναντιοῦται. ταύτης δὲ τῆς διαφορᾶς ὑπ' ἐκείνων εἰσφερομένης, φημὶ τῆς κατὰ πάθος, ἴδιον ἤ τι τῶν ἔξωθεν ἐπιφέρει ὁ τεχνικὸς, ὥσπερ τινὰ συγκατάθεσιν, ὅτι καὶ ἴσως ταῦτα οὐ κακῶς, καὶ ζητητέον, τί δήποτε τὸν ἐκείνων παραδεχόμενος λόγον αὐτὸς εἰσήνεγκεν ἕτερον. ἢ εἴπερ μὴ[12] καταδέχεται, τί μὴ διαῤῥήδην ἀντεῖπε· δυοῖν γὰρ ἁμαρτημάτων θάτερον οὐκ ἐκφεύξεται ἀγνοίας ἢ φθόνου· ἀλλὰ ταυτὶ μὲν ἑτέροις βλασφημεῖν ἐῶμεν· λεκτέον δὲ, ὡς οὐκ ἄνευ λόγου τρόπον δή τινα συγκατέθετο· ὑπήσθετο γὰρ καὶ τὸν ἐκείνων λόγον σχεδὸν τῷ οἰκείῳ συμφερόμενον· σκοπῶμεν γὰρ οὕτως, οἱ μὲν γὰρ τὰ εἰς ψυχικὸν πάθος τὴν αἰτίαν μεθιστάντα συγγνώμην εἶναι βούλονται· ὁ δέ φησι τὴν συγγνώμην ἐκ τῶν

---

10 Mon. κινεῖται εἰς φόβον. 11 Mon. ἑτέραν. 12 Mon. οὐ.

ἀνευθύνων γίνεσθαι, ὃν τρόπον ἀπὸ διαφόρου γνώμης εἰς ταὐτὸν συνήχθησαν.[13] δῆλον γάρ, ὡς πᾶν ψυχικὸν πάθος ἀνεύθυνον. Ἴδωμεν[14] τὸν αὐτὸν αὖθις τρόπον, οἱ μὲν τὰ εἴς τι τῶν ἔξωθεν ἄγοντα τὸ ἀδίκημα μεταστατικὰ εἰρήκασιν, ὁ δὲ τῷ ὑπευθύνῳ τὴν μετάστασιν ὁρίζει· κἀνταῦθα σχεδὸν συμφέρονται· φυλαττέσθω γὰρ ἐκεῖνο ὁ λόγος αὐτῶν, ὡς τὰ εἴς τι ψυχικὸν πάθος μεθιστάντα τὸ ἀδίκημα συγγνώμη· εἶτα ὑποδιέλωμεν τὰ εἴς τι τῶν ἔξωθεν. ταῦτα γὰρ ἢ ἐπί τι ψυχικὸν ὁρμᾶται πάθος, ὡς ὁ χειμὼν ἢ βάσανος, φοβεῖ γὰρ καὶ καταπλήττει, ψυχικὸν δὲ πάθος ὁ φόβος. ὥστε καὶ κατ᾿ ἐκείνους ταῦτα συγγνώμης εἶναι, τῷ[15] εἴς τι πάθος μεθιστᾷν τὸ ἀδίκημα, καὶ κατὰ τὸν τεχνικὸν τῷ εἶναι ἀνεύθυνον, ἢ εἴπερ μὴ ἐπί τι ψυχικὸν φέροιτο πάθος. ὑπεύθυνά γε πάντως ὄντα τῷ μὲν ὑπάρχειν τῶν ἔξωθεν κατὰ τὸν ἐκείνου λόγον, τῷ δὲ εἶναι ὑπεύθυνα κατὰ τὸν τεχνικὸν ἔσται[16] μεταστατικά. καὶ ταῦτα μὲν ὅσον ἐπιδεῖξαι κἀκείνους ἄκοντας εἰς τὸν λόγον συνελαυνομένους τοῦ τεχνικοῦ. χρὴ δὲ μόνον τὴν κατὰ τὸ ἀνεύθυνόν τε καὶ ὑπεύθυνον διαφορὰν δέχεσθαι, σαφεστάτην δὲ οὖσαν καὶ τελειωτάτην· ἔτι δὲ κἀκεῖνο ζητῆσαι ἄξιον. ἐπήνεγκε γὰρ εὐθὺς μετὰ ταῦτα, ὡς οὐδὲ ἡ μετάστασις διαφέρει τῆς συγγνώμης, πλὴν τοῦ ὀνόματος· τί οὖν, φαίη ἄν τις, μέχρι νῦν ἐφληνάφει, τοσοῦτον ἀποτείνων λόγον περὶ τῆς τούτων διαφορᾶς· καὶ οὐκ ἐνταυθοῖ μόνον, ἀλλ᾿ ἔτι κἂν τῇ μεθόδῳ καταφανὴς ἡ πρὸς τοῦτο ἀπάντησις· οὐ γὰρ πρὸς τὴν φύσιν αὐτῶν ἀφορῶν, ἀλλ᾿ ὅσον πρὸς τὴν τῶν κεφαλαίων ἥκει διαίρεσιν, ἔφη μὴ αὐτὰς διενηνοχέναι· καὶ γὰρ ἐν μεταστάσει, φησὶν, ἐμπίπτει τὸ συγγνωμονικὸν, καὶ ἔτι ἐν συγγνώμῃ τὸ μετα-

13 Mon. συνηχθήσεται. 14 Par. 1. ἴδωμεν αὖθις τὸν α. τ. 15 Mon. τό. 16 Mon. εἶναι μεταστατικόν.

στατικόν. καὶ τό γε μεῖζον εἰπεῖν, ἐν συγγνώμῃ ἔστιν ὅτε οὐ χρησόμεθα συγγνωμονικῷ, ἀλλ' ἐφαψάμενοι μόνον αὐτοῦ μεταπηδήσομεν θᾶττον ἐπὶ τὸ μεταστατικὸν, τοῦτο δὲ γίνεται, ἡνίκα ἔνδοξον ᾖ τὸ κρινόμενον πρόσωπον. Οὐδὲν οὖν ἀλλήλων, ἤρετό τις, διοίσουσι κατὰ διαίρεσιν; φαμὲν ὅτι κατὰ τὴν εὕρεσιν μὲν τῶν κεφαλαίων οὐδαμῶς· κατὰ μέντοι τὴν χρῆσιν· ἐφ' ἑκατέρας γὰρ τῷ κυριωτέρῳ καὶ πρωτοστατοῦντι μᾶλλον ἐνδιατρίψομεν. οἷον ἐν μεταστάσει μὲν τῷ μεταστατικῷ, ἐν δὲ συγγνώμῃ τῷ συγγνωμονικῷ, πλὴν εἰ μὴ τὸ ἀξίωμα τοῦ προσώπου κωλύοι· τηνικαῦτα γὰρ ἡ μετάστασις κατὰ τὸ ἰσχυρὸν τῇ φύσει λαμβάνεται, ἡ δὲ τοῦ προσώπου ποιότης καὶ ἀσθενεστέρας ἔχεται μᾶλλον ἀπολογίας, ἕνεκα τοῦ μὴ καθελεῖν τὸ ἀξίωμα. τοῦτο δέ φημι, τουτέστι τὸ πλεονάζειν τόδε μᾶλλον ἢ τόδε, οὐ διαιρετικῆς ἔργον διδασκαλίας, ἀλλὰ μεθόδου τῆς περὶ τὸν καιρὸν καὶ τὰ ὀνόματα· ᾗ χρήσεται καὶ ὁ τῆς ὅλης ῥητορικῆς ἐπιστήμων· ὑπόλοιπόν ἐστι τὴν ἐργασίαν τῆς συγγνώμης εἰπεῖν· δοκεῖ γὰρ ἀσθενὲς κομιδῇ καθεστάναι τὸ φανερῶς ἠδικηκότας συγγνώμην αἰτεῖν· χρηστέον δὲ πρῶτον μὲν τῇ τοῦ μέλλοντος ἐπαγγελίᾳ, οἷον ὁ τοίνυν ἐγὼ διαφυγὼν αὖθις ὑμῖν χρήσιμος ἔσομαι τοῖς πολίταις· ἔπειτα ἐκ τῶν παραδειγμάτων χρὴ τὸ τοιοῦτο πιστοῦσθαι, ὡς πολλοὶ πολλάκις τὸ πρῶτον δόξαντες ἀδικεῖν ἀγαθοὶ τὰ τελευταῖα πολῖται γεγόνασιν. οἷον Θεμιστοκλῆς πονηρίᾳ τε καὶ ἀκρασίᾳ τὴν ἀρχὴν πάντας ὑπερβαλλόμενος διήνεγκεν ὕστερον ἐπὶ σοφίᾳ τῶν ἁπανταχοῦ γῆς ἀγαθῶν ἀνδρῶν· καὶ ὡς εἰ τὸ πρῶτον ἁμαρτὼν ἀνῃρέθη, οὐκ ἂν ἡ Ἑλλὰς τῆς δι' ἐκείνου ἐλευθερίας ἀπώνατο. τρίτον ἐπὶ τούτοις ἀπὸ τῆς τῶν δικαστῶν φιλανθρωπίας ἐπιχειρήσομεν· ὅτι νέμειν εἰώθασι συγγνώμην τοῖς ἁμαρτάνουσιν πρὸς φιλανθρωπίαν ὁρῶντες· ἐπείτοι οὐδεὶς ἂν ἀθῷος ὑπελείπετο ἕνεκά γε τοῦ μηδὲν ἁμαρτεῖν, εἶτα ἐκ

παραδειγμάτων, εἰ ἔχοιμεν ἐπιδεικνύναι συγγνώμην αὐτοὺς νείμαντας ἑτέροις.

Τί δήποτε [17] τὸν ἐκείνων δεχόμενος λόγον, αὐτὸς εἰσήνεγκεν ἕτερον; ᾔσθετο καὶ τὸν ἐκείνων λόγον τῷ οἰκείῳ σκοπῷ συμφερόμενον· ἰστέον δὲ, ὡς τὸ τῶν βασάνων καὶ τοῦ χειμῶνος οἱ μὲν ἄλλοι συγγνώμῃ, τῷ ψυχικὸν ἐνταῦθα κινεῖσθαι πάθος τὸν φόβον, Μινουκιανὸς τῇ μεταστάσει προσνέμει ταῦτα, ὡς καὶ τῶν ἔξωθεν ὄντα. τοῦτο, φησὶν, ἀσαφῶς εἶπεν, οὐ γὰρ τῷ ὀνόματι διενήνοχε μόνον, ἀλλὰ καὶ τῇ φύσει· ἀλλὰ περὶ τῆς μεταχειρίσεως εἶπε τοῦτο, οὐ πρὸς τὴν φύσιν οὖν ἀφορῶν αὐτοῦ ταῦτά φησιν, ἀλλὰ πρὸς τὴν διαίρεσιν· καὶ γὰρ ἐν μεταστάσει φησὶν ἐμπίπτειν τὸ συγγνωμονικὸν καὶ μεταστατικόν· καὶ αὖ ἐπὶ συγγνώμης ἐφαψάμενοι μόνον ταύτης εὐθέως ἐπὶ τὴν μετάστασιν μεταβαίνομεν· πλὴν ὅτι ἐφ' ἑκατέραις ταῖς στάσεσι τῷ κυριωτέρῳ κεφαλαίῳ χρησόμεθα.

να'. Ἐπειδὴ ἐνδόξου ὄντος προσώπου αἰσχύνην φέρει τὸ συγγνωμονικῶς ἀπολογεῖσθαι, μεταστατικῶς δὲ ἀπαντῶντος, ὅτι οὐκ ἐγὼ αἴτιος, ἀλλ' ἡ τύχη· ἀδόξου δὲ ὄντος μὴ δυναμένου μεταστατικῶς ἀπολογεῖσθαι, ἀναγκαίως δὲ ἐπὶ τὴν συγγνώμην καταφεύγοντος, λέγει ὁ τεχνικὸς, ὅτι ἀμφοτέρων τῶν στάσεων μετάστασις γίνεται. ἀλλ' ἴσμεν τὴν διαφορὰν, ὅτι ἡ μὲν ἐπὶ πάθος ψυχῆς, ἡ δὲ ἐπὶ τῶν ἔξωθέν τι ἀνάγεται· τὸ δὲ τοὺς καιροὺς εἰδέναι ἐπιστήμονος ῥήτορος, καὶ εἰδότος χρῆσθαι τῷ καιρῷ καὶ τῇ ὕλῃ.

---

17 τί δήποτε et sqq. usque ad litt. να' inter Sch. min. habent Parr

Cap. XXIV.

Περὶ πραγματικῆς.

α. Τὴν μὲν τάξιν ἔγνωμεν, ἥτις γέγονε παρὰ τοῦ τεχνογράφου. ὅτι ἐν μὲν τῇ μεθόδῳ τρίτην ἔταξε τὴν πραγματικὴν, τῶν πραγμάτων οὕτως ἀναγκαζόντων τὸν λόγον, ἐν δὲ τῇ διαιρέσει τοῖς κεφαλαίοις ἑπόμενος ἀφῆκεν αὐτὴν καὶ μετὰ [1] τὰς ἀντιθετικὰς τέταχε, καλῶς τὸν περὶ αὐτῆς λόγον ποιούμενος· οὖσα γὰρ τῶν λογικῶν εἰκότως συνῆπται ταῖς λογικαῖς ἐνταῦθα· ἐκεῖ δὲ τρίτην ἔταξε σαφέστερον τὸν λόγον ποιῶν· ἁπλούστερος γὰρ ὁ περὶ ταύτης λόγος ἅτε ἐπιδιαίρεσιν μὴ ἐπιδεχόμενος· ποικιλωτέρα δὲ ἡ δικαιολογία ἐπιδιαίρεσιν ἐπιδεχομένη. οἷα γενικὴ οὖσα καὶ πολυειδὴς τυγχάνουσα· προτέτακται δὲ καὶ τῆς μεταλήψεως, ἐπειδὴ ἐνταῦθα ἡ εὐθυδικία χώραν οὐκ ἔχει, παντάπασι γὰρ τὸν ἀγῶνα παρωθεῖται, ἡ μέντοι πραγματικὴ οὐχ οὕτως ἔχει, ἀλλὰ ταῖς εὐθυδικίαις θαῤῥεῖ, διὸ καὶ εἰκότως προτέτακται ταύτης· πραγματικὴ δὲ ὠνόμασται, οὐχὶ ἀπὸ τοῦ πράγματα παρέχειν τοῖς ἀγωνιζομένοις, τοῦτο γὰρ καὶ αἱ ἄλλαι στάσεις, ἀλλ᾽ ἐπειδὴ καὶ τὰς ἄλλας στάσεις περιέχει ἐν ἑαυτῇ, κατὰ πάσας γὰρ σχεδὸν μελετᾶται· τοῖς γὰρ τελικοῖς διαιρουμένη κεφαλαίοις καθ᾽ ἕκαστον ἐκ τῶν ἄλλων στάσεων ἔχει τὰς εὑρέσεις διαφόρως, πῇ μὲν στοχαστικὰς ὥσπερ ἐπὶ τῷ συμφέροντι· ἀδήλου γὰρ ὄντος τοῦ συμφέροντος σταχαστικῶς τοῦτο κατασκευάζομεν, πῇ δὲ ἀντιθετικὰς, ὥσπερ τὸ δίκαιον, πῇ δὲ νομικὰς, ὥσπερ τὸ νόμιμον· ἄλλως τε καὶ δύο ὄντων εἰδῶν τῶν δεχομένων στάσιν, συμβουλευτικοῦ καὶ δικανικοῦ, τὸ συμβου-

---

1 καὶ μετὰ τὰς ἀντ. τέταχε Par. 1. om. Sch. min. ζήτει περὶ πραγματικῆς ἐν τῷ περὶ εἰσφορᾶς νόμου εἰς τὰ προγυμνάσματα, καὶ εὑρήσεις.

λευτικὸν μόνη ἀπείληφεν ἡ πραγματική, πᾶσαι γὰρ ὅσαι συμβουλευτικαὶ ὑποθέσεις ὑπὸ ταύτην ἀνάγονται· μετέχει δὲ κατὰ πολὺ τοῦ δικανικοῦ· τὸ γὰρ δίκαιον δηλονότι τοῦ δικανικοῦ τυγχάνει· ἔχει δέ τι καὶ τοῦ πανηγυρικοῦ· ταῖς γὰρ κατὰ ἀμφισβήτησιν στάσεσι τὸ πανηγυρικὸν ἐμπίπτει· ἀλλὰ καὶ τῆς ποιότητος τῶν πραγμάτων εἰς τὰ γεγονότα καὶ μέλλοντα διαιρουμένης, μόνη τὴν περὶ τῶν μελλόντων ἀπείληφεν ἐπισκοπεῖν φύσιν· ἔσθ᾽ ὅτε δὲ καὶ τῶν γεγονότων ἐφάπτεται πρὸς κατασκευὴν τῶν μελλόντων· διὰ ταῦτα οὖν πάντων μεγίστην περὶ τὰ πράγματα ἰσχὺν ἔχουσα ἡ πραγματικὴ, ταύτης ἐξαιρέτως ἔτυχε τῆς προσηγορίας.

β΄. Τῆς πραγματικῆς αὐτὸ τὸ ὄνομα παρέχεσθαι ζητοῦσιν· οὐ γὰρ δοκεῖ, καθάπερ αἱ ἄλλαι τῶν στάσεων, προσεχὲς τῆς ἑαυτῆς φύσεως τὸ ὄνομα εἰληφέναι, οἷον ὁ στοχασμὸς, ὅτι στοχαστικὴν καὶ περὶ ἀδήλου πράγματος τὴν ζήτησιν ἔχει· ὁμοίως ἡ ἀντίληψις· ὅτι ἀντιλαμβάνεταί τινος· καὶ ἁπλῶς εἰπεῖν ἐπὶ πασῶν τῶν στάσεων δηλωτικὸν τῆς φύσεως τὸ ὄνομα γίνεται· ἡ δὲ πραγματικὴ εἴπερ ἐκ τῶν πραγμάτων τὸ κοινὸν ἁπάντων ὑφήρπακεν· οὐ γὰρ οἷόντε στάσιν ἄνευ πράγματος καθεστάναι· ὥστε τί μᾶλλον αὕτη καλεῖται πραγματικὴ, καὶ οὐχ ἅπασαι τήνδε προσηγορίαν αἱ στάσεις εἰλήφασι; τινὲς μὲν οὖν αὐτὴν κατ᾽ ἐξοχὴν ἔφασαν ὠνομάσθαι· τὴν αἰτίαν οὐ προσθέντες, ἀλλὰ κατ᾽ ἐξουσίαν ἀποφαινόμενοι· ἕτεροι δὲ, ὅτι ἐργώδης τε καὶ δύσκολος τοῖς ἐροῦσιν ἐγένετο· τὰ γὰρ πράγματα, φησὶν, εἰώθαμεν ἐπὶ τῆς δυσκολίας λαμβάνειν· ἄμεινον οὖν τῶν τοιούτων ἀφεμένους λόγων τὴν ἀκριβεστάτην αἰτίαν ἀποδοῦναι. πραγματικὴ γὰρ ὠνόμασται, καθὸ πάντων κ. τ. λ. Vol. V. p. 335. v. 2—6. ζητητέον δὲ καὶ περὶ τῆς τάξεως, ἀνθ᾽ ὅτου διαφόρως ἐτάγη ἔν τε μεθόδῳ κἀνταῦθα· ἐν μὲν γὰρ τῇ μεθόδῳ πρὸ τῆς δικαιολογίας· ἐνταῦθα δὲ παρεί-

ληπται μετ᾽ ἐκείνην. φασὶ γὰρ ἀναγκαίως ἐν τῇ διαιρέσει μετατετάχθαι τῆς δικαιολογίας τὴν πραγματικήν· ἐπεὶ κοινωνία τις ἦν κατὰ τὰ κεφάλαια πρὸς τὸν ὅρον ταῖς ὑπὸ τὴν δικαιολογίαν στάσεσιν. αὐτίκα ἡ προβολὴ κοινόν ἐστι κεφάλαιον· ἔτι δὲ τὸ ὁρικὸν καὶ τὰ ἑπόμενα τούτῳ· εἰ γάρ, φασὶ, μετὰ τὸν ὅρον ἡ πραγματικὴ καθάπερ ἐν τῇ μεθόδῳ παρελαμβάνετο, διείργετο ἂν τὰ συνημμένα τῇ διαιρέσει τῶν κεφαλαίων, ὥστε ἀναγκαῖον εἶναι περὶ τῶν αὐτῶν αὖθις ἀναλαμβάνοντα τεχνολογεῖν· διά τοι τοῦτο, φασὶ, τῷ ὅρῳ τὰς δικαιολογίας ἐπισυνῆψεν· εἰ δέ τις ἀποροίη, τί δήποτε οὐ καὶ τὰς νομικὰς παρέταξεν ἕνεκά γε τῆς κοινωνίας τῶν κεφαλαίων, τὴν αἰτίαν ἐπ᾽ αὐτῶν γενόμενοι προσθήσομεν· καὶ οὗτος μὲν οὐκ ἄμουσος ἂν εἴη τῆς τάξεως ὁ λόγος· οὐ μὴν ἀλλὰ καὶ ζητήσειεν ἂν [2] τις, εἴπερ τῶν εἰδῶν περιεκτικὴν ἔφαμεν εἶναι τὴν πραγματικὴν, καὶ διὰ τοῦτο καὶ τῶν πραγμάτων ἁπάντων, [3] ἀφ᾽ οὗ καὶ τὴν ἐπωνυμίαν ἔλαβε ταύτην, πῶς οὐ τὴν πρώτην ἢ τὴν ὁποίαν δήποτε τάξιν ἔλαβε πάντως, οἷα δὴ καὶ αὐτῇ παραπλησίως ἁρμόττοντος τόπου· πρὸς ὃ ῥητέον, ὅτι τῶν στάσεων αἱ μὲν λογικαὶ, αἱ δὲ νομικαὶ, αἱ δὲ μικταί· λογικαὶ μὲν ἑπτὰ, νομικαὶ δὲ τέσσαρες· δύο δὲ μικταὶ, πραγματικὴ καὶ μετάληψις· ἀνάγκη δὲ ταῖς λαμβανούσαις τὴν μίξιν ἐφ᾽ ἑκατέρων τῶν ἄκρων καὶ μέσην ἀμφοῖν τάξιν ἐπέχειν· εἰκότως οὖν μεταξὺ τῶν λογικῶν τε καὶ νομικῶν τὴν πραγματικὴν καὶ τὴν μετάληψιν τέταχε· καὶ μὴν καὶ πρὸ τῆς μεταλήψεως ἔδει καθεστάναι τὴν πραγματικήν· ὃν γὰρ τρόπον ἐν τῇ μεθόδῳ μετὰ πάσας ἐτάττετο ἡ μετάληψις, τῆς παραγραφῆς [4] ἕνεκα, τῷ χρῆναι τὰς ἄλλας προϋπεῖναι, καθ᾽ ἃς λαμβάνεται ἡ παραγρα-

2 ἂν Mon. om. 3 ἁπάντων, Mon. om. 4 Par. 1. παραγραφικῆς.

φή, τὸν αὐτὸν κἀνταῦθα μετὰ τὴν πραγματικὴν τετάχθω· μικρὸν γὰρ ὕστερον εἰσόμεθα, ὡς ἡ παραγραφὴ καὶ κατὰ πραγματικὴν ἐλαμβάνετο· ὥστε ἐπεισεφέρετο ἂν ὁ περὶ αὐτῆς λόγος τῇ μεταλήψει· καὶ οὕτως ἅπαντα συνεχεῖτο· αὕτη γοῦν τῆς παραγραφῆς ἀπηκριβωμένη φαίνεται τάξις· εἰ δέ τις λέγοι, ἐχρῆν κἀν τῇ μεθόδῳ ταύτην γενέσθαι τῆς πραγματικῆς τὴν τάξιν, ἴστω, ὡς ἐν μὲν τῇ μεθόδῳ διαίρεσιν ποιούμενος τῶν στάσεων κατὰ τὸ ἁπλούστερον τοῦ περὶ αὐτῆς λόγου προέταξεν αὐτὴν τῶν δικαιολογικῶν· πᾶσα γὰρ διαίρεσις τὰ ἁπλᾶ προτίθησι τῶν πολυσχιδῶν· ἐνταῦθα δὲ οὐκέτι, τοῦ διαιρετικοῦ κατεπείγοντος λόγου, τὴν κατὰ φύσιν αὐτῇ προσήκουσαν ἀπένειμε [5] τάξιν.

γ'. Περὶ τῶν μελλόντων ἡ πραγματικὴ ποιουμένη τὴν ζήτησιν, οὔτε προβολὴν οὔτε διήγησιν ἐπιδέχεται· τοῖς τελικοῖς δὲ κεφαλαίοις διαιρεῖται, ἅπερ εἴρηται τελικὰ, διότι πολλῶν νοημάτων περιεκτική ἐστιν· τελικὰ δὲ κεφάλαια κυρίως μέν ἐστι τρία, εἴγε καὶ τρία τῆς ῥητορικῆς εἴδη· ὧν τοῦ μὲν δικανικοῦ τέλος τὸ δίκαιον, κ. τ. λ. Vol. V. p. 335. v. 27 — p. 336. v. 4. Προτέτακται δὲ τὸ νόμιμον καὶ τὸ δίκαιον. διὰ ταῦτα εἰς δύο χρόνους τῶν πολιτικῶν διῃρημένων ζητημάτων εἴς τε τὸν παρεληλυθότα καὶ τὸν μέλλοντα, καὶ τῆς πραγματικῆς φύσει μὲν εἰς τὸ μέλλον ἐχούσης τὸν σκοπὸν, οὐ μὴν οὐδὲ τοῦ παρελθόντος ἐκτὸς οὔσης, εἰκότως προτέτακται τὰ κεφάλαια ταῦτα τῶν λοιπῶν· ἐπεὶ τὰ μὲν ἄλλα περὶ τὸν μέλλοντα ὁρᾶται, τὸ δὲ νόμιμον καὶ τὸ δίκαιον τοῦ παρελθόντος εἰσίν· οἱ γὰρ νόμοι ἔφθασαν τεθεῖσθαι, καὶ τὸ δίκαιον ἐκ τῶν φθασασῶν ἐννοιῶν λαμβάνεται καὶ [6] δοκιμάζεται· τὸ παρεληλυθὸς οὖν τῷ χρόνῳ πρό-

5 Par. 1. προσένειμε. omisso προσήκουσαν. 6 λαμβάνεται καὶ Mon. om.

τερον τοῦ μέλλοντος· ἄλλως τε τῶν κεφαλαίων τῶν μὲν τοῦ προσώπου τῶν δὲ τοῦ πράγματος ὄντων, ἐν στοχασμῷ μὲν τὰ τοῦ προσώπου προτάττει κεφάλαια, περὶ ὑπάρξεως γὰρ ἡ ζήτησις, ἐνταῦθα δὲ περὶ τῆς τοῦ πράγματος ποιότητος τῆς ζητήσεως οὔσης, τὰ τῷ πράγματι οἰκεῖα προτέτακται· κεφάλαιον δὲ τοῦ πράγματος τὸ νόμιμον καὶ τὸ δίκαιον· αὐτοῦ τοῦ δικαίου τὸ νόμιμον προτέτακται, κ. τ. λ. Vol. V. p. 336. v. 8—12. αἱ γὰρ ἔνδοξοι ἔντεχνοι πίστεις οὐ πανταχοῦ αἱ αὐταί· αὐτίκα γοῦν καὶ τὸ ἐσθίειν τοὺς γονεῖς τισιν ἀγαθόν ἐστιν, ἑτέροις δὲ τὸ κάειν, Ἀθηναίοις δὲ καὶ τὸ μὴ τρέφειν ἢ χειραγωγῆσαι ἔγκλημα ἐδόκει· μετὰ δὲ ταῦτα τὰ περὶ τὰ μέλλοντα τέτακται κεφάλαια· καὶ πρὸ τοῦ δυνατοῦ τὸ συμφέρον· πρῶτον γὰρ σκοποῦμεν εἰ συμφέρει, εἶθ' οὕτως εἰ δυνατὸν γενέσθαι· φύσει οὖν τὸ συμφέρον πρῶτον, καὶ ἐμπεριείληφεν ἑαυτῷ τὸ δυνατόν· ἀνάγκη γὰρ τῷ συμφέροντι τὸ δυνατὸν περιέχεσθαι, οὐ μὴν τῷ δυνατῷ τὸ συμφέρον· οὐ γὰρ εἰ δυνατὸν ἀποκτεῖναί τινα ἢ ἱεροσυλῆσαι, ἀφυλάκτων τῶν ἱερῶν ὄντων, ἤδη καὶ συμφέρον· εἰ δὲ λέγοι τις, ὡς ἄχρηστον τὸ συμφέρον ἀπόντος τοῦ δυνατοῦ, ἐροῦμεν, ὅτι κἂν ἀπῇ τὸ δυνατὸν, ἀεὶ τὸ συμφέρον ἐξετάζεται· δεῖ γὰρ βούλεσθαι τὰ χρηστὰ ἑαυτοῖς, καὶ εἰ μὴ δυνάμεθα, τὸ ἔνδοξον μετὰ τοῦτο καὶ τὸ ἐκβησόμενον, καὶ ὥσπερ ὑπὸ τὸ συμφέρον τὸ δυνατὸν, οὕτως ὑπὸ τὸ ἔνδοξον τὸ ἐκβησόμενον· ἡ γὰρ τοῦ συμφέροντος ἔννοια τὴν δόξαν ἔχει· τὰ ζητήματα βούλεται ἀκόλουθον ἔχειν τοῖς προτεινομένοις προσώποις [7] τὸν

7 Mon. τοῖς προτεινομένοις omisso προσώποις. Par. 1. τοῖς ὑπομένοις προσ. Fortasse: ὑποκειμένοις. Sch. min. ἐμάθομεν, ὅτι διττὴ τῆς πραγματικῆς ἡ φύσις· ἡ μὲν γάρ ἐστιν ἔγγραφος, ἡ δὲ ἄγραφος· καὶ περὶ τῆς ἐγγράφου τέως ἀναβάλλεται, εἰ ταῖς νομικαῖς γάρ, φησὶ, ταύτης γνωσόμεθα δύναμιν· ἔστι γὰρ ἔγγραφος, ὅτε περί τινος ἐγγράφου ἡ ζήτησις γίνεται, λεγόντων ἡμῶν, ἢ ὅτι

σκοπόν· προτείνεται δὲ ὡς ἐπὶ τὸ πολὺ ἐν τοῖς ζητήμασι τῶν ἀρχαίων πρόσωπα· οἷον τὸ Δημοσθένους, ἢ Περικλέους, ἢ Λακεδαιμονίων ἢ Ἀθηναίων· οἷς ἐπιμελὲς τὸ δόξης μᾶλλον ἢ τῶν ἄλλων φροντίζειν· ὡς δῆλον ἀπὸ τῶν ἐν Πύλῳ τριακοσίων, οἳ διὰ δόξαν τοῦ ἐκβησομένου κατεφρόνησαν· ἐξὸν γὰρ ἀλόγως σώζεσθαι εἵλοντο μᾶλλον τὸν μετὰ δόξης ἐκβάντα θάνατον· εἰκότως οὖν τὸ ἔνδοξον τοῦ ἐκβησομένου προτέτακται· καὶ ἡ μὲν τάξις τῶν κεφαλαίων αὕτη· τὴν δὲ πραγματικήν τινες οὕτως διεῖλον, εἰς νόμιμον, συμφέρον, δυνατόν· τῷ μὲν νομίμῳ τὸ σαφὲς προστιθέντες, τῷ δὲ συμφέροντι τὸ ἀναγκαῖον· τῷ δυνατῷ δὲ τὸ ῥᾴδιον· ἀλλ' Ἑρμογένης ἐντέχνως τοῖς κειμένοις διελὼν ταύτην, ἐκείνην παρελογίσατο τὴν διαίρεσιν· ἰστέον δ' ὅτι οὗτος μὲν τὸ ἀναγκαῖον κεφάλαιον ἐννοεῖ· Δημοσθένης δὲ καὶ ἄλλοις μεμελέτηται.

δ'. Τίς ἡ ἔγγραφος καὶ τίς ἡ ἄγραφος, διδάσκει ἐνταῦθα ὁ τεχνικός· ὅτι ἔγγραφος μὲν κ. τ. λ. Vol. V. p. 336. v. 27. — p. 337. v. 11.

ε'. Συχνοὶ περὶ διαφορᾶς ἐγγράφου τε καὶ ἀγράφου πραγματικῆς κεκίνηνται λόγοι· ὥστε καί τις τῶν ὑπομνηματισάντων οὐ φαῦλον εἶναι ἔφη εἰπεῖν τοσαύτας ἀποδεδόσθαι διαφοράς· ὅσοι δὲ καὶ τεχνογράφοι γεγόνασιν, οἱ μὲν γὰρ κατὰ τὸ δημόσιον καὶ ἰδιωτικὸν διαστέλλεσθαι αὐτὰς ᾠήθησαν δεῖν· ἡ μὲν γὰρ ἔγγραφος περὶ δημοσίων ἐστὶν, ἡ δὲ ἄγραφος, φασὶν, περὶ ἰδιωτικῶν· ἀλλ' ἐξελέγχονται αὐτόθι ἐκ τῶν Δημοσθένους Φιλιππικῶν, οἵ γε καὶ περὶ δημοσίων πραγμάτων εἰσὶ

καὶ

κατὰ νόμους εἰσήχθη τόδε τὸ ψήφισμα, ἢ παρὰ τοὺς νόμους· καὶ ἐπειδὴ τὸ κεφάλαιον τοῦτο νόμιμόν ἐστι καὶ μιᾷ τῶν νομικῶν ὑποπίπτει στάσεων, οὐκ ἐνεδέχετο ἡμᾶς τὴν τούτου δύναμιν γνῶναι, μὴ πρότερον μαθόντας τὰς νομικὰς στάσεις ἐκεῖσε ἡμᾶς παραπέμπειν ἐπαγγέλλεται τὴν τούτου δόξαν, διαίρεσιν διδάξαι.

καὶ ἀγράφου πραγματικῆς, καίτοι οὐδ᾽ εἴπερ ἀληθὲς ἦν τοῦτο, ἐν διαφορᾶς ἂν αὐτὸ ἐδεχόμεθα μοίρᾳ· οὐ γάρ τοῦτό ἐστι παραστῆσαι τὴν φύσιν τοῦ ἀγράφου τε καὶ ἐγγράφου, ἀλλ᾽ εἰπεῖν, ἐν τίσιν αὐτῶν ἑκάτερον εὑρίσκεται· ἕτεροι δὲ κατὰ χρόνον τὴν ἔγγραφον ἐκ τῆς ἀγράφου ἐχώρισαν· ἂν μὲν γάρ, φασί, καινὸς ἐξετάζηται νόμος, ἐγγράφου γίνεται πραγματικῆς ὁ λόγος· οἷον ὁ πρὸς Λεπτίνην· εἰ δὲ τῶν πάλαι κειμένων, τὴν ἄγραφον δηλαδὴ ποιήσει, οἷον νόμος, οὐ βοηθεῖν τοῖς οὐ προβεβοηθηκόσιν, Ὀλύνθιοι βοήθειαν αἰτοῦσι καὶ Ἀθηναῖοι βουλεύονται· ἐνταῦθα γάρ, φησίν, ἄγραφος ἔσται πραγματικὴ τῷ πάλαι κεῖσθαι τὸν νόμον, ἀλλ᾽ οὐκ ἐξ ὑπογυίου πρός τινων εἰσενηνέχθαι· τῶν δεινοτάτων μέντ᾽ ἂν εἴη καθέκαστον τοὺς τοιούτους παρατίθεσθαι λήρους· τοῦτο τοιγαροῦν εὐθέως εὔηθες λίαν· πρῶτον μὲν γὰρ οὐ χρόνῳ τὴν διαφορὰν ἐχρῆν, ἀλλ᾽ ἢ φύσει διδόναι· ἔπειτα καὶ τοὐναντίον εὑρίσκεται, πολλάκις γὰρ καὶ παλαιοῦ ὑποκειμένου ῥητοῦ ἔγγραφον γίνεται, ὡς ὁ κατὰ Κτησιφῶντος Αἰσχίνου καὶ Δημοσθένους περὶ τοῦ στεφάνου· καὶ αὖ πάλιν καινοῦ ὑπόντος ἀγράφου γίνεται πραγματικῆς ὁ λόγος, ὡς ὁ περὶ Ἁλοννήσου [8] ἐν Φιλιππικοῖς, τῆς ἐπιστολῆς ἐνυποκειμένης· τινὲς δὲ καθολικώτερον ἀπεφήναντο, ὡς ὅπου μὲν ἂν εἴη ῥητόν, ἐκεῖ πάντως ἔγγραφος πραγματική· ὅπου δὲ μὴ τοῦτο, ἀλλὰ ψιλὸν πρᾶγμα, τὸ τοιοῦτον ὑπὸ τὴν ἄγραφον λέγεται· ὁ δὲ λόγος οὐχ ὑγιής· ἐνδέχεται γὰρ καὶ ῥητοῦ ὑποκειμένου ἄγραφον εἶναι πραγματικήν, ὅταν μὴ περὶ αὐτοῦ ἡ ἐξέτασις γίνηται· ἀναγκαῖον τοίνυν ἐπ᾽ αὐτὴν ἐλθεῖν τὴν σαφεστάτην διαφοράν· ὅταν μὲν γὰρ ἀπὸ ῥητοῦ καὶ περὶ ῥητὸν ἡ ζήτησις καταγίνηται, τηνικαῦτα ἔγγραφός ἐστιν ἡ πραγματική, ἐπειδὰν δὲ ἄρχηται μὲν ἀπὸ ῥητοῦ τινος, περὶ πράγματος δὲ τὴν ζήτησιν

8 Par. 1. Ἁλονήσου.

ποιῆται, τότε ἄγραφός ἐστιν, οὕτω γὰρ καὶ τὸν περὶ Ἀλοννήσου φαμὲν ἄγραφον εἶναι, ὅτι μὴ περὶ ῥητὸν ἡ ζήτησις ἕστηκεν.

ς. Δοκεῖ πως ὁ τεχνικὸς αὐτὴν ἀναιρεῖν τὴν ἀκριβεστάτην διαφορὰν τῆς ἐγγράφου πρὸς τὴν ἄγραφον, καὶ ἣν μόνην ὡς ἀληθῆ παρεδεχόμεθα· τηνικαῦτα γὰρ ἔγγραφον ἐφάσκομεν γίνεσθαι, ἡνίκα ἀπὸ ῥητοῦ καὶ περὶ ῥητὸν ἡ ζήτησις ᾖ, τοῦτο δὲ αὐτὸς οὐ προσέθηκε, τουτέστι τὸ περὶ ῥητὸν γίνεσθαι τὴν ζήτησιν, ἀλλ᾽ ἔγγραφός ἐστιν ἀπὸ ῥητοῦ τὴν ζήτησιν ἔχουσα, φησίν· ῥητέον δὲ, ὡς οὐχ ἁπλῶς εἶπεν ἀπὸ ῥητοῦ, ἀλλὰ προσέθηκε τὸ ζήτημα ἔχουσα, τουτέστιν αὐτὸ τὸ στασιαζόμενον καὶ ζητούμενον, ὅταν τὸ στασιαζόμενον ῥητὸν ᾖ· τότε γὰρ δήπουθεν καὶ περὶ ῥητὸν ἡ ζήτησις ἕστηκεν· ὥστε ἔγγραφος μέν ἐστιν ἡ ἀπὸ ῥητοῦ τὴν ζήτησιν ἔχουσα, ἄγραφος δὲ ἡ μόνον ἀρχομένην ἢ καὶ μηδόλως ἔχουσα ῥητόν.

ζ. Τοῦτό φασί τινες ἀπίθανον εἶναι· οὐ γάρ ἐστι θειοτέρων φύσει προσηγοριῶν ἀνθρώπους ἐφίεσθαι· ἀλλ᾽ ἀντεροῦμεν, ὡς τὸ παράδειγμα ἦν ἐκ Περικλέους, ὃς Ὀλύμπιος ὀνομάζεται· εἰ δὲ λέγοιμεν, ἀλλ᾽ οὐ Περικλῆς ᾔτησε τῆςδε τυχεῖν τῆς προσηγορίας, τὸ τῆς αἰτήσεως ἄτοπον τῇ Κλέωνος ἀνατίθεσθαι ποιότητι· κεκωμῴδηται γὰρ ἐπ᾽ ἀλαζονείᾳ· καὶ μαρτυρεῖ τοῖς κωμικοῖς ὁ Θουκυδίδης, δι᾽ ὧν ἐν τῇ τετάρτῃ φησίν· „τοῖς δὲ Ἀθηναίοις ἐνέπεσε [9] μέν τι καὶ γέλωτος τῇ [10] κουφολογίᾳ αὐτοῦ.“

η. Ἐζήτηται δι᾽ ἣν αἰτίαν ἐπὶ μὲν τῶν ἄλλων στάσεων μετὰ τὴν τῶν κεφαλαίων διδασκαλίαν παραλαμβάνεται τὰ εἴδη· ἐνταῦθα δὲ πρίν τι διαλεχθῆναι περὶ τῶν κεφαλαίων ἐμνήσθη τῶν εἰδῶν, ἔγγραφον εἰπὼν καὶ ἄγραφον. Τινὲς μὲν οὖν ἔφασαν, ὡς διάφορος ἡ τῶν κεφαλαίων γίνεται διαίρεσις, κατὰ τὴν ἔγγραφόν τε καὶ

9 Mon. ἐνέπεισε. — Thuc. IV. 28. 10 Par. 1. τοῦ.

ἄγραφον πραγματικὴν, ἔνθεν τὰ εἴδη προέταξεν, ἵνα τὴν ἑκατέρῳ προσήκουσαν ἀποδοίη τῶν κεφαλαίων διαίρεσιν· ἀλλ᾽ ἀντίκειται αὐτοῖς τὸ καὶ ἐπὶ τῶν ἄλλων στάσεων διαφόρως τὰ εἴδη διαιρεῖσθαι· ἄμεινον ἄρα τὸ ἀπορούμενον ἐκείνως ἀπολύεσθαι· ὡς ἐπὶ μὲν τῶν ἄλλων στάσεων κ.τ.λ. Vol. V. p. 337. v. 14.—p. 346. v. 4. Ἔτι προστιθέασι καὶ ἕτερα εἴδη, ἃ γίνεται ἐκ τῆς τῶν ἄλλων στάσεων συμπλοκῆς, οἷον πραγματικὴν κατὰ ἀντινομίαν, καὶ πραγματικὴν κατὰ ῥητὸν καὶ διάνοιαν· ταῦτα δὲ μὴ οὕτω μανείην ὥστε καὶ παραδέξασθαι· οὐ γὰρ ἐκ τῆς τῶν [11] ἄλλων στάσεων ἐπιπλοκῆς [12] διάφορα εἴδη γενήσεται· ἐπεί τί ἐστι τὸ κωλύον, οὕτω καὶ στοχασμοῦ μυρία παραλαβεῖν εἴδη καὶ ἑτέρων στάσεων, ὥστε καὶ ἐπ᾽ ἄπειρον ἐξενεχθῆναι ἡμῖν τὸν λόγον· τοσαῦτα μὲν οὖν προστεθείκασίν τινες· ἀναγκαῖον δὲ ἔτι καὶ περὶ τῶν ἐκβαλλόντων διαλαβεῖν· τὰ γὰρ εἴδη, φασὶν, ἢ ἐκ διαφόρου γνωρίζεται ὕλης ἢ ἐκ διαφόρου διαιρέσεως· ἐφ᾽ ὧν δὲ μία τις ὕλη καὶ διαίρεσις ὑπόκειται, οὐκ ἂν, φασὶ, διάφορα παραλάβοιμεν εἴδη· ὥστε οὐχ ἕτερον εἶδος τὸ κατὰ νόμον καὶ ἄλλο τὸ κατὰ ψήφισμα ἢ κατὰ κήρυγμα, ἢ συνθήκην ἢ διαθήκην· ἀλλὰ πάντα, φασὶ, ταῦτα ἑνὸς εἴδους ὑποληπτέον· καὶ γὰρ τῆς αὐτῆς ὄντα φαίνεται ὕλης· καθὸ πάντα ὁμοίως ὑπὸ ῥητοῦ τὴν ἀρχὴν εἴληφε, καὶ ὅτι μίαν ἔχει διαίρεσιν· τί χρὴ καὶ λέγειν; εἰ γὰρ ὁ τεχνικὸς διαφόρως αὐτὰ ἠπίστατο διαιρούμενα, ἐξ ἀνάγκης ἂν καὶ ταῦτα παρέλαβεν, ὥσπερ τὸ ἔγγραφόν τε καὶ ἄγραφον· οὕτως ἐκβάλλειν τινὲς πολλὰ τῶν εἰρημένων εἰδῶν ἐπεχείρησαν, καὶ ἔγωγε οὐκ ἐνστήσομαι τῷ λόγῳ· ἀλλ᾽ οὐδὲ μὴν πάντα συγκατατίθεμαι· πρὸς μὲν γὰρ τὸ τεχνικώτερον σκοποῦντι, οἷον τὸ ἀπὸ ῥητοῦ ἄρχεσθαι τὰ εἰρημένα ὁμοίως οὐκ ἂν φαίνοιτο διάφορα εἴδη· πρὸς δὲ

11 οὐ γὰρ ἐκ τῆς τῶν ἄλλ. — — — γενήσεται Par. 1. om.
12 Mon. ἐπιπλῆς.

τὸ ἰδικώτερον ἀποβλέψαντι πάλιν, φημὶ δὲ τὸ ἐνταῦθα μὲν νόμον, ἐκεῖ δὲ ὑποκεῖσθαι ψήφισμα, τάχα ἂν καὶ ταῦτα ὡς εἴδη λαμβάνοιτο. Περὶ μὲν οὖν τῶν εἰδῶν τῆς πραγματικῆς ἐντελῶς οἴομαι δεδηλῶσθαι· μεταβήσομαι δὲ ἐπὶ τὰ κεφάλαια, τοσοῦτον ὑπειπών, ὡς εἴ τις ἀποροίη, τί δήποτε ὁ τεχνικὸς οὐκ ἐμνήσθη τῶν ὑποκειμένων εἰδῶν, μανθανέτω τὴν πραγματείαν αὐτῶν καθεστηκυῖαν περὶ τῆς τῶν κεφαλαίων διαιρέσεως, ταῦτα δὲ οὐδεμίαν ἔχοντα διαφορὰν περὶ τὴν διαίρεσιν εἰκότως αὐτῷ παραλελεῖφθαι.

θ΄. Ὥσπερ ἐπὶ πάσης εἴωθε ποιεῖν στάσεως, οὕτω κἀνταῦθα ἀπαριθμησάμενος κεφάλαια ἐπὶ τὴν ἑκάστου τεχνολογίαν ἔρχεται· καὶ ἰστέον μέν, ὡς τὰ παρὰ πᾶσιν ὁμολογούμενα τῶν κεφαλαίων παρέθετο· τοῦτο δὲ ἔφην, ἐπεί τινες καὶ ἕτερα κεφάλαια τῆς πραγματικῆς παρειλήφασιν, ὧν τοὺς μὲν ἀσημοτέρους παραπέμψομαι ἐπιχειρήματά τινα λίαν εὐήθως εἰς τὴν κεφαλαίων παραλαβόντας τάξιν, Πορφυρίου δὲ ποιήσομαι μνήμην, ὃς ἐν τοῖς κεφαλαίοις τῆς πραγματικῆς τήν τε πηλικότητα καὶ τὸ πρός τι ἀπηριθμήσατο· καὶ οὐκ οἶδ᾽ ὅπως ἂν ἀποδεξαίμην τὸν ἄνδρα· οὐ γάρ μοι δοκεῖ εὐλόγως ταῦτα προστεθεικέναι βραχεῖαν ἐνταυθοῖ δύναμιν ἔχοντα· λεκτέον δὲ καὶ καθολικώτερόν πως περὶ τῆς τάξεως τῶν κεφαλαίων· αὖθις γὰρ ἐφ᾽ ἑκάστου γενόμενοι ἀκριβέστερον ἐροῦμεν. Τῶν κεφαλαίων τοίνυν πῇ μὲν περὶ τὸ πρᾶγμα, πῇ δὲ καθεστώτων περὶ τὸ πρόσωπον τοῖς περὶ τὸ πρᾶγμα τὴν προτέραν ἀπένειμε τάξιν· ἀλλ᾽ ἐρεῖ τις χρῆναι τὰ περὶ τὸ πρόσωπον προτετάχθαι, εἴγε δεῖ τὸ πρᾶττον προϋπεῖναι τοῦ πραττομένου, καὶ εἴπερ ἐν στοχασμῷ ἡ βούλησις καὶ ἡ δύναμις πρὸ τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ἐτάγησαν· ὑποληψόμεθα δὲ πρὸς τοῦτο, ὡς ἔνθα μὲν περὶ ὑπάρξεως ἡ ζήτησις ᾖ, βούλεται πρῶτον τὸ πρόσωπον ἀποδείκνυσθαι, φυλαττομένης τῆς κατὰ

τὴν ὕπαρξιν τάξεως, φημὶ δὴ τοῦ προϋπεῖναι τοῦ πραττομένου τὸ πρᾶττον· ἔνθα δὲ περὶ ποιότητος, προηγεῖται τοῦ προσώπου τὸ πρᾶγμα, οἷα δὴ κυριώτερόν τε καὶ προσφυέστερον τῇ ζητήσει· τούτου δὲ οὕτως ἀποδειχθέντος τὸ νόμιμον τέτακται καὶ τὸ δίκαιον πρὸ τοῦ συμφέροντος καὶ τοῦ δυνατοῦ· τὸ μὲν γὰρ περὶ τὸ πρᾶγμά ἐστι, τὸ δὲ συμφέρον καὶ τὰ ἑξῆς περὶ τὸ πρόσωπον, ὅτι γὰρ συμφέρει τῷ χρωμένῳ προσώπῳ, δείκνυμεν καὶ ἐπὶ τοῦ ἐνδόξου, ὅτι εὔκλειαν προστίθησιν ἢ διασώζει τὴν οὖσαν· αὐτοῦ δὲ τοῦ δικαίου ἡγεῖται τὸ νόμιμον, καθὸ τὸ μὲν νόμιμον πάντως δίκαιον· οὐδὲν γὰρ ἕτερον τὸ νόμιμον, ἢ ἔγγραφόν ἐστι δίκαιον· τὸ δὲ δίκαιον οὐ πάντως καὶ νόμιμον· καὶ αὕτη μὲν ἡ καθολικωτέρα τάξις· προϊὼν δὲ καθ' ἕκαστον ὥσπερ ὑπεσχόμην ἀκριβέστερον περὶ αὐτῶν διαλέξομαι· εἰ δέ τις ἐπιζητοίη, διὰ τίνα τρόπον ἐν τῇ τῶν κεφαλαίων ἀπαριθμήσει τὸ ἔθος παρῆκεν, ὅπερ ἐν τῇ ἀγράφῳ τὴν πρώτην ἔχει τάξιν, οὐ γὰρ δὴ τὸ νόμιμον ἡ ἄγραφος παραλήψεται, μανθανέτω ὡς οὐ προηγούμενόν ἐστι κεφάλαιον τὸ ἀπὸ τοῦ ἔθους, ἀλλ' ἑτέραν τάξιν ἀναπληροῖ· ἐπεὶ γὰρ τὸ νόμιμον οὐχ ἁρμόττει ἐπὶ τῆς ἀγράφου, εἰς τὴν ἐκείνου χρείαν τὸ ἔθος ἐπεισελήλυθεν, ὡς αὐτὸς ἔφη ὁ τεχνικός· τρία γὰρ ἀεὶ ταῦτα τοῖς πράγμασι φαίνεται κ. τ. λ.[13]

ιβ'. Τὸ ἔθος ἔχει μὲν τὴν ἐξεργασίαν καὶ αὐτὸ, ἥνπερ τὸ νόμιμον ἐκ τῶν εἰρημένων τεττάρων τρόπων, ἐκ τῆς πολιτείας, ἐκ τοῦ προσώπου, ἐκ τοῦ πράγματος, ἐκ τοῦ καιροῦ· πλατύνεται δὲ καὶ τοὐναντίον ἀναιρεῖται ἐκ τῶν καθολικωτέρων· πλατύνεται μὲν, ἐπειδὰν εἰς τὸ καθόλου ἀναδραμόντες φῶμεν, οὐχ ἡμᾶς μόνους τῷδε κεχρῆσθαι τῷ ἔθει, ἀλλὰ καὶ ἅπασαν, εἰ τύχοι, τὴν Ἑλ-

13 Litt. ϑ'. ad finem et litt. ι. lege Vol. V. p. 347. v. 1. — p. 348. v. 8. Litt. ια. Vol. IV. p. 729. v. 27. — 731. v. 9. Variam lectionem nostri codicis in Addendis Vol. V. invenies.

λάδα· τοῦτο μὲν Θετταλοὺς καὶ Θηβαίους, τοῦτο δὲ Πελοποννησίους, καὶ ἔτι εἰ μὴ νεώτερον, ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις ἥρωσιν ἐκράτει· ἐπὶ Θησέως τυχὸν καὶ Ἡρακλέους καὶ ἐκ τοῦ ἐναντίου, ὅταν ἐκβάλλωμέν τι ὡς παρὰ τὸ ἔθος εἰσφερόμενον· ὅτι οὐ μόνον ἡμῖν ἄηθες τοῦτο, ἀλλὰ καὶ βαρβάροις εἰς τὰ ἔσχατα πολιτευομένοις· ὡς ἐπὶ τοῦ Κλέωνος τοῦ ἀξιοῦντος Πυθίου καλεῖσθαι· οὕτω μὲν οὖν πλατύνεται· ἀναιρεῖται δὲ, ὅταν εἰς ἀρχὴν ἀνάγωμεν τὸ ἔθος, καθολικώτερον χρώμενοι τῷ λόγῳ· οἷον ὅτι πᾶν ἔθος ἀνάγκη ἀρχήν τινα εἰληφέναι· σκοπῶ μὲν τοίνυν εἰ τὴν ἀρχὴν καλῶς παρεισέδυ· μὴ γὰρ εἰ τὴν ἀρχὴν φαύλως εἰληφὸς σύνηθες ἐγένετο τοῖς πολλοῖς· διὰ τοῦτο ἀξιῶ ἐμμένειν αὐτό· ἐπειδὴ γὰρ ταῖς πάντων γνώμαις ἐναντιοῦται οὐκ ἰσχυρὸν, ἐπὶ τοὺς κατάρξαντας τοῦ ἔθους μεταφέρειν προσήκει τὴν μέμψιν· ἐπισκοπεῖν δὲ μάλιστα χρεὼν ἐπὶ τοῦδε τοῦ κεφαλαίου τὴν τῶν προσώπων ποιότητα· ἐνδόξου μὲν γὰρ ὄντος τοῦ προσώπου, κατὰ παράλειψιν ἀλλ' οὐ προηγουμένως χρηστέον αὐτῷ· βλάπτει γὰρ ἂν μᾶλλον τηνικαῦτα καθαιρετικὸν τοῦ ἀξιώματος ὄν· οὐ γὰρ προσήκει Περικλέα γε ὄντα εἰς τὸ τῶν πολλῶν ἔθος ἀποβλέπειν· ἐπὶ δὲ τῶν ἀδοξοτέρων προσώπων πολλὴν ἔχει τὴν εὐκαιρίαν.

ιγ΄. Τὸ νόμιμον, φησὶ, καὶ τὸ ἔθος λύεται ἐνστάσει καὶ ἀντιπαραστάσει, πρῶτον μὲν ὅτι οὐ παράνομον ἢ καινὸν, ἔπειτα ὡς εἰ καὶ νεώτερόν ἐστι, τὸν τῆς αἰτήσεως καιρὸν ἔχει, κοινῶν ὄντων καὶ τῶν πεπραγμένων· πότερον δὲ, φησὶ, προτέρῳ χρηστέον, ὁ καιρὸς διδάξει, ὡς εἴρηται ἐν τῷ στοχασμῷ· τοῦτο γὰρ κἀκεῖσε προσέθηκεν· ὅτι ὡς ἂν ὑφηγῆται ὁ καιρὸς, οὕτω ταχθήσεται· ἡμεῖς δὲ καὶ αὐτὸν διωρισάμεθα τὸν καιρόν· πάρεστι δὲ τοῖς ἐπὶ τοῦ στοχασμοῦ εἰρημένοις ἡμῖν ἐντυχοῦσιν εἰδέναι.

Ἐπὶ Κλέωνος [14] *τοῦ ἀξιοῦντος καλεῖσθαι Πυθίου*

---

14 Inter sch. min. est in Parr.

μετὰ τὰ ἐν Πύλῳ λύεται τὸ ἔθος τοιῶσδε· πρὸς γὰρ τὴν ἀντίθεσιν, τὴν ὅτι καινὰ αἰτεῖς, ἀπαντήσει ὁ Κλέων λέγων, ἀλλ' οὐδὲ πρὸς τὸν βίον ἅπαντα [15] ἐξ ἀρχῆς παρῆλθεν, οὐδὲ τέλεια ἐξ ἀρχῆς ἀνεφάνη, ἀλλὰ μὴ πρότερον ὄντα κατὰ μέρος ἤρξαντο γίνεσθαι· οὕτω καὶ τέχναι ηὐξήθησαν, καὶ τὰ πράγματα εἴληφε τὰς ἐπιδόσεις· ἕκαστα δὲ τούτων κατὰ ἔνστασιν καὶ ἀντιπαράστασιν εἰσάξομεν· ἐνστάσεως δὲ ἴδιον τὸ ἐξ ἐναντίας ἵστασθαι πρὸς τὰ λεγόμενα καὶ ψευδῆ δεικνύναι, ἀντιπαραστάσεως δὲ τὸ συντρέχειν μὲν τοῖς ὑπὸ τοῦ ἀντιδίκου λεγομένοις, ἐκ δὲ τοῦ ἀκολούθου παρατρέπειν εἰς τὸ ἐναντίον.

ιδ΄. Ὅτι μετὰ τὸ νόμιμον ἔταξεν εἰκότως τὸ δίκαιον, δέδεικται μὲν καὶ ἀνωτέρω, κἀνταῦθα δὲ οὐ χεῖρον εἰπεῖν, καὶ μή τις οἰέσθω τετάχθαι τὸ ἔθος μετὰ τὸ νόμιμον· τὸ γὰρ ἔθος οὐ τῶν προηγουμένων ἐστὶν, ἀλλὰ τῶν ἀνθ' ἑτέρου παραλαμβανομένων· τὴν γὰρ τοῦ νομίμου χρείαν ἐν τῇ ἀγράφῳ ὑπεισέρχεται, τὸ τοίνυν δίκαιον τῶν μὲν ἄλλων ἡγεῖται· καθὸ τὸ μὲν ἐφεξῆς περὶ τὸ πρόσωπόν ἐστιν· τὸ δὲ νόμιμον καὶ τὸ δίκαιον περὶ τὰ πρᾶγμα· ἐπὶ δὲ τῆς ποιότητος προτερεύει, ὡς ἔφαμεν, τὰ ἐκ τοῦ πράγματος· τοῦ δὲ νομίμου μετατέτακται οὐκ ἄνευ λόγου· πρῶτον μὲν γὰρ οὐκ εἴ τι δίκαιον, τοῦτο καὶ νόμιμον, εἴ τι δὲ νόμιμον, πάντως δίκαιον· ἔπειτα ὡσπερεὶ κατασκευαστικὸν γίνεται τοῦ νομίμου τὸ δίκαιον ἐκ τῆς τοιᾶσδε τάξεως καὶ εἰσφέρει οὐ σμικρόν τι τῷ χρωμένῳ· τῶν γὰρ εἰσφερομένων ὑπὸ τοῦ ῥήτορος τὰ μέν ἐστι κατὰ δόξαν, τὰ δὲ κατὰ διδασκαλίαν· κατὰ διδασκαλίαν μὲν, ὅταν λογισμοὺς ἀποδιδῶμεν, περὶ ὧν ἂν λέγωμεν, κατὰ δόξαν δὲ, ὅταν εἰς νόμον ἤ τι τοιοῦτον ὑπερειδώμεθα· ἅπερ οὐ πάντως ἔχει τόδε, ἀλλ' εἰκὸς αὐτά ποτε καὶ [16] ἐπταῖσθαι· φέρεται δὲ οὖν δυνάμει καθάπερ τις ἀντίθεσις ἐκ τοῦ δικαστικοῦ

---

15 Par 1. πάντα παρῆλθεν ἐξ ἀρχῆς. — v. 18. Mon. ἀλλήλων. scr. ἄλλων. 16 καὶ Mon. om.

ὡς εἰ καὶ [17] ἔννομον τὸ πρᾶγμα, οὐκ ἂν εἴη πάντως δίκαιον· τί γὰρ εἰ καὶ κακῶς ἔδοξε τῷ θεμένῳ τὸν νόμον, εἶτα παρελθὸν ἀκολούθως τὸ δίκαιον ἐκκαθαίρει τὸ ἐφορμοῦν καὶ τὸν λόγον ἐπισφραγίζεται· λαμβάνεται δὲ, φησὶ, τὸ δίκαιον κατὰ μίαν τῶν δικαιολογικῶν, καὶ κατ' ἐκείνην διαιρεῖται, ὥστε ἐξ ἀνάγκης καὶ λύεται κατ' αὐτήν· λύοιτο δ' ἂν ἐκ τοῦ ἐναντίου ἄδικον ἐξελεγχόμενον· λάβωμεν δὲ καὶ ἐπὶ παραδείγματος τὸ κεφάλαιον· συχνοὶ τῶν πολιτῶν φυγόντες πόλιν κατεσκευάσαντο, καὶ γράφει τις στρατεύεσθαι ἐπ' αὐτούς· ἐνταῦθα γὰρ κατὰ ἀντίληψιν τὸ δίκαιον, καὶ ληφθήσεται ὑπὸ τοῦ ἀντιλέγοντος, ὡς οὐ δίκαιον ἐπ' ἐκείνους στρατεύεσθαι· ἐφεῖται γὰρ τοῖς βουλομένοις, ὅπου ἂν ἐθέλωσι κατασκευάζεσθαι πόλιν· οὐ γάρ τις ἀπηγόρευσε νόμος, καὶ ὅτι μὲν κατὰ μίαν λαμβάνεται τῶν δικαιολογικῶν, ἐντεῦθεν ἄν τις ἴδοι. Ἀναγκαῖον δὲ καὶ περὶ τῆς ἐργασίας διαλαβεῖν· ἐπιχειρήσομεν τοίνυν ἐν τῷ δικαίῳ ἐκ τοῦ προσώπου, ἐκ τοῦ πράγματος, ἐκ τοῦ ἀποβησομένου· ἐκ μὲν τοῦ προσώπου, ὅτι φίλοις καὶ συμμάχοις βοηθήσομεν, ἐκ δὲ τοῦ πράγματος, ὅτι δίκαιον τὰς ἀγαθὰς τῶν πράξεων διὰ τῶν ἴσων ἀμείβεσθαι, ἢ ὅτι δίκαιον, τὴν ὁσίαν τιμᾷν· τὸ δὲ ἀποβεβηκὸς ἀκριβῶς παρατηρητέον· εἰ μὲν γὰρ κατὰ τὸ ὠφελοῦν ἢ βλάπτον λαμβάνοιτο, τοῦτο συμφέροντος γίνεται· εἰ δὲ κατὰ τὸ δίκαιον ἢ ἄδικον, τοῦ δικαίου ἔσται κεφάλαιον, ὡς ἔχομεν παρὰ Δημοσθένει ἐν τῷ κατὰ Ἀριστοκράτους· αὐτὸ γὰρ τὸ ἀποβησόμενον κατὰ τὸ ἄδικον ἔλαβεν, ἐπὶ τὸ καθολικὸν ἀνενεγκὼν τὸν λόγον· οὕτως οὖν ἐπ' αὐτῆς ἔφη τῆς λέξεως, [18] „ὅτι καὶ τοὺς δεῦρο πεφευγότας, ἐὰν ἡμεῖς τοὺς ἑτέρωθι ἀποκτιννύωμεν, ἀποκτενοῦσιν ἕτεροι, εἰ δὲ τοῦτο ἔσται, ἡ μόνη λοιπὴ τοῖς ἀτυχοῦσιν ἅπασιν σωτηρία διαφθαρήσεται· ἔστι δὲ αὕτη τίς; τοὺς ἐκ τῆς τῶν [19] πεπονθότων μετα-

17 Mon. ὡς ἔννομον. 18 p. 632. 19 τῆς ex Dem. in-

στάντας εἰς τὴν τῶν μηδὲν ἠδικημένων ἀδεῶς μετοικεῖν·“ ἐκ τούτων δηλαδὴ τῶν εἰρημένων ἐργασόμεθα τὸ δίκαιον· ἰστέον δὲ, ὡς ἐπειδὰν τούτων τινὸς ἀπορῶμεν, ἐπὶ τὴν ἀντίφασιν αὐταῦ χωρήσομεν, οἷον εἰ μὴ ἔχοιμεν λέγειν, ὅτι φίλοις οὖσι [20] βοηθήσομεν, ἐροῦμεν ὅτι οὐκ ἐχθροῖς, καὶ αὖ πάλιν εἰ μὴ ἔνεστι φράζειν, ὅτι δίκαιον τοῦτο ποιεῖν, φήσομεν ὅτι οὐκ ἄδικον· ὅταν δὲ καὶ ταύτης ἀπορῶμεν τῆς ἀντιφάσεως, ἐφ᾽ ἕτερον τρεψόμεθα κεφάλαιον· οἷον ὅτι συμφέρει ἢ εὔκλειαν ἔχει· τοῦτο δὲ οὐκ ἐπὶ τοῦ δικαίου μόνον, ἀλλὰ κἀπὶ τῶν λοιπῶν κεφαλαίων καθολικὸν ἡμῖν ἔστω θεώρημα· ὡς ἡνίκα τῶν προηγουμένων ἀπορῶμεν, ἐπὶ τὰς ἀντιφάσεις χωρητέον· εἰ δὲ καὶ τούτων ἐκκλειοίμεθα, ἐφ᾽ ἕτερα προσήκει τραπῆναι κεφάλαια. Λείπεται τῇ τοῦ δικαίου τεχνολογίᾳ· τοσοῦτον ἔτι προσθεῖναι δεῖ, ὡς τὴν πλείστην ἐργασίαν τε καὶ ἰσχὺν λαμβάνει ἐκ τῶν λογισμῶν καὶ τῆς τῶν αἰτιῶν ἀποδόσεως· ὅταν πλείους αἰτίας καὶ λογισμοὺς ἀποδιδῶμεν, περὶ ὧν ἂν λέγωμεν, ὥσπερ ἐποίησε καὶ Δημοσθένης ἐν τῷ περὶ τῆς ἀτελείας τῆς κατὰ Λεύκωνα διεξιών· οἷον ὅτι χρήσιμον προσλαβεῖν Ὄλυνθον.

ιζ. Τὸ συμφέρον μετὰ τὸ δίκαιον παρείληπται· τοῦτο μὲν, ὅτι παρὰ τὸ πρόσωπόν ἐστιν, εἰ γὰρ συμφέρει τῷ χρωμένῳ ζητοῦμεν, τοῦτο δὲ, ὅτι εἰ κατὰ ἄλλον τρόπον ὑποβέβηκε τῷ νομίμῳ, καὶ τῷ δικαίῳ, ἐκεῖνο [21] μὲν γὰρ ἐκ τοῦ πράγματος ὁρμᾶται, τὸ δὲ συμφέρον κατά τινα μαντείαν τοῦ ῥήτορος πρόεισιν· οἷον ὅτι περιέσται τόδε τι ἡμῖν ἐντεῦθεν· τὰ δὲ τοιαῦτα οὐκ ἂν εἶεν ἰσχυρά· λαμβάνεται δὲ τὸ κεφάλαιον ἐξ ἁπάντων τῶν περὶ τὸν ἄνθρωπον, τουτέστιν ἀπὸ ψυχῆς, ἀπὸ σώματος, ἀπὸ τῶν ἐκ τῶν ἐκτός· ἀπὸ μὲν ψυχῆς, ἐπειδὰν λέγωμεν, εὐορκήσειν τοὺς ἀκούοντας, εἰ ἕλοιντο τὴν πρᾶξιν, καὶ εὐ-

---

serui. 20 οὖσι Mon. om. Idem habet: βοηθήσομαι, ἐροῦμεν οὐκ ἐχθροῖς. 21 Mon. ἐκεῖθεν.

σεβεστέρους τὰ πρὸς τὸ δαιμόνιον ἔσεσθαι· ἀπὸ δὲ σώματος, εἰ ὑγίειαν ἀποτείνομεν, ἀπὸ δὲ τῶν ἐκτός, οἷον· εἰ περὶ πλούτου λέγομεν ἢ εὐκλείας· διαιρεῖται δὲ, φησὶ, τὸ συμφέρον εἰς τὸ χρήσιμον καὶ το ἀναγκαῖον· χρήσιμον μὲν οὖν ἐστιν, ὃ παρὸν μὲν ὠφελεῖ, ἀπὸν δὲ οὐ διαφθείρει, ἀναγκαῖον δὲ, οὗ χωρὶς εἶναι ἀδύνατον, οἷον χρήσιμον προσλαβεῖν Ὀλυνθίους ἢ καὶ ἀναγκαῖον, ἵνα μὴ Φίλιππος τούτους λαβὼν καὶ μείζων γενόμενος ῥᾷον ἡμῶν ἐπικρατήσῃ· ἑκάτερον δὲ, φησὶ, διχῶς ἐξετασθήσεται· τί μὲν ἀγαθὸν αἱρουμένοις τὴν πρᾶξιν γενήσεται· τί δὲ φαῦλον ἐκ τοῦ μὴ ἑλέσθαι, ὥστε ἐντεῦθεν ἡμῖν πλείστην ἀπορίαν γενέσθαι τῶν λόγων· εἴγε οὐ τὰ ἡμέτερα μόνον, ἀλλὰ καὶ κατὰ ἐναντία μέλλοιμεν διεξιέναι· πάλιν δὲ, φησὶ, τούτων ἑκάτερον τετραχῶς κατασκευάζεται, ὥστε ὀκτὼ εὐπορεῖν ἀεὶ τόπων, πλατεῖαν ἡμῶν ἀεὶ ποιούντων τὴν ἐργασίαν· οἷον εἰ μὲν ποιήσαιμεν τόδε τὸ πρᾶγμα, περὶ οὗ ἡ βουλὴ, τὰ μὲν ὑπάρχοντα ἡμῖν ἀγαθὰ παραμένει, καὶ τὰ οὐκ ὄντα προσέσται· εἰ δὲ ἀποροῦμεν τῆς κτήσεως,[22] ἐπὶ τὴν προσθήκην ἰτέον· ὅτι τὰ ἀγαθὰ ἡμῶν αὐξηθήσεται· οὕτω γὰρ ἀεὶ διαμένουσιν οἱ ἑπτὰ τόποι ἀκέραιοι· τὰ δὲ ὑπάρχοντα φαῦλα ἀποτρεψόμεθα· κἀνταῦθα δὲ, εἰ μὴ εὔπορον παντελῶς φράζειν ἀποβολὴν, χωρητέον[23] ἐπὶ τὴν μείωσιν, καθάπερ τὴν αὔξησιν ἀντὶ τῆς παντελοῦς κτήσεως ἐπὶ τῶν ἀγαθῶν ἐλαμβάνομεν· τὰ δὲ οὐκ ὄντα τῶν φαύλων οὐ προσληψόμεθα·[24] οὗτοι μὲν τέσσαρες τόποι, ἐκ τοῦ ἑλέσθαι τὴν πρᾶξιν λαμβανόμενοι· ἔτι δὲ ἐκ τοῦ ἐναντίου, τουτέστιν ἐκ τοῦ μὴ ἑλέσθαι, τοῖς ἴσοις ἐπιχειρήσομεν· εἰ δὲ μὴ ποιοῦμεν, τὰ μὲν ὑπάρχοντα ἡμῖν ἀπολεῖται, τὰ δὲ οὐκ ὄντα μὲν, προσγινόμενα δ' ἂν οὐ

---

22 Mon. κτίσεως. 23 Mon. χρηστέον. 24 Par. 1. προσλητριψόμεθα.

προσέσται· τούτων δὲ ἄφθονα παραδείγματά ἐστι λαμβάνειν ἐκ τῶν Δημοσθένους Φιλιππικῶν· ἔστι δὲ ὅτε καὶ ἄμφω φαίνεται φαῦλα τά τε ὑφ᾽ ἡμῶν καὶ τὰ ὑπὸ τῶν ἐναντίων λεγόμενα· καὶ πάλιν ἄμφω ἀγαθὰ, ἐν οἷς κατὰ σύγκρισιν χρὴ προάγειν τὸν λόγον· ἐπὶ μὲν τῶν φαύλων, ὅτι ἐλάττω τὰ ἡμέτερα, ἐπὶ δὲ τῶν ἀγαθῶν, ὅτι μείζω. καθάπερ Δημοσθένης ἐν τῷ περὶ τῆς ἀτελείας· ἐπεὶ γὰρ συνετέλει τι καὶ τοῦ Λεπτίνου ὁ νόμος, χρημάτων εὐπορίαν εἰσφέρων τῇ πόλει, συμφορώτερον αὐτοῖς δείκνυσι τὸ μὴ τοὺς εὐεργέτας ἀφαιρεθῆναι τῆς χάριτος· ἔτι δὲ τοῦτο παρατηρητέον ἐπὶ τῶν κεφαλαίων, ὡς ἔστι χρησιμωτάτη ἡ διὰ τῶν παραδειγμάτων πίστις, καὶ τηνικαῦτα μάλιστα ἰσχύσομεν, ὅταν πλειόνων εὐπορῶμεν παραδειγμάτων· καὶ ὅλως τὰ μὲν προκείμενα τῶν κεφαλαίων τῷ ἐνθυμητικῷ χαίρει τῆς ῥητορικῆς ὀργάνῳ, τὸ δὲ συμφέρον τῷ παραδειγματικῷ· διὸ καὶ Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς πολλαχοῦ φαίνεται πλεονάζων τοῖς παραδείγμασι· τοὺς παρ᾽ ἑκάστοις προδότας διεξιών.

Διχῶς,[25] φησὶ, τὸ συμφέρον κατασκευάσομεν, τί ποιοῦσιν ἡμῖν καὶ τί μὴ ποιοῦσι συμβήσεται· στοχαστικὸν γὰρ ἡ τοῦ συμφέροντος ἐργασία.

Τὴν τοῦ χρησίμου, φησὶ, καὶ τοῦ ἀναγκαίου ἐξέτασιν, τί συμβήσεται γινομένου τοῦ πράγματος, τετραχῇ διαιρετέον· ἐροῦμεν γὰρ, ὅτι εἰ τόδε τι ποιήσομεν, τυχὸν εἰ ἑλοίμεθα τόδε περὶ οὗ ἡ βουλὴ, οἷον συμμαχῆσαι εἰ τύχοι Ὀλυνθίοις, τὰ ὄντα ἀγαθὰ παραμενεῖ, ἐλευθερία,

---

25 Inter sch. min. est in Parr, ubi praeterea: προσεπακουστέον καὶ ἕτερον τό· ἵν᾽ ᾖ οἷον τί συμβήσεται ἡμῖν, ποιοῦσι τὰ τόδε τι πρᾶγμα, περὶ οὗ ἡ βουλή. tum post ὅσα τοιαῦτα addunt: ἰστέον, ὅτι τὰ τρία εἴδη περιέχει ἡ πραγματικὴ, τὸ μὲν γὰρ δίκαιον τοῦ δικανικοῦ, τὸ συμφέρον τοῦ συμβουλευτικοῦ· πᾶσα γὰρ συμβουλὴ πραγματικὴν ποιεῖται στάσιν· τὸ δὲ πανηγυρικὸν ἔχομεν ἐν ταῖς αἰτήσεσι τῶν δωρεῶν, καὶ ὅταν ἔχωμεν κατορθώματα.

ἀσφάλεια, καὶ τὰ μὴ ὄντα προσγενήσεται, δόξα, σύμμαχοι, χρημάτων πρόσοδοι, τῶν ἄλλων ἡγεμονία· καὶ πάλιν ἂν τύχοι κακῶς ἡ πόλις πράξασιν ἐκ τῆς τῶν κακῶν ἀπαλλάξεως τὸ συνοῖσον κατασκευάσομεν· ὅτι τόδε ποιοῦντες τὴν τῶν ὑπαρχόντων μὲν ἀδοξίαν ἀποτριψόμεθα, χρημάτων ἔνδειαν, συμμάχων ἀπορίαν, ἐχθρῶν ἰσχύν· φαῦλον δὲ οὐδὲν εἰς τὸ μέλλον κτησόμεθα, τὰ γὰρ οὐκ ὄντα οὐ προσέσται· οἷον ἀπὸ ἐχθρῶν ἡττηθῆναι, συμμάχων ἀπορῆσαι καὶ ὅσα τοιαῦτα.

ιζ. Διττόν ἐστι, φησὶν, τὸ συμφέρον, ὅτι χρήσιμον καὶ ὅτι ἀναγκαῖον· τὸ μὲν οὖν χρήσιμον ἐκ λογισμῶν ἔχει τὴν κατασκευὴν, τὸ δὲ ἀναγκαῖον καὶ ἀπὸ τῆς ἀνάγκης τὴν πίστιν· διπλῆ [1] οὖν ἐστιν ἡ τοῦ συμφέροντος ἐξέτασις, ἡ μὲν τὸ χρήσιμον κατασκευάζουσα, ἡ δὲ τὸ ἀναγκαῖον· οἷον χρήσιμον μὲν, Ἀθηναίοις Κερκυραίους [2] ποιήσασθαι συμμάχους διὰ τὴν τοῦ ναυτικοῦ δύναμιν, οὐ μέντοι σφόδρα ἀναγκαῖον· Ὀλυνθίους δὲ ἀναγκαῖον, ἵνα μὴ Φίλιππος στρατεύσῃ σὺν ἐκείνοις κατὰ τῆς πόλεως. Χρήσιμον οὖν ἐστι τὸ ἐκ περιουσίας λυσιτελὲς, ἀναγκαῖον δὲ ὅπερ ἐξ ἀνάγκης αἱρούμεθα· ἐκεῖνο μὲν γὰρ προαιρετικὸν τυγχάνει· τὸ μέντοι ἀναγκαῖον ἀκούσιόν ἐστιν· χώραν δὲ μάλιστα ἔχει ἡ τοῦ ἀναγκαίου ἐξέτασις ἐν ταῖς δυσκολίαις τῶν πραγμάτων, ὅταν ἐπὶ πόνον ἢ δαπάνην ἢ ἄλλο τι τῶν δυσχερῶν παρακαλῶμεν τοὺς ἀκούοντας, ἔνθα καὶ ἡ τοῦ ἐκβησομένου ἐξέτασις ἀναγκαία, ὡς εἰ μὴ τάδε πράξομεν, τάδε ἡμᾶς καὶ τάδε περιστήσεται τὰ δεινά· ὅπερ ὁ Δημοσθένης ἐν Ὀλυνθιακῷ [3] ποιεῖ, κατασκευάζων, οἷα συμβήσεται τοῖς Ἀθηναίοις, εἰ μὴ βοηθήσει Ὀλυνθίοις· φησὶ γὰρ, „εἰπέ μοι· τίς αὐτὸν κωλύσει δεῦρο βαδίζοντα; Θηβαῖοι; μὴ λίαν πικρὸν εἰπεῖν, καὶ συνεισβαλοῦσιν

1 Cfr. Vol. IV. p. 739. v. 9. 2 Mon. καὶ Κερκυραίοις. delevi καὶ et scripsi Κερκυραίους. 3 Ol. I. p. 16.

ἑτοίμως. ἀλλὰ Φωκεῖς; οἱ τὴν οἰκείαν οὐχ οἷοί τε ὄντες φυλάττειν, ἂν μὴ βοηθήσητε ὑμεῖς ἢ ἄλλος τις."

ιή. Ὁμοίως, φησὶ, ταῖς αὐταῖς μεθόδοις χρησόμεθα κἀπὶ τοῦ μὴ γενησομένου· ἐροῦμεν γὰρ, ὅτι εἰ μὴ τόδε ποιήσομεν, τά τε ὑπάρχοντα ἀγαθὰ ἀπολοῦμεν, καὶ τὰ οὐκ ὄντα μὲν, προσγενησόμενα δὲ, οὐ κτησόμεθα· ἢ ἐκ τῶν ἐναντίων, τὰ μὲν ὑπάρχοντα φαῦλα παραμενεῖ, προσκτησόμεθα δὲ καὶ ἑτέραν ἀδοξίαν· ἡ δὲ τοῦ κεφαλαίου τούτου ἐργασία, τοῦτον γενήσεται τὸν τρόπον· πρῶτον μὲν ἐπιχειρήσομεν ἐκ τῶν ἐναντίων, λέξομεν γὰρ, κ. τ. λ. Vol. IV. p. 744. v. 11. — p. 745. v. 25.

ιθ'. Τῇ τάξει τοῦ δυνατοῦ τινες ἐμέμψαντο, ὡς δέον αὐτὸ τετάχθαι πρὸ τοῦ συμφέροντος· μὴ γὰρ δειχθέντος πρότερον, ὅτι δυνατὸν ἑλέσθαι τῶνδε τὸ ἕτερον, τῶν ἀτοπωτάτων ἐστὶ περὶ τοῦ κατ' αὐτὸ συμφέροντος διαλέγεσθαι· οἷον λυσιτελεῖ, φησὶ, Μαρωνείταις ἢ Σιφνίοις ἄρχειν τῶν Ἑλλήνων· ἀλλ' ἐπειδὴ τὸ δυνατὸν ἐλλείπει, οὐδὲ περὶ τοῦ συμφέροντος οὐδ' ἂν εἷς γένοιτο λόγος, ἀλλ' ἔστιν ἀναστρέφειν, εἰ γὰρ μὴ πρότερον ἀποδειχθείη τὸ συμφέρον, οὐκ ἂν τὸ δυνατὸν ζητοῖτο. αὐτίκα δυνατὸν ἐκπιεῖν κώνειον, ἀλλ' ἐπεὶ οὐ συμφέρον, διὰ τοῦτο ἀνόνητα καὶ τὰ τῆς δυνάμεως· ὅθεν ἀφέμενοι τούτου καὶ οὐδὲ λόγου τινὸς αὐτὸ ἀξιώσαντες, τὸ γὰρ ἀντιστρέφον οὐκ ἰσχυρὸν, τὴν ἀληθεστάτην αἰτίαν φήσομεν, ὅτι συμπέπλεκται ἀλλήλοις τὰ κεφάλαια, τὸ συμφέρον φημὶ καὶ δυνατόν· καὶ ὥσπερ ἡ βούλησις καὶ ἡ δύναμις ἐν στοχασμῷ ὡς ἓν ἐλαμβάνομεν τὸ κεφάλαιον, οὕτω καὶ ἐπὶ τῆς πραγματικῆς τὸ συμφέρον καὶ τὸ δυνατὸν ἑκάστοτε συμπλακήσεται· τούτου δὲ οὕτως ἔχοντος, τίς διαφορὰ περὶ τῆς τάξεως ἔσται, ἀναμιγνυμένων ἀμφοτέρων ἀλλήλοις; ἀλλ' ὃ περὶ τῆς βουλήσεως καὶ τῆς δυνάμεως ἐλέγομεν, ἐνταῦθα παραφυλαττέσθω· τοῦτο δ' ἐστὶ τὸ παρὰ τῷ ἰσχυροτέρῳ ἀεὶ τελευ-

τῶν κεφαλαίῳ· εἰ δέ τις λέγοι, ὡς εἰ καὶ συμπλέκονται ἡ βούλησις καὶ ἡ δύναμις, ἀλλά γε κατὰ φυσικὴν αὐτὰ ἱστάμεθα τάξιν, εἰδέτω, ὡς κἀνταῦθα ἡγήσεται [4] τὸ συμφέρον κατὰ φύσιν, μιμεῖται γὰρ αὐτὸ μὲν τὴν βούλησιν· πᾶσα γὰρ βούλησις ἐπὶ τὸ δοκοῦν εἶναι συμφέρον ὁρμᾷ· τὴν δύναμιν δὲ τὸ δυνατόν· ὥστε εἰ προτετάχθαι δεῖ τὴν βούλησιν τῆς δυνάμεως, ἡγήσεται καὶ τοῦ δυνατοῦ τὸ συμφέρον. ταῦτα μὲν περὶ τῆς τάξεως· ὑποδιαιρήσεις δὲ καὶ τὸ δυνατόν· καὶ πρῶτόν γε αὐτὸ τοῦτο ἰστέον, ὡς κυρίως τῇ ὑποδιαιρέσει χρῆται, ὑποδιαιρεῖν γάρ ἐστιν ὅταν, τὸ ἐξ ἑνὸς διαιρεθὲν πάλιν καὶ αὐτὸ εἰς ἕτερα ὑποδιαιρῆται· τὸ οὖν δυνατὸν, φησὶ, τέμνεται εἰς τὸ κατὰ ἔνστασιν καὶ ἀντιπαράστασιν· πρῶτον μὲν, ὅτι οὐ χαλεπὸν, ἔπειτα, ὡς εἰ καὶ χαλεπὸν, ἀναγκαῖον, καὶ ὅτι δεῖ ὑπὲρ τῶν χρηστῶν πάντα πόνον καὶ πάντα κίνδυνον ὑφίστασθαι· εἶτα εἰς τὸ δεικνύναι, ὅτι καὶ ῥᾴδιον· καί τινες ᾠήθησαν τοῦτο ἐκ περιττοῦ προστεθεῖσθαι· μηδὲν γὰρ διαφέρει τοῦ μὴ χαλεποῦ τὸ ῥᾴδιον, ἀλλ᾽ εἰ μὲν ἄμεσα εἴη ταῦτα μηδεμίαν ἔχοντα μεσότητα, οὐδὲν αὐτοῖς ὁ λόγος ἡμάρτηται· νῦν δὲ ἔνεστι μὴ χαλεπόν τι μὴ ῥᾴδιον εἶναι, ὥστε ἕτερον παρὰ τὸ μὴ χαλεπὸν καθεστάναι τὸ ῥᾴδιον. τῶν δὲ εἰρημένων ἁπάν-

---

4 Par. 1. κατὰ φύσιν ἡγήσεται. Sch. min. **καὶ ῥᾴδιον**· ἐπὶ τούτοις κατασκευάζειν χρὴ, φησὶ, τὸ ῥᾴδιον· αὔξησις γὰρ τοῦ δυνατοῦ ἡ τοῦ ῥᾴστου ἀπόδειξις· διὰ βραχέων δὲ, ὡς εἴπομεν, εἰ εὐχέρειά τις ὁρᾶται τῷ συμβουλευομένῳ, τοῦ ῥᾳδίου ἐφαψάμενοι, ὡς μὴ δοκεῖν παντελῶς παραλιμπάνειν, ἐπὶ τὴν καθ᾽ ὑπόθεσιν τρεψόμεθα μέθοδον λέγοντες, ὅτι, εἰ καὶ δυσκολία τις [Cod. δυσκολίαν τινὰ] συνέβαινε τοῖς πράγμασιν, οὐδ᾽ οὕτως ἐχρῆν αὐτῶν ἀποστῆναι· προσήκει γὰρ ὑπὲρ τῶν χρηστῶν καὶ πόνους καὶ κινδύνους ὑπομένειν, καὶ συστήσομεν τοῦτο ἀπὸ παραδειγμάτων, ὅτι καὶ σύνηθες ὑπὲρ τούτων ἀγωνίζεσθαι τῇ πόλει· καὶ γὰρ τόνδε τὸν πόλεμον, εἰ τύχοι, προθύμως ἀπέστησαν.

των ἐκ τῶν Δημοσθένους Φιλιππικῶν ὁ βουλόμενος παραλαμβανέτω παραδείγματα· αὐτίκα τὸ κατὰ ἀντιπαράστασιν πλατύτατον αὐτῷ ἐξείργασται· καὶ εἰ καὶ χαλεπὸν, ἀλλ᾽ ἀναγκαῖον. οὕτως οὖν ἐπ᾽ αὐτῆς ἔφη τῆς λέξεως.[5] „εἰ δέ τῳ δοκεῖ ταῦτα καὶ δαπάνης μεγάλης καὶ πόνων πολλῶν καὶ πραγματείας εἶναι, καὶ μάλα ὀρθῶς οἴεται· ἀλλ᾽ ἐπειδὰν λογίσηται τὰ τῇ πόλει μετὰ ταῦτα γενησόμενα, ἐὰν ταῦτα μὴ ἐθέλῃ ποιεῖν, εὑρήσει λυσιτελοῦν τὸ ἑκόντας ποιεῖν, τὰ δέοντα," καὶ τὰ ἑξῆς· λαμβάνεται δὲ, φησὶ, τὸ δυνατὸν ἐκ τῶν παρακολουθούντων τοῖς προσώποις, τουτέστιν ἀπὸ ψυχῆς, ἀπὸ σώματος, ἀπὸ τῶν ἐκτός· καθάπερ ἐν Φιλιππικοῖς Δημοσθένης ἐχρήσατο· ἀπὸ μὲν ψυχῆς, ὅτι ἀθυμεῖ Φίλιππος, καὶ ὅτι ἐπιορκεῖ καὶ ἀπιστεῖται· οὕτω γάρ πού φησιν·[6] „οὐ γάρ ἐστιν, οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀδικοῦντα καὶ ἐπιορκοῦντα καὶ ψευδόμενον δύναμιν βεβαίαν κτήσασθαι·" ἔφη ἂν, ὅτι ἀσθενεῖ Φίλιππος καὶ πεπήρωται, ἀπὸ δὲ τῶν ἐκτὸς ἀφθονώτατα παρὰ τῷ ῥήτορι παραδείγματα· ἐπεὶ καὶ μάλιστα ἡμῖν ὁ τόπος πλείστην ἐμπειρίαν παρέχεται, πῶς ὁ Δημοσθένης ἀπὸ τῶν ἐκτὸς ἐπιχειρεῖ· „οἱ δὲ δὴ περὶ αὐτὸν ξένοι καὶ πεζέταιροι[7] δόξαν μὲν ἔχουσιν, ὡς εἰσὶ δυνατοὶ καὶ συγκεκροτημένοι[8] τὰ τοῦ πολέμου, ὡς δ᾽ ἔγωγε τῶν ἐν τῇ χώρᾳ τινὸς ἤκουον ἀνδρὸς οὐδαμῶς οἷου τε ψεύδεσθαι, οὐδένων εἰσὶ βελτίους·" ἐπιῤῥώννυται δὲ οὐχ ἥκιστα τὸ κεφάλαιον καὶ πλείστην ὅσην ἐργασίαν λαμβάνει ἐκ τῶν συγκριτικῶν, ὅταν τὰ ἡμέτερα τοῖς τῶν ἐναντίων ἀντεξετάζωμεν· τούτου παράδειγμα ἐν τῇ δημηγορίᾳ Περικλέους παρὰ τῷ Θουκυδίδῃ, ἐν ᾗ παραβάλλει τὴν Ἀθηναίων δύναμιν τῇ Λακεδαιμονίων. περιφανέστερον δ᾽ οὖν ἐν τῇ Κορινθίων πρὸς Λακεδαιμονίους ἔστιν αὐτὸ θεωρῆσαι· κατὰ

5 de Chers. p. 101. cfr. Vol. IV. p. 748. 6 Ol. II. p. 20.
7 Mon. πεζαίτεροι. — Ol. II. p. 23. 8 Mon. συγκροτημένοι.

τὸ ἀντιθετικὸν προηγουμένως τοῦ λόγου. ἔφη [9] δὲ οὕτως ἐπ' αὐτῆς τῆς λέξεως· „οἱ μέν γε νεωτεροποιοὶ καὶ ἐπινοῆσαι ὀξεῖς καὶ ἐπιτελέσαι ἔργῳ ἃ ἂν γνῶσιν· ὑμεῖς δὲ οὐδὲ τὰ ὑπάρχοντα σώζειν, οὐδὲ τὰ ἀναγκαῖα ἐξικέσθαι·“ τοσαῦτα μὲν περὶ τῆς ἐργασίας τοῦ κεφαλαίου· ἐζητήκασι δέ τινες, πῶς ἀπὸ τῶν παρακολουθούντων ἔφη κατασκευάζεσθαι τὸ δυνατόν· τοῦτο, γάρ, φασὶ, τοῦ πρέποντός ἐστιν, ὅπερ ὑπὸ τὸ ἔνδοξον ἀνάγεται· ἐπ' ἐκείνου γὰρ δεῖ, φασὶ, τὰ παρακολουθοῦντα τῷ προσώπῳ σκοπεῖν· οἷον γένος, πατρίδα, προγόνους, ἀρετάς· ἐχρῆν δὲ αὐτοὺς εἰδέναι, ὡς τῶν παρακολουθούντων τὰ μὲν ἐκ τῶν ἀνωτέρω, τὰ δὲ λαμβάνεται ἐκ τῶν ἐνεστώτων. τὰ μὲν οὖν παλαιότερα τὸ πρέπον ἐργάζεται, οἷον αἱ τῶν προγόνων πράξεις, τὰ τῆς πατρίδος τρόπαια, καὶ ἅπαν ὅ τι τοιοῦτον· τὰ δὲ ἐνεστῶτα ποιεῖ τὸ δυνατόν· οἷον εὐπορία χρημάτων, στράτευμα ἐξηρτυμένον, τριηρῶν πλῆθος· ἔτι καὶ τὸ ἐκ Φιλιππικῶν ἄπορον χρὴ λῦσαι. ὅπερ αὐτὸς προβάλλει ὁ τεχνικὸς ἐκ τῆς τοῦ δυνατοῦ κατασκευῆς ἀναφανέν. καθελὼν γὰρ τὴν τοῦ Φιλίππου δύναμιν ὁ ῥήτωρ οὐκέτι τὴν τῶν Ἀθηναίων περιέλαβεν, ἀντεξετάζων πρὸς τὴν Φιλίππου, ὅπερ ἔδει ποιεῖν, εἰ μή τι ἐκώλυεν· οὐ γὰρ τὰ τῶν ἐναντίων μόνον ἐπιδεικνύναι ἀσθενῆ, ἀλλὰ καὶ τὰ ἡμέτερα οὐ [10] παραπλήσια. παρῆκεν οὖν αὐτὸς ἐκ τῆς τῶν πραγμάτων ἀνάγκης· οὐ γὰρ εἶχε τηνικαῦτα δύναμιν τῶν Ἀθηναίων οὐδεμίαν εἰπεῖν. ἔστιν οὖν αὕτη λύσις τοῦ ἀπορήματος ἀκριβής· θαυμαστὸν δὲ οὐδὲν, φησὶν, εἰ παρεῖται τὸ ἐπιχείρημα τῷ ῥήτορι, ἐπεὶ καὶ τῶν κεφαλαίων τινὰ ἐκεῖσε παραλέλειπται κατὰ φύσιν. τοῦτο δὲ ἔφη, ἐπεὶ τὸ δίκαιον κεφάλαιον ἐν τοῖς Ὀλυνθιακοῖς κατὰ φύσιν κεχωρη-

9 Thuc. I. 70. cfr. Vol. IV. p. 750. Mon. ἔφη δὲ τελέσαι ἔργα ἃ ἄγνῶσιν (sic). omissis reliquis. 10 οὐ Mon. om.

χωρηκός [11] ἐστιν. ἐχθροὶ γὰρ ὄντες οἱ Ὀλύνθιοι περὶ συμμαχίας πρεσβεύονται· [12] οὐκ ἔστι δὲ λέγειν, ὡς ἔστι δίκαιον τοῖς ἐχθροῖς βοηθεῖν· καὶ ἡμεῖς δὲ, φησὶ, πολλάκις παρελίπομεν τῶν κεφαλαίων τινὰ οὐκ ἐν πραγματικῇ μόνον, ἀλλὰ καὶ πανταχοῦ.

κ'. Ἡ ἐργασία τοῦ δυνατοῦ γίνεται οὕτως, ἢ ἐξ αὐξήσεως οἰκείας μόνως, ἢ ἐκ καθαιρέσεως τῶν ἐναντίων μόνως, ἢ ἐξ ἀμφοτέρων, αὐξήσεως δέ φημι οἰκείας καὶ καθαιρέσεως τοῦ ἐναντίου· ὅταν οὖν ἐκ τῶν δύο εὐπορήσωμεν ἐργάσασθαι τὸ δυνατὸν, ἔσται μᾶλλον ἀγωνιστικώτερος ὁ λόγος, εἰ παράλληλα παραβάλοιμεν τά τε αὐξητικὰ καὶ καθαιρετικὰ, οὕτως γὰρ ἐδίδαξεν ἡμᾶς Θουκυδίδης ἐν τῇ Κορινθίων πρὸς Λακεδαιμονίους δημηγορίᾳ, ταῦτα εἰπών· „οἱ μέντοι γε νεωτεροποιοὶ καὶ ἐπινοῆσαι ὀξεῖς, καὶ ἐπιτελέσαι ἔργῳ ὃ ἂν γνῶσιν· ὑμεῖς δὲ τὰ ὑπάρχοντά τε σώζειν καὶ ἐπιγνῶναι μηδὲν καὶ ἔργῳ οὐδὲ τἀναγκαῖον ἐξικέσθαι. αὖθις δὲ οἱ μὲν καὶ παρὰ δύναμιν τολμηταὶ, καὶ παρὰ γνώμην κινδυνευταὶ καὶ ἐν τοῖς δεινοῖς εὐέλπιδες· τὸ δὲ ὑμέτερον τῆς τε δυνάμεως ἐνδεᾶ πρᾶξαι, τῆς τε γνώμης μηδὲ τοῖς βεβαίοις πιστεῦσαι, τῶν δὲ δεινῶν μηδέποτε οἴεσθαι ἀπολυθήσεσθαι· καὶ μὴν καὶ ἄοκνοι πρὸς ὑμᾶς μελλητὰς καὶ ἀποδημηταὶ πρὸς ἐνδημοτάτους· οἴονται γὰρ οἱ μὲν τῇ ἀπουσίᾳ ἀντικτᾶσθαι, ὑμεῖς δὲ τὸ ἐπελθεῖν καὶ τὰ ἕτοιμα βλάψαι·“ οὕτως ἄρα δεῖ ἀντιπαρατιθέναι ἀμφότερα· ἀγωνιστικώτερος οὕτως ὁ λόγος γενήσεται.

κά. Καλῶς μετὰ τὸ συμφέρον τὸ δυνατὸν τέτακται· οὔτε γὰρ εἰ μὴ συνέφερε, δυνατὸν δὲ ἦν τὸ πρᾶγμα, ἱκανὸν ἦν τοὺς ἀκούοντας ἐφελκύσασθαι. οὔτε εἰ δυνατὸν ἦν, ἀλυσιτελὲς δὲ, ἠνείχετό τις αὐτὸ αἱρεῖσθαι. καλῶς οὖν ἔχει [13] πρότερον διδάξαντας, ὅτι

11 Mon. ἐκκεχωρηκός. 12 Mon. πρεσβεύοντες. 13 ἔχει Mon. om.

συμφέρον, οὕτως καὶ ὅτι δυνατόν ἐστιν ἀποδεῖξαι. εἰσάξομεν δὲ, φησὶ, τὸ δυνατὸν ἐνστάσει καὶ ἀντιπαραστάσει οὐκ ἀεὶ, ἀλλ' ἐὰν κ. τ. λ. Vol. V. p. 352. v. 22—27. εἰ δὲ δυσχέρεια προσῇ διὰ τῶν τοιούτων μεθόδων, τὴν κατασκευὴν τοῦ δυνατοῦ ποιησόμεθα, λέγω δὴ τῆς ἐνστάσεως καὶ ἀντιπαραστάσεως· καθόλου γὰρ ἢ δυσχέρειά τις πρόσεστι τοῖς βουλομένοις ἢ ῥαστώνη· ἐπὶ τῶν εὐχερῶν οὖν περιττὸν πρὸς τοὺς εἰδότας, ὅτι ῥᾳδίαν ἔχει τὴν ἐπιχείρησιν τὰ πράγματα, περὶ ὧν ἡ βουλὴ τοιαύτας ἀποδείξεις καὶ κατασκευὰς ἐπάγειν. ἐπὶ δὲ τῶν δυσχερῶν ποιησόμεθα τοῦ δυνατοῦ τὴν κατασκευὴν, τελείως ἑκάστου ταῖς ἐργασίαις ἐπεξιόντες· ὅτι εἰ καὶ χαλεπὸν εἴη, ἀλλ' οὖν ἀναγκαῖον· καὶ ὅτι δεῖ ὑπὲρ τῶν χρηστῶν καὶ πόνους καὶ κινδύνους ὑπομένειν. καὶ ὅτι ὑπὲρ τοῦ μὴ χαλεπωτέροις περιπεσεῖν ἀντιληπτέον τῶν πραγμάτων. καὶ Δημοσθένης δὲ τὴν πλατύτητα τοῦ κατὰ ἀντιπαράστασιν ἐδίδαξεν οὕτως αὐτὸ ἐργασάμενος· εἰ δέ τῳ δοκεῖ ταῦτα καὶ δαπάνης μεγάλης καὶ πόνων πολλῶν προσδεῖσθαι, καὶ μάλα ὀρθῶς δοκεῖ· ἀλλ' ἐὰν λογίσηται τὰ τῇ πόλει μετὰ ταῦτα γενησόμενα, ἐὰν ταῦτα μὴ ἐθέλῃ ποιεῖν, εὑρήσει λυσιτελοῦν τὸ ἑκόντως ποιεῖν τὰ δέοντα.

κβ'. Ἐπὶ τῶν τοιούτων, φησὶ, τῶν καὶ δυσκολίαν τοῖς βουλομένοις ἐχόντων τὰς κατασκευὰς ἀπὸ τῶν παρακολουθούντων τοῖς προσώποις παραληψόμεθα· ταῦτα δέ ἐστι τὰ ἐγκωμιαστικὰ, ἃ λαμβάνεται ἀπὸ ψυχῆς, ἀπὸ σώματος, ἀπὸ τῶν ἐκτός· ὡς ὁ ῥήτωρ ἐκανόνισεν ἐν Ὀλυνθιακοῖς· ἀρξάμενος γὰρ ἀπὸ τῶν κατὰ ψυχὴν πρόεισι μέχρι τῶν ἐκτός· οἷον „πῶς ἔχει ψυχῆς ὁ Φίλιππος, ὅτι ἀθυμεῖ,“ [14] καὶ ὅτι „οὐκ ἔστιν [15] ἀδικοῦντα καὶ ἐπιορκοῦντα καὶ ψευδόμενον δύναμιν βεβαίαν κτήσασθαι·“ πῶς τὰ ἐκτὸς, ὅτι „Θετταλοὶ ἄπιστοι,[16] ὅτι δὲ

14 Ol. I. p. 15. cfr. Vol. IV. p. 704. 15 οὐκ ἔστιν Mon. om. Ol. II. p. 20. 16 Ol. I. p. 15.

Ἰλλυριοὶ καὶ Παίονες ἐλευθερίας ἐπιθυμοῦσι" καὶ ἑξῆς· ἡ γὰρ τοῦ δυνατοῦ ἐξέτασις γίνεται, ὥσπερ ἐπὶ τοῦ συμφέροντος, ἀπὸ τῶν ἐκτὸς, ἀπὸ μὲν ψυχῆς, εὐορκίας, ἐπιορκίας, πίστεως, ἀπιστίας, εὐνοίας, φθόνου, [17] τυχίας, φιλοχρηματίας, ἐμπειρίας, ἀπειρίας, καὶ τῶν τοιούτων, ὅσα ψυχῆς ἐστι πάθη. ἀπὸ δὲ σώματος, ῥώμης, ἀσθενείας, εὐεξίας, καχεξίας καὶ τῶν τοιούτων, ἀπὸ δὲ τῶν ἐκτὸς, χρημάτων, φίλων, στρατιωτῶν, ὅπλων, συμμάχων, ἵππων καὶ τῶν παραπλησίων· ἀλλ' ἐπὶ μὲν τῶν κοινῶν τὰ ἐκτὸς μάλιστα τὴν χορηγίαν ὑμῖν παρέξεται· ἡνίκα δὲ ἐπὶ τύραννον ἢ δικαστὴν ἢ ὅλως ἕνα ἄνδρα ὁ πόλεμος εἴη, χώραν ἡμῖν τὰ ἀπὸ ψυχῆς παρέξεται· τελεία δὲ δυνατοῦ κατασκευή ἐστιν ἡ ἑκατέρων ἐξέτασις, τῶν τε ἡμῖν αὐτοῖς προσόντων, καὶ τῶν τοῖς ἀντιπάλοις· οὐ γὰρ ἀποχρήσει τὰ τῶν ἐναντίων μόνα διαβαλεῖν, ἀλλὰ δεῖ καὶ τὰ οἰκεῖα συστῆσαι· [19] ἀπὸ γοῦν τῶν προσόντων ἡμῖν αὐτοῖς ἢ τοῖς ἐναντίοις, ἢ πάντων ἅμα ἤ τινων ληψόμεθα τὴν εὐπορίαν εἰς τὴν τοῦ δυνατοῦ κατασκευήν. [19]

κγ΄. Τὸ μὲν γὰρ, φησὶ, κατὰ τὸ ἐγχωροῦν χρῆσθαι τῆς κρίσεώς ἐστιν. τὸ δὲ διαιρεῖν τὰ κεφάλαια τῆς εὑρέσεως· καὶ σημείωσαι, ὅτι εὕρεσιν ἐνταῦθα ἐκάλεσιν οὐ τὴν ἔκθεσιν τῶν ἐνθυμημάτων καὶ παραδειγμάτων, ὥσπερ ἐν ἀρχῇ τῆς πραγματείας, ἀλλ' ἁπλούστερον τὸ εὑρεῖν τὰ κεφάλαια εὕρεσιν εἶπεν, εἰδὼς πολλὴν συγγένειαν ἀμφοῖν, ὡς ἀρχόμενος τῆς βίβλου ἐδήλωσεν· ἔφη γὰρ, ὡς ἔστιν ὁ περὶ διαιρέσεως λόγος ὁ αὐτὸς τῷ περὶ εὑρέσεως, πλὴν ὅσον οὐ πάντα ἔχει τὰ περὶ εὑρέσεως.

κδ΄. Τῶν οὐ μετρίως ἐστὶν ἠπορημένων παρὰ πολλοῖς τε ἄλλοις καὶ οὐχ ἥκιστά γε Ἀθανασίῳ, τίνα τρό-

17 in Mon. sq. vocabulum in τυχίας finiens initio mutilum. 18 Mon. σύσταται. 19 Quae sequuntur, lege Vol. V. p. 352. v. 29. — p. 353. v. 9.

που ἔσται κεφάλαιον τὸ ἔνδοξον παρὰ τὸ συμφέρον· τοῦ γὰρ συμφέροντος τριχῆ λαμβανομένου, κατὰ ψυχὴν, κατὰ σῶμα, κατὰ τὸ ἐκτὸς, τὸ ἔνδοξον ὑπὸ τὸ τρίτον ἀνάγεται τοῦ συμφέροντος μέρος, φημὶ τὸ ἀπὸ τῶν ἐκτός· ἐν γὰρ τούτῳ ἢ πλοῦτον ἢ εὔκλειαν ὑποτείνομεν, ὡς εἴρηται ἐν τῷ συμφέροντι, καὶ ἔστι μὲν λόγος ἀληθής· κομψότατα δὲ Ἀθανάσιος τὸ ἀπορούμενον ἀπελύσατο· ἐπεὶ γὰρ ἐκ τοῦ συμφέροντος προελθὸν τὸ ἐκείνου ἔνδοξον ἔσχε τελείαν τὴν ἐκείνου ὑποδιαίρεσιν, καὶ μόριον ὂν τῷ ὅλῳ διὰ πάσης τῆς ἐργασίας ἐκοινώνησεν, ὡς αὐτὸς ἔφη ὁ τεχνικὸς, εἰκότως ἰδίᾳ παρελήφθη ὡς ἔχον ἐντελοῦς κεφαλαίου ἐξεργασίαν· δεδηλώσθω οὖν ἐντεῦθεν ἡ ἐργασία τοῦ κεφαλαίου. διὰ γὰρ τῶν εἰρημένων ἐπὶ τοῦ συμφέροντος ὀκτὼ τόπων κατασκευασθήσεται. οἷον εἰ ποιοῦμεν ταῦτα, περὶ ὧν ἡ βουλὴ, ἡ μὲν ὑπάρχουσα ἡμῖν δόξα παραμένει, ἡ δὲ οὐκ οὖσα περιέσται· καὶ τὴν μὲν οὖσαν ἀδοξίαν ἀπωσόμεθα, τὴν δὲ οὐκ οὖσαν οὐ προσληψόμεθα· καὶ πάλιν, εἰ δὲ μὴ ποιοῖμεν, τὴν μὲν οὖσαν αἰσχύνην οὐκ ἀπωσόμεθα, τὴν δὲ οὐκ οὖσαν προσληψόμεθα· καὶ τὴν μὲν ὑπάρχουσαν δόξαν ἡμῖν ἀποτριψόμεθα· τὴν δὲ οὐχ ὑπάρχουσαν προσγενομένην δ' ἂν οὐ προσληψόμεθα· ὅπερ δὲ ἔφασκον ἐπὶ τοῦ δικαίου, κἀνταῦθα προσκείσθω· τῶν γὰρ ἀναγκαιοτάτων τὸ θεώρημα, ὡς ἡνίκα τινὸς τῶν κεφαλαίων ἀποροῦμεν, τὴν ἀντίφασιν αὐτοῦ παραληψόμεθα, οἷον ὅτι εἰ μὴ ἔχοιμεν λέγειν, ὅτι συμφέρον, ἐροῦμεν, ὅτι μὴ βλάπτον, καὶ αὖ πάλιν, εἰ μὴ δυνατὸν εἰπεῖν, ὅτι νόμιμον, φήσομεν, ὅτι οὐ περὶ τὸν νόμον· εἰ δὲ λάβοι τὴν ἀντίφασιν ὁ ἀντίδικος, διὰ τῆς θέσεως αὐτὸν ἐξελέγχομεν, οἷον ὡς οὐ δίκαιον λέγειν αὐτὸν τόδε τι μὴ βλαβερὸν, ὡς συμφέρει, δεικνύναι· ὅπως δὲ χρηστέον τῇ ἀντιφάσει δέδωκεν ἡμῖν ἐν Φιλιππικοῖς Δημοσθένης παράδειγμα· οὐ γὰρ ἔχων ἀσθενῆ τὴν Φιλίππου δύναμιν ἀποφῆναι, ἐπὶ τὴν

ἀντίφασιν ἐχώρησεν, ὅτι οὐ βεβαία, οὐδὲ ἰσχυρά· οὕτω γοῦν ἐπ᾽ αὐτῆς θεωρητέον τῆς λέξεως·[20] „μὴ γὰρ ὡς θεῷ νομίζετε ἐκείνῳ πεπηγέναι τὰ παρόντα πράγματα ἀθάνατα, ἀλλὰ καὶ μισεῖ τις ἐκεῖνον“, καὶ τὰ ἑξῆς· τοῦτο ἡμῖν ἐπὶ πάντων τῶν κεφαλαίων καθολικὸν πεφυλάχθω θεώρημα.

Ἔνδοξόν ἐστιν[21] ὃ χρηστὴν ἁπλῶς δόξαν ἐμποιεῖ καθόλου τῷ δράσαντι· καλεῖται δὲ καὶ πρέπον· πρέπον δέ ἐστι τὸ καθῆκον ἑκάστῳ, κ. τ. λ. Vol. IV. p. 756. v. 1. — 15. — Ἰστέον, ὅτι οὐκ ἔστι τοῦτο ἱκανὸν ἐξαλλαγὴν κεφαλαίων ποιῆσαι· εἰ γὰρ ἐκ τῶν προσεχῶς ἢ ἐκ τῶν πόῤῥω ἡ ἐπιχείρησις, οὐδὲν ἧττον τοῦ συμφέροντός ἐστι· περὶ γὰρ ἀποβαίνοντος καλοῦ ἢ κακοῦ ἡ σκέψις, ὅπερ τὰ συμφέρον χαρακτηρίζει κεφάλαιον. Ἐζήτησάν τινες καὶ περὶ τῆς τάξεως αὐτῶν, ποῖον ἄρα τοῦ ἑτέρου προτάττεσθαι χρή· καὶ ὁ μὲν Εὐστάθιος σκοπεῖν φησι χρεὼν, ποῖον αὐτῶν ἰσχυρότερον, κἀκεῖνο μᾶλλον ὑποτάττειν· ἐβούλετο γὰρ ὡς ἔοικεν ὁ ἀνὴρ εἰς τὰ ἰσχυρότερα μᾶλλον καταλήγειν, Ἀθανάσιος δὲ τοὐναντίον· προτακτέον, φησὶ, τὰ ἰσχυρότερα, ἵνα ἀπ᾽ αὐτῶν μᾶλλον ἀρξώμεθα· οὕτως μὲν οὗτοι· ἡμεῖς δὲ, ὃ κἂν[22] πολλάκις τοῦτο καὶ νῦν λέξομεν, προτάξομεν γὰρ καὶ ὑποτάξομεν τὰ ἰσχυρότερα, καὶ πολλαχοῦ τοῦ λόγου θήσομεν· οὔτε γὰρ μόνως προτάξομεν οὔτε μὴν μόνως ὑποτάξομεν.

κε. Ἐζήτηται καὶ περὶ τούτου, πῶς ἰδίᾳ παρὰ τὸ συμφέρον τέτακται· τὸ γὰρ ἐκβησόμενον τέλος ἐστὶ τοῦ συμφέροντος· ζητοῦμεν γὰρ, τί ἀγαθὸν ἐκ τοῦ τοῦτο ποιεῖν[23] ἡμῖν ἀποβήσεται, ἢ τί βλάβος ἐκ τοῦ μὴ ποιεῖν.

---

20 Phil. I. p. 42. 21 Haec usque ad litt. κέ. inter Sch. min. habent Parr. Sumta sunt ex Vol. IV. p. 756. 22 Par. 1. ἡμεῖς δὲ καὶ πολλ. 23 Mon. ἐκ τούτου τὸ ποιεῖν. omisso sq. ἡμῖν.

ῥητέον δὲ ὡς τὸ μὲν ἐν τῷ συμφέροντι ἀποβησόμενον ἐκ τῶν προσεχῶν λαμβάνεται· τοῦτο δὲ ἐκ τῶν ἀποτέρω· οἷον εἰ μὲν λέγοιμεν, ὅτι βοηθητέον Ὀλυνθίοις, ἐὰν γὰρ αὐτῶν ἐπικρατήσῃ Φίλιππος, ἐπὶ τὴν συμμαχίδα εὐθὺς βαδιεῖται· τοῦτο τοῦ συμφέροντος ἔσται· εἰ δὲ ἔτι πολυπραγμονοῖμεν τὰ περαιτέρω, ποιήσομεν τὸ ἐκβησόμενον· οἷον ὅτι κρατήσας δὲ τῶν συμμάχων, διαβήσεται πύλας, καὶ τρέψεται ἐφ' ἡμᾶς· εἶτα καὶ ἐπὶ τὴν Ἑλλάδα· ἔστω οὖν αὕτη διαφορὰ τοῦ ἐκβησομένου πρὸς τὸ συμφέρον· λαμβάνεται δὲ, φησὶ, τὸ ἐκβησόμενον διὰ διλημμάτων, καθ' ὑπόθεσιν, ὅτι λυσιτελεῖ τὸ βοηθῆσαι, ἐάν τε γὰρ κρατήσωμεν, ἐάν τε μή· πολλάκις δὲ, φησὶν, καὶ τὸ ψηφίσασθαι λυσιτελοῦν δείκνυμεν· παράδειγμα δὲ τῆς κατὰ τὸ ἐκβησόμενον ἐξετάσεως πολλαχοῦ μὲν ἄν τις εὕροι ἐν τοῖς Δημοσθένους Φιλιππικοῖς· καὶ ἔτι ἐν τῷ ὑπὲρ Μεγαλοπολιτῶν· περιφανέστερον δὲ παρὰ τῷ Θουκυδίδῃ ἐν τῇ Περικλέους δημηγορίᾳ· [24] „πῶς οὖν," φησὶ, τῆς τε θαλάττης καὶ τῆς πόλεως δεῖ φυλακὴν ἔχειν, καὶ Πελοποννησίους, ὑπὲρ αὐτῶν ὀργισθέντας, πολλῷ πλέοσι διαμάχεσθαι· κρατήσαντες γὰρ αὖθις οὐκ ἐλάσσοσι μαχούμεθα, καὶ ἢν σφαλῶμεν, τὰ τῶν συμμάχων, ὅθεν ἰσχύομεν, προσαπόλλυται," καὶ τὰ ἑξῆς· τοσαῦτα μὲν εἰρήσθω περὶ τοῦ ἐκβησομένου· καλὸν δὲ καὶ τὸ [25] διαλεκτικὸν μάλα χωρὶς προσθεῖναι θεώρημα, κοινὸν ἅπασι τοῖς κεφαλαίοις· ὅταν γὰρ κατασκευάζειν τι βουλώμεθα, δεῖ προσόμοιον μὲν τῷ ἀποδεικνυμένῳ, ἔλαττον δέ τι εὑρόντας ἐκεῖνο κατασκευάζειν. ὅσα γὰρ ἂν εἴποι τις περὶ τοῦ ἐλάττονος, ταῦτα καὶ κατὰ τοῦ μείζονος ἐνεχθήσεται· καὶ τὸ ἔλαττον ἀναιρούμενον οὐκ ἀναιρεῖ καὶ τὸ μεῖζον· ὅταν δέ τι ἀνασκευάζωμεν, ἐκ τοῦ μείζονος ληπτέον τὴν κατασκευήν, ὡς τοῦ ἐλάττονος συναιρου-

---

24 I. 143. 25 Mon. τό. Par. 1. καὶ om.

μένου τῷ μείζονι· οἷον ἀμφότερα λάβωμεν ἐπὶ παραδείγματος· βουλόμεθα ἐγκωμιάζειν ὡς ἀνδρεῖον τὸν Ἕκτορα· τούτῳ παραζεύξαντες τὸν Αἰνείαν, πολλοὺς περὶ αὐτοῦ διεξίωμεν λόγους· ὅτι ἀνδρεῖος καὶ φοβερὸς τῷ Ἑλληνικῷ· δεδομένου γὰρ τοὐανδρειότερον καθεστάναι τὸν Ἕκτορα, ὅτι ἂν περὶ Αἰνείου λέγοιμεν, τοῦτο διπλασίως ἐπὶ τὸν Ἕκτορα φέρεται· ἀσθενοῦς δὲ τοῦ Αἰνείου δεικνυμένου οὐκέτι συνδιελέγχεται καὶ ὁ Ἕκτωρ· εἰ γὰρ ὁ Ἕκτωρ ἀνδρειότερος εἶναι πεπιστευμένος ἐξελεγχθείη δειλὸς ὢν καὶ ἀπόλεμος, καὶ τὸ Αἰνείου ἐξ ἀνάγκης συναποδείκνυται· ἴδωμεν καὶ ἐφ' ἑκατέρου παραδείγματος τὸ τοιοῦτο· δεδόσθω τὸ ναυμαχεῖν ἄμεινον καθεστάναι τῆς πεζικῆς μάχης, τί οὖν ἐθέλοιμεν προτρέπειν ἐπὶ τὸ ναυμαχεῖν; μυρία πεζομαχίας ἡμῖν λεγέσθω ἐγκώμια. τοῦ γὰρ ὁμολογουμένως ἐλάττονος χρηστοῦ δεικνυμένου, τὸ μεῖζον δήπουθεν μάλιστα αἱρετὸν καταλείπεται· χρηστέον οὖν τῷ θεωρήματι διὰ πάντων, ὅπως ἂν ἐγχωρῇ, τῶν κεφαλαίων.

κς'. Καθ' ὑπόθεσιν, φησὶ, τὸ ἐκβησόμενον λαμβάνεται ἐφ' ἑκάτερα τῶν ἀποβαινόντων ἀναγκαίως· ἐπειδὴ γὰρ εὔδηλον τῆς συμβουλῆς τὸ πέρας, τούτου δὲ τὴν ἀπόβασιν ζητοῦμεν ἀναγκαίως, τοῦτο ἀναπλάττειν προσήκει, ἵν' ὥσπερ ἐν ὀφθαλμοῖς αὐτὸ τῶν ἀκουόντων ποιήσαντες οὕτως τὴν λέξιν περαίνειν δυνηθῶμεν ἐφ' ἑκάτερα· οἷον ἐὰν μὲν ἐκεῖ πολεμήσωμεν ἐν τῇ χώρᾳ τῶν ἐχθρῶν, πολλὰ ἡμῖν ἀγαθὰ συμβαίνει· καὶ ὅτι διὰ τούτου τὴν χώραν ἀκέραιον ἕξομεν· ἐὰν δὲ ἐνταῦθα, τόδε τι δεινὸν καὶ τόδε συμβαίνει· τούτῳ δὲ διαφέρει τὸ ἐκβησόμενον τῆς ἐν τῷ συμφέροντι ἐκβάσεως· ἐν ᾗ φαμεν, ὅτι συμμαχησάντων μὲν ἡμῶν τόδε ἀποβήσεται· μὴ συμμαχησάντων δὲ τόδε, ὅτι ἐκεῖ μὲν τὴν ἀπόδειξιν ποιούμεθα τοῦ πράγματος, καὶ τὰ προσεχῆ ἐξετάζομεν τέλη, οἷον ὅτι συμφέρει Ὀλυνθίοις βοηθῆσαι· εἶτα ἡ ἐκ-

βασις, τοῦτο γὰρ ἡμῶν ποιησάντων ἐν Μακεδονίᾳ ἔσται ὁ πόλεμος, μὴ συμμαχησάντων δὲ τοῖς Ὀλυνθίοις ἐλθὼν εἰς τὴν Ἑλλάδα Φίλιππος πολεμήσει τὴν Ἀττικήν· ἐνταῦθα δὲ τοῦτο αὐτὸ λαμβάνοντες ὁμολογούμενον καθ' ὑπόθεσιν τὴν ἀπόβασιν αὐτοῦ ἐξετάζομεν, καὶ τῶν ἐκεῖ ἐξετασθέντων τελῶν τὰ τέλεια διασκοποῦμεν, ὅτι ἐν Μακεδονίᾳ μὲν πολεμοῦντες πλεῖστα κερδανοῦμεν, ἐν δὲ τῇ Ἀττικῇ τοῦ πολέμου συστάντος τάδε καὶ τάδε ἡμᾶς περιστήσεται τὰ δεινά· καὶ προτρέψαι δὲ καὶ ἀποτρέψαι ἱκανωτάτη ἐστὶν ἡ τοῦ ἐκβησομένου ἐξέτασις.

Cap. XXV.

Περὶ μεταλήψεως.

Προειπὰν [1] περὶ πραγματικῆς ὅτι διττή ἐστι κατὰ ἀκολουθίαν, ἐπήγαγεν· ἡ μετάληψις πάλιν· τὸ πάλιν εὐλόγως προστιθεὶς πρὸς τὰ προειρημένα· ἀλλ' εἰ ἐν τῇ μεταλήψει ἀεὶ ἀπὸ ῥητοῦ ἡ ζήτησις, τίνος χάριν τὴν μὲν ἔγγραφον, τὴν δὲ ἄγραφον ἐκάλεσεν, ὅτι ἐν μὲν τῇ ἀγράφῳ ἀποστάντος τοῦ ῥητοῦ περὶ τοῦ πράγματος ποιούμεθα τὴν ζήτησιν· ἐν δὲ τῇ ἐγγράφῳ περὶ αὐτὸ στρεφόμεθα τὸ ῥητόν. — Ἐν τῇ μεθόδῳ τελευταίαν ἔταξε τὴν μετάληψιν, ὡς πάσας περιέχουσαν ἅτε ἐμπιπτουσῶν τῶν ἄλλων στάσεων ἐν αὐτῇ. κ. τ. λ. Vol. V. p. 354, v. 29. — p. 355, v. 4.

α'. Ὅτι μὲν οὖν εἰκότως τὴν μέσην εἴληφε τάξιν ἥ τε πραγματικὴ καὶ ἡ μετάληψις μικταὶ [2] καθεστηκυῖαι,

---

1 In Par. 1. haec post litt. γ'. sequuntur, ita ut: ἐν τῇ μεθόδῳ τελευταῖαν — — — — τὴν εὐθυδικίαν praecedant: προειπὼν περὶ πραγματικῆς etc. sequantur. In Par. 2. inter schol. min. referuntur. 2 Mon. μιμηταί.

ἐδήλωσεν ἐν τῇ πραγματικῇ· δεῖ γὰρ τὸ μικτὸν μέσον εἶναι τούτων, ἀφ᾽ ὧν ἔχει τὴν μίξιν. Νυνὶ δὲ λεκτέον, ἀνθ᾽ ὅτου τῆς πραγματικῆς μετετάγη, τοῦ αὐτοῦ λόγου ἐπ᾽ ἀμφοτέρων διήκοντος· εἴη δ᾽ ἂν τῆς τοιᾶσδε πράξεως αἴτιον ἡ τῆς παραγραφῆς πρὸς τὰς νομικὰς πλείστη συγγένεια· τὸ μὲν γὰρ τῆς πραγματικῆς ἔγγραφον καθ᾽ ὁμοιότητα γίνεται τῶν νομικῶν, ἔχον καὶ ἰδίᾳ κεφάλαιον· φημὶ [3] δὴ τὰ περὶ τὸ νόμιμον· τὸ δὲ τῆς μεταλήψεως, τουτέστιν ἡ παραγραφὴ, κατὰ νομικήν τε γίνεται ὡς [ἐπὶ τὸ πλεῖστον· καὶ ἰδίοις [3*] οὐ χρῆται τὸ παράπαν, ἀλλὰ τῆς πραγματικῆς κεφαλαίοις· εἰ δὲ λέγοι τις καὶ [4] κατὰ στοχασμὸν γίνεσθαι πολλάκις καὶ κατὰ ὅρον παραγραφὴν, καὶ τοῖς ἐκείνων χρῆσθαι αὐτὴν κεφαλαίοις, ἀληθὴς ὁ λόγος· οὐ μὴν δεῖ ζητεῖν, εἰ γίνεται καὶ καθ᾽ ἑτέραν, ἀλλ᾽ ὡς οὐ κατὰ νομικὴν γίνεται, δεικνύτω· ἀλλ᾽ ἐρεῖ τις καὶ τὴν πραγματικὴν προϊέναι ποτὲ κατὰ νομικὴν στάσιν· ὅτε ἔγγραφόν ἐστιν δηλονότι, καὶ ἔγωγε σύμφημι· καὶ ἔδωκα [5] ἐν τῇ μεθόδῳ τούτου παράδειγμα, ἔνθα περὶ [6] τῆς παραγραφῆς διελεγόμην· ἀλλ᾽ ἡ μὲν πραγματικὴ διακεκριμένη φαίνεται, [7] ὥστε καὶ ἰδίοις, ὡς ἔφην, χρῆσθαι κεφαλαίοις· τὴν δὲ νομικὴν ἔξωθεν πρὸς κατασκευὴν ἑαυτῆς λαμβάνειν· ἡ δὲ παραγραφὴ συμπέπλεκται παντελῶς τῇ νομικῇ· καὶ ὅλως οὐδενὶ οἰκείῳ, ἀλλὰ τοῖς ἐκείνης ἐρείδεται κεφαλαίοις· ἄξιον δὲ ἐπιστάσεως, τίνα τρόπον πρὸ τῆς ἀπαριθμήσεως τῶν κεφαλαίων εὐθὺς ἐν ἀρχῇ περὶ τῶν εἰδῶν τεχνολογεῖ, ἐπὶ τῶν ἄλλων οὐχ οὕτως ποιεῖν εἰωθώς· τοῦτο δὲ εὐαπόλυτον· ἐπεὶ γὰρ ἐν τῇ μεταλήψει διαφόρῳ παντελῶς χρῆται διαιρέσει τὰ εἴδη, πρότερον

---

3 φημὶ δὴ τὰ περί τὸ νόμιμον — — — πραγματικῆς κεφαλαίοις Par. 1. om. 3* Mon. ἰδίως. scr. ἰδίοις. 4 καὶ Mon. om. 5 Mon. ἔδωκεν. 6 Mon. παρὰ. 7 φαίνεται Mon. om.

εἰκότως περὶ αὐτῶν διέλαβεν, [8] *ἵνα ἑκατέρῳ τὴν προσήκουσαν τῶν κεφαλαίων διαίρεσιν ἀπονείμῃ, ἐπεί τοι εἰ πρῶτον ἀπηριθμήσατο τὰ κεφάλαια, ἀνεχαιτίζετο ἂν ὁ λόγος αὐτῷ πυνθανομένων ἡμῶν, ποίου εἴδους ἐστὶ τὰ ἐκτεθειμένα.*

β΄. Ἔχομεν πρῶτον περὶ τῆς τάξεως ἀπορεῖν· ἀνθ᾽ ὅτου προτέραν ἔταξε τὴν παραγραφήν· ἡ δὲ ζήτησις, οἶμαι, οὐ τῶν εὐλύτων· οὐδὲ παρ᾽ ἑτέροις πρό γε ἡμῶν ἤρξατο· τίνα οὖν τὰ τῆς ἀπορίας, ἤδη λεκτέον, εἰ διὰ τὸ μικτὰς εἶναι τὴν μετάληψίν τε καὶ τὴν πραγματικὴν μέσας ἔταξεν, ἐπειδὴ τὸ μὲν αὐτῶν ταῖς λογικαῖς, τὸ δὲ ταῖς νομικαῖς κοινωνεῖ· ἐχρῆν δήπου προτέραν τετάχθαι τὴν ἄγραφον μετάληψιν τῆς ἐγγράφου, ὥστε πλησιάζειν ταῖς νομικαῖς τὸ ἔγγραφον τῆς μεταλήψεως, ὃ καὶ τὴν κοινωνίαν ἔχει πρὸς αὐτάς· καὶ ὅλως ὃν τρόπον αἱ λογικαὶ πρὸ τῶν νομικῶν, τὸν αὐτὸν ἐχρῆν καὶ τὴν ἄγραφον τετάχθαι πρὸ τῆς ἐγγράφου· διήκει δὲ ἡ ζήτησις καὶ ἐπὶ τὴν πραγματικήν· ῥητέον δὲ, ὡς οὐ τοσοῦτον εἴωθεν ὁ τεχνικὸς ἀποβλέπειν εἰς τὴν φυσικὴν ἀκολουθίαν, ὅσον εἰς τὸ τῆς διδασκαλίας ἀναγκαῖον· ἐπεὶ οὖν ὁ διαιρετικὸς λόγος ἀπαιτεῖ, πρῶτά γε τὰ σύντομον ἔχοντα τὴν διδασκαλίαν, δεύτερον δὲ τὰ πλείονος δεόμενα λόγου, εὐλόγως τὴν παραγραφὴν πρὸ τῆς μεταλήψεως παρέλαβεν· ἡ μὲν γὰρ οἰκείοις κεφαλαίοις ἐχρῆτο ἡ μετάληψις, καὶ περὶ ἑκάστου ἀναγκαίως ὑπῆρχε διαλαβεῖν· ἡ δὲ παραγραφὴ ἑτέρας ἐτέμνετο στάσεως κεφαλαίοις· τί οὖν ἐπὶ τῆς πραγματικῆς ἂν φαίημεν, ἢ δῆλον, ὡς κἀκεῖσε τὸ τῆς διδασκαλίας σαφὲς τὴν τοιάνδε τάξιν κατήπειγε· τῆς γὰρ ἐγγράφου πραγματικῆς ἴδιον τὸ νόμιμον ἔχειν κεφάλαιον, τῶν δὲ ἄλλων κοινῶν ἀμφοτέραις καθεστώτων, εἰ μὲν τὰ τῆς ἐγγράφου προτε-

---

8. Mon. διέλωμεν.

ρον ἔφραζεν, οὐκ ἂν συμπεριέλαβε καὶ τὸ τῆς ἐγγράφου ἰδίωμα· ἐν ᾧ δὲ καὶ περὶ τῆς ἐγγράφου διαλέγεται, κοινῇ τὰ ἀμφοῖν περιλαμβάνει κεφάλαια· τοῦτο δὲ πολλοὶ μὲν καὶ ἄλλοι, διαφερόντως δὲ Ἀθανάσιος ἀπορεῖ, πῶς τελείαν ἔφη τὴν παραγραφήν· ὁρῶμεν γάρ, ὡς τῶν παραγραφῶν αἱ μὲν τέλειαι, αἱ δὲ ἀτελεῖς· τέλειαι μέν, ὅταν αὐτὸ τὸ πρᾶγμα καθάπαξ ἐκβάλλωσιν, ἀτελεῖς δέ, ὅταν τὸ μὲν πρᾶγμα συγχωρῶσιν, ἀπό τινος δὲ τῶν περιστατικῶν τὸν ἀγῶνα παραγράφωνται· ὡς ἐν τῷ κατὰ Τιμάρχου Αἰσχίνου· λυθήσεται δὲ ἡ ἀπορία ὡς ἐν κρίσει τῆς μεταλήψεως κ. τ. λ. Vol. V. p. 355. v. 18, — 23.

γ΄. Τὴν μετάληψιν διελών, ὡς ἔφαμεν, εἰς τὸ ἔγγραφον καὶ ἄγραφον, φησίν, ὅτι ἡ ἔγγραφος μιᾷ τῶν νομικῶν ὑποπίπτει, καὶ κατ᾽ αὐτὴν διαιρεθήσεται, ἧς τὴν διαίρεσιν ἀναβάλλεται ἐν ταῖς νομικαῖς παραδιδόναι· πρῶτον δὲ τὸν παραγραφῆς ποιεῖται λόγον· καίτοιγε ἐχρῆν τὸ ὁμώνυμον τῷ γένει πρῶτον διδάξαι· ἀλλ᾽ ἐπειδὴ ἡ μὲν παραγραφὴ ἀπὸ τοῦ ῥητοῦ τὸ κράτος ἔχει καὶ περὶ τοῦτο τὴν πᾶσαν σπουδήν, ὅπερ ἄτεχνος πίστις, ἡ δὲ μετάληψις οὐκ ἀπὸ ῥητοῦ, ἀλλ᾽ ἀπό τινος τῆς περὶ τὸ ῥητὸν περιστάσεως, ὃ τῆς ἐντέχνου πίστεως, εἰκότως ἡ παραγραφὴ τῆς μεταλήψεως προτετίμηται.

δ΄. Ἐνταῦθα γενόμενος ὁ ἡμέτερος Παῦλος τάχα ἂν δικαίως ὁμηρίζων ἔφη·

νῦν αὖτε σκοπὸν ἄλλον, ὃν οὔπω τις βάλεν ἀνήρ,
εἴσομαι αἴκε τύχοιμι, [9]

πάντων γὰρ ἑξῆς ὑποδραμόντων τὸ χωρίον, καὶ τοσοῦτον μόνον ἐπιμνησθέντων, ὡς γίνεταί ποτε καὶ κατὰ στοχασμὸν παραγραφή, αὐτὸς ἐπλάτυνέ τε τὴν ἀπορίαν καὶ ἀδύνατον οὐ κατέλιπεν· εἰ γὰρ κατὰ τὴν κοινὴν ἁπάντων παράδοσιν γίνεται κατὰ τέσσαρας ἡ παραγραφὴ στάσεις, κατὰ ῥητὸν καὶ διάνοιαν καὶ ἀμφιβολίαν, καὶ ὅρον καὶ

9 Od. X, 6.

στοχασμόν, παραλιπεῖν δοκεῖ ὁ τεχνικὸς τὴν κατὰ στοχασμὸν παραγραφὴν, οὐ μέμψεως ἀπηλλάχθαι· ῥητέον δὲ ὡς ἀκριβῶς ἀναθεωροῦντι κατὰ στοχασμὸν οὐκ ἄν ποτε εἴη παραγραφή· ὃ καὶ αὐτὸς διαθρήσας τὸ τοιοῦτον εἶδος παρῆκε· σκοπῶμεν γὰρ οὕτως· παντὶ ῥητῷ δεῖ τινα ὑποκεῖσθαι περίστασιν, εἰ μέλλει [10] ἐν ὑποθέσει ἀλλὰ μὴ ἐν θέσει λαμβάνεσθαι· ὅταν γὰρ αὐτὸ ἐφ' ἑαυτὸ τὸ ῥητὸν ἀμφισβητῆται, θετικὴ γίνεται ἡ κατ' αὐτὸ [11] ἐξέτασις κατὰ νόμου εἰσφοράν· οἷον εἰ δημηγορητέον τοῖς τὰ πατρῷα κατεδηδοκόσιν, εἰ πολιτευτέον τοῖς ἡταιρηκόσι· παντὸς τοίνυν ῥητοῦ ἔχοντός τινα ὑποκειμένην περίστασιν, εἰ μὲν [12] κατ' ἄμφω γίνεται ἡ ἀμφίσβητησις, καὶ κατὰ τὸ ῥητὸν καὶ κατὰ τὴν παράστασιν νομικὴ πάντως ἀναφανεῖται ἡ στάσις· οἷον νόμος μὴ ἀνιέναι ξένον ἐπὶ τὸ τεῖχος· ἀνελθών τις ἠρίστευσε καὶ ὑπάγεται τῷ νόμῳ, ἐνταῦθα γὰρ [13] νόμος μὲν μὴ ἀνιέναι ἐπὶ τὸ τεῖχος· περίστασις δὲ, τὸ ἀνελθόντα ἠριστευκέναι καὶ ἀμφισβητεῖται ἑκάτερον· ὁ μὲν νόμος, εἰ περὶ πάντων διαγορεύει, ὁ ἀνελθὼν εἰ ἠδίκησε καὶ παρέβη τὸν νόμον· ὁμοίως [14] καὶ ἐπὶ τοῦ συλλογισμοῦ· νόμος τὸν ἐκ πόρνης μὴ λέγειν· ἐκ πόρνου τις γενόμενος λέγειν κωλύεται· καὶ ὅλως τὸν αὐτὸν τρόπον ἐπὶ τῆς νομικῆς· εἰ δὲ περὶ τοῦ ῥητοῦ μὲν μὴ ἀμφισβητοῖμεν, περὶ μόνης δὲ τῆς περιστάσεως, τοῦτο λογικῆς δήπουθεν στάσεως· οἷον νόμος ἀποτυμπανίζεσθαι τὸν φονέα, εὑρέθη τις ἐπ' ἐρημίᾳ ἐπὶ νεοσφαγεῖ σώματι ξίφος κατέχων, καὶ κρίνεται, φησίν· δῆλον γὰρ, ὅτι στοχαστικὸν τὸ ζήτημα· τοῦ μὲν ῥητοῦ παντελῶς ὁμολογουμένου, περὶ δὲ τὴν περίστασιν τῆς ὅλης συνι-

---

10 Par. 1. *μέλλοιμεν ὑποθέσει.* 11 Post *αὐτὸ* Mon. habet *δέ.* 12 *εἰ μὲν κατ' ἄμφω γίνεται — — κατὰ τὴν παράστασιν* Par. 1. om. 13 Mon. *δέ.* 14 Mon. *ὁ μέν.*

σταμένης ζητήσεως· προσάγομεν τοίνυν ἑπομένως τῇ παραγραφῇ τὸν λόγον· ὅτι μὲν οὖν περὶ μόνον τὸ ῥητὸν οὐκ ἂν ἔχοι τὴν ζήτησιν, καταφανὲς, θετικὸν γὰρ εἶναι τὸ τοιοῦτον ἐφάσκομεν, ἀλλ' οὐδὲ μὴν περὶ τὴν περίστασιν μόνην· τοῦτο γὰρ ταῖς λογικαῖς παρείπετο· πᾶσα δὲ παραγραφὴ ἔγγραφος, λείπεται ἄρα καὶ περὶ τὸ ῥητὸν καὶ τὴν περίστασιν γίνεσθαι ἐν αὐτῇ τὴν ἀμφισβήτησιν· ὅπου δὲ περὶ ἀμφοῖν ἡ ζήτησις, νομικὴν γενέσθαι στάσιν ὁ λόγος ἀποδεικνύει· ὥστε πᾶσα παραγραφὴ κατὰ νομικὴν εὑρεθήσεται στάσιν. πῶς οὖν ὁ τεχνικὸς προσετίθει, ὡς ἔστιν ὅτε καὶ ὁρικῶς; καὶ ἐροῦμεν, ὡς κἀν ταῖς τοιαύταις παραγραφαῖς, λέγω ταῖς ὁρικῶς προφερομέναις, ἀνάγκη ῥητὸν καὶ διάνοιαν ὑποκεῖσθαι· εἶτα πλατύνεσθαι ταύτην ὁρικῶς· καὶ γὰρ τὸ ὁρικὸν κεφάλαιον ἐμπίπτει πάντως ἐν τῇ κατὰ ῥητὸν καὶ διάνοιαν· ὡς οὖν εἰς τὴν πρώτην ἐργασίαν ἀπιδὼν προσέθηκε τὸ ἔστιν ὅτε ὁρικῶς· ἀντὶ τοῦ ἔστιν ὅτε τοῦ ῥητοῦ καὶ τῆς διανοίας ὁρικῶς πλατυνομένου, ἀμέλει τοι οὐκ εἶπεν, ὡς ἔστιν ὅτε κατὰ ὅρον λαμβάνεται, ἀλλὰ ὁρικῶς, φησὶν, τέμνεται· καὶ ὅλως, ἵνα μὴ μακρολογῶ, πλείστη συμπλοκὴ ὅρου καὶ ῥητοῦ διανοίας· τοιγαροῦν πᾶσα ἀνάγκη ἐν ὅρῳ ὑποκεῖσθαι καὶ ῥητὸν καὶ διάνοιαν· τί γὰρ ἕτερόν ἐστιν ἡ γνώμη τοῦ νομοθέτου· ἥτις ἐστὶν κεφάλαιον ὁρικὸν, καὶ αὖ πάλιν ἐν ῥητῷ καὶ διανοίᾳ τὸ ὁρικὸν κεφάλαιον· [15] τὸ μὲν οὖν παρὰ τῷ τεχνικῷ χωρίον οὕτω πάσης ἐκαθάρθη ζητήσεως, ὀρθῶς τε καὶ ἀκριβῶς ἔχειν ἀποδειχθέν. ἐπεὶ δὲ πολλοῖς τε καὶ ἄλλοις καὶ ἡμῖν νῦν αὐτοῖς ἐναντιοῦσθαι ἐδόξαμεν, παρεθέμεθα γὰρ ἐν τῇ μεθόδῳ καὶ κατὰ [16] στοχασμὸν παραγραφὴν, ἀναγκαῖον οἶμαι καὶ περὶ τούτου ποιήσασθαί

15 Par. 1. αὖ πάλιν ὁρικὸν κεφ. ἐν ῥητῷ κ. δ. 16 κατὰ Mon. om.

τινα λόγον· ἀκριβεῖ μὲν οὖν θεωρίᾳ οὐκ ἂν γένοιτο κατὰ στοχασμὸν παραγραφὴ, ἑτέρῳ μέντοι λόγῳ παρελήφθη καὶ τὸ τοιοῦτον εἶδος ὑπὸ τῶν τεχνικῶν· ἐπεὶ γὰρ κατενόησαν παραγραφήν τινα, [17] αὐτὴν μὲν ἐφ' ἑαυτῆς κ. τ. λ. Vol. V. p. 356. v. 9. — 24. πρὸς δὲ τούτοις ἐν τῇ κατὰ φύσιν ἀμφισβητουμένῃ παραγραφῇ διπλῶς ἔφαμεν τὴν ἀμφισβήτησιν ἀνάγκη γενέσθαι, καὶ συμπεπλεγμένην ἀπὸ τοῦ ῥητοῦ [18] καὶ τοῦ ὑπευθύνου τῷ ῥητῷ, τουτέστι τῆς περιστάσεως· καὶ προηγεῖται μὲν τὰ τοῦ ῥητοῦ· ἕπεται δὲ ἀκολούθως τὰ περὶ τοῦ εὐθυνομένου· ἐπὶ τοίνυν [19] τῶν στοχαστικῶν λεγομένων παραγραφῶν, ἐπειδὴ ἠπορήσαμεν τῶν τὰ προτερεύοντα μέρη τῆς ζητήσεως ποιουσῶν, τουτέστι τῶν περὶ αὐτὸ τὸ ῥητὸν, ἐν οἷς καὶ ἡ κυρία τῆς παραγραφῆς ἀμφισβήτησις γίνεται, μετειλήφαμεν ἀντ' ἐκείνων τὰ δεύτερα τοῦ περὶ εὐθυνομένου, καὶ τὴν τῶν προτέρων τάξιν ἀποδιδόντες αὐτοῖς ἐπὶ τὴν παραγραφικὴν συνάγομεν ἀμφισβήτησιν αὐτά· οὐ κατὰ φύσιν, ἀλλ' ὥσπερ ἰώμενοι τὴν ἔλλειψιν τῶν κυριωτέρων, καὶ ἀποχρώμενοι τοῖς εὑρεθεῖσιν, ἀμωσγέπως κοινωνοῦσι τῷ προκειμένῳ κατὰ ζήτησιν· οὕτω μὲν οὖν ταῦτα ἐπελυσάμεθα· ἔτι δὲ κἀκεῖνο ζητητέον, ὡς τριῶν κ. τ. λ. Vol. V. p. 356. v. 25. — p. 357. v. 2.

ε'. Σημειωτέον, ὅτι οὐ μόνον ἡ παραγραφὴ κατὰ μίαν τῶν νομικῶν ἐξετάζεται κατὰ τὸ πρότερον ζήτημα, τουτέστι τὴν παραγραφὴν, ἀλλὰ καὶ ὁριστικῶς, καὶ στοχαστικῶς· ὁριστικῶς μὲν οὕτως· νόμος τὸν ἡταιρηκότα μὴ πολιτεύεσθαι. Τίμαρχος ἡταιρηκὼς καὶ διδάσκων γράμματα κωλύεται· ζητεῖται γὰρ ἐνταῦθα, εἰ ταὐτὸν τῷ [20] πολιτεύεσθαι τὸ γράμματα διδάσκειν, καὶ ὁριστικῶς κατὰ τὸ πρῶτον ζήτημα ὁ λόγος προέρχεται· στοχαστικῶς δὲ, οἷός ἐστιν ὁ κατὰ Τιμάρχου, ὃς ἐγράψατο Αἰσχίνην

17 Par. 1. τινα παραγραφήν. 18 Mon. ἀπὸ τούτου. 19 τοίνυν Par. 1. om. 20 Mon. ταὐτοῦ πολιτεύεσθαι.

παραπρεσβείας, ὁ δὲ τὴν ἑταίρησιν αὐτῷ ἐγκαλῶν παραγράφει· στοχαστικῶς γὰρ ἐκεῖσε ζητεῖται, εἰ Τίμαρχος ἡταίρηκεν ἢ μή· φησὶν οὖν ὁ τεχνικὸς, ὅτι ἔσθ' ὅτε καὶ ὁριστικῶς τέμνεται καὶ στοχαστικῶς· ἀλλ' εἰ καὶ κατὰ ὅρον καὶ στοχασμὸν πολλάκις τὸ πρῶτον ζήτημα γίνεται, ἀλλ' οὖν ἀπὸ νόμου πάντως τὴν ἀρχὴν λαμβάνει· καθὸ μὲν γὰρ ἀπὸ ῥητοῦ ἔχει πᾶσα παραγραφὴ τὴν ἀρχὴν, ἀπὸ νόμου πάντως λαμβάνεται, καὶ νομικῇ ὑποπίπτει στάσει καὶ κατὰ τοῦτο ὑγιὴς ὁ Ἑρμογένους κανὼν, ὅτι ἡ ἔγγραφος κατὰ μίαν τῶν νομικῶν ἐξετάζεται, καθὸ δὲ πλατυνομένη κ. τ. λ. Vol. V. p. 357. v. 9. — p. 358. v. 2. σκοπῶμεν δὲ οὕτως· παντὶ ῥητῷ δή τινα ὑποκεῖσθαι περίστασιν, εἰ μέλλοι ἐν ὑποθέσει, ἀλλὰ μὴ ἐν θέσει λαμβάνεσθαι· ὅταν γὰρ αὐτὸ [21] ἐφ' ἑαυτοῦ τὸ ῥητὸν ἀμφισβητῆται, θετικὴ γραφὴ ἡ κατ' αὐτὸ ἐξέτασις κατὰ νόμου εἰσφορὰν, οἷον εἰ δημηγορητέον τοῖς τὰ πατρῷα κατεδηδοκόσιν· πᾶν τοίνυν ῥητὸν περίστασίν τινα ἔχει, ὡς ἐπὶ τοῦ ξένου τοῦ ἐπὶ τὸ τεῖχος ἀνελθόντος· ἐνταῦθα γὰρ νόμος μὲν τὸ μὴ [22] ἀνιέναι, περίστασις δὲ, τὸ ἀνελθόντα ἠριστευκέναι, ἀμφισβητεῖται γὰρ ἑκάτερον· ὁ γὰρ νόμος περὶ παντὸς διαγορεύει ξένου, ὁ δ' ἀνελθὼν ἠδίκησε τὸν νόμον παραβάς· εἰ μὲν οὖν κατ' ἄμφω γένοιτο ἡ ἀμφισβήτησις, κατά τε ῥητὸν καὶ κατὰ περίστασιν, νομικὴ πάντως ἀναφαίνεται στάσις, ὡς ἐν τούτῳ· εἰ δὲ περὶ ῥητοῦ μὲν μὴ ἀμφισβητοῦμεν, περὶ μόνης δὲ τῆς περιστάσεως λογικὴν ποιήσομεν στάσιν, οἷον νόμος τὸν φονέα κολάζεσθαι, εὑρέθη τις ἐπ' ἐρημίας ξιφήρης νεοσφαγεῖ σώματι παρεστηκὼς, καὶ κρίνεται φόνου, δῆλον γὰρ ὅτι στοχαστικὸν τὸ ζήτημα περὶ τὴν περίστασιν, οὐ περὶ τὸ ῥητὸν τῆς ζητήσεως οὔσης, ὡμολόγηται γὰρ τὸ ῥητόν· ἡ τοί-

21 Mon. αὐτοῦ ἐφ' ἑαυτοῦ. Par. 1. αὐτὸ ἐφ' ἑαυτό. v. 17. Mon. πρῶτα. scr. πατρῷα. tum Mon. παράστ. scr. περίστ. 22 μὴ Mon. om.

νυν παραγραφή, ὅτι μὲν μόνον περὶ τὸ ῥητὸν οὐκ ἔχει τὴν ζήτησιν, καταφανές, θετικὴ γὰρ ἂν ἐφαίνετο, ἀλλ' οὐδὲ περὶ γυμνὴν τὴν περίστασιν, λογικῆς γὰρ τοῦτο στάσεως, πᾶσα δὲ [23] παραγραφὴ ἔγγραφος, λείπεται ἄρα καὶ κατὰ τὸ ῥητὸν καὶ κατὰ [24] τὴν περίστασιν γίνεσθαι ἐν αὐτῇ τὴν ἀμφισβήτησιν· ὅπου δὲ ταῦτα, νομική ἐστιν ἡ στάσις, ὥστε καὶ ἡ παραγραφή· ἡ ἔγγραφος δὲ αὕτη μετάληψις ἴδια κεφάλαια οὐκ ἔχει.

ς'. Δύο ἀεὶ ζητήματά ἐστι κ. τ. λ. Vol. V. p. 358. v. 2. — 13. Καὶ οὕτως [25] εὕρηται εἴσω τῶν τριάκοντα τοῦ κυριωθῆναι ἡμερῶν ἀντιλέγειν· μετὰ ταῦτα δὲ μὴ ἐξέστω· χρήσεται γὰρ ὁ μὲν πλούσιος τῷ ῥητῷ λέγων· ὅτι ἄχρι λ' ἡμερῶν εἶπε κατηγορεῖν· ὁ δὲ πένης τῇ διανοίᾳ. — Ταῦτα γὰρ πραγματικῆς ἴδια, καὶ καθόλου ἔνθα ἂν ἔχωμεν παρὰ νόμον γραφὴν, καὶ οὐ μόνον ἂν ἔχωμεν νόμον, ἀλλὰ καὶ ψήφισμα.

ζ. Τὸ δὲ μετὰ τὴν παραγραφὴν, τουτέστιν ἡ εὐθυδικία, κατὰ λογικὴν, φησὶ, γίνεται· περιφανὲς δ' οἶμαι τὸ ἐντεῦθεν ὑφορμοῦν, πλεῖστόν γε δήπουθεν εἰς ἀπορίαν τὴν ἄρτι ἡμῖν ἀπολελυμένην παρενεγκὸν ζήτησιν, ὥστ' εἰ μὴ τῆς Παύλου ἐπέτυχε δεξιώσεως, τάχα ἂν μέχρι παντὸς ἔμενεν ἄλυτον, πῶς γὰρ κατὰ μίαν γίνεται τῶν λογικῶν ἡ εὐθυδικία; ἔγνωμεν γὰρ ὡς ἡ παραγραφὴ πᾶσαν ἐκβάλλειν δύναται στάσιν, οὐ λογικὴν μόνον, ἀλλὰ καὶ νομικὴν, καὶ ἁπλῶς εἰπεῖν, ἅπασαν, ὅπου γε δὴ καὶ αὐτὴ ἑαυτὴν, καθάπερ ὑπεσχόμην, καὶ δέδωκα ἐν τῇ μεθόδῳ παραγραφῆς κατὰ παραγραφὴν παράδειγμα· τοιαῦτα μὲν οὖν τὰ τῆς ἀπορίας· τὸ δὲ ῥητορικῆς ἄγαλμα, Παῦλος, ὡδί πως τὸ χωρίον ἐκάθηρε τῆς ζητήσεως· ὁ τεχνικὸς, φησὶν, βαθυτέρας ἁπτόμενος θεωρίας, οὐχ

ἁπλῶς

---

23 δὲ Mon. om. 24 κατὰ Mon. om. 25 καὶ οὕτως εὕρηται usque ad litt. ζ'. inter Sch. min. habent Parr.

ἁπλῶς τὸ νομικὸν ἢ τὸ λογικὸν παρέδραμεν, οὐ γὰρ ἐκ τῶν κατασκευαστικῶν, οὐδὲ ἐκ τῆς ἑτέρων συμπλοκῆς λαμβάνομεν τὰς λογικὰς ἢ τὰς νομικὰς, ἢ ὅλως τὰς φύσεις τῶν στάσεων, ἀλλ' ἐκ τοῦ σκοποῦ καὶ τοῦ τέλους, ἐφ' ὃ ῥέπουσι· τοῦτο δέ ἐστι τὸ κατασκευαζόμενον· οὕτω γὰρ καὶ πραγματικῆς δέδωκεν ἐν τῇ μεθόδῳ παράδειγμα, τὴν ὅλην κατασκευὴν στοχαστικὴν διαλαμβανούσης· δῶμεν τοίνυν, τίς ὁ σκοπὸς τῆς [26] παραγραφῆς· ἢ δῆλον, ὅτι ἡ τοῦ ἀγῶνος ἐκβολή· τὴν ἑαυτῆς ἄρα φύσιν ἀποβάλλει ἡ εὐθυδικία παρά τι καὶ περίεργος καθεστηκυῖα τό γε ἐπὶ τῇ προκειμένῃ ζητήσει· ἕτερον γὰρ τὸ ζητούμενον, τουτέστιν εἰσαγώγιμος ἡ δίκη· ὅπου γε πολλάκις καὶ χωρὶς τῆς εὐθυδικίας προάγεται ἡ παραγραφὴ, ὡς ἔχει ὁ κατὰ Τιμάρχου Αἰσχίνου· ἐπεὶ οὖν ἀπέβαλε τὴν ἑαυτῆς φύσιν ἡ εὐθυδικία, κἂν [27] τὰ μάλιστα νομικὴ ἐτύγχανεν οὖσα, οὐκέτι τὴν διαφορὰν ταύτην παρατηρεῖν οἵα τε ἦν, φησὶ, τὴν καθ' ἣν ὠνομάζετο νομικὴ, ἀλλ' εἰς τὸ γενικὸν ἐνέπιπτε λογικὴ γενομένη· πᾶσα γὰρ στάσις λογικὴ κατὰ τὸ γενικώτερον, ἐπεὶ καὶ αὐτὴ ἡ ῥητορικὴ περὶ τὴν ζήτησιν γίνεται νομικὴ. ὥστε πᾶσα μὲν νομικὴ σαφὲς ὅτι καὶ λογικὴ, οὐκ εἴ τις δὲ λογικὴ, αὕτη πάντως καὶ νομική· ἀποστᾶσα δ' οὖν, ὅπερ ἔφην, τῆς οἰκείας φύσεως εὐθὺς ἐλέγετο λογικὴ, εἰ γὰρ καὶ νομικήν τινα λάβοιμεν ἐν τῇ εὐθυδικίᾳ, ὡς λογικὴν αὐτὴν διαιρήσομεν, παραλιπόντες τοὺς νόμους, ἐπεὶ βραχεῖαν ποιούμεθα τὴν περὶ αὐτῆς ἐξέτασιν, ὅσον τὴν καθ' ἡμῶν ἀπόνοιαν τῶν δικαστῶν ἀποτρίψασθαι, ἵνα μὴ δοκῶσιν ἀπορίᾳ τῶν δικαίων ἰέναι ἡμᾶς ἐπὶ τὴν παραγραφήν· διόπερ ὁ πάνσοφος Ἑρμογένης τὸ μετὰ τὴν παραγραφὴν ζήτημα ἔφη κατά τινα διαιρεῖσθαι τῶν λογικῶν στάσεων. Ἐμπέπτωκε δὲ ἐνταῦθα καὶ δεύτερόν τι ὡς παραγραφικόν·

---

26 Mon. περὶ τῆς. 27 κατὰ Par 1.

ἐπελάβετό τις αὐτοῦ, ὡς οὐκ ὀρθῶς παραγραφικὸν εἰπόντος, τελεία γὰρ, φησὶν, ἐμπέπτωκε παραγραφὴ, ἐκβάλλουσα τὸν ἀγῶνα· ὅτι οὐκ ἔχων τὰ πέντε τάλαντα οὐ δύνασαι λέγειν· ἐπιεικῶς δὲ τοῦτο ἠλίθιον· ἡ μὲν γὰρ παραγραφὴ ὁμολογούμενον ἔχειν βούλεται τὸ ῥητὸν, τοῦτο δὲ ἀμφιβάλλεται· αὐτὸ γὰρ τοῦτό ἐστι τὸ ζητούμενον, πότερον ἄκυρον εἶναι δεῖ τὸν νόμον, ἢ κύριον, διὸ οὐδὲ τὸ παραγραφικον ἄντικρυς αὐτὸ ἀπεφήνατο, ἀλλ' ὡς παραγραφικόν· καὶ γὰρ τὸ παραγραφικὸν ἐθέλει ἐξ ὁμολογουμένου τινὸς ἄρχεσθαι.

ή. Τουτέστιν ἀπ' αὐτῆς λυθήσεται τῆς περιστάσεως· ὅτι περὶ αὐτοῦ τῆς ζητήσεως ἔτι καθεστηκυίας οὐχ οἷόν τε ἤδη ὡς κυρίῳ χρῆσθαι· ἐμνήσθη δὲ τῆς λύσεως αὐτοῦ οὐχ ἁπλῶς, ἀλλ' ἐπεὶ οὐδὲ ὡς κεφάλαιον, οὐδὲ ὡς στάσις ἐνέπιπτεν, ἐκεῖνα γὰρ φανερὰν ἔχει τὴν λύσιν· ἡ μὲν οὖν φύσις παντελῶς ἐπιδέδεικται τῆς παραγραφῆς, κεφαλαίοις δὲ ἰδίοις, καθάπερ ἀνωτέρω ἔφην, οὐ τέμνεται· εἰ καὶ τὰ μάλιστα ὁ Μητροφάνης αὐτῇ διδόναι ἐπιχειρεῖ τό τε κατ' ἐπαγγελίαν καὶ τὸ ἐκ τοῦ ἀποβησομένου· τοῦ μὲν φεύγοντος, εἰ μὴ [28] προσδέξαιντο τὴν παραγραφὴν, ἐπαγγελλομένου συχνὰ ἠδικηκότα [29] τὸν ἀντίδικον [30] ἐξελέγξαι, τοῦ δὲ κατηγόρου μὴ ἂν ἐπὶ τὴν παραγραφὴν ἐλθεῖν λέγοντος, εἴπερ μὴ ἐντεῦθεν δεινότατον ἁπάντων ἀποβαῖνον ἑώρα, τὸ παῤῥησίας τοὺς κακοήθεις ἐπιλαμβάνεσθαι· χρὴ δὲ τὰ τοιαῦτα οὐ κεφάλαια ἐπιχειρήματα ,δὲ οἴεσθαι μᾶλλον.

θ'. Λύσει, φησὶ, ταῦτα τὸν χρόνον μεταλαβὼν, ὅτι ἔτι ἀμφιβόλου ὄντος, εἰ χρὴ κύριον εἶναι τὸν νόμον, πῶς δυνατὸν ὡς κυρίῳ χρῆσθαι, κατὰ φύσιν δὲ τοῦ πράγματος τὴν τοιαύτην εἶπε γενέσθαι λύσιν, δι' ὧν φησιν· δῆλον δὲ ὡς καὶ πρὸς τοῦτο ἀπαντήσεται τῇ φύ-

---

28 Mon. μέν. 29 Mon. ἐπαγγελλομένη συχνῷ ἠδικηκότος. 30 Par. 1. τὸν Μειδίαν.

σει τοῦ πράγματος, ὅτι οὐκ ἐξ ἐπιχειρημάτων, οὐδὲ κατασκευῆς περιττῆς, ἀλλ᾽ ἐξ αὐτῶν τῶν ὑποκειμένων. [31]

ί. Τῶν κεφαλαίων λέγει τῆς μεταλήψεως· ἔστιν δ᾽ ἡ προβολὴ τοῦ κατηγόρου, τὸ δὲ παραγραφικὸν τοῦ φεύγοντος, ἀντιληπτικῶς εἰσαγόμενόν τε καὶ πλατυνόμενον, ἡ μετάληψις τοῦ κατηγόρου, ὁ συλλογισμὸς τοῦ φεύγοντος, ὁ ὅρος τοῦ κατηγόρου· διαιρεῖται δὲ ἀντιθέσει ἀντεγκληματικῇ ἀεὶ ἐν μεταλήψει ἐμπιπτούσῃ· καὶ λύσει μεταληπτικῶς· ἔστι δ᾽ ἡ μὲν ἀντίθεσις τοῦ φεύγοντος, ἡ μετάληψις δὲ τοῦ κατηγόρου, πρὸς ἣν ἡ ἀντίληψις, ἥ ἐστι τοῦ φεύγοντος· ἡ θέσις κοινὴ, καὶ ἡ ποιότης καὶ ἡ γνώμη ὁμοίως.

ιά. Τὴν μὲν φύσιν τῆς μεταλήψεως, τὴν διαφορὰν ἣν ἔχει πρὸς τὴν παραγραφὴν, καὶ ὅλως τὴν πᾶσαν αὐτῆς θεωρίαν ἐν τῇ μεθόδῳ παρεξεθέμεθα, νῦν δὲ, ὅπερ ἐλείπετο, εἰς τὴν περὶ [32] τῶν κεφαλαίων εἰσβαλοῦμεν τεχνολογίαν.

ιβ΄. Περὶ τῆς προβολῆς ἤδη πολλάκις διείλεγμαι, ὅτι ἐκ τῶν περιστατικῶν λαμβανόμενον αὔξησιν ἐργάζεται τὸ κεφάλαιον· ἔχει μέντοι διαφορὰν ἐνταυθοῖ· οὐ γὰρ ὡς ἐπὶ τῶν ἄλλων στάσεων πεφεισμένως ἐν τῇ προβολῇ χρώμεθα ταῖς αὐξήσεσι, τὸν αὐτὸν τρόπον κἀπὶ τῆς μεταλήψεως· ἀλλὰ διὰ πάντων, ὡς ἐνὸν, τῶν αὐξητικῶν ἐκφέρομεν· καὶ ἡ αἰτία περιφανής· ἐπὶ μὲν γὰρ τῶν ἄλλων ἕτερον κεφάλαιον τὴν πλείονα τῶν περιστατικῶν ἐξέτασιν διεδέχετο, ὥσπερ τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους· ἐνταῦθα δὲ τῶν ἄλλων οὐχ εὑρισκομένων, εἰκότως τῇ προβολῇ τὸ ὅλον [33] ἀποδέδοται τῆς αὐξήσεως.

ιγ΄. Καλῶς προσέθηκε τὸ ἀπο ῥητοῦ, ἴδιον ποιῶν τῆς μεταλήψεως τὸ κεφάλαιον· τὸ μὲν γὰρ παραγραφι-

---

31 Sequuntur sch. min., quae invenies Vol. V. p. 358. v. 14 — 20. 32 Mon. παρά, Par. om. 33 Par. 1. τὸν ἀποδέδοται.

κὸν, ὃ ψιλῶς ὀνομάζεται στοχαστικὸν κεφάλαιον [34] καθεστὼς, οὐδέποτε ἀπὸ ῥητοῦ γίνεται· τοῦτο δὲ μεταλήψεως ὂν ἀπὸ ῥητοῦ πάντως ἄρχεται, ἐπεὶ καὶ πᾶσα μετάληψις ἀπὸ ῥητοῦ λαμβάνει τὴν ἀρχὴν, οἷον ἴδωμεν ἐπὶ παραδείγματος τὸ κεφάλαιον· ἀριστεὺς ᾔτησε πολίτου φόνον, ἔλαβεν, εὕρηται προαπεκτονὼς αὐτὸν, καὶ φόνου φεύγει· τὸ παραγραφικὸν ἐνταῦθα λαμβάνεται ἀπὸ τοῦ ψηφίσματος, ὅτι οὐ δώσω λόγον ὑπὲρ τοῦ δοθέντος εἰς ἀναίρεσιν διὰ τοῦ ψηφίσματος· κατασκευάζεζεται δὲ ἐκ τῆς ποιότητος τοῦ πεπονθότος, ὅτι τοιοῦτος ἦν, ὥστε κἀμὲ διὰ σπουδῆς ἐνεγκεῖν τὸν ἐκείνου φόνον, καὶ τὸν δῆμον ἑτοιμότατον πάσχειν· πολλάκις δὲ ἐκ τῆς τοῦ πράγματος ἐπιχειρήσομεν ποιότητος, ἐπειδὰν ὁμολογούμενον ᾖ τὸ ἀδίκημα, οἷον ἱεροσυλία, τυραννίς· τότε γὰρ ὥσπερ τινὰ κοινὸν τόπον περανοῦμεν, κατὰ ἱεροσύλου ἢ τυράννου, σφόδρα μέν τοι πεφεισμένως· ἐπὶ γὰρ τῶν τοιούτων ἡ ἀντίθεσις ἀντεγκληματικὴ ἐμπίπτει, ἔνθα τῇ τοπικῇ [35] ἐνδιατρίψομεν ἐξετάσει· πλατύνεται οὖν τὸ παραγραφικὸν διὰ τῆς τῶν νόμων ἐκθέσεως· οἷον εἰ ἔχομεν πολλοὺς κατὰ τοῦ ἱεροσύλου νόμους διδόναι, ἢ κατὰ τυράννου· χρὴ γὰρ πλατύνειν τὸ κεφάλαιον, ἵνα φερόμενον πρὸς τὴν προβολὴν ἀντίπαλον ᾖ καὶ τῷ πλήθει τῶν λόγων.

ιδ΄. Τοῦ κεφαλαίου μόνον ἐπέδειξε τὴν δύναμιν, οὐχ ὡρίσατο δὲ, τί ἐστι προβολή· προεῖπε γὰρ ἐν τοῖς ἔμπροσθεν, ἀλλ᾽ ἐν μὲν ταῖς ἄλλαις στάσεσι μετὰ μερικῆς αὐξήσεώς ἐστιν ἡ προβολὴ, ἐνταῦθα δὲ μετὰ τῆς ἐνδεούσης [36] αὐξήσεως, καὶ τὸ αἴτιον πρόδηλον· ἐν μὲν γὰρ ταῖς ἄλλαις ἡ πηλικότης καὶ τὸ πρός τι τὴν αὔξησιν ἐμποιεῖ, ἐνταῦθα δὲ [37] ἐν τῇ προβολῇ παραλαμβάνεται, [38] μὴ οὔσης μήτε πηλικότητος, μήτε πρός τι· προσ-

34 κεφάλαιον Par. 1. om. 35 Par. 1. τυπικῇ. 36 Mon. δεούσης. 37 Mon. δὲ om. 38 Par. 1. λαμβάνεται.

ἥκει οὖν ἀπὸ τῶν περιστατικῶν τὰ πεπραγμένα ἐν αὐτῇ τῇ προβολῇ διεξιέναι, τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους κατατρέχοντας, καὶ τελείᾳ τῇ ἐργασίᾳ χρωμένους, τουτέστιν ἀπὸ τῶν περιστατικῶν ἢ καὶ πάντων ἢ καὶ τῶν ἐμπιπτόντων, ὡς ἐπὶ τοῦ προκειμένου παραδείγματος πρῶτον μὲν τὸ πρᾶγμα ἐρεῖ ὁ κατήγορος τὸ πραχθὲν, ὅτι μέγα καὶ ὑπὸ τίνος, ὅτι παρὰ τοῦ πλουσίου δι' ὕβριν καὶ περιουσίαν, ἀδικοῦντος καὶ καταφρονοῦντος, εἶτα ἀπὸ τοῦ προσώπου, ὅτι τῶν πολιτῶν εἷς ὁ ἀνῃρημένος, ὅτι οὐδὲν ἠδικηκὼς οὐκ ἐν δικαστηρίῳ ἁλούς· καὶ ἀπὸ τόπου, ὅτι ἐν τῇ ἡμετέρᾳ πόλει, ἣ πασῶν φιλανθρωπίᾳ καὶ δικαιοσύνῃ ὑπερέχειν δοκεῖ· καὶ ἀπὸ χρόνου, ὅτι ἐν εἰρήνῃ, οὐκ ἐν πολέμῳ, ὅτε πᾶσιν ἡσυχάζειν ἐξῆν· καὶ ἀπὸ αἰτίας, ὅτι ἐχθρὸν ἀνῄρηται· διὰ τούτων δὲ κατασκευάσας τὴν προβολὴν ἐπάξεις ἐκεῖνο, ὅτι ἀνδροφόνος εἶ καὶ τιμωρίαν ὑποσχεῖν δίκαιος.

ιέ. Τῆς προβολῆς ὑπὲρ τοῦ κατηγόρου παραλαμβανομένης, ὁ φεύγων τῷ ἀπὸ τοῦ ῥητοῦ ἐν τῷ παραγραφικῷ χρήσεται· ἔστι δὲ τοῦτο ὅτι ὑπὸ τοῦ δήμου παραδέδοται, καὶ οὐ δεῖ με κρίνεσθαι ἐφ' οἷς ὁ δῆμος παρέσχε τὴν ἐξουσίαν· ἀπὸ τοῦ ῥητοῦ δὲ τὸ παραγραφικὸν τοῦτο ἐκάλεσεν, ὅτι τὸ ῥητὸν αὐτὸ προβαλλόμενοι, δι' αὐτοῦ τὴν κρίσιν ἰσχυρῶς αἰτιώμεθα, ὥσπερ ἐν τῷ παρόντι παραδείγματι· προβαλλόμενος γὰρ τὸ τοῦ δήμου ψήφισμα ὁ φεύγων, καὶ τὴν δοθεῖσαν ἐξουσίαν, διὰ τούτων τὴν κρίσιν αἰτιᾶται· ἄξιον δὲ ζητῆσαι, τί δή ποτε, εἰ ἀπὸ τοῦ ῥητοῦ παραλαμβάνεται τὸ κεφάλαιον τοῦτο παραγραφικὸν ὂν, οὐ καλοῦμεν τὸ ὅλον παραγραφὴν, ὡς γὰρ πολλάκις εἰρήκαμεν, ἡ πρώτη τοῦ φεύγοντος φωνὴ χαρακτηρίζει τὴν στάσιν· ἀλλὰ λέγομεν, ὅτι εἰ μὲν παραγραφὴ ἦν, ὅλου τοῦ ἀγῶνος ἐκβάλλουσα τὴν κρίσιν, λόγον εἶχεν ἡ ἀπορία, εἰ δὲ διαβολῆς μόνον ἕνεκα τοῦ

ἀγῶνος τὸ κεφάλαιον τοῦτο παραλαμβάνεται, εἰκότως καὶ παραγραφικὸν, ἀλλ᾽ οὐ παραγραφὴ λέγεται.

ιϛ΄. Ἐν τῷ κεφαλαίῳ τῷδε ἡ φύσις θεωρεῖται τῆς στάσεως, καθὸ γὰρ ἂν τῶν περιστατικῶν γίνεται μετάληψις, κατ᾽ αὐτὸ πάντως καὶ τὸ μεταληπτικὸν λαμβάνεται κεφάλαιον, ὡς ἐπὶ τοῦ ὑποκειμένου παραδείγματος· ἐπεὶ γὰρ κατὰ τὸν χρόνον ἐγένετο ἡ μετάληψις, ἀπὸ τοῦ χρόνου καὶ τὸ μεταληπτικὸν, ὅτι οὐκ ἦν παραδεδομένος, ὅτε ἀνῄρηται· ἔστι δὲ δριμύτατον ἐνταῦθά τι κατὰ τὸ ἐναντίον ἐπιχειρῆσαι, ἐφ᾽ ᾧ [39] γὰρ μάλιστα ὁ ἀντίδικος ἰσχυρίζεται, ὑπὸ τούτου ἁλίσκεται· εἰ γὰρ ἐκ τοῦ ψηφίσματός φησιν ἀνεύθυνος εἶναι, ἐξ αὐτοῦ δηλαδὴ τούτου ὑπεύθυνος ὢν, προὔλαβε τῷ φόνῳ τὴν ἀπὸ τοῦ ψηφίσματος ἐξουσίαν· καὶ οὕτως αὐτὸς συγκρούεται· λαμβάνει δὲ τὴν πλείστην κατασκευὴν τοῦ κεφαλαίου ἐκ τῆς τοῦ ἀδικήματος ποιότητος· οἷον εἰ φόνος εἴη τὸ πεπραγμένον· ἐξ αὐτῆς δὲ τῆς περιστάσεως· οἷον μοιχόν τις ἐν ἱερῷ καταλαβὼν ἀπέκτεινε, καὶ φόνου φεύγει· ἡ γὰρ ἐν τῷ ἱερῷ ἀναίρεσις πολλὴν εὐπορίαν ἡμῖν κατηγορημάτων παρέχεται.

ιζ΄. Τοῦ φεύγοντος τῷ παραγραφικῷ χρησαμένου ὁ κατήγορος τῇ μεταλήψει χρήσεται, ὅτι οὐκ ἦν παραδεδομένος ὑπὸ τοῦ δήμου, ὅταν ἀνῄρητο ὑπό σου· ἐν τούτῳ δὲ τῷ παραδείγματι καὶ πλείω χώραν ἔχει· προσθήσει γὰρ καὶ ταῦτα, ὡς εἰ παρῆν, ἀντέλεγεν ἂν καὶ οὐκ ἂν ἔδωκεν ὁ δῆμος. αὕτη δὲ ἡ μετάληψις οὐκ ἀεὶ τὴν ἴσην δύναμιν ἔχει, ἀλλ᾽ ὅταν ἢ ἀπὸ τόπου [40] ἢ ἀπὸ χρόνου παραλαμβάνηται· ἀπὸ τόπου μὲν, ὡς ἐν τῷ ἀποκτείναντι τὸν μοιχὸν ἐν τῷ ἱερῷ· ἐρεῖ γὰρ ὁ κατήγορος μεταλαμβάνων τὸν τόπον, καὶ δυσωπῶν τὸν δικαστὴν ὀνόματι τῶν ὑβρισθέντων θεῶν, ἀπὸ τοῦ χρό-

---

39 Mon. ἐφ᾽ ὧν. 40 Par. 1. ἢ ἀπὸ τοῦ χρόνου, ἢ ἀπὸ τοῦ τόπου.

νου δὲ, ὡς ἐπὶ τοῦ παρόντος πλάσματος· ἐρεῖ γὰρ, ὅτι συνῄδει τινὰ αὐτῷ ἄτοπα· διὰ τοῦτο φθάνει [41] τῷ φόνῳ τὴν τοῦ δήμου κατάλυσιν· ὅταν οὖν ἀπὸ τοῦ χρόνου ἢ τόπου λαμβάνηται, μεγάλην ἔχει τὴν ῥοπήν· ὅτε δὲ ἀφ᾿ ἑτέρου, ἄτονος καὶ ἀσθενεστέρα, ὡς ἐπὶ τοῦ ἐμπρήσαντος τὸν μοιχὸν σὺν τῷ οἰκήματι καὶ κρινομένου παρανόμου τιμωρίας· ἐνταῦθα γὰρ οὐ μέγα ἰσχύει τὸ μεταληπτικὸν, τί γὰρ διαφέρει τοῦ σφαγέντα τὸν μοιχὸν ἀποθανεῖν τὸ καέντα τοῦτο [42] παθεῖν; διαβεβλημένου γὰρ ἅπαξ ὄντος τοῦ προσώπου, τὸν τρόπον αἰτιάσεται μόνον, ὅτι οὐ πυρὶ σιδήρῳ δὲ ἐχρῆν ἀποκτεῖναι.

ιη΄. Συγχωροῦντες γὰρ τὸ πεπραγμένον, τὸν χρόνον αἰτιώμεθα τῆς ἀναιρέσεως· οὐχ ὅτι ἀνεῖλε κατηγοροῦντες, ἀλλ᾿ ὅτι προανεῖλεν· ἐν τῇ παραβολῇ γὰρ ἐκ πάντων τῶν περιστατικῶν τὴν αὔξησιν ποιούμενος ταμιεύεται τοῦτο τὸ κεφάλαιον, εἰς τὴν λύσιν τοῦ παραγραφικοῦ, ἐν ἐκείνῃ τοῦτο σιωπῶν· τοῦ φεύγοντος οὖν εἰρηκότος, ὡς οὐ δεῖ με κρίνεσθαι, ἐφ᾿ οἷς ὁ δῆμος τὴν ἐξουσίαν παρέσχετο, προσηκόντως ἐρεῖ· καὶ μὴν πρὸ τῆς τοῦ δήμου χάριτος φθάσας ἀνῃρήκεις τὸν ἄνδρα.

ιθ΄. Ὡς ἐπιχείρημα τοῦτο τῷ ὑποκειμένῳ παραδείγματι προσέθηκε· τοῦτο δὲ ἔφη· ἵνα μή τις ὥσπερ τι καθολικὸν ἐπὶ παντὸς αὐτὸ λαμβάνειν πειρῷτο παραγραφικοῦ.

κ΄. Ὁ συλλογισμὸς, καθάπερ ἐν ὅρῳ, συνάγει τὸ παρ᾿ ἀμφοῖν, ὅτι οὐδὲν διαφέρει, εἴτε νῦν εἴτε καὶ πρότερον· ἐκείνῳ δὲ προσεκτέον, ὡς ἐπὶ τῶν ἀνομοίων καὶ πολὺ διεστηκότων οὐκέτι δύναται χώραν λαμβάνειν· οἷον ἐπὶ τοῦ ἀνελόντος ἐν ἱερῷ τὸν μοιχόν. οὐ γὰρ ἔνεστι λέγειν, ὡς ταὐτὸν εἴη, ἄν τε ἐν ἱερῷ, ἄν τε ὁποίῳ δήποτέ τις κτείνῃ, πλὴν εἰ μὴ τοῦτο βιαιότερόν πως λέγοιμεν,

---

41 Par. 1. φθάνει τοῦ δήμου τῷ φθόνῳ τὴν κατάλυσιν. 42 Mon. τοῦ καέντα τὸ παθεῖν.

ὅτι ἐχρῆν ἔμπροσθεν τῶν θεῶν, οὓς ἠδίκει, τὴν τιμωρίαν αὐτὸν ὑποσχεῖν. εἶτα καὶ ἐκ τῆς ἀποβάσεως τοῦ ἀτόπου, ὡς εἴπερ ἀκίνδυνος γένοιτο ἡ ἐν τοῖς ἱεροῖς μοιχεία, τὰς ἰδίας οἰκίας καταλιπόντες ἐνταυθοῖ μοιχεύσουσιν.

κά. Τοῦ κατηγόρου τῷ μεταληπτικῷ χρησαμένου ὁ φεύγων τῷ συλλογισμῷ χρήσεται, λύων τὴν μετάληψιν, συνάγων ὅτι οὐδὲν διαφέρει αἰτήσαντα τὸν δῆμον ἀνελεῖν τοῦ καὶ πρὸ τῆς αἰτήσεως τοῦτο πεποιηκέναι· ἓν γὰρ ἐξ ἀμφοτέρων τὸ τέλος· ἀπὸ χρόνου δὲ τὴν μετάληψιν ὁ τεχνικὸς διελὼν, ἀπὸ χρόνου καὶ συλλογισμοῦ λαμβάνει· τί, φησὶ, δεῖ χρόνον ἐξετάζειν, εἴτε πρότερον εἴτε ὕστερον ἀπέκτεινα, εἴγε ὁ δῆμος κατέγνω θανάτου; καὶ πάλιν τί δεῖ τὸν τρόπον ἐξετάζειν, εἰ πυρὶ ἢ σιδήρῳ εἰ καὶ οὕτω κἀκείνως τελευτᾷν ἔδει· οὗτος δὲ ὁ συλλογισμὸς πρὸς τὸ μεταληπτικὸν ἔχει τὴν φύσιν· ὅτε μὲν γὰρ ἰσχύει τῷ μεταληπτικῷ ὁ κατήγορος, τότε ὁ φεύγων ἀσθενεῖ τῷ συλλογισμῷ. ὅτε δὲ ἀσθενεῖ ὁ κατήγορος, ὁ φεύγων ἔῤῥωται, ὡς ἐπὶ τοῦ τὸν μοιχὸν καταλαβόντος καὶ ἐμπρήσαντος ὀλίγη μὲν τῆς μεταλήψεως ἡ ἰσχύς, τοῦ δὲ συλλογισμοῦ μεγίστη. ἐρεῖ γὰρ ὁ φεύγων μηδὲν διαφέρειν, εἴτε ξίφει ἀνεῖλον εἴτε πυρί· ἐπὶ δὲ τοῦ ἀνελόντος ἐν τῷ ἱερῷ τὸν μοιχὸν πλέον μὲν ἡ μετάληψις ἰσχύει, ὀλίγον δὲ ὁ συλλογισμός· ἔστι γὰρ ἡ μετάληψις, ὅτι οὐκ ἐχρῆν ἐν ἱερῷ. τοῦτο γὰρ καταφρονῆσαί ἐστι θεῶν, ὅπερ ἐστὶν ἰσχυρὸν, ἀσθενὲς δὲ τὸ λέγειν, ὅτι οὐδὲν διαφέρει τὸ ἐν ἱερῷ φονεῦσαι τοῦ ἐν βεβήλῳ, ὅπερ ἐστὶ τοῦ συλλογισμοῦ.

κβ΄. Τὰ κεφάλαια διεξελθὼν ἐπιχειρηματικώτερον εὐθέως ἐπεσημήνατο, καθάπερ καὶ ἀνωτέρω πολλαχοῦ. ὡς νῦν οὐ περὶ εὑρέσεως αὐτῷ πρόκειται λέγειν· ταῦτα δὲ παραδείγματος χάριν ἕνεκα τῶν κεφαλαίων παρέλαβεν.

κγ΄. Ἀντίκειται ἀεὶ τῷ συλλογισμῷ ὁ ὅρος, ὡς καὶ

ἀνωτέρω δεδήλωται· ἃ γὰρ ἐκεῖνος συνάπτει, οὗτος διΐστησι· χρησόμεθα δὲ κἀνταῦθα τῷ κεφαλαίῳ τοῦτον τὸν τρόπον, ὅνπερ ἐν ὅρῳ διὰ πάντων ἑξῆς τῶν ἐπιχειρημάτων.

Ταῦτα, φησὶν, [43] οὐχ ὡς διαιροῦντες εἴπομεν, οὐχ ὡς διαίρεσιν τῶν κεφαλαίων ποιούμενοι· [44] ἦ γὰρ διὰ πλειόνων ἐλέγομεν; ἀλλὰ μικρὰ [45] εἰρήκαμεν εἰς τὸ ἐπιδεῖξαι μόνον καὶ διδάξαι τῶν κεφαλαίων τὴν δύναμιν· διαίρεσιν δὲ ἐνταῦθα τὴν εὕρεσιν καλεῖ. — Τοῦ φεύγοντος χρησαμένου τῷ συλλογισμῷ, ὁ κατήγορος ὅρον προβάλλεται· εἴρηται γὰρ πολλάκις, ὅτι πᾶς συλλογισμὸς ὅρῳ λύεται καὶ ὅρος συλλογισμῷ· ἀντέστραπται δὲ ἐπὶ τούτου καὶ ἡ τῶν ἀμφισβητούντων τάξις· τοῦ γὰρ φεύγοντος γέγονεν ὁ συλλογισμὸς, ἐπειδὴ καὶ ἡ φύσις τῆς μεταλήψεως ἀντιστρόφως τὸν φεύγοντα διώκοντα ποιεῖ.

Ἀπὸ τοῦ φεύγοντος ἡ ἀντίθεσις ἀπαντᾷ· τὸ ἀντιθετικὸν δὲ οὐχ ἓν, ἀλλὰ πλείονα πολλάκις ἢ ἀντεγκληματικὸν, ἢ ἀντιστατικὸν, ἢ συγγνωμονικὸν, ἢ μεταστατικόν· ἓν οὖν τῶν τεσσάρων εὑρίσκεται, πολλάκις δὲ καὶ πλείονα ἐν τῷ ἀντιθετικῷ κεφαλαίῳ. ἐνταῦθα δὲ ἀντεγκληματικὸν, ὅτι ἄξιος ἦν ἀναιρεθῆναι· ὅπου γε καὶ ὁ δῆμος ταύτην ἐπ' αὐτῷ τὴν ψῆφον ἐξήνεγκεν. Ἡ μὲν προτέρα μετάληψις τὴν φύσιν μιμεῖται τῆς στάσεως, γίνεται γὰρ ἐκ τῶν αὐτῶν περιστατικῶν, ἡ δὲ νῦν προκειμένη λυτική ἐστι τῆς ἀντιθέσεως· πᾶσα γὰρ ἀντίθεσις, καθὰ πολλάκις ἔφην, μεταλήψει λύεται.

κδ΄. Ἡ ἀντίθεσις λαμβάνεται δηλονότι κατὰ μίαν τῶν ἀντιθετικῶν· ἔστι δὲ ὅτε καὶ πλείους ἐμπίπτουσι· χρὴ δὲ τὸ ἰσχυρότερον σκοποῦντας ἐκείνῳ κεχρῆσθαι, αὐτίκα ἐν τῷ προκειμένῳ παραδείγματι δύο ἐνέπεσε, τὸ ἀντεγκληματικὸν καὶ τὸ μεταστατικόν· τὸ μὲν ἀντεγκλη-

43 ταῦτά φησιν etc. usque ad litt. κδ΄. inter sch. min. habent Parr. 44 ποιούμενοι Mon. om. 45 Par. 1. μακρά.

ματικὸν, ὅτι ἄξιος ἀπολωλέναι, ὅτι ὁ δῆμος αὐτοῦ κατεψηφίσατο· τὸ μεταστατικὸν, ὅτι ψήφισμα αἴτιον τὸ τὴν ἐξουσίαν παρασχόν· ἀλλ' ἐπειδὴ ἀσθενὲς τὸ μεταστατικὸν καταφρονήσει μὲν ἐκείνου, τῷ δὲ ἀντεγκληματικῷ χρήσεται.

κέ. Τὴν ἀντίθεσιν λύει ὁ κατήγορος ἑτέρᾳ μεταλήψει χρώμενος, λέγων ὅτι ἔδει αὐτὸ τοῦτο πρὸς τὸν δῆμον εἰπεῖν καὶ ὁμολογεῖν μὲν προανῃρηκέναι, αἰτεῖν δὲ εἰς δωρεὰν τὴν γενομένην ἀναίρεσιν· εἰρήκαμεν δὲ ἤδη, ὅτι διαφέρει αὕτη τῆς πρώτης, ὅτι ἡ μὲν πρώτη πρὸς τὸ πρᾶγμα γίνεται, ἡ δὲ δευτέρα πρὸς τὸν τρόπον τὸν περὶ τὸ πρᾶγμα· καὶ ὅτι ἡ πρώτη μετάληψις εἰς αὐτὸ τὸ ἔγκλημα καὶ τὴν πᾶσαν σύστασιν τοῦ ἀγῶνος γίνεται, ἡ δευτέρα δὲ πρὸς μόνον τὸ ἀντιθετικόν· ὥστε ἡ μὲν πρώτη πρὸς ὅλον τὸν ἀγῶνα, ἡ δὲ δευτέρα πρὸς μέρος· προσεθήκαμεν δὲ, ὅτι οὐ πανταχοῦ ἐμπίπτει.

κς'. Μεταλήψεως εὑρεθείσης πᾶσα ἀνάγκη καὶ ἀντίληψιν εὑρεθῆναι, ἐναντία γὰρ ἀλλήλοις τὰ κεφάλαια· προβαλεῖται δὲ τὴν ἐξουσίαν, ὅτι ἐξῆν, ὅπερ ἠβουλόμην αἰτεῖν, καὶ οὐχ ὑμᾶς ὁριστὰς ἔδει τοῦ τρόπου εἶναι, καθ' ὃν ἐχρῆν αἰτεῖν, καὶ ὅλως τοῖς ἐμπίπτουσι τῶν ἐπιχειρημάτων ἅπασι χρηστέον. Ὅτι κοινὸν τὸ κεφάλαιον, αὐτὸς ἐδίδαξεν εἰπὼν, εἰ δεῖ ταῦτα ἐπιτρέπειν, ἢ οὔ· τὴν δὲ θέσιν ἐνταυθοῖ ἐκ τῶν γενικῶν, ἀλλ' οὐκ ἐκ τῶν ἰδικῶν χρὴ ποιεῖσθαι· οἷον ὅτι οὐ δεῖ τοὺς ἀριστέας ἐπὶ τοῖς συκοφάνταις [46] ποιεῖν, ἢ ὅτι οὐ χρὴ τὰ τοιαῦτα ἐν ὑμῖν τολμᾶσθαι.

κή. Περὶ ποιότητος καὶ γνώμης ἐν τοῖς ἔμπροσθεν ἡμῖν δεδήλωται ἱκανῶς· εἰσαχθήσεται δὲ πολυτρόπως ὑπὸ ἀμφοτέρων ἡ γνώμη, τίνι διανοίᾳ προαπέκτεινεν ὁ φεύγων· ἢ δῆλον ὅτι σαφῶς ἐπιστάμενος ὡς παρόντος ἐκείνου καὶ ἀντιλέγοντος, οὐκ ἂν ὑμεῖς ἐξαπατηθείητε·

---

46 Mon. τοὺς ἀρίστους ἐπὶ τοὺς συκοφάντας.

καὶ αὖ πάλιν, τίνι γνώμῃ ἐπὶ τὴν κατηγορίαν ἧκεν ὁ διώκων, πότερον δι᾽ ἔχθραν, ἢ διὰ τὴν πρὸς ἕτερον χάριν.

Τοῦ κατηγόρου [47] μεταλήψει δευτέρᾳ χρησαμένου, πάλιν ὁ φεύγων ἀντιλήψει τὴν μετάληψιν λύει· ὡς γὰρ πολλάκις ἐμάθομεν, ταῦτα τὰ δύο κεφάλαια δι᾽ ἀλλήλων λύεται ὡς ἐπὶ τὸ πλεῖστον, λέξει τοιγαροῦν, ὅτι ἐξῆν μοι, ᾧ [48] ἂν ἐβουλόμην τρόπῳ, τὴν αἴτησιν ποιεῖσθαι [49] τῆς δωρεᾶς. — Τῇ ἀντιλήψει θέσιν τινὰ ἀναμίξει ὁ φεύγων, ὅτι οὐ δεῖ ὑμᾶς ὁριστάς μοι τοῦ πράγματος γενέσθαι, οὐδὲ ἐπὶ τοῖς συκοφάνταις τοὺς ἀριστέας εἶναι, πρὸς ἣν ὁ κατήγορος ἑτέραν θέσιν ἐρεῖ, [50] ὅτι δεῖ τὰς αἰτήσεις δικαίας εἶναι καὶ μὴ βλαβερὰς τῇ πόλει.

Τούτοις, φησὶν, ἐπάξομεν τὴν ποιότητα καὶ τὴν γνώμην· ταῦτα δέ φησι παραπλησίως κἀνταῦθα ὥσπερ ἔμπροσθεν ἐργασόμεθα, οἷον τίνι γνώμῃ προανεῖλεν αὐτὸν, ὅτι [51] δεδιὼς μὴ ἀντιλέγειν· καὶ πάλιν τίνι γνώμῃ ὁ κατήγορος ἦλθεν εἰς τὴν κατηγορίαν, ἢ κέρδους χάριν, ἢ δι᾽ ἔχθραν.

Cap. XXVI.

Περὶ ῥητοῦ καὶ διανοίας.

ά. Δυοῖν ἄκρων ἐν ταῖς περιστάσεσιν ὑποκειμένων, καὶ τῆς ἐξ ἀμφοῖν μεσότητος, λογικῶν φημι καὶ νομικῶν, μετὰ τὸν περὶ τῶν λογικῶν καὶ μικτῶν λόγον ἐπὶ θάτερον τῶν ἄκρων, τουτέστι τὰς νομικὰς ἐλήλυθε. τὴν

47 τοῦ κατηγόρου sqq. usque ad finem inter sch. min. habent Parr. 48 Mon. ᾧ δ᾽ ἄν. 49 Par. 1. ποιήσασθαι. 50 Mon. ποιεῖ. 51 ὅτι Par. 1. om.

μὲν οὖν ἐπιβάλλουσαν αὐταῖς φυσικὴν τεχνολογίαν ἐν τῇ μεθόδῳ προδιηνύσαμεν, καὶ δικαιολογεῖν αὖθις οὐκ ἀναγκαῖον· διαληπτέον δὲ ἤδη καὶ περὶ τῶν κεφαλαίων τῆς κατὰ ῥητὸν καὶ διάνοιαν στάσεως.

β΄. Μέχρι τούτου πεπλήρωται τῷ τεχνογράφῳ ὁ περὶ τῶν λογικῶν στάσεων λόγος, καὶ ἔτι τῶν μεταξὺ κειμένων, λέγω δὴ τῆς πραγματικῆς καὶ τῆς μεταλήψεως· νῦν δὲ ἤδη καθαρῶς ἐπὶ τὰς νομικὰς μετέρχεται στάσεις, δι᾽ αὐτῶν παιδεύων ἡμᾶς, πῶς τήν τε παραγραφὴν καὶ ἔγγραφον πραγματικὴν διαιρήσομεν, δηλονότι γιγνώσκοντες τὰς νομικὰς στάσεις, καθ᾽ ἣν ἂν ἐμπέσοι ἡ παραγραφὴ, ἢ ἡ ἔγγραφος πραγματικὴ, οὕτω μεταχειριούμεθα. αἱ δὲ νομικαὶ ἔχουσι τὴν γένεσιν ἀπὸ ῥητοῦ, οἷον νόμων, ψηφισμάτων, ἐπιστολῶν, διαθηκῶν. νομικαὶ δὲ ἐκλήθησαν, ἀπὸ τοῦ τιμιωτάτου καὶ πρώτου ὄντος ἐν ῥητοῖς λαβοῦσαι τὴν ἐπωνυμίαν· νόμος γὰρ τὸ τιμιώτατον ἐν ῥητοῖς· γίνεται δὲ ἡ νομικὴ ζήτησις, οὐχ ὅταν ἁπλῶς ῥητὸν ἐμπίπτῃ, ἀλλ᾽ ὅταν περὶ τὸ ῥητὸν πᾶσα κινεῖται ἡ ζήτησις, οὐ παρὰ τὸ κυροῦσθαι αὐτὸ ἢ μὴ, τοῦτο γὰρ τῆς ἐγγράφου πραγματικῆς ἀποδέδεικται, ἀλλ᾽ εἰ παραβέβασται, ἢ οὔ. ὅτε δὲ τὴν διάνοιαν τοῦ τεθέντος τῷ γεγραμμένῳ ἀντιτάττομεν, τότε ποιοῦμεν ῥητὸν καὶ διάνοιαν.

γ΄. Αἱ ἐργασίαι τῶν κεφαλαίων τούτων ἐκ τῶν ἐν ταῖς ἄλλαις στάσεσιν εἰρημένων πρόδηλοι τυγχάνουσι, πλὴν ἴσως τοῦ προδιορισμοῦ, ὅς ἐστι τοιόσδε· τοῦ φεύγοντος ἀντιτιθέντος τῇ προβολῇ τὴν διάνοιαν καὶ λέγοντος, ὅτι τοὺς ἐπὶ προδοσίᾳ τῆς πόλεως ἀνιόντας ἐπὶ τὸ τεῖχος τῶν ξένων ὁ νόμος κωλύει ἀνιέναι, οὐχὶ τοὺς ἐπὶ εὐεργεσίᾳ, ἀντιτίθησι τὸν προδιορισμὸν ὁ κατήγορος λέγων, ὡς οὐδαμοῦ τοῦτο προδιώρισεν ὁ νομοθέτης, ἀλλ᾽ ἁπλῶς ἀπείργει τὸν ξένον τῆς ἐπὶ τὸ τεῖχος ἀνόδου. Διὰ τί δὲ προβολὴν ῥητοῦ τὴν προβολὴν ταύτην ὠνόμασεν,

ἀποδιϊστὰς τὰς νομικὰς ἀπὸ τῶν λογικῶν· ἔστι γὰρ ἄλλη προβολή, ἐξ ἀδικήματος ἀγράφου γενομένη, ἥ τις οὐκ ἔστι τῶν νομικῶν, ἐνταῦθα δὲ ἐξ ἐγγράφου ἡ προβολή. διὸ προσέθηκε καὶ ῥητοῦ· ἔδει δὲ ἐμφαντικώτερον εἰπεῖν προβολῇ τῇ ἀπὸ ῥητοῦ· οὐδὲ γὰρ αὐτὸ τὸ ῥητὸν προβάλλονται, ἀλλὰ τὸ ἔγκλημα τὸ διὰ τὸ ῥητὸν γινόμενον.

Τῇ προβολῇ [1] αὐτὸ τὸ ῥητὸν ἐκτίθεμεν μετ' αὐξήσεως· ὅτι παρέβη τὸν νόμον, οὐδὲν ὑποστειλάμενος, εἰ ξένος ὢν ἐπὶ τὸ τεῖχος ἄνεισιν· ἀπαγορεύοντος τοῦ νόμου.

δ΄. Προβολή ἐστιν ἐνταῦθα ἡ τοῦ ῥητοῦ διδασκαλία. οἷον ἀνῆλθες ἐπὶ τὸ τεῖχος, τοῦ νόμου ἀπαγορεύοντος [2] τοῦτο, καὶ δεῖ σε τεθνάναι, ὅτι τὸν νόμον παρέβης· ἐν ταὐτῷ δὲ καὶ τὴν ἀνάγνωσιν τοῦ νόμου ποιήσεται, δυσωπῶν διὰ τούτου τὸν ἀκροατὴν καὶ δύσλυτον κατασκευάζων τὴν προβολήν.

ε΄. Διττὴν ἡμῖν τῆς διανοίας τὴν ἐξέτασιν παραδίδωσι, τὴν μὲν τοῦ νομοθέτου, τὴν δὲ τοῦ φεύγοντος· ἐπειδὴ γὰρ δύο ἐστὶ τό τε ῥητὸν τὸ ἀντικείμενον καὶ ἡ πρᾶξις δοκοῦσα παράνομος· εἰ ξένος ὢν παρὰ τὸ τεῖχος ἐλήλυθεν, ἀμφότερα λύειν ἀνάγκη· ἀμφοτέρων δὲ λύσις ἡ αὐτή, λέγω δὴ ἡ διάνοια· καθολικὸν γὰρ παράγγελμα, ὅτι τὸ ῥητὸν τὸ βλάπτον τῇ διανοίᾳ τοῦ θέντος λύομεν· τὸ δὲ δοκοῦν ἀδίκημα διὰ τῆς διανοίας τοῦ πεποιηκότος συστήσομεν· ἐπεὶ γὰρ ὁ κατήγορος χρῆται τὸ ἀπὸ τοῦ νόμου ῥητὸν προβαλλόμενος, εἰκότως ὁ φεύγων ἐπὶ τὴν τοῦ ῥητοῦ διάνοιαν καταφεύγει, λέγων οὐκ ἔγνως τὸν νόμον, ὁ γὰρ νόμος κελεύει μὴ ἀνιέναι ξένον τὸν ἐπὶ βλάβῃ, ὅτε καιρὸς εἰρήνης ἐστί· ληψόμεθα δὲ τὰς ἀφορ-

---

1 τῇ προβολῇ — — — ἀπαγορεύοντος τοῦ νόμου inter sch. min. habent Parr. in quibus praecedit ad προβολῇ ῥητοῦ. schol. προβολῇ τῇ ἀπὸ τοῦ ῥητοῦ. 2 ἀπαγορεύοντος τοῦτο — — — ἀνάγνωσιν τοῦ νόμου Mon. om.

μὰς τῶν λύσεων, εἰς μὲν τὴν τοῦ νομοθέτου, ἀπὸ τοῦ καιροῦ· οἷον οὐκ ἐν πολέμῳ ἐκέλευσεν ὁ νόμος μὴ ἀνιέναι ξένον ἐπὶ τὸ τεῖχος, ἀλλ' ἐν εἰρήνῃ, ὅτε οὐχ ὑπερμαχῆσαι καιρὸς, [3] ἐγὼ δὲ ἐν πολέμῳ ἀνῆλθον ἐπ' ὠφελείᾳ τῆς πόλεως, οὐκ ἐπὶ κατασκοπῇ· ἀπὸ τῆς αἰτίας, διατί; ἵνα μὴ κατασκέψωνται, [4] οὐχ ἵνα μὴ ἀριστεύσωσιν· ἐγὼ δὲ ἀνελθὼν ἠρίστευσα· ταῦτα δὲ ἀπὸ τοῦ νομοθετηθέντος ἐστὶ πράγματος· φημὶ δὲ τὸ λέγειν, ὅτι ἐπὶ τούτῳ κωλύει ἀνελθεῖν, ἐπὶ βλάβῃ, ἐπὶ προδοσίᾳ τῆς πόλεως, ἀλλ' οὐκ ἐπὶ τῷ εὖ ποιῆσαι· οὐ μόνον δὲ ἀπὸ τούτων ληψόμεθα τὰς ἀφορμὰς, ἀλλὰ καὶ ἀπὸ τῶν ἄλλων τῶν ἐμπιπτόντων· καὶ ὡς ἐπὶ τὸ πλεῖστον τῶν περιστατικῶν· εἰς δὲ τὴν τοῦ φεύγοντος διάνοιαν, καθάπερ ἐν ταῖς ἀντιθετικαῖς, ὅτι οὐ μόνον τὸ πραχθὲν δεῖ σκοπεῖν, ἀλλὰ καὶ τὴν γνώμην, μεθ' ἧς τὸ πραχθὲν ἐπράχθη, καὶ ἅμα τῇ τῶν αἰτίων ὑπεξαιρέσει χρώμεθα· οἷον, οὐ κακονοίᾳ τῇ πρὸς τὴν πόλιν, οὐδ' ἵνα τι κακὸν ἐργάσωμαι, ἀλλ' ἵνα εὖ ποιήσω· εἰ οὖν εὖ ἐποίησα, πῶς φαίνομαι τὸν νόμον παραβεβηκώς; εἰκότως οὖν ἐπ' ἀμφοῖν τῇ διανοίᾳ χρησόμεθα, ἐπί τε τοῦ νομοθέτου καὶ αὐτοῦ τοῦ φεύγοντος· δεῖ γὰρ καὶ τὴν τοῦ βλάπτοντος ῥητοῦ ἀνάγνωσιν τῇ διανοίᾳ λύειν τοῦ νομοθέτου, καὶ τὸ δοκοῦν ἀδίκημα διὰ τῆς τοῦ πεποιηκότος διανοίας.

ϛ'. Ἡ διάνοια ὑπὸ τοῦ φεύγοντος ἀντιταχθήσεται τῷ ῥητῷ, οἷον ὅτι οὐ τοὺς ἐπ' εὐεργεσίᾳ, ἀλλὰ τοὺς ἐπὶ βλάβῃ ἀνιόντας ἐκώλυσε· κατασκευάσομεν [5] δὲ αὐτὸ ἀπὸ τοῦ καιροῦ, ἀπὸ τῆς αἰτίας, ἀπὸ τοῦ πράγματος· ἀπὸ καιροῦ μὲν, ὅτι οὐκ ἐν πολέμῳ, οὐδὲ ἐν πολιορκίᾳ ἐκώλυσεν, ὅτε μάλιστα δεῖ τῶν βοηθησάντων· ἀπὸ δὲ τῆς αἰτίας, ὅτι τοὺς ἐπὶ βλάβῃ καὶ τῷ λυμήνασθαι ἀνιόντας, οὐ τοὺς ἀριστείας ἕνεκα καὶ τῶν κακῶν ἀπαλλάξαι

3 καιρὸς Mon. om. 4 Par. 1. σκέψωνται. 5 κατασκευάσομεν δὲ — — — πολιορκίᾳ ἐκώλυσεν Par. 1. om.

τὴν πόλιν· ἀπὸ δὲ τοῦ πράγματος, οἷον ὅτι οὐκ ἐπὶ τῷδε τῷ πράγματι κεῖται ὁ νόμος. ἐπεὶ δὲ τὸ κεφάλαιον αὐστηρόν πως δοκεῖ, καθάπερ ἀντινομοθετούντων ἡμῶν, εἴγε τοῦ ῥητοῦ διαγορεύοντος ἕτερα ἄλλην ἡμεῖς ἀντεισφέρομεν διάνοιαν, δεῖ τινος θεραπείας τὴν τραχύτητα καθαιρούσης· διπλοῦς δὲ αὐτῆς ὁ τρόπος· ὅταν ἢ ἀτοπίαν τινὰ τοῖς τοῦ ἐναντίου λόγοις προσάπτωμεν, οἷον ὅτι φανεῖται ὁ νομοθέτης κατά γε τὸν ἀντίδικον, ἀποστερῶν σωτηρίας τὴν πόλιν, ἢ ὅταν ἀπαιτῶμεν νόμον, φανερῶς τῇ ἡμετέρᾳ ἀνταποφαινόμενον διανοίᾳ· ὅτι δεῖξον, εἴτις νόμος τὸν ἀνιόντα ἐπὶ σωτηρίᾳ ἐκώλυσεν· ἔχομεν δὲ ἀμφοῖν παρὰ Δημοσθένει[6] παραδείγματα, τοῦ μὲν εἰς ἄτοπον ἀπάγειν τὸν λόγον, ὡς ἐν τῷ ὑπὲρ Κτησιφῶντος· τίς γάρ ἐστιν νόμος τοσαύτης ἀδικίας καὶ μισανθρωπίας μεστὸς, ὥστε τὸν δόντα τι τῶν οἰκείων καὶ ποιήσαντα πρᾶγμα φιλάνθρωπον καὶ φιλόδωρον τῆς χάριτος ἀποστερεῖν, εἰς τοὺς συκοφάντας δὲ ἄγειν· τοῦ δὲ ἀπαιτεῖν νόμον τινὰ διαῤῥήδην ἡμῖν ἐναντιούμενον παράδειγμα ἐν τῷ αὐτῷ λόγῳ. εἰ δὲ, φησὶν, οὗτος δειξάτω, κἀγὼ στέρξω καὶ σιωπήσομαι, ἔτι δὲ καὶ ἐκ παραδειγμάτων καὶ ἐθῶν χρὴ συνεστάναι τὴν διάνοιαν· ὃν τρόπον ὁ ῥήτωρ ἐν τῷ αὐτῷ λόγῳ πεποίηκε· πρῶτον μὲν γὰρ Ναυσικλῆς στρατηγῶν, ἐφ᾽ οἷς ἀπὸ τῶν ἰδίων προεῖτο πολλάκις, ἐστεφανοῦτο[7] ὑφ᾽ ἡμῶν, ὅτε[8] τὰς ἀσπίδας Διότιμος ἔδωκεν.

Τῇ προβολῇ[9] αὐτὸ τὸ ῥητὸν ἐκτίθεμεν μετ᾽ αὐξήσεως, ὅτι παρέβη τὸν νόμον, οὐδὲν ὑποστειλάμενος, εἰ ξένος ὢν ἐπὶ τὸ τεῖχος ἄνεισιν ἀπαγορεύοντος τοῦ νόμου. Τοῦ φεύγοντος χρησαμένου τῇ διανοίᾳ, ὁ[10] κατήγορος

6 Mon. Δημοσθένους. 7 Par. 1. ἐστεφάνωται. 8 Mon. ὅ ἐστι τὰς ἀσπ. διότι μοι ἔδωκεν. 9 τῇ προβολῇ sqq. usque ad litt. ζ. inter sch. min. habet Par. 10 Mon. ὁ, Par. 1. sq. τῷ om.

τῷ ἀπροσδιορίστῳ χρήσεται λέγων· καὶ ποῦ ταῦτα, ἅ φαμεν, ὁ νόμος διώρισεν; οὐδὲν τούτων εἴρηται τῷ νομοθέτῃ, ἀλλ᾽ ἁπλῶς εἴρηκε, μηδένα ξένον ἀνιέναι ἐπὶ τὸ τεῖχος· ἔνθα πάλιν καὶ τὴν τοῦ νόμου ἀνάγνωσιν ποιήσεται· ὡς γὰρ πολλάκις ἐγνώκαμεν τοῖς ἰσχυροῖς καὶ ὑπὲρ ἡμῶν ἅπαξ, ἀλλὰ καὶ δὶς χρηστέον.

ζ΄. Τοῦ ῥητοῦ πάλιν ἀνθέξεται ὁ διώκων· ὡς οὐ προσδιώρισεν ὁ νομοθέτης οὐδὲν, ἀλλ᾽ ἁπλῶς εἶπε τοὺς ξένους μὴ ἀνιέναι, σὺ τοίνυν ἀνελθὼν παρέβης τὸν νόμον· ἐπεὶ τί ἦν τὸ κωλῦον, προσθεῖναι τὸν νομοθέτην.

η΄. Ἐν τῇ δευτέρᾳ διανοίᾳ ὁ μὲν φεύγων πρὸς τὸ μὴ διορίσασθαι ἀπαντήσει, οἷον ὅτι οὐδὲν ᾤετο δεῖν περὶ τῶν οὕτω φανερῶν διορίζειν ὁ νομοθέτης· οὐ γὰρ ἂν ὑπέλαβες τοὺς ἐπ᾽ εὐνοίᾳ ποτὲ κωλυθήσεσθαι· ὁ δὲ διώκων ἐρεῖ, ὡς ἄτοπον ἡγήσατο ὅλως ὁ νομοθέτης ἐπιτρέπειν ξένον ἐπὶ τὸ τεῖχος ἀνιέναι.

Πάλιν ἐξ ἀνάγκης [11] ὁ φεύγων τὴν διάνοιαν τοῦ νομοθέτου ἀντιθήσει· διαφέρει δὲ τῆς πρώτης, καθὸ ἡ μὲν πρώτη μόνου τοῦ φεύγοντος, αὕτη δὲ κοινὴ ἀμφοτέρων, καὶ ὅτι ἡ μὲν πρώτη πρὸς τὸ ῥητὸν, ἑρμηνεύει γὰρ τὴν διάνοιαν, ἡ δὲ δευτέρα πρὸς τὸ ὑπὸ τοῦ νομοθέτου· τοῦ μὲν φεύγοντος λέγοντος, ὅτι διὰ τοῦτο παρῆκεν ὁ νομοθέτης τὸν διορισμὸν, ἵνα μὴ περιττὰ καὶ πᾶσι πρόδηλα φανῇ λέγων, ἐπεὶ ὅτι πρὸς ὠφέλειαν ἐσκόπει τῆς πόλεως καὶ τοῦτο βουλόμενος τοὺς νόμους [12] προὔθηκεν, ἅπασι πρόδηλον. τοῦ δὲ κατηγόρου καὶ αὐτοῦ λέγοντος, ὅτι εἰ ἐβούλετο ξένον οἷον δή ποτε ἐφ᾽ οἷᾳ δή ποτ᾽ οὖν αἰτίᾳ ἀναβαίνειν ἐπὶ τὸ τεῖχος, πάντως ἂν διωρίσατο· νῦν δὲ τῷ σιωπᾷν [13] μὲν τοῦτο, ἀπαγορεῦσαι δὲ ξένον

μὴ

11 πάλιν ἐξ ἀνάγκης sqq. usque ad litt. ζ΄. inter sch. min. habent Parr. 12 Mon. καὶ τοῦτο τοὺς β΄. νόμους βουλόμενος προὔθηκε. 13 Mon. τὸ σιωπᾷν. Par. 1. τῷ σιγῆσαι.

μὴ ἀνιέναι ἐπὶ τὸ τεῖχος παντάπασιν ἀπείργων φανήσεται.

ζ. Ὁ συλλογισμὸς πανταχοῦ τὴν ἴσην ἔχει δύναμιν, ἀεὶ γὰρ συνάγει τὰ ἐξ ἑκατέρου μέρους· οἷον ὅτι οὐδὲν διαφέρει τὸ προσδιορίσασθαι ἢ μή· ὁπότε καὶ ἄνευ τοῦ προσδιορισμοῦ φανερά ἐστιν ἡ τοῦ νομοθέτου διάνοια· ἰσχὺν δὲ περιθήσομεν αὐτῷ ἐκ παραδειγμάτων, εἰ ἔχοιμεν πολλοὺς παρατίθεσθαι νόμους, ἐφ᾽ ὧν οὐ προσδιώρισται τὰ ὁμολογούμενα· καὶ οὐ διὰ τοῦτο ψιλῶς τῷ ῥητῷ ἀξιοῦμεν προσέχειν· δεῖ οὖν πολλῆς ἐνταυθοῖ νόμων ἐμπειρίας·

Ἔν τισιν[14] *οὐκ ἔστι τὸ ἐρεῖ. Ὁ συλλογισμὸς ἀπὸ τοῦ φεύγοντος ἕπεται δεικνύναι πειρωμένου, ὅτι οὐδὲν διαφέρει τοῦ διωρικέναι τὸν νομοθέτην τὸ σιγῆσαι παντάπασι, φανερὸν γὰρ ἦν, διὸ οὐ προσδιωρίσατο.*

ι. Ἐκ τοῦ ἐναντίου τῷ συλλογισμῷ λαμβάνεται ὁ ὅρος, ὅτι γε πλεῖστον διαφέρει τοῦ προσδιορισμοῦ[15] *τὸ μὴ οὕτως ἔχον· χρήσιμος δὲ κἀπὶ τούτου ἡ τῶν παραδειγμάτων ἐμπειρία νόμους ἑτέρους ἐπιδεικνύντων ἡμῶν, ἐν οἷς οὐχ οἷόν τε ἐκβῆναι οὐδαμῶς τοῦ ῥητοῦ. Τοῦ φεύγοντος*[16] *χρησαμένου τῷ συλλογισμῷ, ὁ κατήγορος τῷ ὅρῳ χρήσεται λέγων, πολὺ διαφέρειν ταῦτα ἀλλήλων, χωρίζει γὰρ ὁ ὅρος τὰ διὰ τοῦ συλλογισμοῦ συναχθέντα.*

Μετὰ τὸν ὅρον ἡ ἀντίθεσις ἀπὸ τοῦ φεύγοντος γίνεται· ἥ τις ἀπὸ μιᾶς τῶν ἀντιθετικῶν παραλαμβάνεται, ἐν ᾗ καὶ πλέον ἰσχύει ὁ φεύγων· ἐν μὲν γὰρ τοῖς προειρημένοις κεφαλαίοις πλεονεκτεῖ ὁ κατήγορος, τὸ ῥητὸν προβαλλόμενος· ἐπὶ δὲ τῆς ἀντιθέσεως, ἥτις ἐν-

---

14 *ἔν τισιν — — — οὐ προσδιωρίσατο* inter Sch. min. habent. Parr. 15 Mon. *προσδιορισαμένου*. Par. 1. *προδιορισμοῦ*. 16 *τοῦ φεύγοντος* usque ad litt. *ια´*. inter Sch. min. habent Parr.

ταῦθα ἀντιστατική ἐστι, τοὐναντίον πείσεται ὁ κατήγορος· διεξιόντος τὰ κατὰ τὴν ἀριστείαν τοῦ φεύγοντος καὶ ἔκφρασιν ποιουμένων τῶν συμπιπτόντων κατὰ τὰς μάχας· ἴδιον γὰρ τῆς ἀντιστατικῆς ἀντιθέσεως ἡ τῶν γεγονότων ἔκφρασις.

ια'. Ἡ ἀντίθεσις, φησὶν, αὐτό ἐστι τὸ γεγονὸς, τουτέστιν αὐτὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, καὶ ὅσα περὶ τὴν ἀριστείαν πέπρακται· ἀντιστατικῶς γὰρ ταῦτα ὑπὸ τοῦ φεύγοντος εἰσενεχθήσεται· τί δέ ἐστιν ὃ ἔφη; καὶ πλέον ἕξει γε ὁ φεύγων ἐν αὐτῇ· μέχρι μὲν γὰρ τούτου ἰσχυρότερα εἶναι δοκεῖ τὰ τοῦ κατηγόρου· εἴγε ὁ μὲν φανερῶς ἐπανέχει τῷ νόμῳ, ὁ δὲ ἔξωθέν τι παρεισφέρειν πειρᾶται· ἐν δὲ τῇ ἀντιθέσει πλέον ἔχει ὁ φεύγων, διεξιὼν τὴν ἀριστείαν καὶ λίαν ἀκμάζων ἐπὶ τῷ εὐεργετήματι, ἐργάσεται δὲ τὸ κεφάλαιον τὴν πρᾶξιν ἐκφράζων, ἀπὸ τῶν συμβεβηκότων ἁπάντων, ὅπως μὲν ἐπῄεσαν οἱ πολέμιοι καὶ τὴν πόλιν ἐτάραττον, ὅπως δὲ αὐτὸς ἠρίστευσεν.

Ἐμπεπτωκυίας ἀντιθέσεως ἀνάγκη καὶ τὴν μετάληψιν ἐπακολουθῆσαι, λυτικὴν οὖσαν τῆς ἀντιθέσεως· οἷον ἑτέρως ἐχρῆν εὐεργετεῖν· ἔνθα μηδεὶς παρεβαίνετο νόμος, [17] χρήματα ἐπιδιδόντα ἐκ προβολῆς τοῖς ἐναντίοις μαχόμενον. —

Ἀντίστασιν [18] γὰρ ὁ φεύγων ἐρεῖ, ὅτι ὠφέλησα, ὁ δὲ διώκων πειράσεται μεῖζον τὸ ἀδίκημα δεικνύειν, ἀλλὰ μειονεκτήσει, ὅπερ καὶ ὁ Ἑρμογένης φησίν.

Τοῦ φεύγοντος τοῦτο εἰπόντος, ὁ κατήγορος μεταλήψει χρήσεται, ἐν ᾗ τὸν τρόπον αἰτιᾶται τοῦ πραχθέντος λέγων· ὅτι οὐ τούτῳ τῷ τρόπῳ ἔδει τὴν εὐεργεσίαν ἐνδείκνυσθαι· ἀλλ' ἐξελθόντα τοῦ τείχους καὶ τὴν εὐψυχίαν ἐπιδειξάμενον οὕτως ὠφελῆσαι τὴν πόλιν.

---

17 Mon. παρεβαίνει τὸν νόμον, χρήματα δὲ ἐπιδ. 18 ἀντίστασιν γὰρ usque ad litt. ιγ'. inter Sch. min. est in Parr.

ιγ΄. Τὸ πρός τι αὐξητικῶς κατὰ σύγκρισιν ληφθήσεται, ὑπὸ μὲν τοῦ φεύγοντος, ὅτι μεῖζον τὸ εὐεργέτημα τοῦ δοκοῦντος ἀδικήματος· κατὰ δὲ τὸ ἐναντίον ὑπὸ τοῦ διώκοντος.

ιδ΄. Τῆς μεταλήψεως ὑπὸ τοῦ κατηγόρου συνισταμένης τὸ πρός τι ὑπὸ τοῦ φεύγοντος καὶ τοῦ κατηγόρου παραλαμβάνεται, ἐν ᾧ ἑκάτερος δείκνυσιν, ὁ μὲν ὅτι μείζων τῆς βλάβης ἡ εὐεργεσία, ὁ δὲ ὅτι μείζων τῆς εὐεργεσίας ἡ βλάβη.

ιε΄. Λοιπὰ κεφάλαια ὁ βίαιος ὅρος, ἡ θέσις, ἡ δευτέρα μετάληψις, ἡ πρὸς ταύτην ἀντίληψις, ἡ ποιότης καὶ ἡ γνώμη· καὶ ὁ μὲν βίαιος ὅρος κοινός ἐστιν ἀμφοτέροις, ἐν ᾧ δείκνυσιν ἑκάτερος, ὁ μὲν, ὅτι οὐδὲ τοῦτο εὐεργεσία ἐστίν· ὁ δὲ, ὅτι οὐδὲ τοῦτο βλάβη καθέστηκεν· εἶτα ἐφεξῆς ἡ θέσις· κοινὴ δὲ καὶ αὕτη ἀμφοῖν, τοῦ μὲν λέγοντος, ὅτι δεῖ ἕκαστον ὡς δυνατὸν εὐεργετεῖν, τοῦ δὲ, ὅτι οὐ δεῖ ὑπὸ τῷ προσχήματι τῆς εὐεργεσίας εἰς βλάβην καθιστάναι [19] τὴν πόλιν· ἡ δευτέρα μετάληψις ὑπὸ τοῦ κατηγόρου λαμβάνεται λέγοντος, ὅτι ἔδει αὐτὸ τοῦτο τῇ πόλει κοινώσασθαι, ἧς τὴν δύναμιν πολλάκις ἐγνώκαμεν, ὅτι οὐκ ἀεὶ ἐμπεσεῖται. Περὶ δὲ τῆς ἀντιλήψεως οἱ μὲν ἐκλείπειν λέγουσι τὸ κεφάλαιον· οἱ δὲ ὅτι μεταλήψεως προκειμένης ἐμπεσεῖται καὶ ἀντίληψις, ὅτι ἐξῆν μοι μὴ ἀνακοινώσασθαι τῷ δήμῳ· πᾶσα γὰρ μετάληψις ἀντιλήψει λύεται· περὶ ποιότητος καὶ γνώμης εἴρηται πολλάκις.

ιϛ΄. Τὰ δὲ λοιπὰ, φησὶ, κεφάλαια τὸν αὐτὸν τρόπον, ὅνπερ ἐπὶ τῶν ἀντιθετικῶν ἐξετασθήσεται, τουτέστιν ὁ βίαιος ὅρος, ἡ θέσις καὶ ἡ μετάληψις, ἥτις ἐστὶ τοῦ προσώπου· ἡ ἀντίληψις, καὶ ἔτι ἡ ποιότης καὶ ἡ γνώμη, ἅπερ ἐν τῇ αὐτοῦ [20] ἀπαριθμήσει τῶν κεφαλαίων παρέθετο.

---

19 Codd. καθεστάναι. tum. Par. 1. τῇ πόλει. 20 αὐτοῖ Par. 1. om.

Cap. XXVII.

Περὶ ἀντινομίας.

α΄. Τὰ μὲν ἄλλα, ὅσα περὶ ἀντινομίας ἐνῆν προδιαλεχθῆναι, ἀποδεδώκαμεν ἐν τῇ μεθόδῳ· ζητητέον δὲ ἐνταῦθα περὶ τῆς τάξεως· ἐν γὰρ τῇ μεθόδῳ μετὰ τὸν συλλογισμὸν τεταγμένη, νῦν τὴν πρὸ ἐκείνου τάξιν ἀπέλαβεν· εἴη δ' ἂν τῆς διαφόρου τάξεως αἴτιον ἐκεῖ μὲν ἡ φύσις, ἐνταῦθα δὲ ἡ διαίρεσις· ἐκεῖ μὲν γὰρ μετὰ τὸ ῥητὸν καὶ τὴν διάνοιαν εὐθὺς ὁ συλλογισμός· ἐπεὶ κοινωνοῦσι τῇ ποσότητι τοῦ ῥητοῦ· ἐνταῦθα δὲ ἐπεὶ μίαν σχεδὸν διαίρεσιν ἔχουσιν, ἥ τε κατὰ ῥητὸν καὶ διάνοιαν καὶ ἡ ἀντινομία, εἰκότως καὶ τὴν ἐγγὺς ἀλλήλων εἰλήφασι τάξιν, ἔστι δὲ, φησὶν, ἡ ἀντινομία, οἷον διπλοῦν ῥητὸν καὶ διάνοια, ἐπεί τοι εἶδος ἂν ὑπῆρχεν οὐ στάσις, καὶ διαιρεῖται, φησὶ, τοῖς γε πλείστοις κεφαλαίοις ὁμοίως τῷ ῥητῷ καὶ τῇ διανοίᾳ διπλοῖς δηλαδὴ γενομένοις, ἐπεὶ καὶ διπλῆ ἡ ζήτησις· ἔχει μέντοι καὶ ἴδιόν τι κεφάλαιον, ὃ καλεῖται περιέχον καὶ περιεχόμενον· ἔστιν οὖν ἡ διαίρεσις ἥδε, προβολὴ ῥητοῦ καὶ διάνοια, τῶν δὲ ἐφεξῆς κεφαλαίων τινὰ, φησὶν, ὡς ἐπὶ τὸ πλεῖστον ἐκλείπει διὰ τὸ δοκεῖν ἰσάζειν, οἷον τὸ μὴ προσδιωρίσθαι, ἡ διάνοια τοῦ νομοθέτου, ὁ συλλογισμὸς, ὁ ὅρος· ταῦτα γὰρ δοκεῖ πως ἰσάζειν· ἐχρήσατο δὲ καλῶς τῷ δοκεῖν· οὐ γὰρ παντάπασιν ἰσάζει, ὡς ἐπ' αὐτῷ γενόμενοι δείξομεν· καὶ χαλεπὸν αὐτοῖς χρήσασθαι, τουτέστιν οὐκ ἀδύνατον, ἀλλὰ χαλεπόν. Τὰ μέντοι μετὰ ταῦτα κεφάλαια οὐκ ἄδηλα, ἡ ἀντίθεσις, ἡ μετάληψις, τὸ πρός τι, ὁ βίαιος ὅρος, ἡ ἑτέρα μετάληψις· εἶτα ἡ ποιότης καὶ ἡ γνώμη· ταῦτα μὲν κοινὰ καὶ τῇ κατὰ ῥητὸν καὶ διάνοιαν στάσει· ἴδιον δὲ, φησὶν, ἀντινομίας κεφάλαιον τὸ περιέχον καὶ περιεχόμενον, ὅπερ μετὰ τὸ πρός τι

ταχθήσεται· ἀπηριθμήσατο δὲ αὐτὸ τελευταῖον, ἐπειδὴ τὰ μὲν ἄλλα κοινὰ, τοῦτο δὲ ἴδιον.

β. Ἡ ἀντινομία ἐκ τοῦ ὀνόματος μὲν πρόδηλός ἐστιν [1] ἐναντίωσίν τινα περιέχουσα νόμων, [2] οὐ φύσει δὲ ἐναντιουμένων ἀλλήλοις, κατὰ δέ τινα περίστασιν ἐναντιοῦσθαι δοκούντων· τί δήποτε δὲ ἐν τῇ μεθόδῳ μετὰ τὴν κατὰ ῥητὸν διάνοιαν τὸν συλλογισμὸν τίθησιν, ἐνταῦθα δὲ ἐν τῇ διαιρέσει τὴν ἀντινομίαν πρὸ τοῦ συλλογισμοῦ διαιρεῖ; καὶ λέγομεν, ὅτι πρὸς τὴν κοινωνίαν τῶν πραγμάτων ὁ τεχνογράφος καὶ τὰς στάσεις συνάπτει, καὶ ἐκεῖ μὲν ἔταξε τὸν συλλογισμὸν πρὸ τῆς ἀντινομίας· ἐπειδὴ περὶ ῥητὸν ἓν τὴν ζήτησιν ἔχει, ἐνταῦθα δὲ τὴν ἀντινομίαν προέταξεν, ἐπειδὴ διπλῆ ἐστι κατὰ ῥητὸν καὶ διάνοιαν τῷ διπλᾶ τὰ κεφάλαια ἔχειν.

Ἀκριβῶς [3] προσέθηκε τὸ οἷον· οὐ γὰρ τὸ ὄντως διπλοῦν ῥητὸν καὶ διανοιά ἐστιν ἡ ἀντινομία, ἀλλὰ κατὰ [4] μόνην τὴν διαίρεσιν τῶν κεφαλαίων· δύο γὰρ ὄντων τῶν ἐμπιπτόντων τῷ ῥητῷ, διπλᾶ ἐστι καὶ τὰ κεφάλαια.

Προβολαῖς, φησὶν, ἡ ἀντινομία δύο διαιρεῖται, τῇ μὲν τοῦ κατηγόρου, τῇ δὲ τοῦ φεύγοντος, καὶ διανοίαις δύο.

Οἱ προδιορισμοὶ, [5] φησὶ, καὶ αἱ δεύτεραι διάνοιαι, ὅροι τε καὶ συλλογισμοὶ διὰ [6] τὸ ἰσάζειν ἐκλείπουσιν· Ἀντιθέσει λέγει συγγνωμονικῇ ἢ ἀντιστατικῇ, μεταλήψει, τοῖς πρός τι [7] διπλοῖς, ὧν τὸ μὲν σύγκρισιν [8] ἔχει, τὸ δὲ τὸ περιέχον ἐξετάζει καὶ τὸ περιεχόμενον· βιαίῳ ὅρῳ,

---

1 pro ἐστὶν Par. 1. ὡς. 2 Mon. τινὰ δύο περιέχουσαν νόμον. 3 ἀκριβῶς προσέθηκε — — διανοίαις δύο inter sch. min. habent. Parr. 4 κατὰ Mon. om. 5 οἱ προδιορισμοὶ sqq. usque ad litt. γ'. absunt a Par. 2. 6 Mon. καί. 7 Mon. inserit ῥητοῖς. 8 Par. 1. συγχώρησιν.

μεταλήψει, τῇ ἐπὶ τὸ πρόσωπον ποιότητι καὶ γνώμῃ· ταῦτα δὲ, φησὶ, τὰ κεφάλαια δῆλά ἐστι τῷ χρωμένῳ·

Ἴδιόν ἐστι, φησὶ, κεφάλαιον παρὰ τὰ ἐν ῥητῷ καὶ διανοίᾳ, τὸ πότερον περιέχει τῶν ῥητῶν, καὶ πότερον περιέχεται· οἷον ποτέρου τῶν ῥητῶν κρατήσαντος οὐδὲ τὸ ἕτερον ἀναιρεθήσεται, πολλὴ δὲ ἡ τοῦ κεφαλαίου δύναμις, καὶ προσάγεσθαι τὸν ἀκροατὴν ἱκανωτάτη· εἴτις γὰρ τῶν δύο ἀντιδίκων ἐπιδείξει, ὡς τοῦδε τοῦ νόμου κρατήσαντος, οὐδὲ ὁ ἕτερος ἀναιρεῖται, δῆλον ὅτι πᾶς αὐτῷ δικαστὴς προστεθήσεται. [9] *Θέντες, φησὶ, τὸ παράδειγμα ἕκαστον τῶν κεφαλαίων σαφῶς διεξέλθωμεν.*

Τοῦτο τὸ παράδειγμα, ὡς ἐν τῇ μεθόδῳ δεδήλωται ὑπὸ Εὐσταθίου, οὐκ ἔστιν ἀντινομίας, ἀλλὰ πραγματικῆς κατὰ ῥητόν. Ὁ γὰρ κατήγορος τὸν ὑπὲρ αὐτοῦ νόμον προβάλλεται, ὡς ἐφ᾽ οὗ παρέθετο πλάσματος· ἐνταῦθα γὰρ ὁ κωλύων προβάλλεται τὸν νόμον, τὸν κελεύοντα μὴ δεῖν ἀποκήρυκτον πατρικῶν χρημάτων μετέχειν.

γ΄. Ἡ προβολὴ τοῦ ῥητοῦ γίνεται ἀπὸ τῆς ἐκθέσεως τοῦ νόμου, καὶ τῆς περὶ τὸ ἀδίκημα αὐξήσεως· οἷον ὁ ἀποκήρυκτος μὴ μετεχέτω τῶν πατρῴων, καὶ ὁ ἐπιμείνας χειμαζομένῃ νηῒ δεσπότης ἔστω τῆς νηός· ἀποκήρυκτος ἐπιμείνας χειμαζομένῃ νηῒ δεσπόζειν κωλύεται· ἡ προβολὴ, ὅτι ἀποκήρυκτος εἶ, ᾧ ἀπαγορεύει μὴ μετέχειν τῶν πατρῴων ὁ νόμος, πατρῷα [10] *δὲ ἡ ναῦς. Ἡ διάνοια τοιαύτη τις ἔσται· τότε, φησὶ, κωλύει μετέχειν τῶν πατρῴων, ὅταν μὴ χειμαζομένῃ τις ἐπιμείνῃ νηῒ, ὅταν ὡς κληρονόμος θέλῃ μετέχειν καὶ κύριος, οὐχ ὅταν ὡς ἀλλότριος καὶ μηδὲν προσήκων· οὕτω γὰρ σώζεται διπλῆ διάνοια αὐτοῦ τε τοῦ φεύγοντος καὶ τοῦ νομοθέτου· τὸ μὲν γὰρ διορίζειν, πότε καὶ πῶς μετέχειν τῶν πατρῴων,*

---

9 Par. 1. προστεθήσεται δικαστής. 10 πατρῷα δὲ ἡ ναῦς Mon. om.

τῆς τοῦ νομοθέτου γνώμης ἐστί· τὸ δὲ προσθεῖναι, οὐχ ὅταν ὡς ἀλλότριος καὶ μηδὲν προσήκων, δῆλον ὅτι ὡς αὐτοῦ τοῦ χρωμένου.

δ΄. Ἡ διάνοια φέρεται πρὸς τὴν προβολὴν ἐκ τοῦ φεύγοντος, οἷον τηνικαῦτα λέγει ὁ νομοθέτης μὴ μετέχειν τῶν πατρῴων τὸν ἀποκήρυκτον, ὅταν ὡς κληρονομήσων ἀντέχηται τῆς οὐσίας, ὅταν διαδικάζηται περὶ τῶν τοῦ πατρὸς ὡς προσηκόντων κατὰ τοὺς περὶ [11] τῶν παίδων νόμους· εἶτα καὶ ἐκ τοῦ ἐναντίου ἀντιθετικῶς, οὐχ ὅταν ὡς μηδὲν προσήκων, δεῖ δὲ μὴ ἁπλῶς προάγειν τὴν διάνοιαν, ἀλλὰ χώραν ἐξ αὐτῆς παρασκευάζειν τῇ προβολῇ.

ε΄. Πάλιν ὁ διώκων ἀντιτάξει τῇ τοῦ φεύγοντος προβολῇ τὴν διάνοιαν, ἀλλὰ τηνικαῦτα δίδωσιν, ὅταν ἑτέρου τινός, ὅταν μὴ νόμος εἴργῃ, ὅταν ὁ ἐπιμείνας μὴ ἀποκήρυκτος ᾖ· πρῶτον οὖν χρήσεται τῇ προβολῇ ὁ διώκων· ἔπειτα λύσει ταύτην ὁ φεύγων τῇ διανοίᾳ· ἐπισυνάψει δὲ καὶ τὴν ἑαυτοῦ προβολήν· εἶτα αὖθις ὁ διώκων ἑτέρᾳ διανοίᾳ τὴν τοῦ φεύγοντος προβολὴν ἀπολύσεται.

ϛ΄. Ἰσάζει τοῦτο, φησί, τὸ κεφάλαιον· ὁπότερος γὰρ ἂν χρήσηται [12] αὐτῷ, καὶ τῷ ἑτέρῳ ἔξεστι χρήσασθαι· οὐ μὴν καθάπαξ ἰσάζει· ἀλλ᾽ εἰ οἷόν τε μεθοδεύειν αὐτὸ ἑτέρως, ὥστε μὴ εἶναι ἄχρηστον ἡμῖν τὸ κεφάλαιον· ἀλλ᾽ ὁ μὲν τεχνικὸς τὴν μέθοδον εἰπεῖν [13] παρῃτήσατο, οὐ γὰρ περὶ εὑρέσεως προὔθετο λέγειν· ἡμᾶς δὲ οὐ καλῶς ἔχει παραδραμεῖν· ἀνασκοποῦντες τοίνυν πανταχόσε ἑκάτερον τῶν ῥητῶν ἐξ ἀνάγκης ἡντιναοῦν εὑρήσομεν διαφορὰν, ἐφ᾽ ἧς δυνησόμεθα χρῆσθαι τῷ κεφαλαίῳ· ἢ γὰρ κατὰ φύσιν ἢ κατὰ τὴν χρῆσιν

---

11 περὶ Mon. om. 12 Mon. χρήσεται ἄν. 13 Mon. ἡμῖν.

διαφορᾶς τινος εὐπορῆσαι ῥᾴδιον· κατὰ μὲν τὴν φύσιν, ὅτι ἐκεῖνο μὲν ὡς κομιδῇ καταφανὲς καὶ ὁμολογούμενον εἰκότως οὐ πρόσκειται· τοῦτο δὲ οὐχ ὡς ὁμολογούμενον ἐχρῆν προστεθεῖσθαι· κατὰ δὲ τὴν χρῆσιν, εἰ ἔχοιμεν ἐπιδεικνύναι παραδείγματα, ὡς πολλῶν καὶ ἄλλων οὕτω χρησαμένων τῷ νόμῳ· οὐκέτι δὲ παραπλησίως καὶ τῷ τοῦ ἀντιδίκου.

ζ'. Χρησόμεθα δὲ καὶ τῷ ὅρῳ καὶ τῷ συλλογισμῷ, εἰ καὶ τὰ μάλιστα ἰσάζειν δοκεῖ κατὰ τὴν προειρημένην τῷ προάγοντι [14] κεφαλαίῳ μέθοδον, οἷον ὅτι οὐδὲν διαφέρει, ἄν τε προσδιώρισεν, ἄν τε μή· κατάδηλος γὰρ ἡ διάνοια, οὐχ οὕτως μέντοι καὶ ἐπὶ τοῦ ἑτέρου νόμου, ἵνα ἐκ τοῦ ὅρου διαστήσωμεν ὅτι πλεῖστον διαφέρει.

η'. Ἡ ἑτέρα διάνοια [15] ἡ γνώμη ἐστὶ τοῦ νομοθέτου, φησίν· ἣν ἑκάτερος ἐξετάσει πρὸς τὸ συμφέρον, ζητῶν ποίᾳ γνώμῃ γέγραφεν ὁ νομοθέτης· καὶ ὁ μὲν κατήγορος ἐρεῖ ὁ νομοθετήσας, οὐκ ἄξιον εἶναι τὸν ἅπαξ [16] ἀπηχθημένον τῷ πατρὶ τῶν ἐκείνου μετέχειν· διὰ τοῦτο ἔφη τὸν ἀποκήρυκτον μὴ μετέχειν τῶν πατρῴων πραγμάτων· ὁ δὲ φεύγων φησὶν, ὅτι οὐ τοῦτο ἠβουλήθην, ἀλλὰ βουλόμενος καθ' ἑαυτοὺς γινομένους καὶ παραβαλλομένους οὕτως ἀποτρίβεσθαι τὴν βλακείαν, [17] δι' ἣν ἀπεκηρύχθησαν πρότερον, τοῦτον ἔθηκε τὸν νόμον.

θ'. Ἡ γνώμη τοῦ νομοθέτου ἀεὶ ἐμπεσεῖται στοχαστικὴ οὖσα, πρὸς γὰρ τὸ συμφέρον ὑφ' ἑκατέρου ἐξετάζεται· τί οὖν ἐν τῇ ἀπαριθμήσει τῶν κεφαλαίων, ἐρεῖ τις, ὡς ἰσάζοντα παρέλαβε τὰ κεφάλαια; δοκεῖ γὰρ, εἶπεν, ὡς οὐκ ὄντος ἀληθοῦς τοῦ λόγου, ἐξετασθήσεται

---

14 τῶ προάγοντι κεφ. — — διαφέρει ἄν τε Mon. om. qui habet: προειρημένην τοῦ προσδιώρισεν. 15 Mon. καὶ ἡ γν'. 16 ἅπαξ Par. 1. om. 17 Parr. βλακείαν. Mon. βλάβην.

μὲν οὖν ἐπὶ μὲν τοῦ διώκοντος, ὅτι οὐχ ἁπλῶς τὸν ἀποκήρυκτον εἴργει ὁ νομοθέτης τῶν πατρῴων, ἀλλὰ νομίσας ἄξιον εἶναι τὸν ἀπηχθημένον τῷ πατρὶ, μὴ μετέχειν τινὸς τῶν ἐκείνου· ὑπὸ δὲ τοῦ φεύγοντος, ὅτι οὐ τοῦδε χάριν, ἀλλ' ἵνα ἐκκλειόμενοι τῶν πατρῴων καὶ αὐτοὶ πονοῦντες κτᾶσθαι ἀναγκάζωνται, τὴν τροφὴν, δι' ἣν ἀπεκηρύχθησαν, ἀποῤῥίψαντες. ἔτι δὲ καὶ τὴν ἑτέραν ἐξεταστέον τοῦ νομοθέτου διάνοιαν, διατί δίδωσι τῷ ἐπιμείναντι [18] τὴν ναῦν, ἵνα δηλαδὴ πρὸς τοὺς κινδύνους διακαρτεροῖεν οἱ πλέοντες. [19]

Λύσας, [20] φησὶ, διὰ τούτων ὁ φεύγων τοῦ διώκοντος τὸ ῥητὸν ἅμα τὴν διάνοιαν βεβαιῶν ἐπάγει τὸν νόμον, τὸν κελεύοντα κύριον εἶναι τῆς νεὼς τὸν ἐπιμείναντα χειμαζομένῃ.

Τῇ διανοίᾳ ἐπισυνάπτει τὴν ἑαυτοῦ προβολὴν ὁ φεύγων· οἷον ἄλλως [21] τε καὶ ὅταν σαφῶς περὶ τοῦ νόμου διαγορεύῃ· περὶ τοῦ κύριον εἶναι τῆς νεὼς τὸν ἐπιμείναντα· δεῖ γὰρ ἐκ τῆς προβολῆς ἐπιῤῥώννυσθαι τὴν διάνοιαν.

Ὀφειλόμενον ἦν μετὰ [22] τὴν πρώτην προβολὴν τὴν δευτέραν προβολὴν ἀπαντῆσαι, ἀλλ' ἐπεὶ κατηγορεῖταί τις πρότερον, εἶτα ἀπολογεῖται, τούτου χάριν μετὰ τὴν προβολὴν, ἥτις ἐστὶν ἡ κατηγορία, [23] ἡ ἀπολογία, ἥτις ἐστὶν ἡ διάνοια, ἀπήντησεν· εἶτα τὰ ἑξῆς ταῦτα κεφάλαια, ἡ ἑτέρα προβολὴ καὶ ἐχομένως ἡ διάνοια, εἶτα τὸ πρός τι.

---

18 τῷ ἐπιμείναντι Mon. om. 19 Par. 1. οἱ ἐμπλέοντες. 20 λύσας φησὶ διὰ τούτων seqq. usque ad εἶτα τὸ πρός τι in Par. 1. inter majorum scholiorum contextum sequuntur post litt. γ'. Par. 2. inter schol. min. refert. 21 οἷον ἄλλως τε — — — ἐπιῤῥώννυσθαι τὴν διάνοιαν Par. 1. om. 22 Par. 1. πρὸς τὴν προβολὴν τὴν πρώτην. 23 ἡ κατηγορία, ἡ ἀπολ. ἥτις ἐστίν Mon. om.

Τοῦ φεύγοντος [24] *χρησαμένου τῇ διανοίᾳ καὶ τῇ τοῦ νόμου προβολῇ ὁ διώκων διαφορᾷ ἑτέρᾳ λύει τὴν προβολὴν τοῦ νόμου, λέγων ὅτι ὁ νόμος κελεύει, κύριον εἶναι τὸν ἐπιμείναντα χειμαζομένῃ νηΐ, ὅταν μὴ πατρικὴ τυγχάνῃ οὖσα.* [25]

Ἐπὶ τούτοις ἔδει, φησὶ, παρέπεσθαι τὸ προσδιωρισμένον, [26] *ὡς ἐν τῇ κατὰ ῥητὸν καὶ διάνοιαν· ἀλλὰ διὰ τὸ ἐξισάζον ἐκλείπει· ἐπειδὴ γὰρ ἑκάτερος νόμον προβάλλεται, εἴπερ ὁ ἕτερος ἐχρῆτο τῷ προσδιωρισμένῳ καὶ ὁ ἕτερος ἠδύνατο λέγειν περὶ τοῦ νόμου τοῦ παρ' αὐτοῦ προβαλλομένου· διὰ τοῦτο γοῦν ἐκλείπει· ἄχρηστον γὰρ ἐν τούτοις τὸ ἐξισάζον.*

Γρ. [27] *καὶ οἷς ἂν ὁ ἕτερος χρήσεται, καὶ τῷ ἑτέρῳ ἐστὶ χρήσασθαι. Ἐκλείποντος, φησὶ, τοῦ προσδιωρισμένου ἐξ ἀνάγκης καὶ τἄλλα κεφάλαια συνεκλείπει, λέγω δὴ ὁ ὅρος τε καὶ ὁ συλλογισμός.*

Μετὰ τὴν γνώμην τοῦ νομοθέτου κεφάλαιον παραλαμβάνεται ἡ ἀντίθεσις ἐν τῷ παρόντι προβλήματι· ἀντιστατικῶς μὲν ἀπὸ τοῦ φεύγοντος, ἀντεγκληματικῶς δὲ ἀπὸ τοῦ κατηγόρου, τοῦ μὲν λέγοντος, ἀλλ' ἀποκήρυκτος εἶ. τοῦ δὲ λέγοντος, ἀλλ' ἐπέμεινα χειμαζομένῃ τῇ νηΐ· ἑκάτερος δὲ χρώμενος τῇ ἀντιθέσει, ὁ μὲν κατήγορος κοινὸν τόπον εὐθὺς παραλήψεται κατὰ ἀποκηρύκτου λέγων· οἷον ὁ μὴ τῷ πατρὶ γεγονὼς ἐπιτήδειος, τίσιν ἂν γένοιτο πρὸς ὠφέλειάν ποτε; ὁ δὲ φεύγων ἔκφρασιν παραλήψεται, καὶ τοσαῦτα ἐρεῖ αὔξων τὸ γεγονὸς, ὅσα τοῖς χειμαζομένοις ἀεὶ παραπέπηγεν.

ιά. Τὴν ἀντίθεσιν ὁ μὲν διώκων ἀντεγκληματικὴν ποιήσεται κατασκευάζων διὰ τοῦ κοινοῦ τόπου, εἰ καὶ

---

24 *τοῦ φεύγ. χρησαμένου* sqq. usq. ad litt. *ι'*. inter sch. min. habent Parr. 25 Par. 1. *οὖσα τυγχάνῃ*. 26 Par. 1. *τὸ διωρισμένον*. 27 Mon. *γρ'*. om. sq. *ἂν* a Par. 1. abest.

ἀποκήρυκτος εἶ· καθόλου γὰρ πᾶν ἀντεγκληματικὸν διὰ τοῦ κοινοῦ τόπου προάγεται· ὁ δὲ φεύγων ἀντιστατικῇ τινι χρήσεται· ἀλλ᾽ ἐπέμεινα φάσκων. ἔστι δὲ τὸ τοιοῦτον οὐ καθαρὸν ἀντιστατικὸν, ἀλλὰ δοκοῦν· εἴγε τὸ εὐεργέτημα οὐκ εἰς τὸ κοινὸν, εἰς αὐτὸν δὲ φέρεται τὸν κρινόμενον, ὅπερ οὐ βούλεται ἔχειν τὸ φύσει ἀντιστατικόν· ἡ δὲ ἐργασία τοῦ κεφαλαίου ἐκ τῆς περὶ τὸν χειμῶνα ἐκφράσεως γενήσεται, καὶ τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους· οἷον ὅπως ἡ ναῦς ὑπὸ τοῦ πεύματος ἐστροβεῖτο, ὅπως ἀνῴδει ἡ θάλασσα, ὅπως αἱ καταιγίδες ἐνέπιπτον· δεδήλωται ἐν τοῖς προάγουσιν, ὡς ἅπαν ἀντιστατικὸν ἐκ τῆς τοῦ πράγματος ἐκφράσεως λαμβάνει κατασκευήν.

ιβʹ. Ἡ μετάληψις διπλῆ, ἑκάτερος γὰρ τὴν ἀντίθεσιν διὰ τῆς μεταλήψεως λύει· καὶ ὅλως διπλῆς τῆς ἀντιθέσεως διδομένης, [28] ἀνάγκη καὶ μετάληψιν ἐπακολουθῆσαι [29] διπλῆν· ὁ μὲν γὰρ διώκων ἀπαντήσει πρὸς τὸ ἀντιστατικὸν, ὅτι ἐφ᾽ ἑτέροις ἐχρῆν ἀνδρίζεσθαι, οὐκ ἐπὶ τούτοις· πρὸς δὲ τὸ ἀντεγκληματικὸν ὁ φεύγων, ὅτι οὐδὲν μᾶλλον δικαίως ἂν εἰργοίμην τῆς νηὸς, εἰ καὶ τοιοῦτος εἴη.

ιγʹ. Τῆς ἀντιθέσεως γενομένης διπλῆς, διπλῆ καὶ ἡ μετάληψις ἐπακολουθεῖ, καὶ ὁ μὲν ἀποκήρυκτος πρὸς τὴν τοπικὴν παραδρομὴν παραγραφικῶς χρήσεται αὐτῇ· ἐρεῖ γὰρ, ὡς εἰ καὶ ἀληθῆ τὰ λεγόμενα, οὐδέν τι μᾶλλον δικαίως ἀποστεροίμην ἂν τῆς νηὸς, ὁ δὲ ἕτερος κατὰ ἔνστασιν χρήσεται· λέγων, ὅτι ἐν ἑτέροις δεῖ τὴν ἀνδρείαν ἐπιδείκνυσθαι.

Παραπλησίως [30] καὶ ἐπὶ τοῦ ἑτέρου μέρους, φησὶ, τὴν τοῦ νομοθέτου γνώμην ἐξετάσουσιν ἀμφότεροι, διὰ τί δίδωσιν ὁ νόμος τὴν ναῦν τῷ ἐναπομείναντι, ὅτι βού-

---

28 Mon. δεδομένης. 29 Par. 1. ἀπαντῆσαι. 30 παραπλησίως καὶ etc. usque ad litt. ιδʹ. inter schol. min. habent Parr.

λεται, φησὶ, τοῖς κινδύνοις ἐγκαρτερεῖν τοὺς ἐμπλέοντας, καὶ μὴ τοῖς φόβοις εἴκειν ῥᾳδίως, μηδὲ τῶν νεῶν καταφρονεῖν.

Τὰ τοῦ φεύγοντος εἰπόντι ἀκόλουθον ἦν αὐτῷ καὶ τὴν ἑτέραν ἀποδοῦναι γνώμην. ἐπεμαρτύρατο δὲ, ὡς οὐ διελεῖν αὐτῷ τὰ νῦν πρόκειται. ἔστι δὲ ἡ ἑτέρα, ὅτι διάπειραν ὁ νόμος τῆς ἑκάστου τῶν πλεόντων γνώμης ποιούμενος ὥσπερ δέλεαρ τὴν ναῦν προέθηκε[31] τοῖς παντὸς κέρδους ἡττωμένοις, ἐλέγχειν βουλόμενος, οἳ πάντα ἐθέλουσιν ὑφίστασθαι πλεονεξίας ἕνεκα. Οὐ κατηγορίας, φησὶν, ὁ καιρὸς, ἀλλ᾽ εὐεργεσίας.

ιδ´. Ὅτι μὲν συγκριτικὸν τὸ κεφάλαιον, ἐν τοῖς ἔμπροσθεν δηλώσομεν. λαμβάνεται δὲ ἀπὸ τοῦ καιροῦ, ἀπὸ τοῦ προσώπου, ἀπὸ τῆς ποσότητος καὶ πηλικότητος, ἐκ τοῦ ἀποβησομένου, καὶ ἔτι ἀπὸ τῆς αἰτίας· ἀπὸ μὲν τοῦ καιροῦ, οἷον εἰ ἐγχωροίη λέγειν, ὡς ὁ μὲν ἀρχαιότερος, ὁ δὲ τεθειμένος ἐξ ὑπογυίου· ἀπὸ δὲ τοῦ προσώπου· εἰ τὸν μὲν ὑπὸ[32] Σόλωνος, τὸν δὲ ὑπὸ τοῦ δεῖνος τεθεῖσθαι λέγοιμεν· ἀπὸ δὲ τῆς ποσότητος, εἰ τὸν μὲν κοινὸν, τὸν δὲ ἴδιον ἀποφανοῦμεν· ἀπὸ δὲ τῆς πηλικότητος, ὅτι ὁ μὲν περὶ τῶν μεγίστων, ὁ δὲ περὶ μικρῶν· ἀπὸ δὲ τοῦ ἀποβησομένου, ὅτι τούτου μὲν λυθέντος μεγάλα ἡ πόλις βλαβήσεται. θατέρου δὲ μικρὸν ἢ οὐδέν· ἀπὸ δὲ τῆς αἰτίας, οἷον τίνος ἕνεκα ἐτέθη, καθάπερ ὁ Δημοσθένης,[33] ὁρῶν ὑμᾶν ἔφη τὸ ναυτικὸν καταλυόμενον.

ιέ. Καλῶς ἔφη τὸ ἴδιον μᾶλλον, καὶ γὰρ τὰ κοινὰ οὐδὲν μᾶλλον κοινά ἐστιν ἢ ἴδια· ἐπειράθησαν δέ τινες ἐκ τοῦδε τοῦ κεφαλαίου τὴν ὅλην διασείειν ἀντιλογίαν· εἰ γὰρ ἐν ταύτῃ, φασὶν,[34] ὁρᾶται τὸ περιεχόμενον, οὐδ᾽ ἂν καλοῖτο δικαίως ἀντινομία, τὸ μὲν γὰρ περιεχόμενον οὐκ ἐναντίον τῷ περιέχοντι· τὸ δὲ τῆς ἀντινομίας ὄνομα

31 προέθηκε Mon. om. 32 Mon. ἀπό. 33 pro cor. p. 260. 34 Par. 1. φησίν.

βούλεται νόμων δηλοῦν ἐναντίωσιν· ἔλαθε δὲ αὐτοὺς, ὡς τὸ περιέχον καὶ περιεχόμενον οὐ κατὰ τὴν περίστασιν, κατὰ δὲ τὰ ἐπιχειρήματα γίνεται· οὐκ εἴ τι δὲ κατὰ περιουσίαν ἐκ τῶν ἐπιχειρημάτων εἰσφέρεται, τοῦτο προσήκει ἐπὶ τὴν φύσιν ἀνάγειν τῆς στάσεως. λαμβάνεται δὲ, φησὶ, τὸ προκείμενον κεφάλαιον κατὰ τὸ περιέχον καὶ περιεχόμενον, σκοπούντων ἡμῶν, ποτέρου γενομένου οὐδέτερον ἀναιρεθήσεται· ἀλλ' ἐπὶ μὲν τοῦ ἀποκηρύκτου, φησὶν, οὐκ εὔκολον ἰδεῖν τὴν φύσιν τοῦ κεφαλαίου· ἐπὶ δὲ τοῦ ζητήματος τούτου σαφέστερον ἔσται· δύο τις κατὰ ταὐτὸν ἐβιάσατο κόρας· καὶ ἡ μὲν γάμον, ἡ δὲ θάνατον αἱρεῖται τοῦ βιασαμένου,[35] ἡ γὰρ ἀξιοῦσα τεθνάναι αὐτὸν ἐρεῖ, ὅτι γε ἀμφοτέραις δώσει δίκην εἰ τεθναίη, εἰ δὲ γήμῃ τὴν ἑτέραν, θάτερον μέρος ἄκυρον ἔσται τοῦ νόμου. πῶς οὖν ἐπὶ τῶν ἄλλων τῶν οὐ φανερὰν ἐχόντων τὴν φύσιν τοῦ κεφαλαίου ἐπιγνῶναι αὐτὸ δυνησόμεθα, ἐπὶ τὴν διάνοιαν ἀναδραμόντας χρὴ λαμβάνειν ἐκ τῆς περὶ αὐτῆς ἐξετάσεως τὸ περὶ οὗ ἡμῖν ὁ λόγος κεφάλαιον, ὡς ἐπὶ τοῦ ἀποκηρύκτου· ἐξετάζων γὰρ τὴν διάνοιαν ὁ φεύγων, ἐρεῖ ὡς τότε λέγει ὁ νόμος εἴργεσθαι τῶν πατρῴων τὸν ἀποκήρυκτον, ὅταν ὡς κληρονομήσων τῆς οὐσίας ἀντέχηται· οὐχ ὅταν ὡς ἀλλότριος καὶ μηδὲν προσήκων· εἶτα ἐντεῦθεν λαμβάνει χώραν τὸ περιεχόμενον, ὡς εἰ μὲν λάβοι τὴν ναῦν, ἑκάτερος φυλαχθήσεται τῶν νόμων, καὶ ὁ κύριον ποιῶν τὸν ἐπιμείναντα, καὶ ὁ τῶν ἀποκηρύκτων· οὐ γὰρ ὡς κληρονομήσων κατὰ τοὺς περὶ τῶν παίδων νόμους πρόσειμι τῇ νηΐ, εἰ δέ με ἀποστεροίητε, ὁ περὶ τῶν ἐναπομεινάντων[36] λυθήσεται. ἐπιχειρήσει δὲ καὶ ὁ διώκων ἐκ τοῦ ἐναντίου ἐκ τῆς ἑαυτοῦ διανοίας· ἐλέγομεν γὰρ ἑκάτερον χρῆσθαι διανοίᾳ.

---

35 Par. 1. αὐτοῦ. 36 Par. 2. ἐπιμεινάντων.

ιϛ'. Ὁ βίαιος ὅρος βιαιοτέραν ἔχει τὴν κατασκευὴν ἀνατροπὴν ἔχων τοῦ προκειμένου, κοινὸς δέ ἐστιν ἀμφοῖν· βιάσεται γὰρ ἑκάτερος, ὁ μὲν οὐ τοῦ πατρὸς εἶναι τὴν ναῦν, ἀλλὰ τοῦ κλύδωνος καὶ τῆς θαλάσσης, ὁ δὲ τοὐναντίον ἀγωνιεῖται τοῦ πατρὸς εἶναι, καὶ οὐδενὸς ἑτέρου δεικνύναι· καὶ ὅτι δεινότερόν ἐστι τοῦ ὡς πατρικῶν ἀντιποιεῖσθαι.

ιζ'. Ὁ βίαιος ὅρος ὃν τρόπον ἐπὶ τῶν ἀντιθετικῶν λαμβάνεται, ὅτι οὐδὲ ἀδίκημα ἢ ὅτι οὐδὲ εὐεργέτημα, τὸν αὐτὸν κἀνταῦθα, ὅτι οὐδὲ τοῦ πατρός ἐστιν ἡ ναῦς, ἀλλὰ τοῦ κλύδωνος· ἢ τοὐναντίον, ὅτι τοῦ πατρὸς καὶ οὐχ ἑτέρου γε οὐδενός.[37]

ιη'. Ὅταν ἡ ὑπόθεσις ἡμῖν διδῷ παραλαβεῖν θέσιν, ἤ τι ἕτερον τῶν ἑξῆς κεφαλαίων, χρησόμεθα, φησὶν, αὐτοῖς καθάπερ ἐν τοῖς ἀντιθετικοῖς.

ιθ'. Ἐπὶ τούτοις,[38] φησὶν, ἡ θέσις ἀκολουθεῖ, καὶ ἡ μετάληψις καὶ ἀντίληψις, ὡς ἐν ταῖς ἄλλαις ζητήσεσιν, ἂν ἄρα ἐμπέσοι.

Τῇ μεταλήψει[39] ταὐτὸν τὸ πρός τι ἀκολουθεῖ, ἑκατέρου ἐξετάζοντος, ποῖον νόμον τῶν δύο δεῖ παραβαίνειν, καὶ ἑκατέρου πειρωμένου δεικνύναι κατὰ τὰς παραδεδομένας ὑπὸ τοῦ τεχνικοῦ μεθόδους παραβῆναι τὸν αὐτῷ συμμαχοῦντα νόμον δεινότερον.

Μετὰ τὸ πρὸς τί ἐστι κεφάλαιον τὸ περιέχον καὶ περιεχόμενον· τοῦτο δ' ἐξ ἑνὸς μέρους ἐμπίπτει· οὐχ ὡρισμένως, ἀλλὰ πῆ μὲν ἔνθεν, πῆ δ' ἐκεῖθεν. Γρ. ποῖον τὸ περιέχον καὶ ποῖον τὸ περιεχόμενον; Ἐπὶ τοῦ ὑποκειμένου παραδείγματος οὐκ ἔχων αὐτοῦ δεῖξαι τὴν φύσιν, ἐφ' ἕτερον μετέβη παράδειγμα· ἐν τούτῳ γὰρ ἡ τὸν θάνατον αἰτοῦσα τοῦ βιασαμένου ἔχει τὸ περιέχον καὶ τὸ πε-

---

37 οὐχ ἑτέρου τινός Par. 1. 38 ἐπὶ τούτοις φησὶν ἡ θέσ. ἀκολ. καὶ ἡ Mon. om. 39 τῇ μεταλήψει sqq. inter sch. min. habent Parr.

ριεχόμενον· ἐρεῖ γάρ, ὅτι ἐν τῷ θανάτῳ περιλαμβάνεται καὶ ἡ ὑπέρ σου τιμωρία.

ΓΕΩΡΓΙΟΥ[1]
εἰς τὴν ἀντινομίαν.

Μετὰ τὸ ῥητὸν καὶ διάνοιαν μέτεισιν ὁ τεχνικὸς ἐπὶ τὴν ἀντινομίαν, καὶ πρῶτόν γε ψιλὴν παραδοὺς[2] τὴν ἀπαρίθμησιν τῶν κεφαλαίων καθ᾽ ἓν ἕκαστον τῶν κεφαλαίων ἐργάζεται· εἰσὶ δὲ τὰ κεφάλαια ταῦτα, προβολὴ ῥητοῦ, διάνοια, ἑτέρα προβολὴ ῥητοῦ, καὶ πάλιν ἑτέρα διάνοια, εἶτα[3] ἕπεται τὸ μὴ προσδιωρίσθαι, καὶ ἡ ἑτέρα διάνοια τοῦ νομοθέτου καὶ ὁ συλλογισμὸς καὶ ὁ πρὸς αὐτὸν ὅρος. ἰσάζειν δέ πως δοκεῖ ταῦτα, ἐπ᾽ ἀμφοῖν τοῖν μεροῖν παραπλησίως λέγεσθαι δυνάμενα. τὰ μέντοι μετὰ ταῦτα κεφάλαια, δηλαδή ἐστιν ἀντίθεσις, μετάληψις, πρός τι, ὅρος βίαιος, ἑτέρα μετάληψις, εἶτα ποιότης καὶ γνώμη. ταῦτα μέν εἰσι τὰ κεφάλαια. φέρε δὲ πρὸ τῆς κατὰ μέρος αὐτῶν ἐξετάσεως προλάβωμεν ταῦτα, καὶ πρῶτόν γε περὶ τῆς τάξεως ζητήσωμεν. τί γάρ δήποτε, φασὶν, ἐν μὲν τῇ μεθόδῳ μετὰ τὸ ῥητὸν καὶ τὴν διάνοιαν ἔταττεν ὁ τεχνικὸς τὸν συλλογισμὸν πρὸ τῆς ἀντινομίας, ἐνταῦθα δὲ τοὐναντίον ἐποίησε πρὸ τοῦ συλλογισμοῦ τάξας δευτέραν τὴν ἀντινομίαν· περὶ γὰρ τῆς ἀμφιβολίας εἴρηται, ὡς τελευταία τέτακται εἰκότως· λέγομεν δὲ πρὸς τοῦτο, ὅτι ἐκεῖσε μὲν μεθοδικῶς προετέτακτο τῆς ἀντινομίας ὁ συλλογισμὸς, μετὰ τὸ ῥητὸν καὶ διάνοιαν τεταγμένος εὐλόγως. ἄμφω γὰρ περὶ ἓν εἰλεῖται ῥητὸν,

1 Haec et alia, quae sequuntur, Georgii Diaeretae capita continentur etiam in alio commentario εἰς τὰς στάσεις, a nostro diverso, qui est in Cod. Mediceo Plut. LVII. 5. unde in Cod. Vindobonensem XV. transscripta sunt. 2 Vind. ἀποδούς. Med. Parr. Mon. παραδούς. 3 Par. 1. εἶθ᾽ ἕπ.

ὅ τε συλλογισμὸς καὶ τὸ ῥητὸν καὶ διάνοια· ἡ δὲ ἀντινομία περὶ πλείονα ῥητὰ καταγίνεται, ὡς καὶ αὐτὸ τοὔνομα δηλοῖ· ἀντινομία γὰρ καλεῖται· ἐχρῆν οὖν δεύτερον εἶναι τὸν συλλογισμὸν μετὰ τὸ ῥητὸν καὶ διάνοιαν, ὡς καὶ αὐτὸν περὶ ἓν καταγινόμενον ῥητόν. οὕτως μὲν ἐν τῇ μεθόδῳ προέταξε τὸν συλλογισμὸν τῆς ἀντινομίας· ἐνταῦθα δὲ τοὐναντίον ἐποίησε μετὰ τὸ ῥητὸν καὶ διάνοιαν τάξας τὴν ἀντινομίαν, διαιρετικαῖς μεθόδοις. ἐπειδὴ γὰρ τῇ αὐτῇ ἄμφω διαιρέσει κέχρηνται [4] τῶν κεφαλαίων, τὰ γὰρ αὐτὰ ἐμπίπτουσιν ἐν ταῖς δύο στάσεσι κεφάλαια, ἀλλ' ἐν τῇ ἀντινομίᾳ διπλᾶ, εἰκότως ἐφεξῆς εἰσι τεταγμέναι ἀλλήλαις, ἐχρῆν γὰρ ἐναύλου τῆς μνήμης οὔσης τῶν κεφαλαίων εὐθὺς ἐπιφέρεσθαι τὴν τὰ αὐτὰ ἔχουσαν κεφάλαια. καὶ ταῦτα μὲν περὶ τῆς τάξεως· καὶ δέδεικται, ὅτι εὐλόγως ἐνταῦθα μετὰ τὸ ῥητὸν καὶ τὴν διάνοιάν ἐστιν, ἀκόλουθον δὲ λοιπὸν κἀκεῖνο ζητῆσαι· φασὶ γάρ τινες, ὅτι αὐτὸς ἔφη ὁ τεχνικός, ὅτι ἡ ἀντινομία ἔστι μὲν οἷον διπλοῦν ῥητὸν καὶ διάνοια. ἐχρῆν οὖν διπλοῦν αὐτὸ εἰπεῖν εἶδος ῥητοῦ καὶ διανοίας, καὶ μὴ διαχωρίζειν καὶ ἰδικὴν λέγειν τάξιν. οὐ γὰρ τὰ διπλᾶ εἴδη ἑτέραν λέγομεν στάσιν, ἀλλὰ τὴν αὐτήν· τοιαύτης οὔσης τῆς ζητήσεως ἐπιλυόμενοί τινες λέγουσιν, ὅτι οὐ δύναται διπλοῦν εἶδος εἶναι ῥητοῦ καὶ διανοίας, τὰ γὰρ διπλᾶ εἴδη τὴν τῶν ἁπλῶν δέχονται διαίρεσιν, διπλοῖς προσχρώμενα τοῖς κεφαλαίοις, καὶ οὐδέποτε ξένον τι προσλαμβάνει κεφάλαιον, ὃ μὴ ἔγκειται ἐν τῷ ἁπλῷ εἴδει· ἐνταῦθα δὲ τῇ ἀντινομίᾳ ἰδικὸν ἐνέπεσε [5] κεφάλαιον τὸ περιέχον καὶ τὸ περιεχόμενον, ὅπερ οὐκ ἔχει τὸ ῥητὸν καὶ διάνοια. οὐκ ἄρα οὖν διπλοῦν ἔσται

εἶ-

4 Par. 1. κέχρηνται διαιρέσει. Med. et Vind. διαιρέσει κέχρηται. 5 Mon. ἔπεσε. Par. 1. ἐν τῇ ἀντινομίᾳ ἰδ. ἐνέπεσε. Vind. et Med. ἐνέπεσε sine ἐν.

εἶδος ἡ ἀντινομία ῥητοῦ καὶ διανοίας, ἀλλὰ τοῦτό γε οὐκ ἰσχυρόν. εὑρίσκομεν γὰρ ἐν τοῖς ῥητοῖς ζητήμασιν ἰδιάζοντα πολλάκις κεφάλαια, ὥσπερ ἐν τῷ κατὰ σύλληψιν ὅρῳ τὸ συλληπτικὸν ἐμπέπτωκεν· ὅπερ οὐκ ἔστιν ἐν τοῖς ἄλλοις εἴδεσιν· ἄμεινον οὖν ἀποδεῖξαι μᾶλλον, ὡς οὐκ ἔστι διπλοῦν εἶδος ἀντινομία ῥητοῦ καὶ διανοίας· καὶ ἔστιν ἡ ἀπόδειξις αὕτη· τὰ ὑπὸ τὴν αὐτὴν στάσιν τελοῦντα εἴδη τὸν αὐτῆς ἐπιδέχονται ὁρισμὸν, ἐπεὶ καὶ ἐν στοχασμῷ πᾶν εἶδος, ἁπλοῦν τέ φημι καὶ διπλοῦν ἀδήλου πράγματός ἐστιν ἔλεγχος οὐσιώδης, καὶ ἐν ὅρῳ ὁμοίως πᾶν εἶδος τὸν αὐτοῦ ἐπιδέχεται ὁρισμόν· ἐνταῦθα δὲ οὐ τὸν αὐτὸν ἐπιδέχεται ὁρισμὸν ἀντινομία τέ φημι καὶ ῥητὸν καὶ διάνοια· οὐκ ἄρα οὖν μιᾶς εἰσι στάσεως εἴδη. εἰ δὲ καὶ ἦν ἡ ἀντινομία διπλοῦν εἶδος ῥητοῦ καὶ διανοίας, ἔδει τὸν ἕνα κεχρῆσθαι τοῖς δύο ῥητοῖς, καὶ τὸν ἕτερον ταῖς δύο διανοίαις. τοῦτο γὰρ ῥητοῦ καὶ διανοίας ἴδιον, τὸ τὸν μὲν κεχρῆσθαι τῷ ῥητῷ, τὸν δὲ ἕτερον τῇ διανοίᾳ· καὶ οὐκ ἂν εὕροι τις τὸν αὐτὸν ἔχοντα καὶ ῥητὸν καὶ διάνοιαν, ἐνταῦθα δὲ ἐν τῇ ἀντινομίᾳ τοῦτό ἐστιν· ἑκάτερος γὰρ αὐτῶν καὶ ῥητὸν ἔχει καὶ διάνοιαν· οὐκ ἄρα οὖν τὰ ἴδια φυλάττει ῥητοῦ καὶ διανοίας ἡ ἀντινομία, καὶ αὕτη πρώτη ἡ ἀπόδειξις·[6] δευτέρα δὲ ἡ καὶ μᾶλλον ἀμείνων αὕτη· ἐν τῷ ῥητῷ καὶ τῇ διανοίᾳ παραβαίνεται μὲν ῥητὸν, οὐ κυροῦται δέ που καὶ ἕτερον· ἐν δὲ τῇ ἀντινομίᾳ καὶ παραβαίνεται ῥητὸν καὶ ἕτερον κυροῦται·[7] παραβαίνομεν γὰρ τὸ ἓν τῶν ῥητῶν, ἵνα κυρώσωμεν[8] τὸ ἕτερον. οὐκ ἄρα τῆς αὐτῆς ἔχονται φύσεως αὗται αἱ στάσεις, ἀλλὰ ταῦτά γε προλαβόντες, φέρε δὴ λοιπὸν ἐπὶ τὴν κατὰ μέρος ἐξέτασιν τῶν κεφαλαίων χωρήσωμεν· δεῖ τοίνυν γινώσκειν, ὅτι ἐπὶ τούτου ποιεῖται ὁ τεχνικὸς τοῦ προβλήματος τὴν τῶν κεφαλαίων

6 Mon. ἀπόδεξις. articulum Mon. Med. et Vind. om. 7 Vind. καὶ κυροῦται καὶ ἕτερον. 8 Mon. Vind. Med. ἀκυρώσωμεν.

ἐξέτασιν, οἷον ἀποκήρυκτος ἐπιμείνας πατρῴᾳ νηῒ κωλύεται δεσπόζειν αὐτῆς. ἤδη δὲ περὶ τούτου τοῦ προβλήματος κἀν τῇ μεθόδῳ εἴρηται ἡμῖν, ὅτι οὐκ ἔστι καθαρᾶς ἀντινομίας τὸ πρόβλημα, ἀλλ' ἔστι μᾶλλον πραγματικῆς κατὰ ἀντινομίαν. ζητοῦμεν γὰρ, ποῖον χρὴ παραβῆναι ῥητὸν, ἀλλ' ὅμως αὐτὸς ὡς καθαρᾶς αὐτὸ παράγει ἀντινομίας· φησὶ δὲ, ὅτι ἡ προβολὴ τοῦ ῥητοῦ προηγεῖται, ἀποκηρύκτῳ ὄντι σοι οὐ μέτεστιν τῶν πατρῴων· τοιαύτης οὔσης τῆς προβολῆς ὁ ἕτερος ἐπάγει τὴν διάνοιαν, καὶ ἔστι διπλῆ, αὐτοῦ τε τοῦ πεποιηκότος, δι' ἣν ἐποίησε διάνοιαν, καὶ τοῦ ῥητοῦ, ποίαν ἄρα διάνοιαν ἔχει τὸ ῥητόν· ἡ μὲν οὖν τοῦ ῥητοῦ διάνοια τοιαύτη ἐστίν. τότε δή που λέγει ὁ νόμος εἴργεσθαι τὸν ἀποκήρυκτον τῶν πατρῴων, ὅταν κληρονομεῖν ἀξιοῖ, ὅταν ἐπιδικάζηται τῶν τοῦ πατρὸς [9] κατὰ τοὺς περὶ τῶν παίδων νόμους, εἶτα λοιπὸν τὴν οἰκείαν ἐπάγει διάνοιαν, ἐγὼ δὲ οὐχ ὡς κληρονόμος ἀντιποιοῦμαι τῶν πατρῴων, ἀλλ' ὡς ἀλλότριος· πράξας δὲ τὰ ὑπὸ τοῦ νόμου διηγορευμένα, ἑξῆς λοιπὸν τῆς οἰκείας διανοίας εἰσβάλλει εἰς τὴν προβολὴν τοῦ οἰκείου καὶ αὐτὸς ῥητοῦ· οἷον σαφῶς ὁ νόμος βοᾷ, τὸν ἐπιμείναντα χειμαζομένῃ νηῒ δεσπότην αὐτῆς εἶναι. πρὸς ταύτην δὲ πάλιν τὴν δευτέραν προβολὴν τοῦ ἑτέρου ῥητοῦ ἕπεται διάνοια ἄλλη· ἀλλὰ τηνικαῦτα δίδωσιν, ὅταν μὴ πατρῷον ᾖ τὸ κτῆμα, ὅταν ἀλλότριον, ὅταν μὴ ἀποκήρυκτός τις ᾖ, ὅταν μὴ νόμῳ εἰργόμενος· χρὴ δὲ γινώσκειν, ὅτι ἐνταῦθα οὐκέτι διττὴ ἐξετασθήσεται διάνοια, τοῦ τε προσώπου φημὶ καὶ τοῦ νόμου, ἀλλὰ μόνην τὴν τοῦ ῥητοῦ διάνοιαν ἐξετάσει ὁ κατήγορος, αὐτῷ γὰρ οὐδὲν πέπρακται, ἵνα καὶ τὴν οἰκείαν ἐξετάσῃ διάνοιαν, μεθ' ἧς ἔπραξε, καὶ οὐκ ἀπορήσειέ τις λέγων, ὅτι ἑτερόῤῥεπὲς εὑρεθήσεται τὸ πρόβλημα· εἴγε ὁ φεύγων διπλῇ χρήσεται τῇ διανοίᾳ, ὁ δὲ

9 Vind. Med. τῷ πατρί.

διώκων οὐκέτι. λέγομεν γὰρ πρὸς τοῦτο, ὅτι ἀναγκαίως ὁ φεύγων διττὴν ἔχει διάνοιαν, δύο γὰρ εἶχε καὶ ἀντικείμενα, τό τε ῥητὸν τὸ ὑπὸ τοῦ κατηγόρου κατ᾽ αὐτοῦ προβαλλόμενον, καὶ τὸ ὑφ᾽ αὐτοῦ πεπραγμένον δοκοῦν παράνομον εἶναι· διὰ τοῦτο οὖν πρὸς τὰ δύο ἠναγκάσθη ἐξετάσαι διάνοιαν. ὁ μέντοι κατήγορος ἕν τι καὶ [10] μόνον ἔχει κατ᾽ αὐτοῦ, φημὶ δὲ τὸ ὑπὸ τοῦ φεύγοντος προβαλλόμενον ῥητόν· εὐλόγως ἄρα καὶ μιᾷ διανοίᾳ ἐκέχρητο. τοσαῦτα περὶ τῆς διανοίας ἔχομεν εἰπεῖν· μετὰ ταῦτα δὲ ἐπὶ τὸ ἀπροσδιόριστον ἰτέον, καὶ χρὴ γινώσκειν, ὅτι ἐξέλιπεν ἐνταῦθα· [11] ἐξισάζει γὰρ ἑκατέρου τὸ αὐτὸ εὐποροῦντος εἰπεῖν· οἷον δεῖ τὸν ἐπιμείναντα νηῒ δεσπότην αὐτῆς εἶναι, εἰ μὴ πατρῴα ᾖ καὶ τύχῃ ὁ ἐπιμείνας ἀποκήρυκτος. ὁ δὲ πρὸς τοῦτο λέξει, ὡς οὐδὲν τοιοῦτον προσδιώρισεν ὁ νόμος, ἐξισάζει οὖν διὰ τοῦτο καὶ ἐκλείπει. καὶ ἐκλείποντος αὐτοῦ δηλονότι, καὶ τὰ πρὸς αὐτὸ συνεκλείπει κεφάλαια, ὁ συλλογισμός φημι καὶ ὁ ὅρος. ἡ γὰρ γνώμη τοῦ νομοθέτου ἐν τῇ ἀντινομίᾳ οὐχ ὥσπερ ἐν ῥητῷ καὶ διανοίᾳ πρὸς τὸ ἀπροσδιόριστον φέρεται, ἀλλὰ πρὸς αὐτὸ τὸ ῥητόν· διόπερ καὶ ὁ τεχνικὸς ἐν μὲν τῇ ἁπλῶς ἀπαριθμήσει τῶν κεφαλαίων, μετὰ τὸ ἀπροσδιόριστον αὐτὴν ἔταξεν, ἐν δὲ τῇ ἐργασίᾳ μετὰ τὸν ὅρον αὐτὴν ἐπήγαγε, τουτέστι μετὰ τὰ ἐκλείποντα κεφάλαια· ἰστέον δὲ, ὅτι χρησόμεθα τῷ ἀπροσδιορίστῳ, ἡνίκα μὴ ἐξισάζει· δύναται γὰρ ἐν ἐνίοις [12] μὴ ἐξισάζειν· καὶ γίνεται τὸ τοιοῦτον διχόθεν, ἀπό τε τῆς φύσεως μὲν, εἴπερ εὐπορήσει ἑκάτερος αὐτῶν ἐπιχειρῆσαι διαφόρως καὶ δεῖξαι, ὅτι ὁ αὐτοῦ μὲν νόμος σαφὴς, ὁ δὲ τοῦ ἑτέρου ἀσαφέστερος, τοῦτο δὲ ποιεῖν ἑκάτερος ἀντεπιχειρήσει, ὅ τε κατήγορός φημι καὶ ὁ φεύγων· χρήσεως [13] δὲ, εἰ ἐπι-

10 καὶ Mon. om. 11 Par. 1. καὶ χρὴ ἐνταῦθα γνώσκειν, ὅτι ἐξέλιπεν. Vind. et Med. καὶ χρὴ γιν. ὅτι ἐνταῦθα ἐξ. 12 Mon. Vind. Med. ἐννοίαις, sine ἐν. 13 Mon. χρήσεται.

χειρήσει πάλιν [14] ἑκάτερος ἀποδεῖξαι, ὅτι τῷ αὐτοῦ πλεῖστοι ἐχρήσαντο, καὶ τὴν ἐξήγησιν ἐδείξαντο ὡς αὐτός· εἰ οὕτως ἐπιχειρεῖν εὐποροῖεν, ἐμπεσεῖται τὸ ἀπροσδιόριστον, ἅτε δὴ μηκέτι ἐξισάζον, καὶ αὐτοῦ ἐμπίπτοντος δῆλον, ὅτι καὶ τὰ πρὸς αὐτὸ ἐμπεσεῖται κεφάλαια, συλλογισμός τέ φημι καὶ ὅρος· χρὴ δὲ καὶ τοῦτο γινώσκειν, ὃ καὶ αὐτὸς ἐπεσημήνατο ὁ τεχνικὸς, ὅτι δυσχερῶς μὲν ἤτοι σπανίως ἐμπίπτει τὸ ἀπροσδιόριστον· ὅμως εἰ χρήσεται αὐτῷ ὁ εἷς, πάντως καὶ ὁ ἕτερος χρήσεται. οὕτως γὰρ ἔφη ὁ τεχνικός· εἶτά ἐστι τὸ μὴ προσδιωρίσθαι, ᾧ ὁπότερος ἂν χρήσηται, καὶ τῷ ἑτέρῳ ἐστὶ χρήσασθαι, καὶ ἰσάζει. Τάχα δ᾽ ἄν τις αὐτὸ καὶ μεθοδεύσειε διαιρῶν, ἡ δὲ μέθοδός ἐστιν, ἣν προείπομεν, ἀπό τε τῆς φύσεως καὶ τῆς χρήσεως· ὡς οὖν προείρηται, καὶ ὁ συλλογισμὸς καὶ ὁ πρὸς αὐτὸν ὅρος ἐξισάζει. μετὰ τὸν ὅρον τοίνυν ἐστὶν ἡ ἑτέρα διάνοια, ἥ τίς ἐστι, φησὶ, γνώμη τοῦ νομοθέτου, καὶ ἐξετασθήσεται διαφόρως ὑφ᾽ ἑκατέρου μέρους ἐπ᾽ ἀμφοῖν τοῖν νόμοιν· δύο γάρ εἰσι νόμοι, καὶ ἐξετάζεται εἷς ἕκαστος αὐτῶν ὑφ᾽ ἑκατέρου· ἡ γνώμη τοῦ νομοθέτου. οἷον διατί τὸν ἀποκήρυκτον εἴργει ὁ νομοθέτης τῶν πατρῴων. ὁ μὲν διώκων ἐρεῖ νομίσας οὐκ ἄξιον εἶναι τὸν ἀπηχθημένον τῷ πατρὶ τῶν ἐκείνου τινὸς μετέχειν· ὁ δὲ φεύγων οὔ· ἀλλ᾽ ἵνα καὶ καθ᾽ ἑαυτοὺς πονοῦντες καὶ παραβαλλόμενοι τοῖς κινδύνοις κτᾶσθαί τι ἀναγκάζωνται. καὶ τὴν βλακείαν, δι᾽ ἣν ἀπεκηρύχθησαν, καὶ τὴν τρυφὴν ἀπόθωνται· ὃ νῦν ἐγὼ πεποίηκα ἐπιμείνας τῇ νηΐ· πάλιν διατί δίδωσιν ὁ νόμος τῷ ἐπιμείναντι τὴν ναῦν· ὁ μὲν φεύγων οὕτως, ἵνα διακαρτεροῖεν πρὸς τοὺς κινδύνους οἱ ἐμπλέοντες ἢ ὅ τι ἂν εὑρίσκωσιν ἀμφότεροι· ὁ δὲ κατήγορος μᾶλλον ἐξετάσει τὴν γνώμην τοῦ νομοθέτου· προσέταξε γὰρ, φησὶ, τὸν ἐπιμείναντα ἔχειν τὴν ναῦν, οὐ πρὸς κέρδος τοῦ ἐπιμένοντος καὶ σώζοντος

14 Par. 1. εἰ ἐπειχειρήσει ἑκάτερος αὐτῶν, ὅτι. tum Mon. τῷ

ἀφορῶν, ἀλλὰ τὴν ὠφέλειαν τῆς πόλεως λογιζόμενος, ὡς εἴπερ οἱ πολῖται εὐποροῖεν ὁλκάδων, ἡ πόλις εὐεργετεῖται, εὐετηρίαν [15] γὰρ ἐκ τούτου καρποῦται ἐμπορευομένων. οὕτως τοίνυν ἡ γνώμη τοῦ νομοθέτου ἐξετασθήσεται ἐφ' ἑκατέρου· μετὰ τὴν γνώμην τοῦ νομοθέτου ἕπεται ἡ ἀντίθεσις διπλῆ οὖσα παρ' ἀμφοῖν, καὶ ἔστιν ἡ μὲν ἀντιστατική, ἡ δὲ ἀντεγκληματική, ἡ μὲν γὰρ ἀπὸ τοῦ κατηγόρου ἀντεγκληματική ἐστιν, οἷον ἀλλ' ἀποκήρυκτος εἶ, καὶ ἄξιος εἶ ἀποστερεῖσθαι τῆς νεὼς, καὶ καταδρομῇ ἐνταῦθα χρησόμεθα τοπικῇ, κοινὸν ἐργαζόμενοι τόπον κατὰ τῶν ἀποκηρύκτων· ἡ δὲ ἀπὸ τοῦ φεύγοντος ἀντιστατική πώς ἐστιν· ἀλλ' ἐπέμεινα τῇ νηῒ καὶ διέσωσά γε αὐτήν· καὶ αὐτὸς μὲν ἔφη ὁ τεχνικός· καὶ ἔστιν οἷον ἀντιστατικὸν ἐνταῦθα καὶ ἔκφρασις τῶν περὶ τὸν χειμῶνα· καὶ λέγουσί τινες, ὅτι ἀσφαλέστερον εἶπεν, οἷον ἀντιστατικόν τι· οὐ γάρ ἐστιν ἐνταῦθα κυρίως ἀντίστασις, ἐπειδὴ αὐτοῦ ἐστι τοῦ πεποιηκότος μόνου ὠφέλεια καὶ οὐ κοινῶς τῆς πόλεως, ὅπερ ἔχει ἡ ἀντίστασις. λέγομεν δὲ ἡμεῖς, ὃ καὶ φθάσαντες εἴπομεν, ὡς ὅτι τὸ γεγονὸς νῦν ὑπὲρ τῆς πόλεώς ἐστιν, εὐπορήσει γὰρ ὁλκάδων ἡ πόλις, ἐξ ὧν οὐδέπω τῶν ἀναγκαίων ἐν σπάνει γενήσεται, ὥστε πάλιν κυρίως ἔσται ἀντίστασις. Καὶ [16] οὕτως μὲν γίνεται ἡ ἀντίθεσις, εἶτα μετὰ ταύτην ἐστὶ πάλιν ἡ μετάληψις [17] διπλῆ, καὶ ἡ μὲν ἀπὸ τοῦ φεύγοντος μεταληπτική ἐστιν ἀπὸ τοῦ χρόνου, ὅτι οὐδὲν μᾶλλον δικαίως ἂν εἰργοίμην τῆς νεὼς, εἰ καὶ τοιοῦτος εἴην, οὐ γὰρ νῦν καιρὸς ταῦτα κατηγορεῖν, ἡ δὲ ἀπὸ τοῦ κατηγόρου μεταληπτική ἐστιν ἀπὸ τρόπου, οἷον ἐπὶ ἑτέροις χρὴ ἀνδρίζεσθαι καὶ οὐκ ἐπὶ τοιούτοις· μετὰ τὴν μετάληψιν ἕπεται τὸ πρός τι, γίνεται δὲ κἀνταῦθα, ὡς ἐν

αὐτῷ. Vind. τῷ αὐτοῦ. — v. 4. Mon. ἐκπίπτοντος. Vind. ἐμπ. 15 Mon. εὐεργετηρίαν. 16 Mon. εἰ. 17 Mon. μετὰ ταῦτα ἐστὶν ἡ ἀντίληψις πάλιν διπλῆ. Med. et Vind. μετάληψις πάλιν διπλῆ.

ταῖς ἀντιθετικαῖς· ἀντεξετάζουσι γὰρ τὰ δύο ῥητά, πότερον βέλτιον φυλάξαι τῶν νόμων· γίνεται δὲ ἡ ἀντεξέτασις ἀπὸ ἑπτά τινων, ὧν πέντε ἡμῖν ὁ τεχνικὸς ἐν τῷ κειμένῳ ἐπεσημήνατο· εἰσὶ [17*] δὲ ταῦτα ἀπὸ χρόνου, οἷον ὁ ἡμέτερος νόμος ἀρχαῖός ἐστι καὶ παλαιός, ὁ δὲ νέος, προκριτέα δὲ τῶν νέων τὰ παλαιά· ἀπὸ προσώπου, ὅτι ὁ ἡμέτερος Σόλωνός ἐστιν, ἂν οὕτω τύχῃ, ὁ δὲ σὸς Λεπτίνου ἢ τοῦ δεῖνος· τρίτον ἀπὸ ποσότητος, ὅτι ὁ μὲν περὶ κοινῶν ἐστι πραγμάτων, ὁ δὲ περὶ ἰδικῶν. τέταρτον ἀπὸ πηλικότητος, ὅτι ὁ μὲν περὶ μεγίστων ἐστι πραγμάτων, ὁ δὲ περὶ μικρῶν καὶ τῶν τυχόντων· πέμπτον ἐστὶ τὸ ἐκ τοῦ ἀποβησομένου, ὅτι μὲν τούτου λυθέντος μεγάλα ἡ πόλις βλαβήσεται, εἰ δὲ ὁ ἕτερος λυθείη, μικρὰ ἢ οὐδὲν ἡ πόλις βλαβήσεται, καὶ ταῦτα μέν εἰσι τὰ πέντε, ὧν μέμνηται καὶ ὁ τεχνικός. ἔτι δὲ ἕκτον ἐστὶ τὸ ἀπὸ αἰτίας, ἡνίκα φαμέν, ὅτι διὰ τίνα οὗτος ἐτέθη αἰτίαν, ἵνα ἐπανορθώσηται τὰ τῆς πόλεως ἐν δυστυχίᾳ ὑπάρχοντα πράγματα· ὡς καὶ Δημοσθένης,[18] ὁρῶν γὰρ τὸ ναυτικὸν ὑμῶν διαφθειρόμενον ἔθηκα νόμον τόνδε. τὴν γὰρ αἰτίαν λέγει, μεθ᾽ ἧς ἐτέθη. ἕβδομόν ἐστιν ἀπὸ τοῦ πλήθους τῶν κεχρημένων, ὅτε φαμέν, ὅτι τούτῳ μὲν πλεῖστοι κέχρηνται, ἐκείνῳ δὲ ὀλίγοι· ταῦτα μέν εἰσι τὰ ἑπτά. χρὴ δὲ γινώσκειν, ὅτι οὐ πάντως ἐκ πάντων, ἀλλ᾽ ἐξ ὧν εὐπορήσει τὸ οἰκεῖον, συστήσει τὸ ῥητόν. ἐπὶ τούτοις ἐστὶ μετὰ τὸ πρός τι καὶ τὸ ἰδικὸν μᾶλλον ἀντινομίας κεφάλαιον, τὸ περιέχον τε καὶ περιεχόμενον, περὶ οὗ τοῖς ἐξηγηταῖς τέσσαρα ἐζητήθη κεφάλαια· καὶ ἔστι πρῶτον περὶ τῆς τάξεως, εἴπερ ἰδικόν ἐστι, φασί, τὸ κεφάλαιον, τί μὴ προτέτακται πάντων τῶν κοινῶν, προτάττειν γὰρ δεῖ τὰ ἰδικὰ τῶν κοινῶν; καὶ λέγομεν πρὸς τοῦτο, ὅτι οὐχ ἁπλῶς πρὸς τὸ κοινὸν δεῖ προσέχειν καὶ ἰδικόν, ἀλλὰ πρὸς τὸ πιθανὸν καὶ ἀκόλουθον. εἰ [19] γὰρ

17* Vind. ἐπί. 18 pro cor. p. 260. 19 Mon. καί.

ἀκριβῶς σκοπήσειέ τις, εὑρήσει ὅτι ἀναγκαίως μετὰ τὰ πρός τι τουτὶ τέτακται τὸ κεφάλαιον. τῆς γὰρ τῶν ῥητῶν ὑφ᾽ ἑκάτερον γενομένης συστάσεως, ἀπορία τις ἦν παρὰ τοῖς δικασταῖς, ποῖον ἄρα προτιμήσουσιν, ἑώρων γὰρ ὥσπερ ἀμφοτέρους τοὺς νόμους εὖ [20] ἔχοντας, καὶ πότερον αὐτῶν παραβαίνειν χρὴ, οὐκ ᾔδεσαν· τούτου δὴ χάριν εὐθὺς ἐπιφέρεται τὸ περιέχον καὶ περιεχόμενον, ἑκατέρου λέγοντος, μηδὲν εὐλαβεῖσθε, ὦ δικασταὶ, τὸν ἐμὸν κυροῦντες νόμον καὶ τὸ τούτου φυλάξατε βέβαιον. εἰ γὰρ τὸν ἐκείνου μᾶλλον κυρώσετε, πάντως τὸν ἐμὸν παραβαίνετε, εὐλόγως ἄρα μετὰ τὸ πρός τι ἐπηνέχθη τὸ ἰδικὸν τῆς ἀντινομίας κεφάλαιον· δεύτερον δὲ περὶ τοῦ αὐτοῦ [21] ἐστι κεφαλαίου· τί βούλεται τὸ παρὰ τῷ τεχνικῷ εἰρημένον δηλοῦν, ἰδικὸν μᾶλλον· ἔφη γὰρ καὶ [22] τὸ ἰδικὸν μᾶλλον τῆς ἀντινομίας κεφάλαιον. ἄρα ὡς καὶ τῶν ἄλλων αὐτῆς κεφαλαίων ἰδικῶν [23] ὄντων, τούτου δὲ μᾶλλον· καὶ μὴν καὶ [24] τὰ ἄλλα κοινά εἰσι, καὶ ῥητοῦ γὰρ καὶ διανοίας πάντα τυγχάνουσιν. λέγομεν οὖν, ὅτι καὶ τὰ κοινὰ ὡς ἔν τινι ὄντα ὥσπερ ἰδικὰ αὐτοῦ [25] γίνεται. ὥστε οὖν καὶ τὰ ἄλλα κεφάλαια, εἰ καὶ ἐν ἑτέρᾳ τυγχάνουσι στάσει, ἀλλ᾽ οὖν γε καὶ τῆς ἀντινομίας ἰδικὰ ὑπάρχουσιν. ἀλλ᾽ ἐν ἰδικοῖς ἐστι μᾶλλον ἰδικὸν τὸ περιέχον καὶ περιεχόμενον, ἐπειδὴ μόνης ἐστὶν ἀντινομίας· καλῶς ἄρα ἔφη ὁ τεχνικὸς ἰδικὸν μᾶλλον. Τρίτον ἐστὶ κεφάλαιον τοῦτο· τὸ ἰδικὸν, φασὶ, τῆς ἀντινομίας [26] κεφάλαιον κινδυνεύει τὴν ἀντινομίαν ἀσύστατον ποιῆσαι, πῶς γὰρ ἔτι ἀλλήλοις ἀντίκεινται οἱ νόμοι, εἴ γε περιέχονται ἀλ-

φ

20 Mon. Vind. Med. εὖ om. 21 Par. 1. περὶ ἑκάστου ἐστὶ κε. Mon. περὶ αὐτοῦ ἐστι κεφάλαιον. Vind. et Med. περὶ τοῦ αὐτοῦ ἐστι κεφαλαίου. 22 καὶ Mon. om. 23 Par. 1. ἰδιωτικῶν. 24 Mon. Vind. Med. καὶ μὴ τὰ ἄλλα. 25 Mon. αὐτῷ. 26 τοῦτο· τὸ ἰδικὸν, φασὶ, τῆς ἀντινομίας Vind. om.

λήλοις. ἑκάτερος γὰρ τοῦτο ἐπιχειρεῖ τῶν ἀντιδίκων λέγειν, [27] ὅτι εἰ τὸν ἐμὸν κυρώσετε, οὐδὲ τὸν τούτου παραβαίνετε, περιέχεται γὰρ ἐν τῷ ἐμῷ· οὐ συστήσεται οὖν ἡ ἀντινομία ἀναιρουμένης αὐτῆς τῆς φύσεως, φημὶ δὲ τὸ μὴ ἔχειν μαχομένους ἐκ περιστάσεως τοὺς νόμους· λέγομεν δὲ, ὅτι αὗται δικαιολογίαι εἰσὶ πρὸς τὸ λυσιτελοῦν ἑκάστῳ τῶν ἀντιδίκων λεγόμεναι, φημὶ δὲ τὸ λέγειν, ὅτι περιέχεται ὁ νόμος ἐν τῷ ἡμετέρῳ. οὐ χρὴ δὲ ἐκ τῶν δικαιολογιῶν χαρακτηρίζειν τὰς στάσεις, ἐπείτοιγε καὶ τῶν Δημοσθενικῶν λόγων πολλοὺς ἀσυστάτους ποιοῦμεν. εἰ γὰρ καὶ δικαιολογούμενος ἑκάτερος αὐτῶν λέγει περιέχεσθαι τὸν τοῦ ἑτέρου νόμον ἐν τῷ οἰκείῳ, ἀλλ᾽ οὖν γε οὐδὲν ἧττον ἔμεινεν ἡ φύσις τῆς στάσεως ἔχουσα τοὺς νόμους ἐκ περιστάσεως μαχομένους. Τέταρτόν ἐστι κεφάλαιον, ὅ φησιν ὁ τεχνικὸς, καὶ ἐνταῦθα μὲν χαλεπῶς φαίνεται ἡ φύσις τοῦ κεφαλαίου. ἐπὶ δὲ τοῦ ζητήματος τοῦδε σαφέστερον ἔσται. δύο τις κατὰ ταὐτὸν ἐβιάσατο, καὶ ἡ μὲν γάμον, ἡ δὲ θάνατον αἱρεῖται τοῦ βιασαμένου· ἡ γὰρ ἀξιοῦσα τεθνάναι αὐτὸν αἱρεῖ, ὅτι ἀμφοτέραις δώσει δίκην, εἰ τεθναίη, εἰ δὲ γήμαι τὴν ἑτέραν, θάτερον μέρος ἔσται ἄκυρον τοῦ νόμου. ταῦτα τοῦ τεχνικοῦ εἰρηκότος φασί τινες, ὅτι δῆλον ἡμῖν ποιεῖ ὁ τεχνικὸς, ὅτι τὸ ἰδικὸν καὶ πάντως ὀφεῖλον ἐμπίπτειν κεφάλαιον ἐν ἐνίοις τῶν προβλημάτων ἔστιν ὅτε ἐκλείπει, ἔφη γὰρ ὅτι ἐπὶ τούτου οὐκ ἔστι φανερόν· λέγομεν δὲ πρὸς τοῦτο, ὅτι τῇ ἀληθείᾳ οὐκ ἔστιν ἐνταῦθα φανερόν· πῶς γὰρ ἐρεῖ ὁ ἀποκήρυκτος, ὅτι ὁ σὸς νόμος ἐν τῷ ἐμῷ περιέχεται, [28] καὶ κυρουμένου τοῦ ἡμετέρου, οὔτε ὁ σὸς παραλαμβάνεται. ὅμως μέντοι τοῦτο γινώσκειν δεῖ, ὅτι ἐφ᾽ ὧν μή ἐστι φανερὸν τὸ περιέχον καὶ περιεχόμενον

27 Par. 1. λέγων τῶν ἀντιδίκων. Mon. τῶν ἀντ. λέγεται, Vind. et Mon. λέγειν. 28 in Vind. et Med. ad marg. additum est: περιείληπται.

κεφάλαιον, ἐπ᾽ ἐκείνων ἐπαναλαμβάνομεν τὴν διάνοιαν τοῦ πεποιηκότος, ὥσπερ ἐπὶ τοῦ προκειμένου προβλήματος οὐχ ὡς κληρονόμος φημὶ τῶν πατρῴων ἀντιποιοῦμαι, ἀλλ᾽ ὡς ἐπιμείνας χειμαζομένῃ τῇ νηΐ, ὥστε λαμβάνων τὴν ναῦν, οὐδὲ τὸν σὸν παραβαίνω νόμον· μᾶλλον οὖν πιθανώτερον ἐπὶ τῶν τοιούτων ἔσται τὸ κεφάλαιον, ἐπαναλαμβανομένης ἐνταῦθα τῆς διανοίας· μετὰ ταῦτά ἐστιν ὁ βίαιος ὅρος ὑφ᾽ ἑκατέρου ἐξεταζόμενος· ὁ μὲν γὰρ ἐρεῖ, οὐκ ἦν ὅλως ἔτι τοῦ πατρὸς ἡ ναῦς, ἀλλὰ τοῦ κλύδωνος, ὁ δὲ ἕτερος λέξει· ὅτι τοῦ πατρός ἐστι καὶ οὐχ ἑτέρου τινός· ἡ δὲ θέσις καὶ τὰ ἑξῆς κεφάλαια ὡς ἐν ταῖς ἀντιθετικαῖς ἐξετασθήσεται.

Ἀνεπιγράφου [29] εἰς τὴν ἀντινομίαν.

Αὐτὸ τὸ ὄνομα δείκνυσιν ἡμῖν δύο νόμων μάχην, ἤδη δὲ καὶ πλεόνων καὶ ἑνὸς μεριζομένου καὶ διμεροῦς ὄντος· ἐζήτηται δὲ, πῶς πολιτεία τοιαύτη συνέστηκεν, ἐν ᾗ νόμων ἐστὶ μάχη καὶ ἐναντιότης, λέγομεν δὲ, ὅτι φύσει μὲν οὐκ ἔστιν ἐναντιότης, [30] ἐκ δὲ τῆς περιστάσεως τὸ συμβαῖνον ποιεῖ τὴν μάχην· οἷον νόμος μὴ πωλεῖν τὴν αὐτοῦ ἀσπίδα, καὶ νόμος τὸν πατέρα τελευτήσαντα θάπτειν. ἰδοὺ ἐνταῦθα τὸ γενόμενον πεποίηκε καὶ τὴν ἐναντιότητα· εἰ δὲ μὴ καθ᾽ ἑαυτοὺς, οὐδὲν ἔχουσιν ἐναντίον· ὁ μὲν γὰρ κελεύει θάπτειν, ὁ δὲ μὴ πωλεῖν, καὶ ἕτερον ζητούμενον λέγει, ὅτι οὐδέν ἐστιν ἀντινομία, ἢ διπλοῦν ῥητὸν καὶ διάνοια. τούτων δύο νόμοι καὶ δύο διαφοραί· διὰ τί μὴ μᾶλλόν ἐστι ῥητοῦ καὶ διανοίας διπλοῦν· καί φαμεν, ὅτι ἐν στοχασμῷ καὶ τοῖς λοιποῖς κἂν· ἔχομεν εἶδος διπλοῦν, ἀλλὰ πανταχοῦ τὸ ἴδιον τῆς στάσεως σώζεται· ἐν στοχασμῷ τὸ εἶναι ἄδηλον ἐν ὅρῳ

29 Vind. et Med. ἐκ τοῦ ἀνεπιγράφου. 30 Mon. Par. 1. Vind. et Med. ἐναντίος.

τὸ ἀτελὲς, ἐν ἀντιλήψει ἡ ἐξουσία, ἐν δὲ ῥητῷ καὶ διανοίᾳ καὶ ἀντινομίᾳ οὐκ ἔχομεν τὸ ἴδιον, ἀλλὰ διάφορον· ἴδιον γὰρ ῥητοῦ καὶ διανοίας τὸ παράβασιν ἔχειν πάντως τοῦ ῥητοῦ. ἐν δὲ τῇ ἀντινομίᾳ τοῦτο οὐκ ἔχομεν, ἀλλ᾽ ἕνα μὲν ἀναιρούμενον, ἕνα δὲ σωζόμενον, καὶ οἷον δὲ διπλοῦν ῥητὸν εἶπεν, ἐπεὶ διαφοράν τινα ἰδίαν ἔχει πρὸς ἐκεῖνο τὸ περιέχον καὶ περιεχόμενον· τούτου γὰρ χάριν ἐκόλασεν αὐτὸ εἰπὼν, οἷον διπλοῦν ῥητὸν καὶ διάνοιαν· καλῶς δὲ εἶπε τοῖς πλείστοις, οὔτε γὰρ πάντα κοινὰ τυγχάνει, ἀλλ᾽ ἔχει τινὰ διαφορὰν, ἔχει δέ τινα καὶ ἐξισάζοντα, ἅπερ διὰ τὸ ἐξισάζειν ἐλλείπει· ἔχει δὲ ἴδιον κεφάλαιον τὸ καλούμενον περιεχόμενον· ὡς ἐπὶ τοῦ πωλήσαντος τὴν ἀσπίδα, τὸ δὲ „ἀλλ᾽ ἐπέμεινα τῇ νηΐ“ ἀντιστατικὸν μὲν, τὸ δὲ ἀντιστατικὸν ἐνταῦθα οὐ κυρίως· ἐπεὶ αὐτὸ καὶ τὴν ἀδικίαν ὀφείλει ἔχειν φανεράν· ἀλλὰ καὶ τὴν εὐεργεσίαν κοινὴν τῆς πόλεως, ὡς ἐπὶ τοῦ διακόψαντος στρατηγοῦ τὸ τεῖχος, καὶ διὰ τοῦτο νικήσαντος· ἐνταῦθα καὶ τὸ ἀδίκημα εὐτελές· ὅ ἐστιν ἐπιμεῖναι πατρῴᾳ νηΐ, υἱὸς γὰρ καὶ ἀποκήρυκτος, καὶ τὸ εὐεργέτημα οὐ κοινόν· ἰδιωτικὸν γὰρ καὶ εἰς αὐτὸν μόνον ἀνῆκον, τὸ τὴν χειμαζομένην ναῦν κληρονομῆσαι· τοῖς δὲ πρός τι χρησόμεθα διπλοῖς, ὧν τὰ μὲν σύγκρισιν ἕξει τῶν ἀδικημάτων, τὰ δὲ τὸ περιέχον ἐξετάσει καὶ περιεχόμενον, ὡς ἐπὶ τοῦ ἀποφαινομένου τὴν πανοπλίαν καὶ θάψαντος τὸν πατέρα· ἰστέον δὲ, ὅτι ἐπὶ τοῦ ἐπιμείναντος τῇ χειμαζομένῃ νηΐ οὐ κυρίως τὸ τοῦ περιέχοντος καὶ περιεχομένου κεφάλαιον τεθήσεται·[31] ἐπὶ δὲ τοῦ τὰς δύο βιασαμένου κόρας καὶ μάλιστα ἢ ὡς ἐπὶ τοῦ τὴν πανοπλίαν ἀποδομένου καὶ τὸν πατέρα θάψαντος.[32]

31 Par. 1. τεθήσεται κεφάλαιον. 32 Vind. et Mcd. addunt: σημειωτέον δὲ, ὅτι ἐπὶ τοῦ ὑποκειμένου παραδείγματος, τοῦ ἐπιμείναντος τῇ χειμαζομένῃ νηΐ οὐκ ἔχων δεῖξαι τὴν φύσιν τοῦ κε-

Cap. XXVIII.

Περὶ συλλογισμοῦ.[1]

Ἐζήτηται, διὰ τί εὑρίσκομεν ἐν τῇ νομικῇ ἕνα νόμον καὶ μίαν διάνοιαν· πάλιν δὲ[2] εὑρίσκομεν νόμον, οὐκέτι δὲ τῇ διανοίᾳ λυόμενον· ἀλλὰ τὸ γράμμα ἴσον δείξομεν τῷ ἐγγράφῳ·[3] οἷον νόμος τὸν πόρνον μὴ πολιτέυεσθαι, υἱὸς πόρνου βούλεται πολιτεύεσθαι καὶ κωλύεται· ἰδοὺ δείκνυσι τὸ ἔγγραφον ἔχον τὸ πόρνον, οὐκέτι μέντοι γε τὸν υἱὸν τοῦ πόρνου. Φησὶ δὲ πάλιν ὁμοίως ὁ Μινουκιανὸς, ὅτι ἡ μὲν μετάληψις ἐκ τοῦ κατηγόρου γνωρίζεται, ἀλλὰ καὶ ἔνιοι τῶν συλλογισμῶν· λέγει γὰρ εἶναι τούτων εἴδη ἀπὸ τοῦ ἴσου, ἀπὸ τοῦ ἐλάττονος, ἀπὸ τοῦ μείζονος, ἀπὸ τοῦ ἐναντίου· πόθεν οὖν εἰσόμεθα, ποῖοι ἐκ τοῦ κατηγόρου γνωρίζονται, καὶ ποῖοι ἀπὸ τοῦ φεύγοντος, ἀλλὰ δῆλον, ὅτι πᾶς συλλογισμὸς κατὰ κρίσιν γινόμενος ἀπὸ τοῦ φεύγοντος γίνεται.

β΄. Ὁ συλλογισμὸς ὠνόμασται μὲν ἀπὸ τοῦ κατὰ φιλοσοφίαν συλλογισμοῦ· ὥσπερ γὰρ ἐκεῖνος διὰ τῶν ἀληθῶν ἀποδείξεων κατασκευάζει τὸ ζητούμενον, οὕτω καὶ οὗτος διὰ τῶν πιθανῶν λόγων[4] εἰς ταὐτὸν ἄγει τὸ ἄγραφον τῷ ἐγγράφῳ· τοῦ δὲ συλλογισμοῦ ὁ μέν τις ἐκ τοῦ κατηγόρου γίνεται, ὁ δὲ ἐκ τοῦ φεύγοντος, ἀπὸ μὲν τοῦ κατηγόρου, οἷον νόμος τὸν ἐκ πόρνου μὴ λέγειν, ἐκ πόρνης τις ὢν βούλεται λέγειν καὶ κωλύεται· ἀπὸ δὲ τοῦ φεύγοντος, οἷον νόμος τοὺς μοιχοὺς στίζεσθαι· στίζων

φαλαίου τοῦ τε περιέχοντος καὶ περιεχομένου ἐφ᾽ ἕτερον μετέβη παράδειγμα· ἐν τούτῳ γὰρ ἡ τὸν θάνατον αἰτοῦσα τοῦ βιασαμένου ἔχει τὸ περιέχον καὶ τὸ περιεχόμενον· ἐρεῖ γὰρ, ὅτι ἐν τῷ θανάτῳ περιλαμβάνεται καὶ ἡ ὑπέρ σου τιμωρία.

1 Caput hoc abest a Vind., est in Med. 2 δέ Mon. om. 3 Par. 1. ἀγράφῳ. 4 Mon. λέγει.

τις μοιχὸν ἀπέκτεινε καὶ κρίνεται φόνου· ἐρεῖ γὰρ ὁ φεύγων, ὡς ὁ στίζειν διδοὺς καὶ τὸ ἀκόλουθον δίδωσι τὸ κτείνειν.

γ'. Περὶ τῆς τάξεως τοῦ λογισμοῦ εἴρηται ἡμῖν ἐν τῇ ἀντινομίᾳ· τί δή ποτε μετὰ τὸ ῥητὸν καὶ τὴν διάνοιαν τεταγμένος ἐν τῇ μεθόδῳ, ἐνταῦθα μετὰ τὴν ἀντινομίαν ἐτάγη; διαιρεῖται δὲ, φησὶν, ὁ συλλογισμὸς, προβολῇ πράγματος, τῷ ῥητῷ, συλλογισμῷ, ὅρῳ, γνώμῃ νομοθέτου, πηλικότητι, ὅρῳ βιαίῳ, τῷ πρός τι, ἀντιθέσει· ἥτις εἰ ἐμπέσοι, εὑρεθήσεται καὶ μετάληψις καὶ ἀντίληψις· ἔτι δὲ ποιότητι καὶ γνώμῃ· ὅλως δὲ πλὴν τῆς ἐναλλαγῆς τῶν πρώτων, φησὶ, κεφαλαίων ὁ συλλογισμὸς κατὰ τὸν ὅρον διαιρεῖται· πρῶτα δὲ λέγει κεφάλαια, τὸ ῥητὸν, τὸν συλλογισμὸν, τὸν ὅρον, περὶ ταῦτα γὰρ ἐγένετο ἡ τῆς τάξεως ἐναλλαγή· μετὰ γὰρ τὴν προβολὴν τεταγμένου τοῦ ὅρου ἕπεται ὁ ἀνθορισμὸς, καὶ μετ᾽ ἐκεῖνον ὁ συλλογισμός· τί οὖν αἴτιον τῆς τῶν κεφαλαίων ἐναλλαγῆς; τὸ διάφορον τῶν στάσεων εἶδος· ἡ μὲν γὰρ οὖσα λογικὴ εἰκότως τὰ λογικὰ ἔχει προτεταγμένα κεφάλαια, ἡ δὲ οἷον νομικὴ μετὰ τὴν προβολὴν ἔλαβε τὸ ῥητόν· ἕπεται δὲ τῷ ῥητῷ ὁ συλλογισμός. Ἴδωμεν οὖν κατὰ τὴν παράδοσιν τοῦ τεχνικοῦ ἕκαστον ἰδίᾳ τῶν κεφαλαίων ἐπὶ παραδείγματος· ὀνομαστὶ κωμῳδεῖν ὁ νόμος ἐκώλυεν· αὐτοπροσώπως εἰσάγων τις τοὺς κωμῳδουμένους ὑπάγεται τῷ νόμῳ ὡς ὀνομαστὶ κωμῳδῶν.

δ'. Διαιρεῖσθαί [5] φησι τὸν συλλογισμὸν κεφαλαίοις τοῖσδε, προβολῇ ἐκ πράγματος, προβολῇ ἐκ ῥητοῦ, κέχρηται δέ τῇ μὲν ἐκ τοῦ πράγματος ὁ διώκων· τῇ δὲ ἐκ τοῦ ῥητοῦ ὁ φεύγων· τῷ ὁμοίῳ συλλογισμῷ καὶ σχεδὸν τοῖς αὐτοῖς διαιρεῖται κεφαλαίοις, οἷς καὶ ὁ ὅρος καὶ ἡ ἀντίληψις.

5 cfr. Vol. IV. p. 836.

Ποίῳ ῥητῷ [6] *δηλονότι, αὐτῷ τῷ τοῦ συλλογισμοῦ ῥητῷ· οὐκ ἀκριβῶς τοῦτο ἐπεσημήνατο· ἐμπίπτει γὰρ ἢ ἀντεγκληματικὴ, ἢ ἀντιστατική· κατὰ γὰρ τὰ πρῶτα κεφάλαια ἐναλλάσσει ὅ τε συλλογισμὸς καὶ ὁ ὅρος.*

ε΄. Πρῶτα λέγει κεφάλαια, τὸ ῥητὸν, τὸ νόμιμον, τὸν ὅρον· [7] *περὶ ταῦτα γὰρ ἐγένετο ἡ τῆς τάξεως ἐναλλαγή· ἐν γὰρ τῷ ὅρῳ μετὰ τὴν προβολὴν τεταγμένου τοῦ ὅρου, ἕπεται ὁ ἀνθορισμὸς καὶ μετ᾽ ἐκεῖνον ὁ συλλογισμός· τί οὖν αἴτιον τῆς τῶν κεφαλαίων ἐναλλαγῆς; τὸ διάφορον τῶν στάσεων εἶδος· ἡ μὲν γὰρ οὖσα λογικὴ εἰκότως τὰ λογικὰ ἔχει προτεταγμένα κεφάλαια, ἡ δὲ οἷον* [8] *νομικὴ μετὰ τὴν προβολὴν ἔλαβε τὸ ῥητόν· ἕπεται δὲ τῷ ῥητῷ ὁ συλλογισμός.*

Τὸ μὲν κωμῳδεῖν [9] *ὅλως οὐκ ἐκώλυσεν ὁ νόμος, ἀλλὰ τὸ μὲν ἀνωνύμως ἐκείνην αὐτὴν τὴν πρᾶξιν διασύρειν* [10] *ἐδίδου, οἷον κακὸν τὸ πορνεύειν ἢ τὸ μοιχεύειν. Τὸ δὲ ὥσπερ τυχὸν ὅδε λέγειν ὀνομαστὶ ἐκώλυεν, ἵνα μὴ καὶ πρὸς ἑτέρας πόλεις διασύρωνται οἱ πολῖται καὶ τῷ ἀπογνῶναι χείρους γίνωνται· τινὲς οὖν αὐτοπροσώπως τὰς κωμῳδίας ποιοῦντες ὑπήγοντο τῷ νόμῳ, ὡς ταὐτοῦ ὄντος τοῦ αὐτοπροσώπως τῷ ὀνομαστὶ ἢ καὶ μείζονος· ἐπὶ μὲν γὰρ τοῦ ὀνόματός ἐστί τις ἄγνοια διὰ τὰς ὁμωνυμίας· τὸ δὲ παραγαγεῖν* [11] *τὸν πολίτην ἐπὶ μέσον καὶ πάντων ἀκουόντων κωμῳδῆσαι αὐτὸν διαδηλότερον τοῦ ὀνομαστί.*

ς΄. Ἐπὶ τοῦ συλλογισμοῦ προβολὴ πράγματος ὀνομάζεται τὸ κεφάλαιον, οὐ προβολὴ ῥητοῦ, καθάπερ ἐπὶ

---

6 *ποίῳ ῥητῷ δηλ. — — καὶ ὁ ὅρος* inter sch. min. habent Parr. 7 quae sequuntur usque ad litt. ς΄. Par. 1. om. 8 Par. 1. *οἷον* Mon. Par. 2. *οἷα*. 9 *τὸ μὲν κωμῳδεῖν* sqq. usque ad litt. ς΄. inter sch. min. habent Parr. 10 Par. 1. *διασύρειν τὴν πρᾶξιν*. 11 Par. 1. *τὸ γὰρ παράγειν*.

τῆς ἀντινομίας, καὶ τῶν ἄλλων νομικῶν· ἐνταῦθα γὰρ τὸ ῥητὸν λυτικὸν γίνεται τῆς προβολῆς. ἐπὶ δὲ τῶν ἄλλων συναναλαμβάνεται αὐταῖς καὶ λύεται τῇ διανοίᾳ· ἔστι τοίνυν ἡ προβολὴ αὐτὸ τὸ πρᾶγμα μετὰ αὐξήσεως, οἷον παρὰ τὸν νόμον κωμῳδεῖς τοὺς πολίτας.

ζ΄. Τὸ ῥητὸν λύει τὴν προβολὴν, ὡς ἔφην, λαμβάνον ἐκ τοῦ φεύγοντος· καὶ μὴν οὐκ ὠνόμασα [12] οὐδένα· τοῦτο γὰρ ἀπαγορεύει ὁ νόμος.

η΄. Τοῦ κατηγόρου χρησαμένου τῇ προβολῇ, ὁ φεύγων τὸ ῥητὸν προβάλλεται, λέγων ὅτι οὐ παρέβην τὸν νόμον. σαφέστερον δὲ ἔσται ἐπὶ τοῦδε τοῦ παραδείγματος· νόμος ὀνομαστὶ μὴ κωμῳδεῖν τοὺς πολίτας· αὐτοπροσώπως τις εἰσάγει κωμῳδίαν, καὶ κρίνεται δημοσίων ἀδικημάτων· ἐνταῦθα γὰρ ἡ προβολὴ, ὅτι τὴν πόλιν ἀδικεῖς τοὺς πολίτας κωμῳδῶν· τὸ ῥητὸν ἀπὸ τοῦ φεύγοντος, ὅτι οὐκ ἀδικῶ, οὐδὲ γὰρ τὸν νόμον παρέβην, ὁ μὲν γὰρ εἶπε, μὴ ὀνομαστὶ κωμῳδεῖν, ἐγὼ δὲ οὐκ ὀνομαστὶ ἐκωμῴδησα· ζητῆσαι δὲ ἄξιον, τί διαφέρει τῆς ἀντιλήψεως· καὶ ἐκεῖ γὰρ νόμον προβάλλεται· καί φαμεν, ὅτι ἐν μὲν τῇ ἀντιλήψει νόμον προβάλλεται, ὃν ἄντικρυς φυλάττειν δοκεῖ, οἷον τὸν μοιχὸν ἀναιρεῖσθαι· μοιχὸν τρισαριστέα ἀνελὼν κρίνεται δημοσίων· ἐνταῦθα γὰρ τὸ ὑπὸ τοῦ νόμου προστεταγμένον ἄντικρυς· ἐν δὲ τῷ συλλογισμῷ, ἀλλ' ὅτι πράττει παρὰ τὸ γεγραμμένον, διαφέρει γὰρ καὶ τῆς κατὰ ῥητὸν καὶ διάνοιαν, ὅτι ἐκεῖ μὲν ὁ κατήγορος ῥητὸν προΐσχεται, ἐνταῦθα δὲ ὁ φεύγων.

θ΄. Φέρεται πρὸς τὸ ῥητὸν ὁ συλλογισμὸς, ὡς ἔστιν ὅμοιον, μᾶλλον δὲ ταὐτὸν, ὀνομαστὶ κωμῳδεῖν, καὶ αὐτοπροσώπως εἰσάγειν· τοῦτο δὲ μάλιστα ἐπαγωνιεῖται ὁ διώκων, εἴγε τοῦτό ἐστι τὸ συνιστῶν τὴν ζήτησιν, καὶ

12 Mon. ὠνόμασται.

ὅλως τὸ χαρακτηριστικὸν τῆς στάσεως· χρήσεται οὖν καὶ τῇ ἀπὸ τῶν παραδειγμάτων ἐξετάσει, δεικνὺς καὶ ἑτέροις τὸν νόμον οὕτω παραληφθέντα, ὅπερ ἐστὶν ἄγαν [13] Δημοσθενικόν.

Τῷ ῥητῷ [14] τοῦ φεύγοντος χρησαμένου ὁ κατήγορος τὸν συλλογισμὸν προφέρει, ὅτι οὐδὲν διαφέρει τοῦ ὀνομαστὶ κωμῳδεῖν τὸ αὐτοπροσώπως εἰσάγειν τὰς κωμῳδίας, τὰς ἀφορμὰς δὲ ληψόμεθα ἀπὸ τοῦ τέλους τῶν κοινωνιῶν συνάγοντες εἰς ταὐτὸν τῷ ἐγγράφῳ τὸ ἄγραφον.

Πρῶτόν ἐστι κεφάλαιον ἡ προβολή· διαφέρει δὲ τῆς κατὰ τὴν ἀντινομίαν καὶ ῥητὸν καὶ διάνοιαν, ὅτι ἐκεῖναι μὲν τοῦ ῥητοῦ ἔχουσι τὴν προβολὴν, αὕτη δὲ τοῦ πράγματος· διὰ τοῦτο οὐκ εἶπεν ἡ προβολὴ τοῦ ῥητοῦ· οὐδὲ γὰρ ἔχει τὸ ῥητὸν ἐνταῦθα ὁ προβαλλόμενος, ἀλλὰ τὸ γενόμενον αὐτὸ προβάλλεται, τουτέστιν αὐτὸ τὸ πρᾶγμα.

ί. Ὁ ὅρος [15] ἀπὸ τοῦ φεύγοντος διαιρῶν τὰ συνημμένα, καὶ χωρίζων τὰς διαφοράς· κατασκευάσει γὰρ ὅτι κατὰ πολὺ διενήνοχε.

ιά. Πᾶσαν ἐντελῶς παραλήψεται τὴν τοῦ ὅρου ἐργασίαν ὁ φεύγων· εἰ γὰρ τῷ συλλογισμῷ μάλιστα ἰσχυριεῖται ὁ διώκων, δῆλον ὡς ὁ ἀπολογούμενος χρῆται ἰσοῤῥόπως τῷ ὅρῳ.

ιβ'. Ἡ γνώμη τοῦ νομοθέτου κοινή ἐστιν ἀμφοτέρων, στοχαστικῶς ἀπ' ἀμφοῖν ἐξεταζομένη· τοῦ μὲν κατηγόρου λέγοντος, ὅτι πᾶσαν τὴν πορνείαν ὁ νομοθέτης μεμισηκὼς διὰ τοῦτο καὶ τὴν ἐκ πόρνου λέγειν κεκώλυκε·

---

13 ἄγαν Par. 1. om. 14 τῷ ῥητῷ τοῦ φεύγ. sqq. usque ad litt. ί. inter sch. min. habent. Parr. 15 In Par. 1. ὁ ὅρος ἀπὸ τοῦ φεύγοντος — — πολυ διενήνοχε post litt. ιά. τῷ ὅρῳ infertur.

τοῦ δὲ φεύγοντος, ὅτι οὐ διὰ τοῦτο, ἀλλὰ διὰ τὸ μὴ ἔχειν αὐτὸν ὡρισμένον πατέρα, μηδὲ ἀναγεγράφθαι, ὅτου πατρὸς εἴη, κεκώλυκεν αὐτὸν λέγειν, καὶ αὖθις ἐπὶ τοῦ ἑτέρου προβλήματος ὁ μὲν ἐρεῖ, ὅτι ὁ νομοθέτης βουλόμενος μηδένα τῶν πολιτῶν ὀνομαστὶ κωμῳδεῖσθαι, τοῦτο προσέταξεν· ὁ δὲ φεύγων ὅτι βουλόμενος μὲν ἐπιστρέφειν τοὺς πολίτας οὐ παντάπασιν ἀνεῖλε τὸ κωμῳδεῖν· ἐθέλων μέντοι μὴ τοῖς μετὰ ταῦτα τὰς λοιδορίας φυλαχθῆναι ἀπεῖπεν ὀνομαστὶ [16] *κωμῳδεῖν.*

ιγ′. Τὴν γνώμην τοῦ νομοθέτου ἑκάτερος ἐξετάσει πρὸς τὸ συμφέρον, οἷον τί βουλόμενος τοῦτο ἐκώλυσεν; ὁ μὲν διώκων ἐρεῖ, ὅτι ἀνελεῖν βουλόμενος τὸ ἁπλῶς καὶ ἀκινδύνως διαβάλλειν, ἐφ᾽ ὅτῳ ἂν αὐτοῖς δοκῇ ὅντινα οὖν τῶν πολιτῶν· ὁ δὲ φεύγων οὐ διὰ τοῦτο ἐρεῖ, ἀλλ᾽ ἐπιστρέφεσθαι μὲν αὐτοὺς ἐβούλετο διὰ τῆς κωμῳδίας· οὐ γὰρ δὴ ἀνεῖλε παντάπασι τὴν κωμῳδίαν, ὑπομνήματα δὲ τῆς εἰς τοὺς πολίτας λοιδορίας τοῖς ἐπιγενησομένοις οὐκ ἐβούλετο καταλιπέσθαι, ὅπερ συμβαίνει ἐκ μόνου τοῦ ὀνομαστὶ κωμῳδεῖν· μὴ ὄντων δὲ ὑπομνημάτων ἡ μὲν ἐπιστροφὴ γίνεται διὰ τῶν προσώπων, ἡ δὲ τῶν διαβαλλομένων εἰς τὸν μετὰ ταῦτα χρόνον μνήμη περιήρηται. [17]

ιδ′. Ἡ πηλικότης τὴν αὐτὴν ἔχει δύναμιν, ἥνπερ ἐν ὅρῳ, καὶ τὴν αὐτὴν ἄρα λήψεται ἐργασίαν.

ιε′. Καὶ ὁ βίαιος ὅρος κεφάλαιόν ἐστιν ὁρικὸν, εἴρηται γὰρ ἡμῖν ἐν τῷ ὅρῳ, ὡς [18] *εἰ μὲν ἐμπίπτει ἀντίθεσις, συῤῥηθήσεται* [19] *καὶ τὰ ἑπόμενα αὐτῇ κεφάλαια ὧν ἐστι καὶ ὁ βίαιος ὅρος. Ὁ βίαιος ὅρος* [20] *καὶ αὐτὸς κοινός· τοῦ μὲν κατηγόρου λέγοντος, ὅτι τοῦτο ὀνομα-*

---

16 Par. 1. *ὀνομαστικῶς.* 17 Mon. *μὴ πηριήρηται.* 18 *ὡς* Mon. om. 19 Mon. *συῤῥωθήσεται.* 20 *ὁ βίαιος ἄρος* — — *ἐστὶ κωμῳδεῖν* inter sch. min. habet Par. 1.

μαστί ἐστι κωμῳδεῖν· τοῦ δὲ φεύγοντος, ὅτι τοῦτο, οὐ δὲ ὅλως ἐστὶ κωμῳδεῖν.

ις'. Ἐπὶ τοῦ πρός τι καὶ τῶν ἑξῆς οὐδὲν ἔχομεν ἐνταῦθα λέγειν καινότερον· ἀλλ᾿ ὥσπερ ἐν ὅρῳ, οὕτω κἀπὶ τοῦ συλλογισμοῦ προαχθήσεται.

ιζ. Ἐπὶ τούτοις τὸ πρός τι, τοῦ μὲν λέγοντος ὅτι μεῖζόν ἐστι τὸ κωμῳδεῖν ὀνομαστὶ, εἴπερ τὰ μὲν ὀνόματα πολλάκις ἀγνοεῖται, τὰ δὲ πρόσωπα καὶ οἱ χαρακτῆρες τοῖς πολλοῖς γνώριμα· τοῦ δὲ φεύγοντος, ὅτι τοῦτό ἐστιν ἔλαττον τοῦ ὀνομαστὶ κωμῳδεῖν· εἶτα ἡ ἀντίθεσις, ἣν ἐμπίπτειν ἔστιν ὅτε εἶπεν ὁ τεχνικὸς οὐ καλῶς, ἐμπίπτει γὰρ ἢ ἀντεγκληματικὴ ἢ ἀντιστατική. Ἐπειδὴ πᾶς ὁ συλλογισμὸς ἐπ᾿ ἐγκλήματί ἐστιν, ἀντεγκληματικὴ ἀναφαίνεται, οἷον ἄξιοι ἦσαν κωμῳδεῖσθαι· πάλιν εἴτις ἀναστρέψοι τὸν ἐκ τοῦ ἐναντίου συλλογισμὸν, ἀντιστατικὴ εὑρεθήσεται, ἐὰν λέγωμεν τὸν λειποτάκτην κολάζεσθαι νόμος, ἀριστεύσας λειποτάκτης ἀξιοῖ τιμᾶσθαι, ἀντιστατικὸν εὑρεθήσεται· ἀντιθέσεως δὲ ἐμπεσούσης [21] ἀκολουθεῖ [22] μετάληψις· ἐρεῖ γὰρ ὁ κατήγορος τὴν ἀντίθεσιν λύων τῇ μεταλήψει, οἷον ὅτι ἔδει παραινεῖν, καὶ μὴ τηνάλλως βλασφημεῖν· μετὰ ταῦτά ἐστιν ἀντίληψις, ὅτι ἐξῆν κωμῳδεῖν καὶ οὐ κεκώλυται· ἐπὶ τούτοις ἡ ποιοτης καὶ ἡ γνώμη, ὡς ἐν ταῖς ἄλλαις στάσεσιν.

ιή. Ἡ θέσις ἐνταῦθα οὐκ ἐμπίπτει· ἐπὶ δὲ τοῦ θάψαντος τὸν πατέρα καὶ ἀποδόντος τὰ ὅπλα· ἐρεῖ γὰρ, καλὸν τὸν πατέρα θάπτειν ἀποθανόντα.

ιθ'. Εἰ ὁμοίως διαιρεῖταί πως εἴδη, ἀλλὰ κατεχρήσατο τοὺς τρόπους εἴδη εἰρηκώς· δύο γὰρ τοὺς [23] πάντας εἶναί φησιν.

---

21 Par. 1. ἐμπιπτούσης. 22 Mon. ἀκολουθείη μεταλήψει. 23 Mon. δύο δὲ πάντας.

κ΄. Τῶν εἰδῶν μόνον τὰ διάφορον ἔχοντα διαίρεσιν τεχνολογεῖν εἴωθεν· διὸ δὴ ταῦτα οὐκ ἔχοντα διαίρεσιν διάφορον κατὰ παραδρομὴν διεξέρχεται.

κά. Ἐμφαίνει ἡ φράσις τὸ πάρεργον· τί οὖν κἀπὶ τοῦ ῥητοῦ καὶ τῆς διανοίας, καὶ ἔτι τῆς ἀντινομίας οὐκ ἐμνήσθη τοιούτων εἰδῶν; καὶ ῥητέον ὡς ἐπὶ τῶν ἀντιθετικῶν ἔφησεν εἴδη πρός τινων εἰσφέρεσθαι κατὰ τὸ ἰδιωτικὸν καὶ δημόσιον, καὶ τὸν λόγον οὐ παρεδέξατο· εἰκότως ἄρα καὶ τῆς κατὰ ῥητὸν καὶ διάνοιαν στάσεως οὐδὲ μίαν ἐποιήσατο μνήμην, εἰδὼς, ὡς οὐκ ἐνὸν ἐπ' αὐτῶν εὑρέσθαι, πλὴν εἰ μήτις κατὰ τὸ ἰδιωτικὸν λαμβάνοι καὶ τὸ δημόσιον· ὅπερ ἤδη ταῖς ἀντιθετικαῖς ἐξεβέβλητο· ἐπὶ γὰρ τῶν ἄλλων στάσεων ἔχων εἰπεῖν διάφορα περὶ τὴν διαίρεσιν εἴδη τῶν μὴ τοιούτων ἠμέλησε· λεγέσθω δὲ ἡμῖν τὰ εἴδη τοῦ συλλογισμοῦ, ὡς παρείληπται [24] ἕκαστον τοῦ τεχνικοῦ.

κβ΄. Ὡς τὸ [25] προκείμενόν φησι πρόβλημα τοῦ ὀνομαστὶ κωμῳδεῖν· ἀπὸ τοῦ ἴσου δὲ εἴρηται· ἴσον γὰρ ὁ κατήγορος σπουδάζει δεῖξαι τὸ πεπραγμένον τῷ ἀπειρημένῳ ὑπὸ τοῦ νόμου.

κγ΄. Τοῦ κατὰ τὸ ἴσον παράδειγμα ἔστω τὸ προκείμενον, ἐφ' ᾧ τὴν τῶν κεφαλαίων ἐθεωρήσαμεν φύσιν· ὀνομαστὶ κωμῳδεῖν ὁ νόμος ἐκώλυεν, αὐτοπροσώπως εἰσάγων τις τοὺς κωμῳδουμένους ὑπάγεται τῷ νόμῳ, ὡς ὀνομαστὶ κωμῳδῶν· ἴσον γὰρ ἐν αὐτῷ δεικνύναι πειρᾶται τὸ αὐτοπροσώπως εἰσάγειν τῷ ὀνομαστὶ κωμῳδεῖν.

κδ΄. Ἀπὸ τοῦ μείζονος εἴρηκε διὰ τοῦ λέγειν τὸ κρινόμενον· ὅτι ὁ τὸ μεῖζον δοὺς καὶ τὸ ἔλαττον ἔδωκε, τὸ μαστίξαι· [26]

κέ. Ἀπὸ τοῦ μείζονος δέ φησιν, ὡς ἐπὶ τοῦδε τοῦ

24 Mon. ὥσπερ εἴληπται. 25 Mon. ὡς προκ. φησι τὸ πρόβλημα. 26 Par. 1. μαστίζειν.

παραδείγματος· ἐξῆν ἀποκτιννύναι τοὺς κατιόντας φυγάδας· μαστίξας τις κατιόντα τινὰ φεύγει παρανόμου τιμωρίας· ἀπὸ γὰρ τοῦ μείζονος ἡ ἐπιχείρησις· ὅτι γε ὁ τὸ μεῖζον δοὺς καὶ τὸ ἔλαττον ἔδωκεν.

κς'. Ἀπὸ τοῦ ἐναντίου εἴρηται [27] διὰ τὸ ἐρεῖν τὸν διώκοντα, ὅτι ὁ τὴν ἀριστείαν τιμήσας ἐκ τῶν ἐναντίων μισεῖ καὶ τιμωρεῖται τὸν φυγάδα· δόξει δέ τισιν ἀντέγκλημα εἶναι· διὸ προσέθηκεν ὁ τεχνικὸς, οὐ γὰρ ἁπλῶς τῷ ἀντεγκλήματι ὁ φεύγων χρήσεται, ἀλλὰ μετὰ τῶν προειρημένων, τουτέστι τῶν ἰδίων τοῦ συλλογισμοῦ.

κζ'. Τὸ ἀπὸ τοῦ ἐναντίου γίνεται, ὅταν ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον εἰσφέρωμεν· οἷον εἰ τὸν ἀριστέα τετίμηκε, δῆλον ὡς τὸν λιπόντα τὴν τάξιν ἀποκτίννυσθαι βούλεται, οἷον τῷ ἀριστεῖ γέρας εἶναι, λιπόντα τὴν τάξιν τινὰ ἀπέκτεινεν ὁ στρατηγὸς, καὶ φεύγει φόνου, οὐ γὰρ ἁπλῶς, φησὶ, τῷ ἀντεγκληματικῷ χρήσεται· ἀλλὰ μετὰ τῶν κεφαλαίων τοῦ συλλογισμοῦ· εἰ μὲν γὰρ προσέκειτο γέρας τῷ ἀριστεῖ, τάχα ἂν ἦν ἀντέγκλημα ἢ ἀσύστατον καθειστήκει· νῦν δὲ συλλογισμὸς καθαρός ἐστιν.

κή. Ἀπὸ τοῦ ἐναντίου γίνεται, ὅταν ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον εἰσφέρωμεν, οἷον εἰ [28] τὸν ἀριστέα τετίμηκε, δῆλον ὡς τὸν λιπόντα τὴν τάξιν κτείνεσθαι βούλεται.

κθ'. Εἰ μὲν γὰρ ἐπέκειτο γέρας τῷ ἀριστεῖ, τάχα ἂν ἢ ἀντέγκλημα ἢ ἀσύστατον καθειστήκει, νῦν δὲ συλλογισμὸς καθαρός.

λ'. Ἔλαττον εἴρηκε πρὸς τὸ ἄνω μεῖζον ὄν· διὸ καὶ ἐπήγαγε κατὰ τὸ ἐξ αὐτοῦ ἀποβαῖνον· ἐρεῖ γὰρ ὅτι ὁ τὸ στίζειν παρασχὼν, ἔλαττον ὂν, δέδωκε καὶ τὸ μεῖζον, ὅ ἐστι τὸ ἐξ αὐτοῦ ἀποβαῖνον.

---

27 Mon. εἴρηκε. 28 εἰ Mon. om.

λά. Ἐκ τοῦ ἀποβαίνοντος λαμβάνει τὴν ζήτησιν ὁ ἀπὸ τοῦ ἐλάττονος συλλογισμὸς, οἷον ἐξῆν στίζειν τοὺς μοιχούς· στίζων τις ἀπέκτεινε καὶ φεύγει φόνου· ἐρεῖ γὰρ ὡς ὁ τὸ πρότερον δοὺς καὶ τὸ ἐξ αὐτοῦ ἀποβαῖνον δέδωκε.

Ἴσον [29] γὰρ ἔλεγεν ὁ κατήγορος τῷ ὀνομαστὶ κωμῳδεῖν τὸ αὐτοπροσώπως εἰσάγειν τὰς κωμῳδίας.

Ἔλεγεν ὁ φεύγων, ὅτι ὁ νόμος ὁ διδοὺς τὸ μεῖζον, δηλονότι [30] τὸ φονεύειν τοὺς κατιόντας φυγάδας, δίδωσι καὶ τὸ ἔλαττον, τὸ μαστίζειν αὐτούς. Ἔλεγεν ὁ στρατηγὸς, δίδωσι γέρας ὁ νόμος τῷ ἀριστεῖ· συγκατατιθεμένων δὲ τῶν ἀκροατῶν διὰ τὸ ἀναμφίβολον τοῦ ῥητοῦ ἐπῆγεν· οὐκοῦν ἐκ τοῦ ἐναντίου κολάζει ὁ αὐτὸς νόμος τὸν λειποτάκτην· ὅρα δὲ, ὅτι οὐ λέγει ἁπλῶς, ἄξιος ἦν τῆς τιμωρίας, ἦν γὰρ ἀντέγκλημα, ἀλλὰ καὶ τὸ ἐναντίον ἐπιφέρει τοῦ νόμου, ἵνα ποιήσῃ συλλογισμόν.

Ὁ μὲν νόμος τὸ ἔλαττον ἐδίδου, τὸ στίζειν, ἵνα μόνον διὰ τοῦ τίτλου φανεροὶ [31] ὦσι· τὸ δὲ ἐξ αὐτοῦ ἀποβαῖνον μεῖζον ἦν, ὁ θάνατος δῆλον τῶν στιζομένων· καὶ κατὰ τοῦτο ὑπήγοντο τῷ νόμῳ, ὁ στίξας καὶ ἀνελών· κατέφυγε [32] δὲ καὶ εἰς αὐτὸν τὸν νόμον προϊσχόμενος, ὡς ὁ δοὺς τὸ ἧττον, ὅ ἐστι τὸ στίζειν, ἔδωκεν ἀκολούθως καὶ τὸ ἐξ αὐτοῦ ὡς εἰκὸς ἀποβαῖνον, τὸ θνήσκειν τῇ τομῇ τὸν τιτλούμενον.

ΓΕΩΡΓΙΟΥ
εἰς τὸν συλλογισμόν.

Μετὰ τὴν ἀντινομίαν μέτεισιν ὁ τεχνικὸς καὶ εἰς τὸν

---

29 ἴσον γὰρ ἔλεγεν sqq. usque ad finem capitis inter sch. min. habet Par. 30 Mon. ὁ νόμος καὶ τὸ μεῖζον δηλαδὴ τὸ φονεύειν. 31 Mon. διὰ τουτὶ δῆλον ὦσι. Par. 2. διὰ τοῦ τ^ε δῆλοι ὦσι. Par. 1. διὰ τοῦ τίτλου φανεροὶ ὦσι. 32 Par. 1. κατέφευγε. sq. καὶ Mon. om.

συλλογισμόν· καὶ ἤδη μὲν τὴν ψιλὴν ἀπαρίθμησιν τῶν κεφαλαίων ἐποιήσαμεν, ἐχρῆν δὲ λοιπὸν ἀκολούθως καὶ περὶ τῆς τάξεως αὐτῶν διαλαβεῖν· ἀλλ᾽ ὡς αὐτὸς ἔφη ἐν τῷ κειμένῳ ὁ τεχνικὸς, καὶ ὅλως πλὴν τῆς ἐναλλαγῆς τῶν πρώτων κεφαλαίων ὁ συλλογισμὸς κατὰ τὸν ὅρον διαιρεῖται· χρὴ τοίνυν τἄλλα ἐῶντας περὶ τῶν πρώτων διαλαβεῖν κεφαλαίων. Ἐν μὲν τῇ ὁρικῇ στάσει προτέτακται ὁ ὅρος τοῦ συλλογισμοῦ, ἐνταῦθα δὲ τοὐναντίον, καὶ μάλα εἰκότως· ἔδει γὰρ ἐν τῷ ὅρῳ λογικῆς οὔσης τῆς στάσεως, τὰ λογικὰ προτετάχθαι κεφάλαια, φημὶ δὲ τὸν ὅρον. ἐνταῦθα δὲ νομικὴ ἡ στάσις· καὶ τὸ νομικὸν χρεὼν προτάττειν κεφάλαιον· φημὶ δὲ τὸν συλλογισμόν· καὶ οὐκ ἀπορήσειέ τις, πῶς τὸ αὐτὸ κεφάλαιον ἑνὸς καὶ τοῦ αὐτοῦ κεφαλαίου ποτὲ μὲν προταχθήσεται, ἄλλοτε δὲ ὑποταχθήσεται· λέγομεν γὰρ, ὅτι εἰ μὲν φυσική τις αὐτῶν ὑπῆρξεν ἡ τάξις, καλῶς ἐλέγετο, ὡς οὐκ ἐνδέχεται τὸ τοιοῦτον γενέσθαι. νυνὶ δὲ φυσικοῦ τινος ἐμποδίζοντος, οὐδὲν ἄτοπον ἐν ἄλλῃ καὶ ἄλλῃ στάσει προτετάχθαι καὶ ὑποτετάχθαι, ἐπεὶ ἐνδέχεται πρῶτον συνάγειν, εἶτα διαχωρίζειν, καὶ ἔμπαλιν διαχωρίζειν πρῶτον, καὶ εἶθ᾽ οὕτως συνάγειν· καὶ ταῦτα περὶ τῆς τάξεως τοῦ ὅρου καὶ τοῦ συλλογισμοῦ. φέρε δὲ καθ᾽ ἕκαστον αὐτῶν ἐξετάσωμεν· φησὶ τοίνυν ὁ τεχνικὸς, πρῶτον προβολὴ τοῦ πράγματος, καὶ χρὴ ἐπισκῆψαι, ὅτι πρὸς τὸ προκείμενον ἀφορῶν πρόβλημα καὶ ἐπ᾽ αὐτῷ τὴν ἐξέτασιν ποιούμενος ἔφη, προβολῇ πράγματος· οἷον ὀνομαστὶ κωμῳδεῖν ὁ νόμος ἐκώλυεν. αὐτοπροσώπως εἰσάγων τις τοὺς κωμῳδουμένους ὑπάγεται τῷ νόμῳ, ὡς ὀνομαστὶ κωμῳδῶν· ἐνταῦθα ὁ φεύγων κέχρηται τῷ ῥητῷ. τοιγαροῦν ὁ κατήγορος οὐ προβολὴν ἕξει ῥητοῦ, ἀλλὰ προβολὴν πράγματος, προβαλεῖται γὰρ τὸ γεγονός· χρὴ δὲ γινώσκειν, ὅτι οὐκ ἀεὶ τὸ ῥητὸν ἕξει ὁ φεύγων, ἀλλ᾽ ἔστιν ὅτε καὶ ὁ κατήγορος, ὡς ἐν τοῖς τρόποις τοῦ συλλο-

γισμοῦ προϊόντες εἰσόμεθα· οὐκοῦν οὐκ ἔστι τὸ τηνικαῦτα προβολὴ πράγματος ἁπλῶς, ἀλλὰ καὶ ῥητοῦ· καὶ τότε οὐκέτι δεύτερον ἔσται κεφάλαιον τὸ [33] ῥητὸν, ἀλλ᾽ ὁ συλλογισμός· ἐκείνου γὰρ προβαλλομένου τὸ ῥητὸν, ὁ ἕτερος συνάγει ὡς οὖν εἴρηται· πρὸς τὸ προκείμενον ἀφορῶν ὁ τεχνικὸς πρόβλημα ἔφη προβολὴ πράγματος· ἕπεται γοῦν μετὰ τὴν προβολὴν τὸ ῥητόν· ἐνταῦθα ἀπὸ τοῦ φεύγοντος, ὁ νόμος ὀνομαστὶ κωλύει κωμῳδεῖν· [34] ἐγὼ δὲ οὐκ ὠνόμασα, ἀλλ᾽ αὐτοπροσώπως εἰσήγαγον. οὕτως μὲν τὸ ῥητόν, δύο δὲ περὶ τούτου ζητοῦσι· τὸ πρῶτον, εἰ καὶ ἐνταῦθα τὸ ῥητὸν ὑπὲρ ἑαυτοῦ προβάλλεται, τί ἄρα διαφέρει τοῦ ἀντιληπτικοῦ κεφαλαίου τοῦ ἐν ἀντιλήψει; κἀκεῖσε γὰρ ὑπὲρ ἑαυτοῦ ὁ φεύγων προβάλλεται τὸ ῥητόν· λέγομεν οὖν, ὅτι ἔχουσι διαφορὰν ταύτην· [35] καθὸ ἐκεῖσε μὲν, ἐν τῇ ἀντιλήψει φημὶ, προβάλλεται τὸ ῥητὸν ὁ φεύγων ὡς διαγορεῦον τὸ ὑπ᾽ αὐτοῦ [36] πεπραγμένον. οἷον ἐφόνευσα τὸν μοιχόν· ὁ νόμος γὰρ τοῦτο προστάττει. ἐνταῦθα δὲ οὐχ οὕτως· προβάλλομαι γὰρ τὸ ῥητὸν, ὡς μηδὲν περιέχον τῶν ἐμοὶ πεπραγμένων, οἷον αὐτοπροσώπως [37] εἰσήνεγκε τοὺς κωμῳδουμένους· ὁ νόμος δὲ ὀνομαστὶ μόνον κωλύει κωμῳδεῖν· ἀποχωρίζει γοῦν μᾶλλον τὸ ὑφ᾽ ἑαυτοῦ πεπραγμένον καὶ τὸ ὑπὸ τοῦ νόμου διηγορευμένον, ἐκ τούτου δὲ λοιπὸν ἑτέρα γίνεται κοινωνία, φημὶ δὲ πρὸς τὸν ὅρον, κοινωνεῖ γὰρ τῷ ὅρῳ, καθὸ ἀμφότερα ἀποχωρίζουσι· λέγομεν δὲ, ὅτι οὐ πᾶν ἀποχωρίζον ἤδη καὶ ὅρος, ἀλλὰ τὸ ὁρικῶς ἀποχωρίζον· τοῦτο δέ φημι, ἐπειδὴ οὐ μόνον ἀποχωρίζει ὁ ὅρος, ἀλ-

33 Par, 1, τὸ κεφάλ, ῥητόν. 34 Par. 1. κωμῳδεῖν κωλύει. Vind, Med. Mon. κωλύει κωμ. 35 Par. 1. τοιαύτην διαφοράν. Vind. et Med. consentiunt cum Mon. 36 Mon. ὑπὲρ ἑαυτοῦ. Vind. Med. Par. 1. ὑπ᾽ αὐτοῦ. 37 Mon. Vind. αὐτοπροσώπους constanter. Par. 1. h. l. et paullo inferius αὐτοπροσώπως; in aliis terminatio non adjecta utrumlibet admittit.

λὰ καὶ ὀνόματα περιτίθησι τοῖς ἀποχωριζομένοις· οἷον πάμπολυ διαφέρει τὸ ὀνομαστὶ κωμῳδεῖν καὶ αὐτοπροσώπως εἰσάγειν τοὺς κωμῳδουμένους· τὸ μὲν γὰρ διὰ λόγου κατορθοῦται, τὸ δὲ διὰ πράξεως, οὐ ταὐτὸν δὲ λόγος καὶ πρᾶξις. οὕτως μὲν ἐν ὅρῳ ἀποχωρίζομεν· ἐν δὲ τῷ ῥητῷ οὐχ οὕτως, ἀλλ' ἄχρι τούτου μόνον, ὅτι οὐ περὶ τῶν ἐμοὶ πεπραγμένων κωλύει ὁ νόμος. Καὶ ταῦτα περὶ τοῦ ῥητοῦ· εἶτα ἕπεται ὁ συλλογισμὸς, συνάγων εἰς ταὐτὸν τὸ ἔγγραφον τῷ ἀγράφῳ· ταὐτὸν γάρ ἐστι, φησὶ, τῷ ὀνομαστὶ κωμῳδεῖν τὸ αὐτοπροσώπους εἰσάγειν τοὺς κωμῳδουμένους· τοῦτο δὲ τὸ κεφάλαιον καὶ αὔξομεν καὶ ἐργαζόμεθα· αὔξομεν δὲ ἀπὸ τῆς χρήσεως, ὅτι τούτῳ πολλοὶ ἐχρήσαντο ἀντὶ τοῦ ὀνομάσαι τινὰ ὑποδείξαντες. ἐργαζόμεθα δὲ ἀπὸ τῆς κατὰ τὸ τέλος ταυτότητος. πρὸς ἓν γὰρ ἄμφω τέλος ὁρῶσιν, ὀνομαστὶ γὰρ κωμῳδοῦμεν, ἵνα γνωσθῶσιν οἱ κωμῳδούμενοι· οὐκοῦν ταὐτόν εἰσιν, ἐπεὶ πρὸς ἓν ἀφορῶσι τέλος, φημὶ δὲ τὸ γνωσθῆναι τοὺς κωμῳδουμένους· οὕτως μὲν καὶ ὁ συλλογισμός. εἶτα ἕπεται ὁ ὅρος· τοῦ γὰρ συλλογισμοῦ συνάγοντος, ὁ ὅρος διαχωρίζει· πάμπολυ μὲν οὖν διαφέρουσι, καὶ ἐνταῦθα λοιπὸν διαχωρίζομεν ὁρικῶς, ὥσπερ ἀνωτέρω προείπομεν, ὅτι τὸ μὲν διὰ λόγου γίνεται, τὸ δὲ διὰ πράξεως· χρὴ δὲ γινώσκειν, ὅτι ὁ μὲν συλλογισμὸς ὡς ἀπὸ τοῦ τέλους συνάγει, ὁ δὲ ὅρος ἀπὸ τῆς ἀρχῆς διαχωρίζει, ὅτι τὸ μὲν διὰ λόγου γίνεται, τὸ δὲ διὰ πρ[illegible]ξεως· μετὰ τὸν ὅρον ἐστὶν ἡ γνώμη τοῦ νομοθέτου κοι[illegible]ή· καὶ ὁ μὲν διώκων οὕτως ἐρεῖ, ὅτι ἀνελεῖν βουλόμενος τὸ ἁπλῶς καὶ ἀνευθύνως διαβάλλειν ὁ νομοθέτης [illegible] αοῦν τῶν πολιτῶν, ἐφ' ὅτῳ ἂν αὐτοὶ[38] ἐθέλωσιν ἐγκλήματι, τοῦτον τέθεικε τὸν νόμον, ὁ δὲ φεύγων οὐ διὰ τοῦτο ἐρεῖ, ἀλλ' ἐπιστρέψαι μὲν αὐτοὺς καὶ σωφρονίσαι διὰ τῆς κωμῳδίας ἠβούλετο· οὐ μὴν παντάπασιν ἀνελεῖν τὴν κωμῳδίαν, οὐ-

38 αὐτοὶ Mon. om., est in Par. 1. Vind. Med.

δὲ ὑπομνήματα τῶν κωμῳδουμένων καταλείπεσθαι τοῖς μετὰ ταῦτα ἀνθρώποις ἠβούλετο. τοῦτο δὲ διὰ τὸ ὀνομαστὶ κωμῳδεῖσθαι [39] συνέβαινε· διέμενον γὰρ ἀεὶ μνημονευόμενοι ἐν τοῖς λόγοις οἱ κωμῳδούμενοι, μὴ ὄντων δὲ τῶν ὀνομάτων, ἡ μὲν ἐπιστροφὴ καὶ ὁ σωφρονισμὸς γίνεται διὰ προσώπων εἰσφερομένων, ἡ δὲ εἰς τὸν μετὰ ταῦτα χρόνον μνήμη περιῄρηται· καὶ ἡ πρὸς τοὺς ἄλλους ἀνθρώπους διαβολὴ οὕτως μὲν, καὶ ἡ γνώμη τοῦ νομοθέτου· μετὰ τοῦτό ἐστιν ἡ πηλικότης, ὅτι μέγα τὸ γεγονός· μετὰ τοῦτό ἐστιν ὁ βίαιος ὅρος, τοῦ μὲν λέγοντος, ὅτι οὐκ ἔστιν τοῦτο ὅλως ὀνομαστὶ κωμῳδεῖν, τοῦ δὲ λέγοντος, ὅτι αὐτό γε τοῦτό ἐστι τὸ ὀνομαστὶ κωμῳδεῖν. καὶ εἰκότως μετὰ τὴν πηλικότητα ὁ βίαιος ὅρος πρὸ τοῦ πρός τι· ἐνθυμηματικώτερος γὰρ [40] μᾶλλον ὁ βίαιος ὅρος ὥσπερ καὶ ἡ πηλικότης· τὸ γὰρ πρός τι, παραδειγματικώτερον. ἐχρῆν οὖν τὸν βίαιον ὅρον ἐνθυμηματικώτερον [41] μετὰ τὴν πηλικότητα τετάχθαι· μετὰ τὸν βίαιον ὅρον ἔστιν οὖν, ὡς εἴρηται, τὸ πρός τι καὶ τὰ ἑξῆς δὲ κεφάλαια πάντα· καθάπερ ἐν τῷ ὅρῳ ἐξετασθήσεται· οὕτως πληρώσας τὴν τῶν κεφαλαίων ἐξέτασιν μέτεισιν ἐπὶ τὴν ὑπόλοιπον τοῦ συλλογισμοῦ διδασκαλίαν, καὶ λέγει, ὅτι πλείονα εἴδη ἐστὶ συλλογισμῶν, ἃ δὴ πάντα ὁμοίως διαιρήσεις, οὕτως μὲν αὐτός· ἰστέον δὲ, ὅτι φανερά ἐστιν ἀντίφασις· εἰ γὰρ εἴδη εἰσὶν, πῶς τὴν αὐτὴν ἐπιδέχονται διαίρεσιν. αὐτὸς γὰρ πολλάκις ἔφη, ὅτι ἐκεῖνά εἰσιν εἴδη τὰ διαφέροντα κατὰ τὴν τῶν κεφαλαίων διαίρεσιν. πῶς οὖν ἐνταῦθα εἶπεν εἴδη τὰ ὁμοίως διαι-

---

39 Par. 1. διὰ δὲ τοῦ ὀνομαστὶ κωμ. τοῦτο συνέβαινε. Mon. διὰ τοῦ. Vind. et Med. qui eundem cum Mon. ordinem verborum observant διὰ τό. 40 γὰρ Mon. Vind. Med. om. 41 ἐνθυμηματικώτερον ὄντα — — — μετὰ τὸν βίαιον ὅρον Mon. Par. 2, Vind. et Med. om. Vind. et Med. habent: ἐχρῆν μετὰ γοῦν τὸν βίαιον ὅρον ἔστιν, ὡς εἴρ. Correxi ex Par. 1.

ρούμενα; μήποτε οὖν οὐκ εἰσὶν εἴδη, ἀλλὰ τρόποι· πολλάκις δὲ ἐπὶ τοῦ αὐτοῦ σημαινομένου λαμβάνει τὸ εἶδος καὶ τὸν τρόπον, ὡς καὶ ἀνωτέρω ἐδήλωσεν εἰπών· εἴδους μὲν γὰρ ἕνεκα καὶ τρόπου ταὐτὸν λαβὼν εἶδος καὶ τρόπον. κἀνταῦθα οὖν τὸ εἶδος ἐπὶ τοῦ τρόπου ἔλαβε· τέσσαρες τοίνυν εἰσὶν οἱ τρόποι τῶν συλλογισμῶν· ἀπὸ τοῦ ἴσου, ἀπὸ τοῦ ἐναντίου, ἀπὸ τοῦ μείζονος, ἀπὸ τοῦ ἐλάττονος· ἀπὸ μὲν τοῦ ἴσου, ὡς ἐπὶ τοῦ προειρημένου παραδείγματος, ὀνομαστὶ κωμῳδεῖν ὁ νόμος ἐκώλυεν· αὐτοπροσώπους τις εἰσάγων τοὺς κωμῳδουμένους ὑπάγεται τῷ νόμῳ ὡς ὀνομαστὶ κωμῳδῶν· ἴσον γάρ ἐστι, φησί, τῷ ὀνομαστὶ κωμῳδεῖν τὸ αὐτοπροσώπους εἰσάγειν τοὺς κωμῳδουμένους· ἀπὸ δὲ τοῦ ἐναντίου, οἷον τῷ ἀριστεῖ γέρας εἶναι, λιπόντα τινὰ τὴν τάξιν ἀπέκτεινεν ὁ στρατηγός· καὶ φεύγει φόνου, καὶ χρὴ σκοπεῖν, ὅτι οὐχ ὡς ἄν τις ὑπολάβοι ἀντεγκλήματός ἐστι τὸ πρόβλημα· εἰ γὰρ καὶ χρήσεται ὁ φεύγων τῷ ἀντεγκλήματι, ὡς κεφαλαίῳ χρῆται μετὰ τῶν προειρημένων κεφαλαίων τοῦ συλλογισμοῦ. εἴρηται γοῦν, ὅτι εἰ ὁ ἀριστεὺς ἐπαινεῖται, δῆλον ὅτι ὁ λιπὼν τὴν τάξιν τιμωρηθήσεται, καὶ δὴ τὸ φιλοσόφου ἐκεῖνο χρησιμεύει θεώρημα, εἰ τῷ μὴ ἐναντίῳ ἁρμόσει τὸ ἐναντίον, εὔδηλον ὡς καὶ τῷ ἐναντίῳ τὸ μὴ ἐναντίον· παλιλλογία [42] δὲ τοῦτό ἐστι· τὸ γὰρ τὸν τρισαριστέα γέρας λαμβάνειν καὶ τὸ τὸν λειποτάκτην τιμωρεῖσθαι καὶ ἐναντία ἀλλήλοις, καὶ οὐκ ἐναντία, καθὸ μὲν γὰρ οὐ λέγει τις, ὅτι οὐ δεῖ τὸν ἀριστέα λαμβάνειν γέρας, ἀλλὰ τοῦτο μόνον, ὅτι χρὴ τὸν λειποτάκτην τιμωρίαν ὑπέχειν, οὐκ ἐναντία. Καθὸ δὲ ἕτερον μέν τι ἐκεῖνο, ἄλλο δὲ τοῦτο, καὶ ὅτι ἐκεῖ μὲν τιμωρία πρόκειται, ὧδε δὲ γέρας, ἐναντία. ἁρμόζουσι δὲ ἀλλήλοις κατὰ τὸν τεχνικόν· σόφισμα δὲ τοῦτό ἐστι κατὰ τὸ ἀντιστρέφον. ἀλλὰ καὶ ἀπὸ τοῦ μείζονος, ὡς ἐπὶ τούτου· ἐξῆν ἀποκτιννύναι τοὺς κατιόν-

---

42 Mon. Par. 2. παλλιλογία.

τας φυγάδας. μαστίξας τινὰ κατιόντα τις, φεύγει παρανόμου τιμωρίας, ὁ γὰρ τὸ μεῖζον, φησὶ, δοὺς καὶ τὸ ἔλαττον ἔδωκεν· ἀπὸ δὲ τοῦ ἐλάττονος κατὰ τὸ ἐξ αὐτοῦ ἀποβαῖνον· οἷον ἐξῆν στίζειν τοὺς μοιχούς· μοιχὸν στίζων τις ἀπέκτεινε καὶ φεύγει φόνου· ὁ γὰρ τὸ πρότερον, φησὶ, δοὺς, ἤτοι τὸ ἔλαττον, καὶ τὸ ἐξ αὐτοῦ ἀποβαῖνον ἔδωκεν· οὗτοι οἱ τέσσαρες τῶν συλλογισμῶν τρόποι, καὶ δεῖ γινώσκειν, ὅτι ἐν τούτοις δύο μὲν, ἐν οἷς ὁ κατήγορος ἔχει τὸ ῥητὸν, δύο δὲ, ἐν οἷς μᾶλλον ὁ φεύγων. ἐν μὲν τῷ ἀπὸ τοῦ ἴσου καὶ τοῦ ἐναντίου ὁ φεύγων ἔχει τὸ ῥητὸν, ἐν δὲ τῷ ἀπὸ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος ὁ κατήγορος, καὶ ἐν τούτοις λοιπὸν τοῖς δύο οὐκέτι προβολὴ ἔσται πράγματος ἁπλῶς, ἀλλὰ καὶ ῥητοῦ, ὥσπερ ἀνωτέρω προείρηται· τοσαῦτα εἴχομεν λέγειν περὶ τοῦ συλλογισμοῦ.

Cap. XXIX.

Περὶ ἀμφιβολίας.[1]

α΄. Τὴν ἀμφιβολίαν οἱ μὲν ἀσύστατον εἶναι ᾠήθησαν ὡς ἀπόρου καθεστηκυίας τῆς περὶ αὐτὴν ἐξετάσεως· ἔλαθε γὰρ αὐτοὺς, ὅτι γε ἡ τῆς περιστάσεως ποιότης δί-

1 Contuli cum hoc capite anonymi commentarium, qui in codd. Monacensibus 376, et 123. continetur, (cfr. T.VI. p. 2.) compilatus ex Syriano (vide caput *περὶ ἀμφιβολίας* in Vol. IV.) et nostro. Brevitatis caussa insignivi eum litteris An. ubi codices consentiunt, ubi unus vel alter codex nominatur, posui Mon. 376. vel 123. Syriani commentario usque ad finem exscripto subjungit nostrum pro lubitu mutilatum: *τὴν ἀμφιβολίαν τινὲς ἐπὶ τὸν στοχασμὸν ἀνήγαγον, ὅτι ἐν ἀμφοτέροις εὕρηται τοῦ ἐπιφερομένου ἄρνησις. διελόντες γὰρ — τὸ μὲν ἄγραφον ὁμωνύμως τῷ γένει στοχασμὸν ἐκάλεσαν, τὸ δὲ ἔγγραφον ἀμφιβολίαν. Ἐχρῆν δὲ αὐτοὺς εἰδέναι κ. τ. λ.*

δωσιν αὐτῇ δηλαδὴ σύστασιν. οἱ δὲ ἐπὶ τὸν στοχασμὸν ἀνήγαγον, διελόντες τὸν στοχασμὸν εἰς ἔγγραφόν τε καὶ ἄγραφον, καὶ τὸ μὲν ἄγραφον στοχασμὸν καλέσαντες ὁμωνύμως τῷ γένει, τὸ δὲ ἔγγραφον ἀμφιβολίαν· ὡρμήθησαν μὲν οὖν ἐπὶ ταύτην τὴν ἔννοιαν ἐκ τοῦ ἰδιώματος τοῦ στοχασμοῦ· ἐπεὶ γὰρ εὑρήκασι τοῦ ἐπιφερομένου ἐγκλήματος ἄρνησιν ἐν στοχασμῷ καὶ ἐν ἀμφιβολίᾳ, ὑφ' ἓν ἀμφότερα γένος ἀνήγαγον. ἐχρῆν δὲ αὐτοὺς εἰδέναι, ὡς ἐν μὲν στοχασμῷ περὶ οὐσίας γίνεται [2] τὸ ζητούμενον, ἐν δὲ ἀμφιβολίᾳ περὶ λέξιν οὐσίας δηλωτικήν. ἕτερον δὲ δήπου [3] οὐσία καὶ ἕτερον λέξις ἡ ταύτης δηλωτική. ἐδόκει δὲ καί [4] τισιν αὐτὴ μὲν ἡ ἀμφιβολία καθ' αὑτὴν [5] ἀνυπόστατος [6] εἶναι, τῇ δὲ πρὸς ἑτέραν τῶν στάσεων συμπλοκῇ ζήτησιν ἐπιδέχεσθαι, καθάπερ ἡ παραγραφή· καὶ ἔοικεν αὐτοῖς κοινωνεῖν [7] τῆς δόξης ὁ τεχνικός, οὐ μὴν πάντη συμφέρεται. Οἱ μὲν γὰρ καθ' αὑτὴν [8] εἶναι τὴν ἀμφιβολίαν ᾠήθησαν· ὁ δὲ ἀσθενεστέραν μὲν τηνικαῦτα, εἶναι δὲ ὅμως καὶ αὐτὴν ἐφ' ἑαυτῆς· διαιρεῖται [9] δὲ [10] προβολῇ ῥητοῦ, ἑτέρᾳ τοῦ αὐτοῦ ῥητοῦ προβολῇ κατὰ τὸ ἀμφίβολον, [11] τουτέστι περὶ [12] ὃ γίνεται ἡ ἀμφιβολία, διανοίᾳ τοῦ νομοθέτου περὶ τὸ ἀμφίβολον αὐτὸ γινομένῃ, περιέχοντι [13] καὶ περιεχομένῳ, ἀντιθέσει, μεταλήψει, ποιότητι καὶ γνώμῃ. ἰστέον δὲ, φησὶν, ὡς, εἰ μὲν αὐτὴ καθ' ἑαυτὴν ἡ ἀμφιβολία εἴη, ἀσθενὲς καὶ γλίσχρον εἶναι [14] ἀνάγκη τὸ ζήτημα, ἐὰν

---

2 An. περιουσίαν γίνεσθαι. 3 δήπου An. om. 4 καὶ et paullo post μὲν abest ab An. 5 An. ἑαυτήν. 6 Mon. 376. ἀνυπόστατον. 7 An. κοινωνῆσαι. 8 An. καθ' αὑτὴν ἀνυπόστατον εἶναι, sine τὴν ἀμφιβολίαν. 9 Sch. min. ἡ τάξις τῶν κεφαλαίων ἡ αὐτή ἐστι ταῖς λοιπαῖς στάσεσι. 10 An. inserit φησί. — sqq. ἑτέρᾳ τοῦ αὐτοῦ ῥητοῦ προβολῇ om. 11 An. ἀμφιβαλλόμενον. 12 περὶ ὃ γίνεται — νομοθέτου Mon. 376. om. 13 περιέχοντι — καὶ γνώμῃ An. om. 14 An. ἀνάγκη εἶναι τὸ ζη-

δὲ συμπλακῇ [15] ἑτέρᾳ, χρήσιμον τὸ περὶ τὴν διαίρεσιν αὐτῆς [16] γίνεται· ἐν δὲ [17] τοῖς ἀπὸ χρησμῶν, φησὶ, καὶ λογίων πλαττομένοις ζητήμασι [18] τοῦτο εὑρίσκεται· κατὰ γὰρ τῶν χρησμῶν τὸ λοξὸν [19] χώραν ἡ ἀμφιβολία λαμβάνει, ὥστε ἐπὶ τῶν τοιούτων ἁπάντων πραγματικὴν εἶναι [20] ἀμφιβολίαν. Πρὸς οὖν ἐπίσκεψιν τῶν κεφαλαίων [21] τὸ παρὰ τῷ τεχνικῷ παράδειγμα· ἑταίρα εἰ φοροίη χρυσία δημοσία ἔστω, πεφώραταί τις φοροῦσα, καὶ ἡ μὲν τὰ χρυσία δεῖν δημόσιά φησιν [22] εἶναι, οἱ δὲ οὐκ, ἀλλ᾽ αὐτὴν δημοσίαν εἶναι.

β'. Ἐξ αὐτοῦ τοῦ ὀνόματος πρόδηλα τὰ τῆς δυνάμεως αὐτῆς· καὶ γὰρ αὐτὸ τὸ ῥητὸν ἀμφίβολον ἔχει, δεῖ γὰρ ὑπονοεῖν γεγράφθαι νόμον, ἤ τι τῶν τοιούτων στιγμῆς ἄμοιρον καὶ τόνου, καὶ ἐν τοῖς τοιούτοις ἀνάγκη τὸν τόνον ὑποκλέπτειν· καὶ τούτῳ τῶν ἄλλων νομικῶν διαφέρει, ὅτι ἐν μὲν ἐκείνῳ φανερὸν ἔχομεν τὸ ῥητὸν, περὶ δὲ τὴν διάνοιαν αὐτοῦ γίνεται ἡ ζήτησις, ἐνταῦθα δὲ αὐτὸ τὸ ῥητὸν ἔχομεν ἄδηλον· διὸ καὶ κέχρηνται αὐτῷ τῷ ῥητῷ ἑκάτερος τῶν ἀμφισβητούντων ἕλκων πρὸς ἑαυτόν· οὐδὲν γὰρ ἕτερόν ἐστιν ἡ ἀμφιβολία, [23] ἢ ῥητοῦ ἀσάφεια.

γ'. Τινὲς οὐδὲ στάσιν αὐτὴν εἶπον διὰ τὴν εὐτέλειαν· διὰ τοῦτο καὶ τελευταία καθάπερ προὶξ τῶν ἄλλων· ὁ

τούμενον, ἤτοι ἀφυὲς εἰς διαίρεσιν καὶ φεῦγον (Mon. 376. φεύγων) αὐτήν. ὅταν δὲ συμπλ. 15 Mon. Par. 1. et Mon. 376. συμπλοκῇ. Par. 2. Mon. 123. συμπλακῇ. ad γλίσχρον Sch. min. μικρόν τε καὶ οὐδαμινὸν καὶ εὐτελές. 16 αὐτῆς An. om. 17 An. γάρ. 18 An. addit: πᾶσι. 19 An. τὸ λόξον [sic] τῶν χρησμ. 20 Mon. κατ᾽ ἀμφιβολίαν. An. κατὰ ἀμφ. Parr. κατὰ om. 21 An. λάβωμεν τὴν ἑταίραν (Mon. 376. ἑτέραν) παράδειγμα. Tum transit ad litt. ζ. Ἡ προβολὴ τοῦ ῥητοῦ. Ἡ προβολὴ, φησὶν, αὔξ. 22 Par. 1. δημόσια εἶναί φησιν sine δεῖν. 23 Mon. ἐστὶν ἀμφιβολία, ἢ ῥητοῦ ἀμφιβολία.

γοῦν Δημοσθένης εἰς κατασκευὴν ἄλλου ζητουμένου αὐτῇ κέχρηται, καὶ οὐκ ἀποπεποίηται ζήτημα ὁλόκληρον ἡγούμενος· ἐν δὲ τῷ πρὸς Λεπτίνην καὶ ἐν τῷ κατὰ Τιμοκράτους οὐκ ἀμφιβολίαν καλῶν, ἀλλ' ἀσάφειαν, οὐδὲν γάρ ἐστιν ἀμφιβολία, ἀλλ' ἢ ἀσάφεια, ἐπειδὴ γὰρ ὁ Λεπτίνης ἀσαφῶς εἶπε καὶ ἀμφιβόλως, μηδένα ἀτελῆ εἶναι πλὴν τῶν ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος καὶ οὐ διώρισεν, οὐ πρόσωπον, οὐ πρᾶγμα, ἔλαβε χορηγίαν ὁ ῥήτωρ εἰς κατηγορίαν, ἑτέρου ὄντος τοῦ ζητουμένου, ἀλλ' οὐ κατ' ἰδίαν ὑπόθεσιν· καὶ ἐν τῷ κατὰ Ἀριστοκράτους, [24] „ἐάν τις ἀποκτείνῃ Χαρίδημον, ἀγώγιμον εἶναι“, πάλιν ἐπιλαμβάνεται τῆς ἀσαφείας καὶ λέγει, „ποῖον ἀνδροφόνον [25] λέγεις, πότερον τὸν ἑκούσιον ἢ τὸν ἀκούσιον, τὸν δίκαιον ἢ τὸν ἄδικον.“ ὅμως εἰς ἀπόδειξιν παραλαβὼν αὐτὴν, ὡς ἐν τῷ κατὰ Τιμοκράτους ἐν συμφέροντι κεφαλαίῳ λέγων, ὅτι πάλιν ἀσαφῶς εἶπεν, λαμβάνει τὴν ἀσάφειαν ἐκ παραλείψεως, οὔτε γὰρ τόδε προείρηκεν οὔτε τόδε· καὶ ἐπιλαμβάνεται ἐκ τῆς λέξεως, καθάπερ καὶ ἐνταῦθα ἡ ἀμφιβολία περὶ τὴν λέξιν εὔδηλον ὅτι ἡ ἀσάφεια.

δ'. Οὐκέτι εἶπεν ἑνὸς τῶν ἀγωνιζομένων, ἀλλ' ἐπεὶ ἀμφίβολον τὸ ῥητὸν, ἀμφότεροι αὐτῷ κέχρηνται, καὶ τῇ ἄλλῃ προβολῇ ὁμοίως ἀμφότεροι.

ε'. Ἡ στάσις, φησὶν, αὕτη τελεία καθ' ἑαυτὴν ἐμπίπτουσα εὐτελῆ καὶ ἀχρεῖον καὶ ψυχρὸν τὸν λόγον ποιεῖ, ἡ δὲ ἑτέρου τινὸς ὄντος τοῦ ζητουμένου, ἐν μέρει ζητήματος ἐμπεσοῦσα, ἀξιόλογον ἔχει τὴν ζήτησιν· διὸ καὶ Δημοσθένης ἐν τῷ παραπρεσβείας τοιούτου ζητήματος ἐμπεσόντος, πάνυ καλῶς διεχείρισε τὸν λόγον· εἰπόντος γὰρ τοῦ θεοῦ δεῖν τοὺς ἡγεμόνας φυλάξασθαι,

---

24 p. 629. 631. cfr. cum his anonymum in Vol. IV. p. 845. 25 p. 630.

καὶ τῆς ὁμωνυμίας ἐργαζομένης τὴν ἀμφιβολίαν, αὐτὸς ἀπὸ τοῦ καιροῦ διέλυσε τὸ ἀμφίβολον· φησὶ γάρ, [26] „εἰ μὲν ἐν πολέμου καιρῷ τοῦτο εἶπεν ὁ θεός, τοὺς στρατηγοὺς φυλάττεσθαι λέγει, αὐτοὶ γὰρ ἡγεμόνες, εἰ δὲ ἐν εἰρήνῃ, τοὺς ῥήτορας καὶ τοὺς πολιτευομένους, αὐτοὶ γὰρ ἐν τούτῳ τῷ καιρῷ ἡγοῦνται καὶ τούτοις πειθόμεθα.“ [27]

ϛʹ. Ἐν τούτοις γὰρ πολλάκις καθ᾽ ὁμωνυμίαν καὶ κατὰ τόνον, καὶ κατὰ διάστασιν συλλαβῶν ἀμφιβάλλεται.

ζ. Ἡ προβολὴ αὐξητικῶς [28] ἀπὸ τοῦ ῥητοῦ, ὅτι δημοσίαν σε εἶναι βούλεται [29] ὁ νόμος φορέσασαν τὰ χρυσία· ἑτέρα προβολὴ κατὰ τὸ ἀμφίβολον· ἀπὸ ταύτης ἐμφανίζεται τῆς προβολῆς ἡ ἀμφιβολία· διὸ προσέθηκε κατὰ τὸ ἀμφίβολον· ἡ ἑταίρα [30] γὰρ ἐρεῖ, ὡς οὐκ ἐμὲ δημοσίαν εἶναι βούλεται, ἀλλὰ τὰ χρυσία δημόσια.

ή. Μετὰ ταῦτα ἡ τοῦ νομοθέτου διάνοια παρ᾽ ἀμφοῖν ἐξετασθήσεται· τοῦ μὲν κατηγόρου λέγοντος, ὅτι ὁ νομοθέτης βουλόμενος ταύτας μάλιστα τιμωρεῖσθαι, τοῦτον ἔθηκε τὸν νόμον· ὁ δὲ φεύγων φησίν, ὅτι οὐ τοῦτο ἐζήτησεν, ἀλλὰ μετριωτέρας βουλόμενος αὐταῖς ἐπιθεῖναι κολάσεις [31] ἐκέλευσε τὰ χρυσία δημόσια εἶναι· ἐνταῦθα δὲ τὴν πᾶσαν αὔξησιν ποιήσεται ἑκάτερος τελείως ἐπεξιὼν ἀπὸ τῶν εὑρισκομένων τόπων· ὅθεν ὁ διώκων ἐρεῖ αὔξων ἀπὸ τῆς αἰτίας, ὅτι μεγίστης τιμωρίας

---

26 p. 436. 27 Τοῦθ᾽, ὅπερ ἐστὶν, εὑρίσκεται. Sch. min. Ἀντὶ τοῦ καλῶς διαγινώσκεται ἀκριβῶς ὂν ἀμφιβολία, ὡς ἐπὶ τῶν λοξῶν χρησμῶν πάντων τὴν ζήτησιν ἐχόντων τῇ ἀμφιβολίᾳ ἢ περὶ τὸ ῥητὸν ἢ περὶ τὸν τόνον, ἢ περὶ τὸ πνεῦμα, ἢ περὶ τὸ ὁμώνυμον, ἢ περὶ τὸ νόημα. 28 Mon. 123. αὐξιτικῶς. 29 An. ὁ νόμος βούλεται, sine εἶναι, et φορέσασαν τὰ χρυσία. 30 Mon. ἑτέρα. An. ἐρεῖ γὰρ ἡ ἑταίρα, [Mon. 376. ἑτέρα] ὡς οὐκ ἐμὲ, ἀλλὰ τὰ παρ᾽ ἐμοί. Tum transit ad litt. ϑ. 31 Par. 1. μετριωτέραν — κόλασιν.

ἀξία, πᾶσα γὰρ πόρνη καλλωπιζομένη ἐπὶ κακῷ τῶν νέων καλλωπίζεται, διὸ καθ᾽ ὑπερβολὴν τιμωρεῖται αὐτή· ὁ δὲ ἀπολογούμενος μειῶν ἐρεῖ· ὅτι τιμωρίαν μὲν δικαία ἀπολαύειν ἐστὶν, οὐ μὴν ὥστε δημοσίαν γενέσθαι· ἱκανὸν γὰρ ἐπιτίμιον ἡ τῶν χρυσίων στέρησις ταῖς τοιαύταις. κατὰ λόγον δὲ τῶν ἀδικημάτων εἶναι τὰς τιμωρίας προσήκει, καί εἰ μὴ νόμον δὲ ἔχομεν, ἀλλὰ ῥητὸν, τῷ ῥητῷ ὡς νομίμῳ χρησόμεθα.

θ᾽. Κοινὸν [32] ἀμφοὶν κεφάλαιον ἡ γνώμη τοῖ νομοθέτου· ἐξετάζεται γὰρ ἐξ ἑκατέρου πρὸς τὸ λυσιτελοῦν· οἷον τιμωρίας τοῦτο ὑπέλαβεν ἄξιον, καὶ ὁ μὲν διώκων ἐρεῖ, ὅτι τῆς μεγίστης, ἡ δὲ ὅτι τιμωρίας μὲν, ἀλλ᾽ οὐ τοσαύτης· οὐδὲ γὰρ ἐπὶ τῶν ἄλλων μείζους τῶν ἀδικημάτων ποιεῖται τὰς τιμωρίας. [33]

Ἐν ἄλλοις [34] οὕτως· τὰ χρυσία δὲ ἡ προβολὴ τοῦ ῥητοῦ. Πρῶτόν ἐστι κεφάλαιον ἡ τοῦ ῥητοῦ προβολή. τοῦ κατηγόρου λέγοντος, ὅτι παρέβης τὸν νόμον· καὶ δεῖ σε δημοσίαν εἶναι. — Ἐπειδὴ οὐχ ὡμολογημένως [35] τὸ ῥητὸν πρὸς τοῦ ἑτέρου προβάλλεται, ἀλλὰ κατὰ τὸ ἀμφίβολον ἑκάτερος τῷ ἀμφιβόλῳ κέχρηται· [36] ἔστι γὰρ κοινὸν ἀμφοῖν τὸ ῥητόν· ὅρα δὲ, ὡς ἑκάτερος ἀπὸ ῥητοῦ ἀγωνίζεται θάτερος θατέρου· [37] ἀκριβοῦν δὲ ἄξιον τὸ ῥητόν· ὁ γὰρ ὑπὲρ τῆς γυναικὸς λέγων φήσει, ὅτι οὐκ ἐμὲ λέγει ὁ νόμος, ἀλλὰ τὰ χρυσία, προπαροξύνων τὸ δημόσια.

Γρ. [38] ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων ἀδικημάτων κατὰ λόγον τὰς τιμωρίας ἔταξεν. Ἡ ἀντίθεσις ἐνταῦθα ἀν-

32 An. ἡ γνώμη τοῦ νομοθέτου κοινὸν ἀμφοῖν κεφάλαιον. Ἡ γνώμη τοῦ νομοθέτου κοινή. Mon. 376. κοινὸν ἀμφοῖν — νομοθέτου om. 33 An. transit ad litt. ι. Τὸ περιέχον. Περὶ τοῦ περ. 34 ἐν ἄλλοις sqq. usque ad προπαροξύνων τὰ δημόσια inter sch. min. habent. Parr. 35 Mon. ὡμολογουμένως. 36 Par. 1. κέχρηνται. 37 Par. 1. θάτερα. 38 γρ᾽. Mon. om.

τεγκληματική, [39] ὅτι ἀξία τοῦτο παθεῖν· ἔνθα καὶ κοινὸς τόπος κατὰ πόρνης δεῖ συνίστασθαι· ἴδιον γὰρ τῆς ἀντεγκληματικῆς ἀντιθέσεως ἡ καταφορά· τῇ μεταλήψει δὲ θέσις ἀκολουθεῖ, ὅτι δεῖ τοιαύτης τιμωρίας ἀπολαύειν τὰς τοιοῦτον ἐπανελομένας βίον· καὶ τόπος κοινὸς κατὰ τῆς ἑταίρας· ἐν πάσῃ γὰρ ἀντεγκληματικῇ ἀντίθεσις τοπικὴ γίνεται. Τῆς ἀντιθέσεως γινομένης, ἡ μετάληψις πάντως ἕπεται, λέγοντος τοῦ συνηγόρου, ὅτι εἰ καὶ κολάσεως ἀξία, ἀλλ' οὖν ἔχει τιμωρίας ὑπὸ τοῦ βίου, καὶ οὐ δεῖ πλέον ἐπιτεῖναι τὴν ἀτυχίαν· ἱκανὸν γὰρ αὐτῇ τοῦτο· μέμφεται δὲ τὸν τρόπον, καθ' ὃν ὁ διώκων φησὶν αὐτὴν τιμωρεῖσθαι· λύσις δὲ οὖσα ἡ μετάληψις τῆς ἀντιθέσεως, εἰ ἐμπίπτοι ἀντίθεσις, ἐμπεσεῖται καὶ αὐτή· δῆλον δὲ, ὅτι ἡ ἀντίθεσις οὐκ ἀεὶ ἐμπίπτει.

ι'. Περὶ τοῦ περιέχοντος ἐζητήκασι, πῶς ἴδιον ἀντινομίας εἰπὼν ἐπὶ τῆς ἀμφιβολίας αὐτὸ [40] παρέλαβε· καὶ οἱ μὲν πρὸς τὸ ῥητὸν καὶ τὴν διάνοιαν ἔφασαν [41] αὐτὸ ἴδιον ἐκεῖσε εἰρῆσθαι, οἱ δὲ ὅτι οὐχ ἁπλῶς εἶπεν [42] ἴδιον, ἀλλὰ τὸ μᾶλλον προσθείς· ἔφη γὰρ ὧδε· ἔστιν ἐπὶ τούτοις καὶ τὸ ἴδιον μᾶλλον ἀντινομίας κεφάλαιον, ἀλλ' οὐχ ἕξουσιν ἀποδεικνύναι, πῶς ἀντινομίας μᾶλλον εἴη καὶ οὐκ ἀμφιβολίας· ἄμεινον ἄρα φάναι, ὡς κἀνταῦθα κατὰ τὴν ἐναντίωσιν τὴν ἀπὸ τῆς ἀναγνώσεως ἐμπέπτωκε τὰ κεφάλαια, εἰ μιμεῖταί τις [43] τὴν ἀντινομίαν· ὥστε κἀπὶ τῆς ἀμφιβολίας κατὰ [44] τὴν φύσιν τὴν ἐκεῖσε εὑρίσκεται· εἰκότως οὖν αὐτὸ ἴδιον τῆς ἀντινομίας ἐκάλεσεν. [45] ια'.

---

39 Mon. ἀντεγκληματικὸς γρά. (i. e. γίνεται.) 40 αὐτό An. ponit post ἴδιον. 41 An. ἔφασκον. 42 Mon. 376. εἶπερ. 43 An. ἥτις μιμεῖταί πως. 44 κατά Mon. om., recepi ex Parr. — An. κατὰ φύσιν ἐκείνης. 45 An. transit ad litt. ιγ'.

ιά. Τὸ περιέχον καὶ τὸ περιεχόμενον ἀπὸ τοῦ κατηγόρου ἐνταῦθα ἐμπεσεῖται, οἷον ὅτι τῆς ἑταίρας δημοσίας καθισταμένης, καὶ τὰ χρυσία δημόσια γίνεται, τῶν δὲ χρυσίων μόνων ταμιευθέντων, αὕτη πάντως ἐλευθέρα καθίσταται.

ιβ. Ἰστέον, ὅτι γνωσιγραφία ἡ ἀπόφασις λέγεται τῶν δικαστῶν, ὅτι μετὰ τὸ διαγνῶναι τὸ πρᾶγμα γίνεται, ὡς Ἀψίνης ἐν τῇ τέχνῃ φησίν· ἔτι ἀναμνήσωμεν ἐπὶ τῆς καλουμένης γνωσιγραφίας, κατ' αὐτὴν ἀνακαλούμενοι τὰ εἰρημένα· ἔστι δὲ ἡ γνωσιγραφία ἀπόφασις δικαστῶν· οἷον τί δὲ [46] μὴ ἀφιέντες γράψετε, ἐξεῖναι [47] καταλύειν τοὺς νόμους, πράττειν τὰ τῇ πόλει μὴ συμφέροντα, δημεύειν ἀλλοτρίας οὐσίας.

ιγ'. Τὴν [48] ἀντίθεσιν ἀντεγκληματικὴν ἐνταῦθα λήψεται ὁ διώκων, κοινὸν τόπον κατὰ ἑταίρας ἀποτείνων.

ιδ'. Τῆς [49] ἀντιθέσεως ἐμπεσούσης ἕπεται ἀναγκαίως ἡ μετάληψις, ὅτι εἰ καὶ ἑταίρα, ἀλλ' ἔχουσά γε ἰδίαν τῆς προαιρέσεως ταύτης ἐπιτιμίαν, οἷον τὸ μὴ τῶν ἴσων ἀξιοῦσθαι ταῖς ἐλευθέραις, μηδὲ ὁμοίαν εἶναι· καὶ ἄλλα δὲ, φησὶν, [50] ἐλεεινολογήσεται, πενίαν [51] προβαλλομένη ἤ τι τοιοῦτον· ἐπεὶ γὰρ οὐκ ἰσχυρὰ τὰ τῶν ἀποδείξεων, τοῖς ἐπιλογικοῖς ἀνάγκη πλεονάζειν. [52]

ιέ. Πρὸς τὴν μετάληψιν καὶ ἀντίληψιν ἔδει ἀπαντῆσαι, [53] ἀλλ' ἐνταῦθα παράβασις γέγονεν, ὅτι οὐκ ἠδύνατο ὡς πανταχοῦ ὥσπερ [54] ἐπ' ἐξουσίας προβάλλεσθαι τὴν ζήτησιν. [55]

46 δέ Mon. om. 47 Mon. ἐξῆν. 48 An. Ἡ ἀντίθεσις εὐθὺς ἕπεται. Τὴν ἀνη. 49 An. καὶ ἡ μετάληψις· τῆς ἀντ' 50 φησίν An. om. 51 πενίαν — τι τοιοῦτον An. om. 52 An. addit: φησίν, tum transit ad litt. ιή., quae commentarii ejus finem facit. 53 post ἀπαντῆσαι Mon. Par. 2. ponunt ὡς πολλαχοῦ, contra ὡς πανταχοῦ quod sequitur in Par. 1., om. 54 Par. 1. ὥσπερ post ἐξουσίας ponit. 55 Mon. τὴν οὐσίαν.

ις΄. Γυνὴ εἰς δικαστήριον οὐκ εἰσέρχεται, οὐδὲ παῤῥησίαν ἔχει δημηγορεῖν, ἄλλως τε κἂν ἑταίρα τυγχάνῃ οὖσα· διὸ οὐκ [56] αὐτὴν ἐλεεινολογουμένην, ἀλλὰ τὸν ὑπὲρ αὐτῆς φησι λέγοντα.

ιζ΄. Εἰρήκαμεν [57] ἤδη, [58] ὅτι γυνὴ εἰς δικαστήριον οὐκ εἰσέρχεται, οὐδὲ παῤῥησίαν ἔχει δημηγορεῖν, ἄλλως τε κἂν ἑταίρα τυγχάνῃ οὖσα.

ιή. Τὴν [59] ποιότητα καὶ τὴν γνώμην ὅπως ληψώμεθα ἐκ τῶν ἔμπροσθεν μεμαθήκαμεν, συμβέβηκε δὲ, φησὶν, ἐν τῷδε τῷ ζητήματι, ἐπειδὴ τὸ τῆς ἑταίρας διαβέβληται πρόσωπον, καὶ πλειονά γε τῆς γνώσεως εἶναι ἐξέτασιν, πότερον καταφρονήσασα τῶν νόμων ἐφόρεσε τὰ χρυσία, ἢ ἄλλως ἀγνοήσασα, οἷα οὐκ ἔμπειρος τῶν νόμων.

ιθ΄. Ἡ ποιότης, φησὶ, καὶ ἡ γνώμη μὴ παραπλησίως ταῖς ἄλλαις ἐξετασθήσεται, πλὴν ὅτι ἡ γνώμη κατὰ τὸ παρὸν πρόβλημα πλείονα τὴν ἐξέτασιν ἔχει· ἐπειδὴ γνώριμος καὶ μεστὴ πλείστης ἐπιμελείας ἡ τύχη, καὶ ἡ τοῦ προσώπου ποιότης· διὸ καὶ πλείω τὴν χορηγίαν ὁ κατήγορος ἕξει κατασκευάζων, ὡς οὐδὲν ἀπεικὸς αὐτὴν ἑτέραν οὖσαν καταφρονεῖν καὶ τῶν νόμων· ἐξετάσει δὲ καὶ τὴν κοινὴν τῶν γυναίων περὶ ταῦτα προαίρεσιν, ὁ δὲ ὑπὲρ τῆς ἑταίρας τὸν λόγον ποιούμενος ἀπὸ τῶν ἐναντίων ἀπολογήσεται.

Γεωργίου εἰς τὴν ἀμφιβολίαν.

Εἰρηκὼς ἡμῖν ὁ τεχνικὸς καὶ τὴν τοῦ συλλογισμοῦ διαίρεσιν, μέτεισιν λοιπὸν καὶ ἐπὶ τὴν τελευταίαν τῶν νομικῶν στάσεων, φημὶ δὲ τὴν ἀμφιβολίαν, καὶ πρῶτον

56 διὸ οὐκ αὐτὴν ἐλ. — — — λέγοντα Par. 1. non habet. 57 Par. 1. haec et sqq. post Georgii commentarium εἰς ἀμφιβολίαν ponit, unde repetitio eorundem verborum minus offendit. 58 ἤδη Mon. om. 59 An. ἡ ποιότης καὶ ἡ γνώμη.

γε ὡς ἔθος, ψιλὴν ποιεῖται τῶν κεφαλαίων ἀπαρίθμησιν, εἶτα καθ' ἓν ἕκαστον ἐξετάζει. Ἀλλὰ περί γε τῆς τάξεως αὐτῶν οὐ δεῖ λέγειν, κεφάλαιον γὰρ ἀντιτέτακται κεφαλαίῳ. Χρὴ τοίνυν πρὸ τῆς κατὰ μέρος ἐξετάσεως δύο τινὰ προλαβεῖν, τὸ τοῦ τεχνικοῦ κείμενον ἐξετάζοντας· ἔφη γὰρ οὕτως, εἰδέναι χρὴ, ὅτι εἰ μὲν αὐτοτελὲς ζήτημα ἀμφιβολία εἴη, γλίσχρον αὐτὸ ἀνάγκη εἶναι καὶ κατὰ τὴν διαίρεσιν ὡσαύτως ὑπόψυχρον· μέρος δὲ ὅτε γένοιτο ζητήματος, χρήσιμον τότε περὶ τὴν διαίρεσιν γίνεται· ταῦτα τοῦ τεχνικοῦ εἰρηκότος φασί τινες, ὅτι φαίνεται λέγων μὴ δύνασθαι καθ' αὑτὴν ὑφίστασθαι τὴν ἀμφιβολίαν, ἀλλὰ χρὴ πάντως αὐτὴν συμπεπλέχθαι ἑτέρᾳ στάσει, καὶ μέρος γενέσθαι ζητήματος· λέγομεν δὲ, ὅτι τοῖς γε σκοποῦσιν ἀκριβῶς οὐδὲν εἶπε τοιοῦτον ὁ τεχνικὸς, ἅτι καθ' ἑαυτὴν οὖσαν γλίσχραν αὐτὴν ἀνάγκη εἶναι· καὶ κατὰ τὴν διαίρεσιν, ὑπόψυχρον, τὸ γὰρ περὶ ὁμωνυμίας, ἢ τόνου, ἤ τινος τοιούτου ἀμφιβάλλειν εὐτελὲς ἄγαν· καί πως δοκεῖ ὑπό φιλοπραγμοσύνης τις περὶ τῶν τοιούτων συγκροτεῖν δικαστήριον· ὡς οὖν εἴρηται, καὶ καθ' αὑτὴν εὑρίσκεται πολλάκις ἡ ἀμφιβολία, καὶ πολλὰ δεδώκαμεν τοῦ τοιούτου παραδείγματος, ἀλλ' ὡς ὁ τεχνικός φησι γλίσχρον τοῦτό γε καὶ κατὰ τὴν διαίρεσιν ὑπόψυχρον· χρὴ δὲ μᾶλλον ἐπισυνάπτειν αὐτὴν καὶ ἐπισυμπλέκειν ἑτέρᾳ στάσει· οὕτω γὰρ ποιοῦντες καὶ τὸ τῆς ἀμφιβολίας κατορθοῦμεν χρήσιμον· καὶ τὴν τοῦ φιλοπράγμονος ὑποψίαν ἐκφεύγομεν, οὐ γὰρ ἔτι δόξομεν περὶ τόνων ἁπλῶς ἢ συλλαβῶν κροτεῖν δικαστήρια. Συμπλέκεται γοῦν ἡ ἀμφιβολία ἑτέρᾳ στάσει, ὡς ἐπὶ τούτου· ἐπελθόντος τοῦ Πέρσου εἰς τὴν Ἑλλάδα ἔχρησεν ὁ θεὸς τοῖς Ἀθηναίοις·

Τεῖχος τριτογενεῖ [60] ξύλινον διδοῖ εὐρύοπα Ζεύς·

---

60 Mon. τριτογενές. Vind. Med. Parr. τριτογενεῖ. Herod. VII. 141.

καὶ ζητοῦσι, τί ποτε βούλεται δηλοῦν ὁ χρησμός· καὶ οἱ μὲν εἰσηγοῦνται γνώμην, ὅτι τὴν ἀκρόπολιν λέγει· Θεμιστοκλῆς δὲ τὰς τριήρεις ἔλεγε· γέγονεν οὖν ἡ ἀμφιβολία κατὰ τὴν ὁμωνυμίαν· καὶ ἔστιν ἡ πᾶσα ζήτησις συμπλοκή· πραγματικῆς γὰρ κατὰ ἀμφιβολίαν· καθὸ μὲν γὰρ βουλὴ πρόκειται πραγματικῆς ἐστιν, καθὸ δὲ περὶ τὴν λέξιν ἀμφιβάλλουσιν, ἀμφιβολία ἕπεται, πολλάκις δὲ καὶ ἐπὶ λογικῇ εὑρίσκεται ἡ ἀμφιβολία, πρός τι χρήσιμον λαμβανομένη, ὥσπερ ἐν τῷ κατ' Αἰσχίνου ὁ Δημοσθένης παράγει χρησμὸν, φυλάττεσθαι λέγοντα τοὺς προεστῶτας, ὅπερ ὁμώνυμον· οἱ μὲν γὰρ προεστῶτας τοὺς ῥήτορας ἔλεγον, ἄλλοι δὲ τοὺς στρατηγούς· καὶ οὕτως ἐκεῖσε γίνεται ἡ καθ' ὁμωνυμίαν ἀμφιβολία· καὶ ἐν τούτοις τὸ πρῶτον ζητούμενον, δεύτερον δέ ἐστι τοῦτο· πάλιν γὰρ ἐφεξῆς πού φησιν ὁ τεχνικός· ἐν δὲ τοῖς ἀπὸ χρησμῶν καὶ λογίων πλαττομένοις ζητήμασι πᾶσι τοῦτο εὑρίσκεται· ἔτι φασί τινες, ὅτι φαίνεται λέγων ὁ τεχνικὸς, ὡς ἐν μόνοις τοῖς ἀπὸ χρησμῶν καὶ λογίων ζητήμασιν εὑρίσκεται ἡ ἀμφιβολία, ἄλλοθι δὲ οὐδαμοῦ· τοῦτο γὰρ αἰνίττεται, εἰρηκὼς τὸ πᾶσι· μᾶλλον οὖν, φασὶ, κατὰ τὸν τεχνικὸν ἐν τούτοις ἐστὶν ἡ ἀμφιβολία, ἤπερ ἐν τοῖς ἄλλοις· ἀλλὰ λέγομεν πρὸς τοῦτο, ὅτι ἐν πᾶσιν ἐπίσης ἐστὶν ἡ ἀμφιβολία, καὶ οὐκ ἐνταῦθα μὲν μᾶλλον, ἐν ἑτέροις δὲ ἧττον· ἐκεῖνο δὲ βούλεται μᾶλλον εἰπεῖν ὁ Ἑρμογένης, ὅτι ὡς ἐπὶ τὸ πλεῖστον ἐν τοῖς ἀπὸ χρησμῶν καὶ λογίων ζητήμασιν εὑρίσκεται ἡ ἀμφιβολία, σπανίως δὲ ἐν ἑτέροις, καὶ εἰκότως· ἐπειδὴ γὰρ ὡς λοξίας ὁ Ἀπόλλων ἀσαφεῖς ἀφίησι τοὺς χρησμοὺς, ἐκ τούτου ἐγίνοντο πολλαὶ περὶ τοὺς χρησμοὺς ἀμφιβολίαι· ἄλλως καὶ ἄλλως ἐκδεχομένων αὐτῶν τοὺς χρησμούς· ἔνθεν ὡς εἴρηται ἐν τοῖς περὶ χρησμῶν ζητήμασιν ὡς ἐπὶ τὸ πλεῖστον ἡ ἀμφιβολία εὑρίσκεται· καὶ ταῦτα μέν ἐστιν, ἅπερ ἐχρῆν προλαβεῖν· μετιτέον δὲ λοιπὸν καὶ ἐπὶ τὴν κατὰ μέρος ἐξέτασιν τῶν

κεφαλαίων, καὶ ὥς φησιν ὁ τεχνικὸς πρὸς ἐπίσκεψιν τῶν κεφαλαίων· ἔστω ὑπόδειγμα τόδε·[61] ἑταίρα εἰ φοροίη χρυσία, δημοσία ἔστω· φορεῖ τις, καὶ ὁ μὲν δημοσίαν αὐτὴν εἶναι λέγει, ὁ δὲ οὐκ αὐτὴν δημοσίαν, τὰ δὲ χρυσία δημόσια· γέγονε γὰρ παρὰ τὸν τόνον ἡ ἀμφιβολία, ἡ προβολὴ τοῦ ῥητοῦ· δημοσίαν σε κελεύει εἶναι ὁ νόμος, ἑταίρα γὰρ οὖσα χρυσία φορεῖς· οὕτως μὲν ἡ προβολὴ τοῦ ῥητοῦ, χρὴ δὲ γινώσκειν, ὅτι οὐκέτι ἐπὶ τῆς ἀμφιβολίας ὁ κοινὸς ἐκείνοις κανὼν φυλαχθήσεται· ἐλέγομεν γάρ, ὅτι ἡνίκα κακουργεῖ περὶ τὴν διήγησιν ὁ κατήγορος, τότε καὶ ὁ φεύγων κέχρηται τῇ προβολῇ τοῦ αὐτοῦ ῥητοῦ· ἐπειδὴ καὶ ἀεὶ ἀπαρέσκεται τοῖς ὑπὸ τοῦ κατηγόρου λεχθεῖσι καὶ οὐδέποτε δέχεται τὴν τοῦ κατηγόρου προβολήν, εἰ γὰρ δέξεται, οὐκέτι ἔσται τὸ ζητούμενον· οὐκέτι τὸ τῆς ἀμφιβολίας φυλαχθήσεται γνώρισμα· δεῖ γὰρ ἀντιπαραβάλλεσθαι τὸ αὐτὸ ῥητόν, ἐξ οὗ γίνεται ἡ ἀμφιβολία· τοῦ γὰρ κατηγόρου λέγοντος, δημοσίαν σε εἶναι κελεύει ὁ νόμος, ἡ ἑταίρα φήσει, οὐκ ἐμέ, ἀλλὰ τὰ χρυσία δημόσια, γίνεται γοῦν περὶ τόνον ἡ ἀμφιβολία, μετὰ ταῦτα ἕπεται ἡ γνώμη τοῦ νομοθέτου, καὶ εὐλόγως· νομικῆς γὰρ οὔσης τῆς στάσεως ἐχρῆν καὶ τὰ νομικὰ προτετάχθαι κεφάλαια τὰ εἰς σύστασιν τοῦ ῥητοῦ λαμβανόμενα, ὅπερ ποιεῖ ἡ γνώμη τοῦ νομοθέτου· ἐξετάζεται δὲ ὑπ' ἀμφοῖν πρὸς τὸ λυσιτελοῦν ἑκατέρῳ, οἷον τιμωρίας ἀξίαν τὴν ἑταίραν ὁ νομοθέτης ὑπέλαβε, καὶ ὁ μὲν διώκων ἐρεῖ, ὅτι τῆς μεγίστης· καὶ ἔφη δημοσίαν αὐτὴν εἶναι καὶ τὰ χρυσία δημόσια· ἡ δὲ ὅτι τιμωρίας μὲν ἀλλὰ μετρίας, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων ἀδικημάτων κατὰ λόγον τὰς τιμωρίας ἔταξεν· οὕτω μὲν ἐπ' ἀμφοῖν ἡ γνώμη τοῦ νομοθέτου ἐξετασθήσεται. Χρὴ δὲ γινώσκειν, ὅτι καὶ σημειώσεως ἄξιον· ὡς γὰρ ἐν ὅρῳ ὁ φεύγων ἔλαττον ὁμολογεῖ ἀδίκημα, οὕτως καὶ ἐπὶ τοῦ παρόντος προ-

61 τόδε Vind. Med. Mon. om.

βλήματος· ἡ γάρ[62] ἑταίρα ὁμολογεῖ μὲν ἀδίκημα, ἀλλ' ἔλαττον, ὡς δέδεικται ἐν τῇ ἐξετάσει τῆς γνώμης τοῦ νομοθέτου· μετὰ τοῦτο τοίνυν τὸ κεφάλαιον ἕπεται τὸ περιέχον καὶ περιεχόμενον, ἑκατέρου λέγοντος, εἰ τὸ ἐμὸν κυρώσετε, οὐδὲ τοῦτο παραβαίνετε. καὶ ὁ μὲν διώκων οὕτως· εἰ ποιήσετε τὴν ἑταίραν δημοσίαν, ἔστω καὶ τὰ χρυσία δημόσια, ὥστε καὶ τὸ ταύτης κυροῦται· τῶν δὲ χρυσίων μόνων γινομένων δημοσίων,[63] ἡ ἑταίρα οὐκ ἔσται δημοσία· οὐκοῦν παραβαίνετε τὸ ἡμέτερον. ὁ δέ γε φεύγων ἤτοι ἡ ἑταίρα φήσει, ὅτι κυρουμένου τοῦ ἐμοῦ καὶ γινομένων τῶν χρυσίων δημοσίων, οὐδὲ τὸ τοῦ κατηγόρου παραβαίνεται· οὐδὲν γὰρ ἧττον δώσει ἡ ἑταίρα δίκην, ἀφαιρουμένη τὰ χρυσία ἐφ' οἷς ἠγάλλετο· οὕτως μὲν γίνεται τὸ περιέχον καὶ περιεχόμενον. ζητοῦσι δὲ, πῶς, εἴπερ καὶ ἐν ἀμφιβολίᾳ εὑρίσκεται τουτὶ τὸ κεφάλαιον, ἰδικὸν αὐτὸ ἔφη ὁ τεχνικὸς τῆς ἀντινομίας, εἰπὼν ἰδικὸν μᾶλλον τῆς ἀντινομίας κεφάλαιον. καὶ λέγομεν, ὅτι ὡς καὶ ἐκεῖσε ἔφημεν ὡς πρὸς ἀντιδιαστολὴν τῶν ἄλλων κεφαλαίων τοῦτο μᾶλλον εἶπεν ἰδικόν. τὰ γὰρ ἄλλα ἦσαν καὶ ῥητοῦ καὶ διανοίας· ἀλλὰ πρὸς τοῦτο εἴποι τις ἂν, ὅτι οὐκοῦν οὐδὲ τὸ περιέχον καὶ περιεχόμενον ἐχρῆν εἰπεῖν ἰδικὸν εὑρεθὲν καὶ ἐν τῇ ἀμφιβολίᾳ· ἄμεινον τοίνυν ἐκεῖνο λέγειν, ὅτι καλῶς εἶπεν αὐτὸ ὁ τεχνικὸς ἰδικὸν μᾶλλον ἀντινομίας· καὶ ἐν τῇ ἀμφιβολίᾳ γὰρ ἐνταῦθα ἐμπεσὸν ὡς ἐν ἀντινομίᾳ ἐστί· μάχη γὰρ κἀνταῦθά ἐστι ῥητῶν, τοῦ κατηγόρου ἄλλως προφέροντος τὸ ῥητὸν καὶ τοῦ φεύγοντος ἄλλως· ἐπεὶ οὖν ἐσχηματίσθη ὥσπερ εἰς τύπον ἀντινομίας, ἡ ζήτησις ἔσχε χώραν ἐμπεσεῖν καὶ τὸ τῆς ἀντινομίας ἰδικὸν κεφάλαιον, τὸ περιέχον φημὶ καὶ περιεχόμενον· καὶ εὐλόγως μετὰ τὴν γνώμην τοῦ νομοθέτου· ἑκατέρου γὰρ ἐν αὐτῷ συστήσαντος τὸν οἰκεῖον ὥσπερ σκοπὸν τοῦ ῥητοῦ, ἐδόκουν πως οἱ δικασταὶ ἀπορεῖν,

62 Mon. *δέ*. 63 *δημοσίων* Mon. Vind. Med. om.

τίνι δεῖ μᾶλλον προστίθεσθαι, ὁρῶντα ἀμφότερα ἰσχυρὰ καὶ βέβαια. διὰ τοῦτο οὖν ἐπιφέρεται τὸ κεφάλαιον, ἐν ᾧ ἐπιχειρήσει δεῖξαι ἑκάτερος, ὅτι εἰ τὸ αὐτὸ κυρώσουσιν, οὐδέτερον παραβαίνουσι· καὶ ἐν τούτοις τὸ περιέχον καὶ περιεχόμενον. εἶτα εὐθὺς ἕπεται ἀντίθεσις, καὶ ἔστιν ἐνταῦθα ἀντεγκληματική, κατὰ ἑταίρας λόγον περαίνοντος τοπικῶς τοῦ κατηγόρου. εἶτα ἕπεται ἡ μετάληψις, λυτικὴ οὖσα τῆς ἀντιθέσεως, ὅτι εἰ καὶ ἑταίρα, ἀλλ' ἔχουσά γε ἴδια τῆς προαιρέσεως ταύτης ἐπιτίμια, τὸ [64] μὴ ὁμοίαν εἶναι ταῖς ἐλευθέραις, μηδὲ [65] τῶν αὐτῶν ἀξιοῦσθαι, καὶ ἄλλα δὲ ἐλεεινολογήσεται δηλαδὴ πενίαν προβαλλόμενος ἤ τι τοιοῦτον ὁ λέγων ὑπὲρ αὐτῆς, μετὰ ταύτην δὲ ἡ θέσις· καὶ παρῆκεν αὐτὴν ἐν τῇ ἐξετάσει ὁ τεχνικὸς ὡς πρόδηλον· ὁ μὲν γὰρ ἐρεῖ ὅτι τιμωρητέον τὰς ἑταίρας, ὁ δὲ ὅτι ἐλεητέον τὰς ἑταίρας, τὰς διὰ πενίαν καὶ ἔνδειαν ταῦτα ἀναγκαζομένας ποιεῖν· μετὰ ταῦτά ἐστιν ἡ ποιότης καὶ ἡ γνώμη, τὰ ἐπιλογικὰ κεφάλαια· καὶ ὡς γίνονται πολλάκις ἐμάθομεν· καθόλου δὲ χρὴ τοῖς ἐπιλογικοῖς ἐνδιατρίβειν ἐν τῇ ἀμφιβολίᾳ, ἐπεὶ οἱ ἀγῶνες σμικροί τε καὶ εὐτελεῖς καὶ μάλιστά γε τῇ γνώμῃ· ὡς καὶ αὐτός πού φησιν ἐν τῷ κειμένῳ ὁ τεχνικός· συμβέβηκε δὲ τούτῳ τῷ ζητήματι, καὶ πλειονά γε τὴν ἐξέτασιν τῆς γνώμης εἶναι, ζητοῦντος ἑκατέρου τὴν γνώμην τῆς ἑταίρας, καὶ ὁ μὲν ἐρεῖ, ὅτι ἀγνοήσασα ἐφόρεσε τὰ χρυσία, ὅ γε ὑπὲρ αὐτῆς λέγων, ὁ δέ γε διώκων λέξει, ὅτι κατεφρόνησε τοῦ νόμου, οὕτως μὲν ὁ τεχνικός, ὁ δέ γε Μητροφάνης δεῖ, φησὶ, πλεονάζειν ἐν τῇ ἀμφιβολίᾳ τὴν τῆς γνώμης ἐξέτασιν, καὶ παραφέρει τὸ κατὰ Πανταλέοντα πρόβλημα· ἔχων τις δύο υἱοὺς, Λέοντα καὶ Πανταλέοντα, τελευτῶν ἐπέγραψεν ἐν ταῖς διαθήκαις, βούλομαι ἔχειν τὰ ἐμὰ πάντα Λέοντα, καὶ ἀμφισβητοῦσιν ἀμφότεροι τοῦ κλήρου· ἐνταῦθα, φησὶ, χρὴ τὴν γνώμην πλατύτερον ἐξετάζειν ἐρευνώντων ἡμῶν καὶ ἐπιζητούντων, τίνι τῶν τέκνων μᾶλλον προσέκειτο κατὰ τὴν γνώμην, καὶ τίνα πλέον ἠγάπα. τούτου γὰρ δεικνυμένου συναποδείκνυται τὸ ζητούμενον.

Γνώσεως ὄργανα ὀκτώ.

Αἴσθησις, φαντασία, τέχνη, δόξα, φρόνησις, ἐπιστήμη, σοφία, νοῦς. Τούτων κοινὰ μέν ἐστιν πρὸς τὰ θεῖα ἡμῖν τέχνη καὶ φρόνησις, καὶ ἐπιστήμη καὶ νοῦς·

64 τὸ Mon. om. 65 Par. 1. τὸ μή.

πρὸς δὲ τὰ ἄλογα, αἴσθησις καὶ φαντασία· ἴδιον δὲ ἡμῶν μόνον ἡ δόξα. ἔστι καὶ αἴσθησις μὲν γνῶσις ψευδὴς διὰ σώματος· φαντασία δὲ κίνησις[66] ἐν ψυχῇ· τέχνη δὲ ἕξις ποιητικὴ μετὰ λόγου· τὸ δὲ μετὰ λόγου πρόσκειται, ὅτι καὶ ὁ ἀράχνης ποιεῖ, ἀλλ᾽ οὐ μετὰ λόγου. φρόνησις δὲ ἕξις προαιρετικὴ τῆς ἐν τοῖς πρακτοῖς ὀρθότητος· ἐπιστήμη δὲ ἕξις τῶν ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐχόντων, σοφία δὲ ἐπιστήμη τῶν πρωτων αἰτίων, νοῦς δὲ ἀρχὴ καὶ πηγὴ πάντων τῶν καλῶν.

Τέλος τῶν στάσεων.

In codd. adjicitur:

Μέρη εὐμαθείας τρία, ἀγχίνοια, μνήμη, ὀξύτης. Μνήμη μὲν οὖν ἐστι τήρησις ὧν ἔμαθέ τις. ὀξύτης δὲ ἡ ταχυτὴς τῆς διανοίας· ἀγχίνοια δὲ τὸ ἐξ ὧν ἔμαθέ τις ἃ μὴ ἔμαθε θηρεύειν. Μεταξὺ λέγεται τὸ ἀμφοτέρων τῶν ἄκρων μετέχον. οἷον τὸ φαιὸν μεταξύ ἐστι λευκοῦ καὶ μέλανος· λέγεται καὶ τὸ οὐδετέρων μετέχον· οἷον τὸ ἀρτιγενὲς παιδίον μεταξύ ἐστιν ἀδικίας καὶ δικαιοσύνης, ἀντὶ τοῦ οὐδενὸς μετέχει.

66 Mon. κοίνης.

Addenda et Corrigenda.

Vol. VII.

p. 13. not. 15. exror. l. error.
p. 286. not. 11. vide Westermanni hist. eloquent. Graecae et Romanae Lips. 1833. p. 285. nr. 124.
p. 333. not. 23. adde: cfr. Gorg. p. 518. B.
p. 355. v. 24. l. συμπεπλεγμένοι.

Vol. V.

p. IV. v. 20. ἐξελάθοντ᾽ l. ἐκλελάθοντ᾽.
p. 219. not. 41. ἰσωσιν, l. ἔσωσεν.
p. 486. v. 5. a. i. ἀληθὲς, l. ἀληθής.
p. 491. v. 8. Dion. de comp. p. 48. Schaef.
p. 496. v. 3. l. Ἁρπαλείων.
p. 540. v. 5. σημαίνεσθαι. T. VII. ἐπισημαίνεσθαι.
p. 560. v. 4. post ἐγὼ pone παρά.